




Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τὰς ἡμέρας καὶ ὥρας τῆς Σελήνης.

Σεπτέμ.	Ὀκτώβ.	Νοέμβ.	Δεκεμβ.	Ἰαννου.	Φεβρουα.
ἡμ.—ὥρ.	ἡμ.—ὥρ.	ἡμ.—ὥρ.	ἡμ.—ὥρ.	ἡμ.—ὥρ.	ἡμ.—ὥρ.
8— 1	7—11	6—24	5—15	4— 8	3— 3
27— 3	26—13	25—24	24— 3	23— 4	22—13
16—19	15— 5	14—15	13— 1	12—13	11— 2
5— 7	4—19	3— 7	2—17	31— 5	29—17
23— 4	22— 8	21— 8	20—20	19— 6	18— 5
12—20	11— 8	10—23	9—11	8—21	7— 7
1—22	30—16	29— 7	28—12	27— 9	26— 9
20—16	19—10	18— 5	17— 2	16—13	15— 8
10—18	9—10	8—10	7—23	6— 8	5—10
29— 4	28— 5	26 13	26—11	25—13	24— 7
18— 2	17—13	16— 3	15—19	14—13	13— 8
7—19	6— 3	5—14	4— 2	3—16	2— 9
25—19	24— 6	23—16	22— 2	21— 5	20— 5
14— 9	13—20	12— 8	11—18	10— 4	19—13
3—16	2— 7	31— 2	39—10	29— 7	28—16
22—11	21— 4	20—20	19—10	18—22	17— 9
11—11	10— 5	9—13	8—17	7—10	6—23
30— 5	29—13	28—18	27—13	26— 7	25—20
19—12	19—12	17—19	16—13	15— 8	14— 2

Ἐν ἔτει 1852 ἔχομεν κύκλους τῆς Σελήνης 7, μηνός
μὲ + οἵτινες ἀνταποκρίνονται εἰς τὸ τετράγωνον ἐν

1858

Δημόσια Βιβλιοθήκη Βέροιας

Εὕρεσις τῶν Κυριακῶν, Ἤχων καὶ Ἑωθινῶν τοῦ ἔτους.

Κυριακαὶ, οἱ Ἤχοι καὶ τὰ Ἑωθινὰ ἄρχονται ἀπὸ τὸ ἅγιον Πάσχα. Ὅθεν μετρῶντες τὰς ἀπερασμένας ἡμέρας ἀπὸ τὸ πάσχα ἀντικρυ εἰς τὰς Κυριακὰς τῶν ἡμερῶν, εὑρίσκομεν τὰς Κυριακὰς τῶν Εὐαγγελιστῶν: Ἰωάννου, Ματθαίου., Μάρκου, καὶ Λουκᾶ, τὸν Ἦχον καὶ τὸ ἑωθινὸν ὁποταοῦποτε ἡμέρας θέλομεν δι' ὅλον τὸ ἔτος.

Μῆνες	ἡμέραι	Μῆνες	ἡμέραι	Μῆνες	ἡμέραι	Μῆνες	ἡμέραι
Μάρτ.	30	Ἰούνιος	30	Σεπτέμ.	30	Δεκέμβ.	31
Ἀπρίλ.	30	Ἰούλιος	31	Ὀκτώβ.	31	Ἰανουάρ.	30
Μάϊος	31	Αὔγους.	31	Νοέμβ.	30	Φεβρουάρ.	29

1. Κυρ. Α. Πάσχα. ἦχ. ἁ. ἑωθ. ϐ'.
7. Κυρ. Β. Θωμᾶ. ἦχ. ἁ. ἑωθ. ἁ.
14. Κυρ. Γ. Μυρ. ἦχ. ϐ'. ἑωθ. δ'.
21. Κυρ. Δ. Παρ. ἦχ. γ'. ἑωθ. ἑ.
28. Κυρ. Ε. Σαμ. ἦχ. δ'. ἑωθ. ζ'.
35. Κυρ. ς. Τυφ. ἦχ.πλ.ἁ.ἑωθ.ἡ.
42. Κυρ. Ζ. Ἁγίων ἦχ.π.λϐ'.ἑωθ.ἰ.
49. Κυρ. Η. Πεντ. ἦχ βαρ.ἑωθ. θ'.
56. Κυρ. Α. Ματ. ἦχ.πλ.δ'.ἑωθ.ἁ.
63. Κυρ. Β. Ματ. ἦχ. ἁ. ἑωθ. ϐ'.
70. Κυρ. Γ. Ματ. ἦχ. ϐ'. ἑωθ. γ'.
77. Κυρ. Δ. Ματ. ἦχ. γ'. ἑωθ. δ'.
84. Κυρ. Ε. Ματ. ἦχ. δ'. ἑωθ. ἑ.
91. Κυρ. ς. Ματ. ἦχ πλ.ἁ.ἑωθ.ς'.
98. Κυρ. Ζ. Ματ. ἦχ.πλ.ϐ'.ἑωθ.ζ.
105. Κυρ. Η. Ματ. ἦχ. βαρ.ἑωθ.ἡ.
112. Κυρ. Θ. Ματ. ἦχ.πλ.δ'.ἑωθ.θ'.
119. Κυρ. Ι. Ματ. ἦχ. ἁ. ἑωθ.ἰ.
126. Κυρ. ΙΑ Ματ. ἦχ. ϐ'.ἑωθ.ιά.
133. Κυρ. ΙΒ.Ματ. ἦχ. γ'.ἑωθ. ἁ.
0. Κυρ. ΙΓ.Ματ. ἦχ. δ'.ἑωθ.ϐ'.
1 Κυρ. ΙΔ.Ματ. ἦχ.πλ.ἁ.ἑωθ δ.
16 Κυρ. ΙΕ.Ματ. ἦχ.πλ.ϐ'.ἑωθ·δ'.
168. Ις. Ματ. ἦχ. βαρ.ἑωθ. ἑ.
175. Κζ. Ματ. ἦχ.πλ.δ .ἑωθ ζ'.
182. Κυρ.Λουκ. ἦχ. ἁ. ἑωθ. ζ'.
189. Κυρ. Ι ουκ. ἦχ. ϐ'.ἑωθ. ἡ.
196. Κυρ. Δ. . ἦχ. γ'.ἑωθ. θ'.
203. Κυρ. Ε. Λο. ἦχ. δ'.ἑωθ. ἰ.
210. Κυρ. ς. Λουκ ἦχ.πλ.ἁ.ἑωθ.ιά
17. Κυρ. Ζ. Λουκ. πλ.ϐ'.ἑωθ.ἁ.
ρ. βαρ. ἑωθ.ϐ'.

224. Κυρ. Η. Λουκ. ἦχ.πλ.δ'.ἑωθ.γ'.
231. Κυρ. Θ. Λουκ. ἦχ. ἁ. ἑωθ. δ'.
238. Κυρ. Ι· Λουκ. ἦχ. ϐ'· ἑωθ. ἑ.
245. Κυρ. ΙΑ.Λουκ. ἦχ. γ'. ἑωθ.ς'.
252. Κυρ. ΙΒ Λουκ. ἦχ. δ'· ἑωθ.ζ'.
259. Κυρ. ΙΓ.Λουκ. ἦχ.πλ.ἁ.ἑωθ.ἡ.
266. Κυρ. ΙΔ.Λουκ. ἦχ.πλ.ϐ'·ἑωθ.θ'.
273. Κυρ. ΙΕ. Λουκ. ἦχ. βαρ. ἑωθ ἰ.
280. Κυρ. Ις. Λουκ. ἦχ.πλ.δ'. ἑωθ.ιά.
287. Κυρ. ΙΖ. Λουκ. ἦχ. ἁ. ἑωθ. ἁ.
294. Κυρ. Ματ. ἦχ. ϐ'.ἑωθ.ϐ'.
301. Κυρ. Ματ. ἦχ. γ'.ἑωθ.γ'.
308. ἦχ. γ'. ἑωθ. γ'.
315. ἦχ. δ'. ἑωθ. δ.
322. ἦχ. πλ. ἁ. ἑωθ. ε.
329. ἦχ. πλ ϐ'. ἑωθ. ς'.
336. ἦχ. βαρὺς ἑωθ. ζ'.
343. ἦχ. πλ. δ'. ἑωθ. τ.
350. ἦχ. ἁ. ἑωθ. ϐ'.
357. ἦχ. ϐ'. ἑωθ. ἰ.
364. ἦχ. γ'. ἑωθ. ιά.

Κυρ. Τελ. καὶ Φαρ. Λουκ. ἦχ. ἑωθ.
Κυρ. Ἀσώτου. Λουκ. ἦχ. ἑωθ.
Κυρ. Ἀποκρ. Ματθ. ἦχ. ἑωθ.
Κυρ. Τυρινῆς. Ματθ. ἦχ. ἑωθ.

Τῆς Μεγάλης Τεσσαρακοστῆς.

Κυρ. Α. Ἰωάν. ἦχ. ἑωθ.
Κυρ. Β. Μάρ. ἦχ.
Κυρ. Γ. Μάρ. ἦχ.
Κυρ. Δ. Μάρ. ἦχ.
Κυρ. Ε. Μάρ. ἦχ.
Κυρ. ς. Μάρ. ἦχ.

ΜΗΝΟΛΟΓΙΟΝ

ΤΟΥ ΟΛΟΥ ΕΝΙΑΥΤΟΥ ΚΑΤ' ΕΠΙΤΟΜΗΝ.

ΙΑΝΟΥΑΡΙΟΣ 31.

Ἀρχὴ τοῦ νέου ἔτους.

†1 Ἡ κατὰ σάρκα Περιτομὴ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ μνήμη Βασιλείου τοῦ Μεγάλου. Ἀργία.
2 Σιλβέστρου Πάπα Ῥώμης.
3 Γορδίου Μάρτυρος.
4 Ἡ Σύναξις τῶν 70 Ἀποστόλων.
5 Παραμ. τῶν Φώτων· νηστεία.
†6 Τὰ Ἅγ Θεοφάνεια. Ἀργία.
†7 Ἡ Σύναξις τοῦ Προδρόμου. Ἀργία.
8 Δομνίκης τῆς Ὁσίας.
9 Πολυεύκτου Μάρτυρος.

Ὁ Ἥλιος εἰς Ὑδροχόον.

10 Γρηγορίου Ἐπισκόπου Νύσσ.
11 Θεοδοσίου τοῦ Κοινοβιάρχου.
12 Τατιανῆς Μάρτυρος.
13 Ἑρμύλου Μάρτυρος
14 Τῶν ἐν Ῥαίθῳ καὶ Σινᾷ ἀναιρεθέντων ὁσίων Πατέρων
15 Ἰωάννου τοῦ Καλυβίτου.
16 Ἡ προσκύνησις τῆς Ἁλύσεως Πέτρου τοῦ Ἀποστόλου.
†17 Ἀντωνίου τοῦ Μεγάλ. Ἀργία
†18 Ἀθανασίου καὶ Κυρίλλου Πατριαρχ. Ἀλεξανδρείας. Ἀργία
19 Μακαρίου τοῦ Αἰγυπτίου, καὶ Ἀρσενίου Κερκύρας.
†20 Εὐθυμίου τοῦ Μεγάλ. Ἀργία.
21 Μαξίμου τοῦ Ὁμολογητοῦ.
22 Τιμοθέου Ἀπος. καὶ Ἀναστασίου Ὁσιομάρτυρος.
23 Κλήμεντος Ἱερομάρτυρος.
24 Ξένης τῆς Ὁσίας.
†25 Γρηγορίου τοῦ Θεολόγου. Ἀργ.
26 Ξενοφῶντος τοῦ Ὁσίου.
†27 Ἡ Ἀνακομιδὴ τοῦ Λειψάνου Ἰω. τοῦ Χρυσοστόμου. Ἀργία.
28 Ἐφραὶμ Ὁσίου τοῦ Σύρου.
29 Ἡ Ἀνακομιδὴ τοῦ Λειψάνου Ἰγνατίου Ἱερομάρτυρος.
†30 Τῶν τριῶν Ἱεραρχῶν Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου, καὶ Ἰω. τοῦ Χρυσοστόμου. Ἀργία.
31 Κύρου καὶ Ἰωάννου, τῶν Ἀναργύρων.

ΦΕΒΡΟΥΑΡΙΟΣ

28, ἢ 29.

1 Τρύφωνος Μάρτυρος.
†2 Ἡ Ὑπαπαντὴ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἀργία καὶ τ χθύος κατάλυσις.
3 Συμεὼν τοῦ Θεοδόχου.
4 Ἰσιδώρου τοῦ Πηλουσιώτ

5 Ἀγάθης Μάρτυρος.
6 Βουκόλου Ἐπισ. Σμύρνης.
7 Παρθενίου Ἐπισκ. Λαμψάκου
8 Θεοδώρου τοῦ Στρατηλ.
9 Νικηφόρου Μάρτυρος.

Ὁ Ἥλιος εἰς Ἰχθύας.

† 10 Χαραλάμπους Ἱερομάρ. Αργ
11 Βλασίου Ἱερομάρτυρος.
12 Μελετίου Ἀντιοχείας.
13 Μαρτινιανοῦ τοῦ Ὁσίου.
14 Αὐξεντίου τοῦ Ὁσίου.
15 Ὀνησίμου τοῦ Ἀποστόλου.
16 Παμφίλου Μάρτυρος.
17 Θεοδώρου τοῦ Τύρωνος.
18 Λέοντος Πάπα Ρώμης.
19 Ἀρχίππου τοῦ Ἀποστόλου.
20 Λέοντος Ἐπισκ. Κατάνης.
21 Τιμοθέου τοῦ ἐν Συμβόλοις.
22 Τῶν ἐν τοῖς Εὐγενίου Μαρτ.
23 Πολυκάρπου ἐπισκ. Σμύρνης.
†24 Ἡ ἁ. καὶ β'. εὕρεσις τῆς τιμίας Κεφαλῆς τοῦ Προδρόμου. Ἀργία.
25 Ταρασίου Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως.
26 Πορφυρίου Ἐπισκόπου Γάζης.
27 Προκοπίου τοῦ Δεκαπολίτου.
28 Βασιλείου τοῦ Ὁμολογητοῦ.
29 Κασσιανοῦ τοῦ Ρωμαίου.

ΜΑΡΤΙΟΣ. 31

1 Εὐδοκίας Ὁσιομάρτυρος.
2 Ησυχίου τοῦ Συγκλητικοῦ.
3 Εὐτροπίου Μάρτυρος καὶ τῶν σὺν αὐτῷ.
4 Γερασίμου τοῦ Ὁσίου, τοῦ ἐν Ἰορδάνῃ.
5 Κόνωνος Μάρτυρος.
6 Τῶν ἐν Ἀμμορίῳ 42 Μαρτ.

7 [illegible]
Ἱερο[illegible]
8 [illegible]
†9 [illegible]

Ἰσ[illegible]
10 [illegible]
11 [illegible]
12 [illegible]
13 [illegible]
14 [illegible]
15 [illegible]
16 [illegible]
17 [illegible]
18 [illegible]
19 [illegible]
20 [illegible]
21 [illegible]
22 [illegible]
23 [illegible]
24 [illegible]
25 [illegible]
26 [illegible]
27 [illegible]
28 [illegible]
29 [illegible]
30 [illegible]
31 [illegible]

ΑΠΡΙΛΙΟΣ 30

1 Μαρίας τῆς Αἰγυπτίας.
2 Τίτου τοῦ Ὁσίου.
3 Νικήτα τοῦ Ὁσίου.
4 Γεωργίου Ὁσίου, τῷ ἐν τῷ Μαλαιῷ.
5 Κλαυδίου Μάρτυρος.
6 Εὐτυχίου Κωνσταντινουπόλ.
7 Γεωργίου Ἐπισ. Μελιτινῆς.
8 Ἡρωδίωνος τοῦ Ἀποστόλου.
9 Εὐψυχίου Μάρτυρος.
Ὁ Ἥλιος εἰς Ταῦρον.
10 Τερεντίου Μάρτυρος.
11 Ἀντύπα Μάρτυρος.
12 Βασιλείου Ἐπισκόπου Παρίου.
13 Μαρτίνου Πάπα Ρώμης.
14 Ἀριστάρχου τοῦ Ἀποστόλου.
15 Κρήσκεντος Μάρτυρος.
16 Ἀγάπης, Εἰρήνης, καὶ Χιονίας Μαρτύρων καὶ παρθένων.
17 Συμεὼν τοῦ ἐν Περσίδι.
18 Ἰωάν. Ὁσίου, καὶ Ἰω. Μάρτ.
19 Παφνουτίου Ἱερομάρτυρος.
20 Θεοδώρου τοῦ Τριχινᾶ.
21 Ἰανουαρίου Ἱερομάρτυρος.
22 Θεοδώρου τοῦ Συκεώτου.
†23 Γεωργίου Μεγαλομ. τοῦ Τροπαιοφόρου. Ἀργία.
24 Σάββα Μάρ· τοῦ Στρατηλ.
25 Μάρκου τοῦ Εὐαγ. Ἀργία.
26 Βασιλέως Ἐπισ. Ἀμασίας.
27 Συμεὼν συγγενοῦς τοῦ Κυρίου.
28 Τῶν ἐν Κυζίκῳ θ. Μαρτύρων.
29 Ἰάσωνος, καὶ Σωσιπάτρου τῶν Ἀποστόλων.
30 Ἰακώβου ἀδελφοῦ τοῦ ἁγίου Ἰωάν. τοῦ Θεολόγου.

ΜΑΙΟΣ 31.

1 Ἱερεμίου τοῦ Προφήτου.
2 Ἡ Ἀνακομιδὴ τοῦ Λειψάνου Ἀθανασίου τοῦ Μεγάλου.
3 Τιμοθέου, καὶ Μαύρας. Μαρτ.
4 Πελαγίας Ὁσιομάρτυρος.
5 Εἰρήνης Μάρτυρος.
6 Ἰὼβ τοῦ πολυάθλου.
7 Ἀκακίου Μάρτυρος.
†8 Ἰωάννου τοῦ Θεολόγου· καὶ Ἀρσενίου τοῦ Ὁσίου. Ἀργία.
9 Ἡσαΐου τοῦ Προφήτ. καὶ Χρισοφόρου Μάρτυρος.
Ὁ Ἥλιος εἰς Διδύμους.
10 Σίμωνος τοῦ Ἀποστόλου.
11 Μωκίου Ἱερομάρτυρος.
12 Ἐπιφανίου, καὶ Γερμανοῦ.
13 Γλυκερίας Μάρτυρος.
14 Ἰσιδώρου μάρτυρ. τοῦ ἐν Χίῳ.
15 Παχωμίου τοῦ μεγάλου, καὶ Ἀχιλλίου Ἀρχιεπ. Λαρίσσης.
16 Θεοδώρου τοῦ Ἡγιασμένου.
17 Ἀνδρονίκου τοῦ Ἀποστόλου.
18 Πέτρου καὶ τῶν σὺν αὐτῷ Μαρτύρων.
19 Πατρικίου Προύσης Ἱερομάρτ.
20 Θαλλελαίου Μάρτυρος.
†21 Τῶν ἁγίων Μεγάλων Βασ. Κωνσαντ. καὶ Ἑλένης. Ἀργία.
22 Βασιλίσκου Μάρτυρος.
23 Μιχαὴλ Ἐπισκόπ. Συνάδων.
24 Συμεὼν τοῦ ἐν τῷ θαυμ. Ὀρει.
25 Ἡ γ'. εὕρεσις τῆς τιμίας Κεφαλῆς τοῦ Προδρόμου.
26 Κάρπου τοῦ Ἀποστόλου.
27 Ἑλλαδίου Ἱερομάρτυρος.
28 Εὐτυχοῦς Ἐπισκ. Μελιτινῆς.
29 Θεοδοσίας Μάρτυρος.
30 Ἰσαακίου τοῦ Ὁσίου.
31 Ἑρμείου Μάρτυρος.

ΙΟΥΝΙΟΣ 30

1 Πύρρου καὶ Ἰουστίνου τῶν φιλοσόφ. καὶ Ἱερομαρτύρων.
2 Νικηφόρου Κωνσαντινουπόλ.
3 Λουκιλλιανοῦ Μάρτυρος.
4 Μητροφάνους Κωνσαντ.
5 Δωροθέου Ἐπισ. Τύρου.
6 Ἱλαρίωνος Ὁσιομάρτυρος.
7 Θεοδότου Ἀγκύρας.
8 Ἡ Ἀνακομ. Θεοδώρ. τοῦ Στρατηλάτου.
9 Κυρίλλου Ἀλεξανδρείας.
Ὁ Ἥλιος εἰς Καρκῖνον.
Ἀρχὴ τοῦ Θερινοῦ Ἡλιοστ.
10 Ἀλεξάνδρου, καὶ Ἀντωνίνης Μαρτύρων.
11 Βαρθολομαίου καὶ Βαρνάβα τῶν Ἀποστόλων.
12 Ονουφρίου καὶ Πέτρου τῶν Ὁσίων.
13 Ακυλίνης καὶ Τριφυλλίου Μάρ.
14 Ελισσαίου τοῦ Προφήτου, καὶ Μεθοδίου Πατριάρχου Κωνς
15 Ἀμὼς τοῦ Προφήτου.
16 Τύχωνος Ἀμαθοῦντος τοῦ Θαυματουργοῦ.
17 Μανουὴλ, Σαβὲλ, καὶ Ἰσμαὴλ τῶν Μαρτύρων.
18 Λεοντίου Μάρτυρος.
19 Ἰούδα τοῦ Ἀποστόλου.
20 Μεθοδίου Ἐπισκ. Πατάρων.
21 Ἰουλιανοῦ Ταρσέως Ἱερομάρτ.
22 Εὐσεβίου ἐπισκ. Σαμωσάτων.
23 Αγριππίνης μάρτυρος.
†24 Τὸ Γενέθλιον τοῦ τιμίου Προδρόμου. Ἀργία.
25 Φεβρωνίας Μάρτυρος.
26 Δαβὶδ τοῦ ἐν Θεσσαλονίκῃ.
27 Σαμψὼν τοῦ Ξενοδόχου.
28 Ἡ Ἀνακομιδὴ τῶν Λειψάνων Κύρου καὶ Ἰωάννου τῶν Ἀναργύρων.
†29 Πέτρου, καὶ Παύλου τῶν Κορυφαίων Ἀποστόλων. Ἀργία καὶ ἰχθ. κατάλ.
†30 Ἡ Σύναξις τῶν ΙΒ'. Ἀποστόλων. Ἀργία.

ΙΟΥΛΙΟΣ 31.

1 Κοσμᾶ καὶ Δαμιανοῦ τῶν Ἀναργύρων.
2 Ἡ κατάθεσις τῆς Ἐσθῆτος τῆς Θεοτόκου ἐν Βλαχέρναις
3 Υακίνθου Μάρτυρος.
4 Ανδρέου τοῦ Κρήτης.
5 Αθανασίου τοῦ ἐν τῷ Αθῳ.
6 Σισώη Ὁσίου τοῦ μεγάλου.
7 Κυριακῆς Μεγαλομάρτυρος.
8 Προκοπίου Μεγαλομάρτυρος.
9 Παγκρατίου Ἐπ. Ταυρομενίας.
Ὁ Ἥλιος εἰς Λέοντα.
10 Τῶν ἐν Νικοπόλει 45 μαρτ.
11 Εὐφημίας Μάρτυρος.
12 Πρόκλου μάρτυρος.
13 Ἡ Σύναξις τοῦ Ἀρχιστρατ. Γαβριὴλ.
14 Ἀκύλα τοῦ Ἀποστόλου.
15 Κυρίκου καὶ Ἰουλίτης Μαρτύρων.
16 Ἀθηνογένους Ἱερομάρτ.
17 Μαρίνης Μεγαλομάρτυρος.
18 Υακίνθου μάρτυρος τοῦ ἐν Ἀμαστρίδι.
19 Δίου, καὶ Μακρίνης τῶν Ὁσίων.
†20 Ηλιοῦ τοῦ Προφήτου. Ἀργία.
21 Συμεὼν τοῦ διὰ Χριστὸν Σαλοῦ.

22 Μαρίας τῆς Μαγδαληνῆς.
23 Ἰεζεκιὴλ τοῦ Προφήτου.
24 Χριστίνης Μεγαλομάρτυρος.
†25 Ἄννης Μητρὸς τῆς Θεοτόκου ἡ Κοίμησις. Ἀργία.
†26 Παρασκευῆς καὶ Ἑρμολάου.
†27 Παντελεήμονος Μεγαλομάρτυρος τοῦ ἰαματικοῦ. Ἀργία.
28 Προχόρου, Νικάνορος Τίμωνος, καὶ Παρμενᾶ τῶν Ἀποστόλων καὶ Διακόνων.
29 Καλλινίκου Μάρτυρος.
30 Σύλλα καὶ Σιλλουανοῦ τῶν Ἀποστόλων, ἐκ τῶν Ο'.
31 Εὐδοκίμου τοῦ δικαίου.

ΑΥΓΟΥΣΤΟΣ, 31

1 Ἡ Πρόοδος τοῦ Σταυροῦ καὶ μνήμη τῶν Ἁγίων Μακκαβαίων.
2 Ἡ Ἀνακομιδὴ τοῦ Λειψάνου Στεφάνου τοῦ Ἀρχιδ.
3 Ἰσαακίου τοῦ Ὁσίου.
4 Τῶν ἐν Ἐφέσῳ 7 παίδων.
5 Προεόρτια τῆς Μεταμορφώσεως, καὶ μνήμη Εὐσιγνίου Μάρτ
†6 Ἡ Μεταμόρφωσις τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἀργία καὶ ἰχθ. κατάλυσις.
7 Δομετίου Ὁσιομάρτυρος.
8 Αἱμιλιανοῦ Ἐπισκόπου Κυζίκου, τοῦ Ὁμολογητοῦ.
9 Ματθία τοῦ Ἀποστόλου.

Ὁ Ἥλιος εἰς Παρθένον.

10 Λαυρεντίου τοῦ Ἀρχιδιακόνου.
11 Εὔπλου τοῦ Διακόνου καὶ Μάρτυρος.
12 Φωτίου καὶ Ἀνικήτου Μαρτ.
13 Μαξίμου τοῦ Ὁμολογητοῦ.
14 Μιχαίου τοῦ Προφήτου.
†15 Ἡ Κοίμησις τῆς Θεοτόκου. Ἀργία καὶ ἰχθύος κατάλυσις.
16 Τοῦ ἁγίου Μανδηλίου, καὶ Διομήδους Μάρτυρος.
17 Μύρωνος Μάρτυρος.
18 Φλώρου καὶ Λαύρου Μαρτύρ.
19 Ἀνδρέου ταῦ Στρατηλ.
20 Σαμουὴλ τοῦ Προφήτου.
21 Θαδδαίου τοῦ Ἀποστόλου.
22 Ἀγαθονίκου Μάρτυρος
23 Λούππου Μάρτυρ. καὶ ἡ Ἀπόδοσις τῆς Ἑορτῆς τῆς Θεοτ.
24 Εὐτυχοῦς Ἱερομάρτυρος.
25 Ἡ ἐπάνοδος τοῦ λειψάνου Βαρθολομαίου Ἀποστόλ. καὶ μνήμη Τίτου Ἀποστ.
26 Ἀδριανοῦ, καὶ Ναταλίας Μαρτ.
27 Ποιμένος τοῦ Ὁσίου.
28 Μωϋσέως τοῦ Αἰθίοπος.
†29 Ἡ Ἀποτομὴ τῆς τιμίας Κεφαλῆς τοῦ Προδρόμου. Ἀργία καὶ Νηστεία.
30 Ἀλεξάνδρου Πατριάρχου Κωνσταντινουπόλεως.
31 Ἡ Κατάθεσις τῆς τιμίας Ζώνης τῆς Θεοτόκου.

ΣΕΠΤΕΜΒΡΙΟΣ. 30

1 Ἀρχὴ τῆς Ἰνδίκτου· ἡ Σύναξις τῆς Θεοτόκου καὶ μνήμη Συμεὼν τοῦ Στυλ. Ἀργία.
2 Μάμαντος Μάρτυρος καὶ Ἰωάννου τοῦ Νηστευτοῦ.
3 Ἀνθίμου Ἱερομάρτυρος.
4 Βαβύλα Ἀντιοχ. Ἱερομάρ.
5 Ζαχαρίου τοῦ Προφήτου.

6 Θαῦμα Μιχαὴλ Ἀρχιστρατήγου.
7 Σώζοντος Μάρτυρος.
†8 Τὸ Γενέσιον τῆς Ὑπεραγίας Θεοτόκου. Ἀργία.
9 Ἰωακεὶμ καὶ Ἄννης.

Ὁ Ἥλιος εἰς Ζυγόν.

Ἰσημερ. καὶ ἀρχὴ τοῦ φθινοπώρου,

10 Μηνοδώρας, Μητροδώρας, καὶ Νυμφοδώρας Μαρτύρων.
11 Θεοδώρας τῆς Ὁσίας.
12 Αὐτονόμου Ἱερομάρτ.
13 Τὰ Ἐγκαίνια τοῦ Ναοῦ τῆς τοῦ Χριστοῦ Ἀναστάσεως καὶ μνήμη Κρονηλίου Μάρτ.
†14 Ἡ Ὕψωσις τοῦ τιμίου Σταυροῦ. Ἀργία καὶ Νηστεία.
15 Νικήτα Μάρτυρος.
16 Εὐφημίας Μεγαλομάρτυρος.
17 Σοφίας Μάρτυρος καὶ τῶν σὺν αὐτῇ.
18 Εὐμενίου Γορτ. τοῦ Θαυματ.
19 Τροφίμου, Σαββατίου, καὶ Δορυμέδοντος τῶν Μαρτ.
20 Εὐσταθίου Μεγαλομάρτυρος καὶ τῶν σὺν αὐτῷ.
21 Κοδράτου τοῦ Ἀποστόλ.
22 Φωκᾶ Ἱερομάρτυρος.
†23 Ἡ Σύλληψις τοῦ τιμίου Προδρόμου, καὶ Βαπτιστοῦ Ἰωάννου. Ἀργία.
24 Μνήμη τοῦ ἐν τῷ ναῷ τῆς Θεοτόκου γενομένου θαύματος, ἐν τῇ νήσῳ Κυθήρων.
25 Εὐφροσύνης τῆς Ὁσίας.
26 Ἡ Μετάστασις Ἰωάννου τοῦ Θεολόγου. Ἀργία.
27 Καλλιστράτου Μάρτυρος.
28 Χαριτωνος τοῦ Ὁμολογ.
29 Κυριακο
30 Γρηγορί
σκοπου τ

ΟΚΤ

1 Ἀνανία
μανοῦ τ
2 Κυπρια
Ἰουστίνη
†3 Διονυσί
Ἀρεοπαγ
4 Ἱεροθέ
5 Χαριτίν
6 Θωμᾶ
7 Σεργίου
8 Πελαγί
9 Ἰακώβο
στόλου.

Ὁ Ἱ

10 Εὐλαμπ
τύρων.
11 Τῶν Ἁ
λίππου Ἀ
πτὰ Διακ
12 Πρόβου
κου Μαρ
ητοῦ τῶν
13 Κάρπου
τύρων.
14 Ναζαρί
σίου καὶ
15 Λουκια
16 Λογγίν
17 Ὡσηέ
†18 Λουκᾶ
γία.
19 Ἰωὴλ
Μάρτυρο

20 Ἀρτεμίου Μεγαλομάρτυρος καὶ Γερασίμου τοῦ νέου Ἀσκητοῦ.
21 Ἱλαρίου Μεγαλομάρτυρος.
22. Ἀβερκίου τοῦ Θαυματουργοῦ.
23 Ἰακώβου Ἀποστόλου τοῦ Ἀδελφοθέου.
24 Ἀρέθα Μάρτυρος καὶ τῶν σὺν αὐτῷ.
15 Μαρκιανοῦ, καὶ Μαρτυρίου Μαρτύρων.
†26 Δημητρίου Μεγαλομάρτυρος τοῦ Μυροβλίτου. Ἀργία.
27 Νέστορος Μάρτυρος.
28 Τερεντίου, καὶ Νεονίλλης Μαρτύρων.
29 Ἀναστασίας Ὁσιομάρτυρος καὶ Ἀβραμίου τοῦ Ὁσίου.
30 Ζηνοβίου καὶ Ζηνοβίας Μαρτ.
31 Στάχυος, καὶ τῶν λοιπῶν Ἀποστόλων.

ΝΟΕΜΒΡΙΟΣ 30.

1 Κοσμᾶ καὶ Δαμιανοῦ τῶν Ἀναργύρων.
2 Ἀκινδύνου Μάρτυρος.
3 Ἀκεψιμᾶ Μάρτυρος.
4 Ἰωαννικίου Ὁσίου τοῦ Μεγάλ.
5 Γαλακτίωνος καὶ Ἐπιστήμης Μαρτύρων.
6 Παύλου ἐπισκ. Κωνσταντ. τοῦ Ὁμολογητοῦ.
7 Τῶν ἐν Μελιτινῇ 33 Μαρτύρ. καὶ Λαζάρου τοῦ Ὁσίου.
†8 Ἡ Σύναξις τοῦ Ἀρχιστρατήγου Μιχαὴλ, καὶ τῶν λοιπῶν Ἀσωμάτων Δυνάμεων. Ἀργία.
9 Ὀνησιφόρου καὶ Πορφυρίου Μαρτύρων.

Ὁ Ἥλιος εἰς τοξότην.

10 Ἐράστου, καὶ Ὀλυμπᾶ τῶν Ἀποστόλων.
11 Μηνᾶ, Βίκτωρος, καὶ Βικεντίου Μαρτύρων.
12 Ἰωάννου Ἀλεξανδρείας τοῦ Ἐλεήμονος.
†13 Ἰωάννου τοῦ Χρυσοστόμου. Ἀργία.
†14 Φιλίππου τοῦ Ἀποστόλου. Ἀργία καὶ ἰχθύος κατάλυσις.
15 Γουρία Μάρτυρος.

Ἀπὸ ταύτης τῆς ἡμέρας ἄρχεται ἡ Νηστεία τῶν Χριστουγέννων.

16 Ματθαίου τοῦ Εὐαγγελιστοῦ.
17 Γρηγορίου Νεοκαισαρίας.
18 Πλάτωνος, καὶ Ῥωμανοῦ Μαρτύρων.
19 Βαρλαὰμ Μάρτυρος, καὶ Ἀβδιοῦ τοῦ Προφήτου.
20 Πρόκλου Κωνσταντ. καὶ Γρηγορίου Δεκαπολίτου καὶ Προεόρτια τῶν Εἰσοδίων.
†21 Τὰ Εἰσόδια τῆς Θεοτόκου Ἀργία καὶ ἰχθύος κατάλυσις.
22 Φιλήμονος τοῦ Ἀποστόλου.
23 Γρηγορίου Ἐπισκόπου Ἀκραγαντίνων.
24 Κλήμεντος Πάπα Ῥώμης.
†25 Αἰκατερίνης Μεγαλομάρτυρος καὶ Μερκουρίου Μάρτυρος. Ἀργία.
26 Ἀλυπίου τοῦ Κιονίτου.
27 Ἰακώβου Μάρτυρ. τοῦ Πέρσου.
28 Στεφάνου Ὁσίου τοῦ νέου.
29 Παραμόνου, καὶ Φιλομένου τῶν Μαρτύρων.
30 Ἀνδρέου τοῦ Ἀποστ. Ἀργία.

ΔΕΚΕΜΒΡΙΟΣ 31.

1 Ναοὺμ τοῦ Προφήτου.
2 Ἀββακοὺμ τοῦ Προφήτου.
3 Σοφονίου τοῦ Προφήτου.
4 Βαρβάρας Μεγαλομ. καὶ Ἰωάννου τοῦ Δαμασκηνοῦ.
†5 Σάββα τοῦ Ἡγιασμένου. Ἀργία.
†6 Νικολάου Ἐπισκόπου Μύρων τοῦ Θαυματουργοῦ. Ἀργία.
7 Ἀμβροσίου Ἐπισκόπου Μεδιολάνων
8 Παταπίου τοῦ Ὁσίου.
†9 Ἡ Σύλληψις τῆς ἁγίας Ἄννης. Ἀργία.

Ὁ Ἥλιος εἰς Αἰγόκερων.

Ἀρχὴ τοῦ χειμερινοῦ Ἡλιοστασίου.

10 Μηνᾶ, Ἑρμογένους, καὶ Εὐγράφου Μαρτύρων.
11 Δανιὴλ τοῦ Στυλίτου.
†12 Σπυρίδωνος τοῦ Θαυματουργοῦ. Ἀργία.
13 Εὐστρατίου καὶ Λουκίας Μαρτύρων.
14 Θύρσου Μάρτυρος.
15 Ἐλευθερίου Ἱερομάρτυρος.

ΠΑΝΘΕΚΤΗ

ΕΚΚΛΗΣΙΑΣΤΙΚΗ.

ΑΡΧΗ

ΤΗΣ

ΕΝΝΑΤΗΣ ΩΡΑΣ.

Εἰ μέν ἐστιν ἱερεὺς λέγει: Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Εἰ δὲ λαϊκὸς: Διὰ τὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.

Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι.

Βασιλεῦ οὐράνιε, παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ ὢν καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν, καὶ ζωῆς χορηγός, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν, καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος, καὶ σῶσον, ἀγαθὲ, τὰς ψυχὰς ἡμῶν.

Ἅγιος ὁ Θεὸς, ἅγιος Ἰσχυρὸς, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς. Τρίς.

Δόξα Πατρὶ καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριὰς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου. Κύριε ἐλέησον. Κύριε ἐλέησον, Κύριε ἐλέησον.

Δόξα καὶ νῦν

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμὸν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. Ἀμήν.

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Κύριε ἐλέησον ιβ'. Δόξα καὶ νῦν

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ Βασιλεῖ ἡμῶν Θεῷ

Δεῦτε προσκυνήσωμεν, καὶ προσπέσωμεν, Χριστῷ, τῷ Βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε προσκυνήσωμεν, καὶ προσπέσωμεν, αὐτῷ Χριστῷ τῷ Βασιλεῖ καὶ Θεῷ ἡμῶν.

ΨΑΛΜΟΣ πγ'. 83.

Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου, Κύριε τῶν Δυνάμεων· ἐπιποθεῖ, καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ Κυρίου. Ἡ καρδία μου καὶ ἡ σάρξ μου ἠγαλλιάσαντο ἐπὶ Θεὸν ζῶντα. Καὶ γὰρ στρουθίον εὗρεν ἑαυτῷ οἰκίαν, καὶ τρυγὼν νοσσιὰν ἑαυτῇ, οὗ θήσει τὰ νοσσία ἑαυτῆς. Τὰ θυσιαστήριά σου, Κύριε τῶν Δυνάμεων, ὁ Βασιλεύς μου καὶ ὁ Θεός μου. Μακάριοι οἱ κατοικοῦντες ἐν τῷ οἴκῳ σου, εἰς τοὺς αἰῶνας τῶν αἰώνων αἰνέσουσί σε. Μακάριος ἀνὴρ, ᾧ ἐστιν ἀντίληψις αὐτῷ παρὰ σοὶ, ἀναβάσεις ἐν τῇ καρδίᾳ αὐτοῦ διέθετο, εἰς τὴν κοιλάδα τοῦ κλαυθμῶνος, εἰς τὸν τόπον, ὃν ἔθετο. Καὶ γὰρ εὐλογίας δώσει ὁ νομοθετῶν· πορεύσονται ἐκ δυνάμεως εἰς δύναμιν, ὀφθήσεται ὁ Θεὸς τῶν Θεῶν ἐν Σιών. Κύριε, ὁ Θεὸς τῶν Δυνάμεων, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι ὁ Θεὸς Ἰακώβ. Ὑπερασπιστὰ ἡμῶν, ἴδε, ὁ Θεὸς, καὶ ἐπίβλεψον εἰς τὸ πρόσωπον τοῦ χριστοῦ σου. Ὅτι κρείσσων ἡμέρα μία ἐν ταῖς αὐλαῖς σου ὑπὲρ χιλιάδας. Ἐξελεξάμην παραῤῥιπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ Θεοῦ μου μᾶλλον, ἢ οἰκεῖν με ἐν σκηνώμασιν ἁμαρτωλῶν. Ὅτι ἔλεος καὶ ἀλήθειαν ἀγαπᾷ Κύριος, ὁ Θεὸς, χάριν καὶ δόξαν δώσει. Κύριος οὐ στερήσει τὰ ἀγαθὰ τοῖς πορευομένοις ἐν ἀκακίᾳ. Κύριε, ὁ Θεὸς τῶν Δυνάμεων, μακάριος ἄνθρωπος ὁ ἐλπίζων ἐπὶ σέ.

ΨΑΛΜΟΣ πδ'. 84.

Εὐδόκησας, Κύριε, τὴν γῆν σου, ἀπέστρεψας τὴν αἰχμαλωσίαν Ἰακώβ. Ἄφῆκας τὰς ἀνομίας τῷ λαῷ σου, ἐκάλυψας πάσας τὰς ἁμαρτίας αὐτῶν. Κατέπαυσας πᾶσαν τὴν ὀργήν σου, ἀπέστρεψας ἀπὸ ὀργῆς θυμοῦ σου. Ἐπίστρεψον ἡμᾶς, ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν, καὶ ἀπόστρεψον τὸν θυμόν σου ἀφ' ἡμῶν. Μὴ εἰς τοὺς αἰῶνας ὀργισθῇς ἡμῖν; ἢ διατενεῖς τὴν ὀργήν σου ἀπὸ γενεᾶς εἰς γενεάν; Ὁ Θεὸς, σὺ ἐπιστρέψας ζωώσεις ἡμᾶς, καὶ ὁ λαός σου εὐφρανθήσεται ἐπὶ σοί. Δεῖξον ἡμῖν, Κύριε, τὸ ἔλεός σου, καὶ τὸ σωτήριόν σου δῴης ἡμῖν. Ἀκούσομαι τί λαλήσει ἐν ἐμοὶ Κύριος ὁ Θεός· ὅτι λαλήσει εἰρήνην ἐπὶ τὸν λαὸν αὐτοῦ, καὶ ἐπὶ τοὺς ὁσίους αὐτοῦ, καὶ ἐπὶ τοὺς ἐπιστρέφοντας καρδίαν ἐπ' αὐτόν. Πλὴν ἐγγὺς τῶν φοβουμένων αὐτὸν τὸ σωτήριον αὐτοῦ, τοῦ κατασκηνῶσαι δόξαν ἐν τῇ γῇ ἡμῶν. Ἔλεος καὶ ἀλήθεια συνήντησαν,

τησαν, δικαιοσύνη καὶ εἰρήνη κατεφίλησαν. Ἀλήθεια ἐκ τῆς γῆς ἀνέτειλε, καὶ δικαιοσύνη ἐκ τοῦ Οὐρανοῦ διέκυψε. Καὶ γὰρ ὁ Κύριος δώσει χρηστότητα, καὶ ἡ γῆ ἡμῶν δώσει τὸν καρπὸν αὐτῆς. Δικαιοσύνη ἐνώπιον αὐτοῦ προπορεύσεται, καὶ θήσει εἰς ὁδὸν τὰ διαβήματα αὐτοῦ.

ΨΑΛΜΟΣ πέ. 85.

Κλῖνον, Κύριε, τὸ οὖς σου, καὶ ἐπάκουσόν μου, ὅτι πτωχὸς καὶ πένης εἰμὶ ἐγώ. Φύλαξον τὴν ψυχήν μου, ὅτι ὅσιός εἰμι· σῶσον τὸν δοῦλόν σου, ὁ Θεός μου, τὸν ἐλπίζοντα ἐπὶ σέ. Ἐλέησόν με, Κύριε, ὅτι πρός σε κεκράξομαι ὅλην τὴν ἡμέραν. εὔφρανον τὴν ψυχὴν τοῦ δούλου σου, ὅτι πρὸς σέ ἦρα τὴν ψυχήν μου· ὅτι σύ, Κύριε, χρηστὸς, καὶ ἐπιεικὴς, καὶ πολυέλεος, πᾶσι τοῖς ἐπικαλουμένοις σε. Ἐνώτισαι, Κύριε, τὴν προσευχήν μου, καὶ πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου. Ἐν ἡμέρᾳ θλίψεώς μου ἐκέκραξα πρὸς σέ, ὅτι ἐπήκουσάς μου. Οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς, Κύριε, καὶ οὐκ ἔστι κατὰ τὰ ἔργα σου. Πάντα τὰ ἔθνη, ὅσα ἐποίησας, ἥξουσι, καὶ προσκυνήσουσιν ἐνώπιόν σου, Κύριε, καὶ δοξάσουσι τὸ ὄνομά σου. Ὅτι μέγας εἶ σὺ, καὶ ποιῶν θαυμάσια, σὺ εἶ Θεὸς μόνος. Ὁδήγησόν με, Κύριε, ἐν τῇ ὁδῷ σου, καὶ πορεύσομαι ἐν τῇ ἀληθείᾳ σου· εὐφρανθήτω ἡ καρδία μου τοῦ φοβεῖσθαι τὸ ὄνομά σου. Ἐξομολογήσομαί σοι, Κύριε ὁ Θεός μου, ἐν ὅλῃ καρδίᾳ μου, καὶ δοξάσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα. Ὅτι τὸ ἔλεός σου μέγα ἐπ' ἐμὲ, καὶ ἐρρύσω τὴν ψυχήν μου ἐξ Ἅδου κατωτάτου. Ὁ Θεός, παράνομοι ἐπανέστησαν ἐπ' ἐμὲ, καὶ συναγωγὴ κραταιῶν ἐζήτησαν τὴν ψυχήν μου, καὶ οὐ προέθεντό σε ἐνώπιον αὐτῶν. Καὶ σὺ, Κύριε ὁ Θεός μου, οἰκτίρμων καὶ ἐλεήμων, μακρόθυμος, καὶ πολυέλεος, καὶ ἀληθινός. Ἐπίβλεψον ἐπ' ἐμὲ, καὶ ἐλέησόν με· δὸς τὸ κράτος σου τῷ παιδί σου, καὶ σῶσον τὸν υἱὸν τῆς παιδίσκης σου. Ποίησον μετ' ἐμοῦ σημεῖον εἰς ἀγαθὸν, καὶ ἰδέτωσαν οἱ μισοῦντές με καὶ αἰσχυνθήτωσαν· ὅτι σὺ, Κύριε, ἐβοήθησάς μοι, καὶ παρεκάλεσάς με. (*Πάλιν*) Ποίησον μετ' ἐμοῦ σημεῖον εἰς ἀγαθὸν κ.τ.λ.

Δόξα, καὶ νῦν. Ἀλληλούϊα· ἐκ γ'. Κύριε ἐλέησον, γ'· Καὶ εἰ μέν ἐστι Θεὸς Κύριος, ἔψαλτο, λέγομεν τὸ τῆς ἡμέρας Τροπάριον· εἰ δὲ· Ἀλληλούϊα, τὸ παρὸν, εἰς ἦχον πλ· δ'.

Ὁ Ἐν τῇ ἐννάτῃ ὥρᾳ δι' ἡμᾶς σαρκὶ τοῦ θανάτου γευσάμενος, νέκρωσον τῆς σαρκὸς ἡμῶν τὸ φρόνημα, Χριστὲ ὁ Θεός, καὶ σῶσον ἡμᾶς. Τρίς.

Στίχος ά. Ἐγγισάτω ἡ δέησίς μου ἐνώπιόν σου, Κύριε, κατὰ τὸ λόγιόν σου συνέτισόν με.

Στίχος, β'. Εἰσέλθοι τὸ ἀξίωμά μου ἐνώπιόν σου, Κύριε, κατὰ τὸ λόγιόν σου ῥῦσαί με.

Δόξα. καὶ νῦν. Θεοτοκίον.

Ὁ δι' ἡμᾶς γεννηθεὶς ἐκ Παρθένου, καὶ σταυρωθεὶς ὑπομείνας ἀγαθὲ· ὁ θανάτῳ τὸν θάνατον σκυ-

λεύ-

λεύσας, καὶ ἔγερσιν δείξας ὡς Θεὸς, μὴ παρίδῃς οὓς ἔπλασας τῇ χειρί σου· δεῖξον τὴν φιλανθρωπίαν σου ἐλεήμων, δέξαι τὴν τεκοῦσάν σε Θεοτόκον, πρεσβεύουσαν ὑπὲρ ἡμῶν, καὶ σῶσον, Σωτὴρ ἡμῶν, λαὸν ἀπεγνωσμένον.

Μὴ δὴ παραδῷῃς ἡμᾶς εἰς τέλος, διὰ τὸ ὄνομά σου τὸ ἅγιον, καὶ μὴ διασκεδάσῃς τὴν διαθήκην σου, καὶ μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν, διὰ Ἀβραὰμ τὸν ἠγαπημένον ὑπὸ σοῦ, καὶ διὰ Ἰσαὰκ τὸν δοῦλόν σου, καὶ Ἰσραὴλ τὸν ἅγιόν σου.

Τρισάγιον. Παναγία Τριάς.
Πάτερ ἡμῶν. Ὅτι σοῦ.

Καὶ εἰ μέν ἐστιν Ἑορτὴ, λέγομεν τὸ Κοντάκιον αὐτῆς, εἰδ' οὔ, ταῦτα.

Βλέπων ὁ Λῃστὴς τὸν ἀρχηγὸν τῆς ζωῆς ἐπὶ Σταυροῦ κρεμάμενον, ἔλεγεν: Εἰ μὴ Θεὸς ὑπῆρχε σαρκωθείς, ὁ σὺν ἡμῖν σταυρωθείς, οὐκ ἂν ὁ Ἥλιος τὰς ἀκτῖνας ἐναπέκρυψεν, οὐδὲ ἡ γῆ σειομένη ἐκιμαίνετο· ἀλλ' ὁ πάντων ἀνεχόμενος. *Μνήσθητί μου, Κύριε, ἐν τῇ Βασιλείᾳ σου.* Δόξα

Ἐν μέσῳ δύω λῃστῶν ζυγὸς δικαιοσύνης εὑρέθη ὁ Σταυρός σου· τοῦ μὲν, καταγομένου εἰς Ἅδην τῷ βάρει τῆς βλασφημίας, τοῦ δὲ, κουφιζομένου πταισμάτων πρὸς γνῶσιν θεολογίας. Χριστὲ ὁ Θεὸς δόξα σοι, Καὶ νῦν.

Τὸν Ἀμνὸν καὶ Ποιμένα, καὶ Σωτῆρα τοῦ κόσμου, ἐν τῷ Σταυρῷ θεωρῦρσα ἡ τεκοῦσα, ἔλεγε δακρύουσα: Ὁ μὲν κόσμος ἀγάλλεται, δεχόμενος τὴν λύτρωσιν· τὰ δὲ σπλάγχνα μου φλέγονται, ὁρώσης σου τὴν Σταύρωσιν, ἣν ὑπὲρ πάντων ὑπομένεις, ὁ Υἱὸς καὶ Θεός μου.

Κύριε ἐλέησον, μ'.

Ὁ ἐν παντὶ καιρῷ καὶ πάσῃ ὥρᾳ, ἐν οὐρανῷ καὶ ἐπὶ γῆς προσκυνούμενος καὶ δοξαζόμενος, Χριστὸς ὁ Θεὸς, ὁ μακρόθυμος, ὁ πολυέλεος, ὁ πολυεύσπλαγχνος, ὁ τοὺς δικαίους ἀγαπῶν, καὶ τοὺς ἁμαρτωλοὺς ἐλεῶν· ὁ πάντας καλῶν πρὸς σωτηρίαν διὰ τῆς ἐπαγγελίας τῶν μελλόντων ἀγαθῶν. Αὐτὸς, Κύριε, πρόσδεξαι καὶ ἡμῶν ἐν τῇ ὥρᾳ ταύτῃ τὰς ἐντεύξεις, καὶ ἵθυνον τὴν ζωὴν ἡμῶν πρὸς τὰς ἐντολάς σου. Τὰς ψυχὰς ἡμῶν ἁγίασον, τὰ σώματα ἁγνισον, τοὺς λογισμοὺς διόρθωσον, τὰς ἐννοίας κάθαρον, καὶ ῥῦσαι ἡμᾶς ἀπὸ πάσης θλίψεως, κακῶν, καὶ ὀδύνης. Τείχισον ἡμᾶς ἁγίοις σου Ἀγγέλοις· ἵνα τῇ παρεμβολῇ αὐτῶν φρουρούμενοι καὶ ὁδηγούμενοι, καταντήσωμεν εἰς τὴν ἑνότητα τῆς πίστεως, καὶ εἰς τὴν ἐπίγνωσιν τῆς ἀπροσίτου σου δόξης. Ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων Ἀμήν.

Τὸ, Κύριε ἐλέησον γ'. Δόξα καὶ νῦν. Τὴν τιμιωτέραν τῶν Χερουβίμ.

Ἐν ὀνόματι Κυρίου εὐλόγησον Πάτερ. Ὁ Ἱερεύς.

Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς, καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐλεήσαι ἡμᾶς.

Καὶ εἰ μέν ἐστιν, Ἀλληλούϊα ποιοῦμεν

οῦμεν μετανοίας γ'. μεγάλας. λέγοντες μυστικῶς ἐνἑκάστῃ μετανοίᾳ, ἀνὰ στίχον τῆς ἑπομένης Εὐχῆς τοῦ Ἁγίου Ἐφραίμ.

Κύριε καὶ Δέσποτα τῆς ζωῆς μου, πνεῦμα ἀργίας, περιεργίας, φιλαρχίας καὶ ἀργολογίας μὴ μοι δῷς.

Μετάνοια πρώτη.

Πνεῦμα δὲ σωφροσύνης, ταπεινοφροσύνης, ὑπομονῆς, καὶ ἀγάπης χάρισαί μοι τῷ σῷ δούλῳ.

Μετάνοια δευτέρα.

Ναί, Κύριε Βασιλεῦ, δώρησαί μοι τοῦ ὁρᾶν τὰ ἐμὰ πταίσματα, καὶμὴ κατακρίνειν τὸν ἀδελφόν μου. Ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μετάνοια τρίτη.

Λέγε δὲ τὴν εὐχὴν ταύτην ἐκ γ'. ποιῶν μετανοίας μεγάλας μὲν γ'. μικρὰς δὲ ιβ'. λέγων καθ' ἑκάστην τὸ, ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. Καὶ πάλιν ὕστερον τὴν Εὐχὴν, καὶ μετάνοιαν Μεγάλην μίαν.

Εἶτα λέγομεν τὴν Εὐχὴν ταύτην τοῦ Μεγάλου Βασιλείου.

Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ μακροθυμήσας ἐπὶ τοῖς ἡμῶν πλημμελήμασι, καὶ ἄχρι τῆς παρούσης ὥρας ἀγαγὼν ἡμᾶς, ἐν ᾗ ἐπὶ τοῦ ζωοποιοῦ ξύλου κρεμάμενος, τῷ εὐγνώμονι Ληστῇ, τὴν εἰς τὸν παράδεισον ὡδοποίησας εἴσοδον, καὶ θανάτῳ τὸν θάνατον ὤλεσας, ἱλάσθητι ἡμῖν τοῖς ἁμαρτωλοῖς, καὶ ἀναξίοις δούλοις σου. Ἡμάρτομεν γὰρ καὶ ἠνομήσαμεν, καὶ οὐκ ἐσμέν ἄξιοι ἆραι τὰ ὄμματα ἡμῶν, καὶ βλέψαι εἰς τὸ ὕψος τοῦ οὐρανοῦ· διότι κατελίπομεν τὴν ὁδὸν τῆς δικαιοσύνης σου, καὶ ἐπορεύθημεν ἐν τοῖς θελήμασι τῶν καρδιῶν ἡμῶν. Ἀλλ' ἱκετεύομεν τὴν σὴν ἀνείκαστον ἀγαθότητα: Φεῖσαι ἡμῶν, Κύριε, κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου, καὶ σῶσον ἡμᾶς διὰ τὸ ὄνομά σου τὸ ἅγιον, ὅτι ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι ἡμῶν. Ἐξελοῦ ἡμᾶς τῆς τοῦ ἀντικειμένου χειρὸς, καὶ ἄφες ἡμῖν τὰ ἁμαρτήματα, καὶ νέκρωσον τὸ σαρκικὸν ἡμῶν φρόνημα, ἵνα τὸν παλαιὸν ἀποθέμενοι ἄνθρωπον, τὸν νέον ἐνδυσώμεθα, καὶ σοὶ ζήσωμεν τῷ ἡμετέρῳ Δεσπότῃ, καὶ κηδεμόνι· καὶ οὕτω τοῖς σοῖς ἀκολουθοῦντες προστάγμασιν, εἰς τὴν αἰώνιον ἀνάπαυσιν καταντήσωμεν, ἔνθα πάντων ἐστὶ τῶν εὐφραινομένων ἡ κατοικία. Σὺ γὰρ εἶ ἡ ὄντως ἀληθινὴ εὐφροσύνη, καὶ ἀγαλλίασις τῶν ἀγαπώντων σε, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ Ἀπόλυσις

Δόξα σοι Χριστὲ ὁ Θεὸς ἡμῶν δόξα σοι.

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ μητρὸς καὶ πάντων τῶν ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Ἀρχὴ

ΑΡΧΗ ΤΟΥ ΕΣΠΕΡΙΝΟΥ.

Ποιεῖ ὁ Ἱερεὺς Εὐλογητόν· καὶ ἄρχεται ὁ ταχθεὶς Προεστὼς, ἀναγινώσκειν τὸν Προοιμιακὸν Ψαλμὸν, λέγων οὕτω.

Δεῦτε προσκυνήσωμεν καὶ προσσωμεν τῷ Βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε προσκυνήσωμεν, καὶ προσπέσωμεν Χριστῷ τῷ Βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε προσκυνήσωμεν, καὶ προσπέσωμεν αὐτῷ Χριστῷ τῷ Βασιλεῖ καὶ Θεῷ ἡμῶν.

ΨΑΛΜΟΣ, ργ΄. 103.

Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον, Κύριε ὁ Θεός μου ἐμεγαλύνθης σφόδρα. Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω, ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον. Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέρριν· ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ. Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων. Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα. Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν. Ἀναβαίνουσιν ὄρη, καὶ καταβαίνουσι πεδία εἰς τὸν τόπον, ὃν ἐθεμελίωσας αὐτά. Ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν. Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀναμέσον τῶν ὀρέων διελεύσονται ὕδατα. Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν. Ἐπ' αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει, ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν. Ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων αὐτοῦ· ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ. Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων. Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς, καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου. Τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ, καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει. Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου, ἃς ἐφύτευσας. Ἐκεῖ στρουθία ἐννοσσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν. Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγωοῖς. Ἐποίησε Σελήνην εἰς καιρούς· ὁ Ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ. Ἔθου σκότος καὶ ἐγένετο νύξ, ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ. Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπάσαι καὶ ζητῆσαι παρὰ τοῦ Θεοῦ βρῶσιν αὐτοῖς. Ἀνέτειλεν ὁ Ἥλιος καὶ συνήχθησαν, καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται. Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας! ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου. Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος, ἐκεῖ ἑρπετὰ, ὧν οὐκ

οὐκ ἔστιν ἀριθμός, ζῶα μικρὰ μετὰ μεγάλων. Ἐκεῖ πλοῖα διαπορεύονται, δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῇ. Πάντα πρὸς σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον· δόντος σου αὐτοῖς, συλλέξουσιν. Ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος· ἀποστρέψαντος δέ σου τὸ πρόσωπον, ταραχθήσονται. Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν. Ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς. Ἔστω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας· εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ. Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν, ὁ ἁπτόμενος τῶν ὀρέων, καὶ κπνίζονται. Ἄσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ. Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς, καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς. Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον· Καὶ πάλιν.

Ὁ Ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ, ἔθου σκότος, καὶ ἐγένετο νύξ.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας.

Δόξα, καὶ νῦν, ἀλληλούια, γ.

Ὁ Διάκονος μεγάλῃ τῇ φωνῇ.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ ἐκκλησιῶν καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου Οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν (δεῖνος) τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν εὐσεβεστάτων βασιλέων ἡμῶν, παντὸς τοῦ παλατίου καὶ τοῦ στρατοῦ αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ συμπολεμῆσαι καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν πάντα ἐχθρὸν καὶ πολέμιον, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρτῆς ἁγίας ἐκκλησίας ταύτης, πάσης πόλεως χώρας, καὶτῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς, καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν

Ὑπὲρ, πλεόντων, ὁδοιπορούντων, νοσούντων καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλάβου, σῶσον, ἐλέησαν καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι· τῆς Παναγίας ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας· μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες ἑαυτοὺς καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα

Ὁ Λαός. Σοί Κύριε.

Ὁ Ἱερεύς: Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλ-

ΨΑΛΤΗΡΙΟΝ ΤΟΥ ΔΑΒΙΔ.

ΚΑΘΙΣΜΑ ΠΡΩΤΟΝ.

Τῷ Σαββάτῳ ἑσπέρας.

ΨΑΛΜΟΣ, ά. τοῦ Δαβίδ.

Μακάριος ἀνὴρ, ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν, καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη, καὶ ἐπὶ καθέδρᾳ λοιμῶν οὐκ ἐκάθισεν· ἀλλ' ἢ ἐν τῷ νόμῳ Κυρίου τὸ θέλημα αὐτοῦ, καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός. Καὶ ἔσται ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων, ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ, καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀποῤῥυήσεται, καὶ πάντα, ὅσα ἂν ποιῇ, κατευοδοθήσεται. Οὐχ οὕτως οἱ ἀσεβεῖς, οὐχ οὕτως, ἀλλ' ἢ ὡσεὶ χνοῦς, ὃν ἐκρίπτει ὁ ἄνεμος ἀπὸ προσώπου τῆς γῆς. Διὰ τοῦτο οὐκ ἀναστήσονται ἀσεβεῖς ἐν κρίσει, οὐδὲ ἁμαρτωλοὶ ἐν βουλῇ δικαίων· ὅτι γινώσκει Κύριος ὁδὸν δικαίων, καὶ ὁδὸς ἀσεβῶν ἀπολεῖται.

ΨΑΛΜΟΣ, β'.

Ινα τί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά; Παρέστησαν οἱ βασιλεῖς της γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ. Διαῤῥήξωμεν τοὺς δεσμοὺς αὐτῶν, καὶ ἀποῤῥίψωμεν ἀφ' ἡμῶν τὸν ζυγὸν αὐτῶν. Ὁ κατοικῶν ἐν

ὅτι σὺ ἐπάταξας πάντας τοὺς ἐχθραίνοντάς μοι ματαίως· ὀδόντας ἁμαρτωλῶν συνέτριψας. Τοῦ Κυρίου ἡ σωτηρία, καὶ ἐπὶ τὸν λαόν σου ἡ εὐλογία σου.

Δόξα καὶ νῦν, ἀλληλούϊα. (α) γ΄.

ΨΑΛΜΟΣ δ΄.

Ἐν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσάς μου ὁ Θεὸς τῆς δικαιοσύνης μου· ἐν θλίψει ἐπλάτυνάς με. Οἰκτείρισόν με, καὶ εἰσάκουσον τῆς προσευχῆς μου. Υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι; ἵνα τί ἀγαπᾶτε ματαιότητα καὶ ζητεῖτε ψεῦδος; Καὶ γνῶτε, ὅτι ἐθαυμάστωσε Κύριος τὸν ὅσιον αὐτοῦ. Κύριος εἰσακούσεταί μου ἐν τῷ κεκραγέναί με πρός αὐτόν. Ὀργίζεσθε καὶ μὴ ἁμαρτάνετε· ἃ λέγετε ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγετε. Θύσατε θυσίαν δικαιοσύνης, καὶ ἐλπίσατε ἐπὶ Κύριον. Πολλοί λέγουσι: Τίς δείξει ἡμῖν τὰ ἀγαθά; Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε, ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν μου, ἀπὸ καρποῦ σίτου, οἴνου καὶ ἐλαίου αὐτῶν ἐπληθύνθησαν. Ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι καὶ ὑπνώσω· ὅτι σύ, Κύριε, κατὰ μόνας ἐπ' ἐλπίδι κατῴκισάς με.

ΨΑΛΜΟΣ ε.

Τὰ ῥήματά μου ἐνώτισαι, Κύριε, σύνες τῇ κραυγῇ μου, πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου, ὁ Βασιλεύς μου, καὶ ὁ Θεός μου· ὅτι πρὸς σὲ προσεύξομαι, Κύριε· τὸ πρωὶ εἰσακούσῃ τῆς φωνῆς μου· τὸ πρωὶ παραστήσομαί σοι, καὶ ἐπόψει με· ὅτι οὐχὶ Θεὸς θέλων ἀνομίαν σὺ εἶ. Οὐ παροικήσει σοι πονηρευόμενος, οὐδὲ διαμενοῦσι παράνομοι κατέναντι τῶν ὀφθαλμῶν σου. Ἐμίσησας πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν, ἀπολεῖς πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος. Ἄνδρα αἱμάτων καὶ δόλιον βδελύσσεται Κύριος· ἐγὼ δὲ ἐν τῷ πλήθει τοῦ ἐλέους σου εἰσελεύσομαι εἰς τὸν οἶκόν σου, προσκυνήσω πρὸς ναὸν ἅγιόν σου ἐν φόβῳ σου. Κύριε ὁδήγησόν με ἐν τῇ δικαιοσύνῃ σου, ἕνεκα τῶν ἐχθρῶν μου κατεύθυνον ἐνώπιόν σου τὴν ὁδόν μου. Ὅτι οὐκ ἔστιν ἐν τῷ στόματι αὐτῶν ἀλήθεια, ἡ καρδία αὐτῶν ματαία. Τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν, ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν. Κρῖνον αὐτούς ὁ Θεός. Ἀποπεσάτωσαν ἀπὸ τῶν διαβουλίων αὐτῶν, κατὰ τὸ πλῆθος τῶν ἀσεβειῶν αὐτῶν ἔξωσον αὐτούς· ὅτι παρεπίκρανάν σε, Κύριε. Καὶ εὐφρανθείησαν πάντες οἱ ἐλπίζοντες ἐπὶ σέ· εἰς αἰῶνα ἀγαλλιάσονται, καὶ κατασκηνώσεις ἐν αὐτοῖς· καὶ καυχήσονται ἐν σοὶ οἱ ἀγαπῶντες τὸ ὄνομά σου. Ὅτι σὺ εὐλογήσεις δίκαιον, Κύριε, ὡς ὅπλῳ εὐδοκίας ἐστεφάνωσας ἡμᾶς.

ΨΑΛΜΟΣ ς΄.

Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς

(α) Ἐὰν ᾖναι Κυριακὴ, λέγομεν ὅλον τὸ κάθισμα, εἰ δὲ ἑορτὴ, λέγομεν μόνον τοὺς τρεῖς ψαλμούς, εἰ δὲ καθημερινὴ, λέγομεν τὸ κάθισμα τῆς ἡμέρας εἰς τὸ Ψαλτήριον.

σης με. Ἐλέησόν με, κύριε, ὅτι ἀσθενής εἰμι· ἴασαί με, κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου, καὶ ἡ ψυχή μου ἐταράχθη σφόδρα· καὶ σύ, Κύριε, ἕως πότε; Ἐπίστρεψον, Κύριε, ῥῦσαι τὴν ψυχήν μου, σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου. Ὅτι οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου, ἐν δὲ τῷ Ἅδῃ τίς ἐξομολογήσεταί σοι; Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου· λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω. Ἐταράχθη ἀπὸ θυμοῦ ὁ ὀφθαλμός μου· ἐπαλαιώθην ἐν πᾶσι τοῖς ἐχθροῖς μου. Ἀπόστητε ἀπ' ἐμοῦ πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, ὅτι εἰσήκουσε Κύριος τῆς φωνῆς τοῦ κλαυθμοῦ μου. Ἤκουσε Κύριος τῆς δεήσεώς μου, Κύριος τὴν προσευχήν μου προσεδέξατο. Αἰσχυνθείησαν καὶ ταραχθείησαν πάντες οἱ ἐχθροί μου· ἀποστραφείησαν καὶ καταισχυνθείησαν σφόδρα διὰ τάχους.

Δόξα, καὶ νῦν, Ἀλληλούϊα. γ'.

ΨΑΛΜΟΣ ζ'.

Κύριε ὁ Θεός μου, ἐπὶ σοὶ ἤλπισα· σῶσόν με ἐκ πάντων τῶν διωκόντων με, καὶ ῥῦσαί με. Μήποτε ἁρπάσῃ ὡς λέων τὴν ψυχήν μου, μὴ ὄντος λυτρουμένου, μηδὲ σώζοντος. Κύριε ὁ Θεός μου, εἰ ἐποίησα τοῦτο· εἰ ἔστιν ἀδικία ἐν χερσί μου, εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακά, ἀποπέσοιμι ἄρα ἀπὸ τῶν ἐχθρῶν μου κενός. Καταδιώξει ἄρα ὁ ἐχθρὸς τὴν ψυχήν μου, καὶ καταλάβοι καὶ καταπατήσαι εἰς γῆν τὴν ζωήν μου, καὶ τὴν δόξαν μου εἰς χοῦν κατασκηνώσαι. Ἀνάστηθι, Κύριε ἐν ὀργῇ σου, ὑψώθητι ἐν τοῖς πέρασι τῶν ἐχθρῶν μου, καὶ ἐξεγέρθητι Κύριε ὁ Θεός μου ἐν προστάγματι, ᾧ ἐνετείλω, καὶ συναγωγὴ λαῶν κυκλώσει σε· καὶ ὑπὲρ ταύτης εἰς ὕψος ἐπίστρεψον· Κύριος κρινεῖ λαούς· κρῖνόν με Κύριε κατὰ τὴν δικαιοσύνην μου, καὶ κατὰ τὴν ἀκακίαν μου ἐπ' ἐμοί. Συντελεσθήτω δὴ πονηρία ἁμαρτωλῶν, καὶ κατευθυνεῖς δίκαιον, ἐταζῶν καρδίας καὶ νεφροὺς ὁ Θεὸς δικαίως. Ἡ βοήθειά μου παρὰ τοῦ Θεοῦ, τοῦ σώζοντος τοὺς εὐθεῖς τῇ καρδίᾳ. Ὁ Θεὸς κριτὴς δίκαιος, καὶ ἰσχυρὸς καὶ μακρόθυμος, καὶ μὴ ὀργὴν ἐπάγων καθ' ἑκάστην ἡμέραν. Ἐὰν μὴ ἐπιστραφῆτε τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει· τὸ τόξον αὐτοῦ ἐνέτεινε καὶ ἡτοίμασεν αὐτό. Καὶ ἐν αὐτῷ ἡτοίμασε σκεύη θανάτου· τὰ βέλη αὐτοῦ τοῖς καιομένοις ἐξειργάσατο. Ἰδοὺ ὠδίνησεν ἀδικίαν, συνέλαβε πόνον, καὶ ἔτεκεν ἀνομίαν. Λάκκον ὤρυξε καὶ ἀνέσκαψεν αὐτόν, καὶ ἐμπεσεῖται εἰς βόθρον, ὃν εἰργάσατο. Ἐπιστρέψει ὁ πόνος αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ, καὶ ἐπὶ κορυφὴν αὐτοῦ ἡ ἀδικία αὐτοῦ καταβήσεται. Ἐξομολογήσομαι τῷ Κυρίῳ κατὰ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ψαλῶ τῷ ὀνόματι Κυρίου τοῦ ὑψίστου.

ΨΑΛΜΟΣ ἡ.

Κύριε ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ· ὅτι ἐπήρθη ἡ μεγαλοπρέπειά σου ὑπεράνω τῶν οὐρανῶν. Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρ-

τηρτίσω αἶνον ἕνεκα τῶν ἐχθρῶν σου, τοῦ καταλῦσαι ἐχθρὸν καὶ ἐκδικητήν. Ὅτι ὄψομαι τοὺς οὐρανούς, ἔργα τῶν δακτύλων σου, Σελήνην καὶ ἀστέρας, ἃ σὺ ἐθεμελίωσας! Τί ἐστιν ἄνθρωπος ὅτι μιμνήσκῃ αὐτοῦ, ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν; Ἠλάττωσας αὐτὸν βραχύτι παρ' ἀγγέλους· δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτὸν, καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου. Πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ προβατα καὶ βόας ἁπάσας, ἔτι δὲ καὶ τὰ κτήνη τοῦ πεδίου, τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ τοὺς ἰχθύας τῆς θαλάσσης, τὰ διαπορευόμενα τρίβους θαλασσῶν. Κύριε ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ. Δόξα καὶ νῦν, Ἀλληλούϊα γ'.

Μετὰ τοὺς ψαλμοὺς λέγει ὁ διάκονος Ἔτι καὶ ἔτι, ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν. Ἀντιλαβοῦ, σῶσον. ἐλέησον καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

Τῆς Παναγίας ἀχράντου, ὑπερευλογημένης ἐνδόξου, δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα. Ὁ Ἱερεύς.

Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστὶν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· Ἀμήν.

ΨΑΛΜΟΣ ρμ'.

Κύριε, ἐκέκραξα πρὸς σὲ, εἰσάκουσόν μου, εἰσάκουσόν μου, Κύριε. Κύριε, ἐκέκραξα πρὸς σὲ, εἰσάκουσόν μου· πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου, ἐν τῷ κεκραγέναι με πρὸς σὲ, εἰσάκουσόν μου, Κύριε.

Κατευθυνθήτω ἡ προσευχή μου, ὡς θυμίαμα ἐνώπιόν σου· ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή, εἰσάκουσόν μου, Κύριε.

Θοῦ, Κύριε, φυλακὴν τῷ στόματί μου, καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου.

Μὴ ἐκκλίνῃς τὴν καρδίαν μου εἰς λόγους πονηρίας, τοῦ προφασίζεσθαι προφάσεις ἐν ἁμαρτίαις.

Σὺν ἀνθρώποις ἐργαζομένοις τὴν ἀνομίαν, καὶ οὐ μὴ συνδυάσω μετὰ τῶν ἐκλεκτῶν αὐτῶν.

Παιδεύσει με δίκαιος ἐν ἐλέει, καὶ ἐλέγξει με, ἔλαιον δὲ ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν μου.

Ὅτι ἔτι καὶ ἡ προσευχή μου ἐν ταῖς εὐδοκίαις αὐτῶν, κατεπόθησαν ἐχόμενα πέτρας οἱ κριταὶ αὐτῶν.

Ἀκούσονται τὰ ῥήματά μου ὅτι ἠδύνθησαν· ὡσεὶ πάχος γῆς ἐρράγη ἐπὶ τῆς γῆς, διεσκορπίσθη τὰ ὀστᾶ αὐτῶν παρὰ τὸν Ἅδην.

Ὅτι πρὸς σὲ Κύριε, Κύριε οἱ ὀφθαλμοί μου, ἐπὶ σοὶ ἤλπισα, μὴ ἀντανέλῃς τὴν ψυχήν μου.

Φύλαξόν με ἀπὸ παγίδος, ἧς συνεστήσαντό μοι, καὶ ἀπὸ σκανδάλων τῶν ἐργαζομένων τὴν ἀνομίαν.

Πεσοῦνται ἐν ἀμφιβλήστρῳ αὐτῶν οἱ ἁμαρτωλοὶ, κατὰ μόνας εἰμὶ ἐγὼ, ἕως ἂν παρέλθω.

ΨΑΛΜΟΣ ρμά.

Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα·

κραξα, φωνῇ μου πρὸς κύριον ἐδεήθην.

Ἐκχεῶ ἐνώπιον αὐτοῦ τὴν δέησίν μου, τὴν θλῖψιν μου ἐνώπιον αὐτοῦ ἀπαγγελῶ.

Ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὸ πνεῦμά μου, καὶ σὺ ἔγνως τὰς τρίβους μου.

Ἐν ὁδῷ ταύτῃ, ᾗ ἐπορευόμην, ἔκρυψαν παγίδα μοι.

Κατενόουν εἰς τὰ δεξιὰ καὶ ἐπέβλεπον, καὶ οὐκ ἦν ὁ ἐπιγινώσκων με.

Ἀπώλετο φυγὴ ἀπ' ἐμοῦ, καὶ οὐκ ἔστιν ὁ ἐκζητῶν τὴν ψυχήν μου.

Ἐκέκραξα πρός σε, Κύριε, εἶπα: Σὺ εἶ ἡ ἐλπίς μου μερίς μου εἶ ἐν γῇ ζώντων.

Πρόσχες πρὸς τὴν δέησίν μου, ὅτι ἐταπεινώθην σφόδρα.

Ῥῦσαί με ἐκ τῶν καταδιωκόντων με, ὅτι ἐκραταιώθησαν ὑπὲρ ἐμέ.

Εἰς στίχους 10.

Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου, τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου.

Ἐμὲ ὑπομενοῦσι δίκαιοι, ἕως οὗ ἀνταποδῷς μοι.

Εἰς στίχους 8.

Ἐκ βαθέων ἐκέκραξά σοι, Κύριε, Κύριε εἰσάκουσον τῆς φωνῆς μου.

Γενηθήτω τὰ ὦτά σου προσέχοντα εἰς τὴν φωνὴν τῆς δεήσεώς μου.

Εἰς στίχους 6'.

Ἐὰν ἀνομίας παρατηρήσῃς Κύριε, Κύριε, τίς ὑποστήσεται; ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστιν.

Ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε Κύριε· ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου, ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν Κύριον.

Εἰς στίχους 4.

Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτός, ἀπὸ φυλακῆς πρωΐας ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον.

Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος, καὶ πολλὴ παρ' αὐτῷ λύτρωσις· καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ.

Αἰνεῖτε τὸν Κύριον πάντα τὰ ἔθνη, ἐπαινέσατε αὐτὸν, πάντες οἱ λαοί·

Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἡ ἀλήθεια τοῦ Κυρίου μένει εἰς τὸν αἰῶνα.

Δόξα καὶ νῦν, τῆς ἑορτῆς, ἢ τῆς ἡμέρας· εἶτα, εἰσόδου γενομένης, ὁ ἱερεὺς λέγει μυστικῶς τὴν εὐχὴν ταύτην (α).

Ἑσπέρας καὶ πρωΐ καὶ μεσημβρίας, κινοῦμεν, εὐλογοῦμεν, εὐχαριστοῦμεν, καὶ δεόμεθά σου Δέσποτα τῶν ἁπάντων. κατεύθυνον τὴν προσευχὴν ἡμῶν ὡς θυμίαμα ἐνώπιόν σου, καὶ μὴ ἐκκλίνῃς τὰς καρδίας ἡμῶν εἰς λόγους, ἢ εἰς λογισμοὺς πονηροὺς, ἀλλὰ ῥῦσαι ἡμᾶς ἐκ πάντων τῶν θηρευόντων τὰς ψυχὰς ἡμῶν, ὅτι πρὸς σὲ Κύριε, Κύριε, οἱ ὀφθαλμοὶ ἡμῶν, καὶ ἐπὶ σὲ ἠλπίσαμεν, μὴ καταισχύνῃς ἡμᾶς ὁ Θεὸς ἡμῶν ὅτι

(α) Καὶ εἰμέν ἐστι κυριακὴ, ψάλλομεν 7 τροπάρια τῆς Κυριακῆς καὶ τρία τοῦ μηναίου· εἰ δὲ καθημερινὴ, ψάλλομεν μόνον τρία τοῦ ἤχου τῆς παρακλητικῆς τῆς ἡμέρας, καὶ τρία τοῦ τυχόντος Ἁγίου, δόξα καὶ νῦν τῆς ἡμέρας, εἰδὲ, λέγομεν δόξα τοῦ Ἁγίου καὶ νῦν τῆς ἡμέρας.

πρό-

πρέπει σοὶ πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Καὶ μετὰ τὴν εἴσοδον λέγει: Σοφία ὀρθοί

Εἶτα τὸ Ποίημα Σωφρονίου Πατριάρχου Ἱεροσολύμων.

Φῶς ἱλαρὸν, ἁγίας δόξης, ἀθανάτου Πατρὸς, Οὐρανίου, Ἁγίου, Μάκαρος, Ἰησοῦ Χριστὲ, ἐλθόντες ἐπὶ τὴν Ἡλίου δύσιν, ἰδόντες φῶς ἑσπερινόν, ὑμνοῦμεν Πατέρα, Υἱὸν, καὶ Ἅγιον Πνεῦμα, Θεόν. Ἄξιόν σε ἐν πᾶσι καιροῖς ὑμνεῖσθαι φωναῖς αἰσίαις, Υἱὲ Θεοῦ, ζωὴν ὁ διδούς· διὸ ὁ Κόσμος σὲ δοξάζει.

Χρὴ εἰδέναι, ὅτι ἐὰν τύχῃ μία τῶν Τεσσαρακοστῶν, καὶ ἔστιν, ἀλληλούια· ἀντὶ τῶν προκειμένων τῆς Ἑβδομάδος ψάλλωμεν ταῦτα.

Τῇ β΄. Ἑσπέρας. Ἀλληλούϊα, ἐκ γ΄ εἰς ἦχον, πλ. β΄.

Στίχ. Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, Ἀλληλούϊα.

Τῇ Τρίτῃ, καὶ Πέμπτῃ. Ἀλληλούϊα. γ΄.

Στίχ. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν.

Τῇ Τετάρτῃ ἑσπέρας Ἀλληλούϊα. γ΄.

Στίχ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν.

Τῇ Παρασκευῇ. Ἀλληλούϊα

Στίχ. Ὁ Θεὸς ἀντιλήπτωρ μου εἶ, τὸ ἔλεός σου προφθάσει με.

Εἰ δέ ἐστι Θεὸς, Κύριος, ψάλλονται τὰ Προκείμενα ταῦτα.

Τῇ Κυριακῇ Ἑσπέρας, ἦχος πλ. δ΄.

Ἰδοὺ δὴ εὐλογεῖτε τὸν Κύριον πάντες οἱ δοῦλοι Κυρίου.

Στίχ. Οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν γ΄.

Τῇ Δευτέρᾳ ἑσπέρας. ἦχος, δ΄.

Κύριος εἰσακούσεταί μου, ἐν τῷ κεκραγέναι με πρὸς αὐτόν. γ΄.

Τῇ Τρίτῃ Ἑσπέρας, ἦχος ά.

Τὸ ἔλεός σου Κύριε, καταδιώξαι με, πάσας τὰς ἡμέρας τῆς ζωῆς μου. γ΄.

Τῇ Τετάρτῃ ἑσπέρας. Ἦχος πλ. ά.

Ὁ Θεὸς ἐν τῷ ὀνόματί σου σῶσόν με, καὶ ἐν τῇ δυνάμει σου κρινεῖς με.

Τῇ Πέμπτῃ ἑσπέρας, ἦχος πλ. β΄.

Ἡ βοήθειά μου παρὰ Κυρίου, τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν.

Τῇ Παρασκευῇ ἑσπέρ. ἦχος βαρύς.

Ὁ Θεὸς ἀντιλήπτωρ μου εἶ, τὸ ἔλεός σου προφθάσει με.

Τῷ Σαββάτῳ ἑσπέρας. ἦχος πλ. δ΄.

Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο.

Στίχ. Ἐνεδύσατο ὁ Κύριος δύναμιν, καὶ περιεζώσατο.

Στίχ. Καὶ γὰρ ἐστερέωσε τὴν Οἰκουμένην, ἥτις οὐ σαλευθήσεται.

Μετὰ δὲ τὸ προκείμενον τοῦ Σαββάτου λέγει ὁ διάκονος, εἰ ἔστιν.

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς, καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.

Κύριε Παντοκράτωρ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον, καὶ ἐλέησον.— Ἐλέησον ἡμᾶς ὁ Θεὸς

Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος) τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων καὶ ἀειμνήστων κτητόρων τῆς ἁγίας ἐκκλησίας ταύτης, καὶ ὑπὲρ πάντων, τῶν προαναπαυσαμένων πατέρων, καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς κειμένων, καὶ ἀπανταχοῦ ὀρθοδόξων.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν.

Ἔτι δεόμεθα ὑπὲρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιόντων ψαλλόντων, καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τὸ παρὰ σοῦ μέγα καὶ πλούσιον ἔλεος.

Ὁ ἱερεύς: Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ χορός.

Καταξίωσον, Κύριε, ἐν τῇ ἑσπέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς, εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν, καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν. Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ. Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισόν με τὰ δικαιώ-

Ὁ Ἱερεύς.

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Ἱερεύς

Εἰρήνη πᾶσι.

Ὁ Διάκονος:

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν:

Καὶ ὁ ἱερεὺς λέγει μυστικῶς τὴν Εὐχὴν ταύτην:

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ κλίνας οὐρανοὺς καὶ καταβὰς ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, ἔπιδε ἐπὶ τοὺς δούλους σου, καὶ ἐπὶ τὴν κληρονομίαν σου. Σοὶ γὰρ τῷ φοβερῷ καὶ φιλανθρώπῳ Κριτῇ, οἱ σοὶ δοῦλοι ὑπέκλιναν τὰς κεφαλὰς, τοὺς δὲ αὐτῶν ὑπέταξαν αὐχένας· οὐ τὴν ἐξ ἀνθρώπων ἀναμένοντες βοήθειαν, ἀλλὰ τὸ σὸν περιμένοντες ἔλεος, καὶ τὴν σὴν ἀπεκδεχόμενοι σωτηρίαν· οὓς διαφύλαξον ἐν παντὶ καιρῷ καὶ κατὰ τὴν παροῦσαν ἐσπέραν, καὶ τὴν προσιοῦσαν νύκτα, ἀπὸ παντὸς ἐχθροῦ, ἀπὸ πάσης ἀντικειμένης ἐνεργείας διαβολικῆς, καὶ διαλογισμῶν ματαίων, καὶ ἐνθυμήσεων πονηρῶν.

Εἶτα λέγει ἐκφώνως:

Εἴη τὸ κράτος τῆς Βασιλείας σου εὐλογημένον, καὶ δεδοξασμένον, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων Ἀμήν.

Καὶ εὐθὺς ψάλλονται τὰ ἀποστιχα τῆς ὀκτωήχου· εἰ ἔστι Σάββατον· μετὰ τῶν ἓξ στίχων.

Ὁ Κύριος ἐβασίλευσεν εὐπρέπειαν ἐνεδύσατο.

Στίχος ά.

Ἐνεδύσατο ὁ Κύριος δύναμιν κτλ.

Στίχος ϛ.

Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται.

Εἰ δὲ ἑορτὴ, τὰ τοῦ Ἁγίου μὲ τοὺς προσήκοντας στίχους· εἰ δὲ καθημερινὴ, τὰ τοῦ τυχόντος ἤχου μὲ τοὺς ἓξ στίχους.

Στίχος ά.

Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου, τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ. Ἰδοὺ, ὡς ὀφθαλμοὶ δούλων εἰς χεῖρας τῶν κυρίων αὐτῶν, ὡς ὀφθαλμοὶ παιδίσκης εἰς χεῖρας τῆς κυρίας αὐτῆς, οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς Κύριον τὸν Θεὸν ἡμῶν, ἕως οὗ οἰκτειρήσαι ἡμᾶς.

Στίχος β'.

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, ὅτι ἐπὶ πολὺ ἐπλήσθημεν ἐξουδενώσεως, ἐπὶ πλεῖον ἐπλήσθη ἡ ψυχὴ ἡμῶν, τὸ ὄνειδος τοῖς εὐθυνοῦσι, καὶ ἡ ἐξουδένωσις τοῖς ὑπερηφάνοις.

Δόξα, καὶ νῦν τὸ Θεοτοκίον τῆς Παρακλητικῆς, ἢ Δόξα τῆς ἑορτῆς, καὶ νῦν τὸ Θεοτόκιον. Εἶτα.

Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ· ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν· φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

Τρι-

Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν. Τὸ Τροπάριον τῆς τυχούσης Ἑορτῆς, ἢ τῆς ἡμέρας. Δόξα, καὶ νῦν. Θεοτοκίον.

Εἶτα ὁ Ἱερεύς: Σοφία. Ὁ λαός: Εὐλόγησον Δέσποτα. Ὁ Ἱερεύς: Ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ λαός: Στερεώσαι, Κύριος ὁ Θεὸς τὴν ἁγίαν καὶ ὀρθόδοξον πίστιν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν, σὺν τῇ ἁγίᾳ αὐτοῦ Ἐκκλησίᾳ εἰς αἰῶνας αἰώνων.

Ὁ ἱερεύς.

Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ὁ λαός:

Δόξα, καὶ νῦν, τὴν Τιμιωτέραν τῶν Χερουβὶμ κτλ.

Ἐν ὀνόματι Κυρίου, εὐλόγησον Πάτερ.

Ὁ Ἱερεύς:

Ὁ ἀναστὰς ἐκ νεκρῶν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν· πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ. προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων Ἀσωμάτων· τοῦ τιμίου ἐνδόξου προφήτου Προδρόμου, καὶ Βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τῶν ἁγίων καὶ Καλλινίκων Μαρτύρων· τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν· τῶν ἁγίων καὶ δικαίων θεοπατόρων, Ἰωακεὶμ καὶ Ἄννης, καὶ πάντων σου τῶν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς, καὶ φιλάνθρωπος καὶ ἐλεήμων Θεός. Εἰ δὲ ἐστὶ Τεσσαρακοστὴ, λέγομεν τὰ Τροπάρια ταῦτα εἰς ἦχον, δ'. ποιοῦντες ἀνὰ μίαν μετάνοιαν εἰς ἕκαστον αὐτῶν, πλὴν τοῦ τελευταίου.

Θεοτόκε Παρθένε, Χαῖρε κεχαριτωμένη, Μαρία ὁ Κύριος μετὰ σοῦ, εὐλογημένη σὺ ἐν γυναιξὶ, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου, ὅτι Σωτῆρα ἔτεκες τῶν ψυχῶν ἡμῶν.

Βαπτιστὰ τοῦ Χριστοῦ, πάντων ἡμῶν μνήσθητι, ἵνα ῥυσθῶμεν τῶν ἀνομιῶν ἡμῶν· σοὶ γὰρ ἐδόθη χάρις πρεσβεύειν ὑπὲρ ἡμῶν.

Δόξα

Ἱκετεύσατε ὑπὲρ ἡμῶν, Ἅγιοι Ἀπόστολοι, καὶ Ἅγιοι πάντες, ἵνα ῥυσθῶμεν κινδύνων καὶ θλίψεων· ὑμᾶς γὰρ θερμοὺς προστάτας πρὸς τὸν Σωτῆρα κεκτήμεθα.

Καὶ νῦν.

Ὑπὸ τὴν σὴν εὐσπλαγχνίαν καταφεύγομεν, Θεοτόκε, τὰς ἡμῶν ἱκεσίας μὴ παρίδῃς ἐν περιστάσει· ἀλλ' ἐκ κινδύνων λύτρωσαι ἡμᾶς, μόνη ἁγνὴ, μόνη εὐλογημένη.

Κύριε ἐλέησον, μ'. Δόξα καὶ νῦν Τὴν τιμιωτέραν τῶν Χερουβίμ. Καὶ ὁ ἱερεὺς: Ὁ ὢν εὐλογητὸς, Χριστὸς ὁ Θεὸς ἡμῶν.

Καὶ ἡμεῖς στερεοῦμεν τοὺς Βασιλεῖς, λέγοντες:

Ἐπουράνιε Βασιλεῦ, τοὺς πιστοὺς Βασιλεῖς ἡμῶν στερέωσον, τὴν

τὴν πίστιν στήριξον, τὰ ἔθνη πράϋνον, τὸν κόσμον εἰρήνευσον, τὴν Ἁγίαν ἐκκλησία ταύτην καλῶς διαφύλαξον, τοὺς προαπελθόντας πατέρας, καὶ ἀδελφοὺς ἡμῶν ἐν σκηναῖς δικαίων τάξον· καὶ ἡμᾶς ἐν μετανοίᾳ καὶ ἐξομολογήσει παράλαβε, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Καὶ εὐθὺς τὰς 15 μετανοίας· εἶτα, τὸ Τρισάγιον κτλ. Κύριε ἐλέησον ιϐ'. Δόξα καὶ νῦν. Κύριε ἐλέησον Τρίς. Δέσποτα Ἅγιε Εὐλόγησον.

Ὁ Ἱερεύς.

Ὁ ὢν εὐλογητὸς, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ μητρὸς καὶ πάντων τῶν ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, καὶ ἐλεήμων Θεός.

Δι' εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε, Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.

ΜΙΚΡΟΝ ΑΠΟΔΕΙΠΝΟΝ

Ὁ Ἱερεύς.

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, Ἅγιε δόξα σοι.

Βασιλεῦ οὐράνιε, παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρὼν, καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν, καὶ ζωῆς χορηγὸς, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν, καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος, καὶ σῶσον, ἀγαθὲ, τὰς ψυχὰς ἡμῶν.

Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστι. Κύριε ἐλέησον, ιϐ'. Δόξα καὶ νῦν.

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ Βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε προσκυνήσωμεν, καὶ προσπέσωμεν, Χριστῷ, τῷ Βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε προσκυνήσωμεν, καὶ προσπέσωμεν αὐτῷ Χριστῷ τῷ Βασιλεῖ καὶ Θεῷ ἡμῶν.

Εἶτα τοὺς ἐφ' ἑξῆς Ψαλμούς.

ΨΑΛΜΟΣ ν. 50

Ἐλέησόν με, ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου. Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διὰ παντός. Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίη-

ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελλήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσησέ με ἡ μήτηρ μου. Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι· Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι, πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου, Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ. Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι. Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου. Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. Ἀγάθυνον Κύριε ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα· τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

ΨΑΛΜΟΣ. ξθ'. 69.

Ὁ Θεὸς εἰς τὴν βοήθειάν μου πρόσχες· Κύριε, εἰς τὸ βοηθῆσαί μοι σπεῦσον. Αἰσχυνθήτωσαν καὶ ἐντραπήτωσαν οἱ ζητοῦντες τὴν ψυχήν μου. Ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω, καὶ κατεσχυνθήτωσαν οἱ βουλόμενοί μοι κακά. Ἀποστραφήτωσαν παραυτίκα αἰσχυνόμενοι οἱ λέγοντές μοι: Εὖγε, εὖγε, Ἀγαλλιάσθωσαν, καὶ εὐφρανθήτωσαν ἐπὶ σοί, πάντες οἱ ζητοῦντές σε, ὁ Θεός. Καὶ λεγέτωσαν διὰ παντός: Μεγαλυνθήτω ὁ Κύριος, οἱ ἀγαπῶντες τὸ σωτήριόν σου. Ἐγὼ δὲ πτωχὸς εἰμὶ καὶ πένης· ὁ Θεὸς βοήθησόν μοι. Βοηθός μου καὶ ῥύστης μου εἶ σὺ, Κύριε· μὴ χρονίσῃς.

ΨΑΛΜΟΣ, ρμβ'. 142.

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου. Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου. Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος, καὶ ἠκηδίσεν ἐπ'

ἐμὲ

μὲ τὸ πνεῦμα μου· ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων· ἐμελέτησα ἐν πᾶσι τοις ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου· ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι. Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλειπε τὸ πνεῦμά μου. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Ἄκουστόν ποιησόν μοι τὸ πρωὶ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα. Γνώρισόν μοι Κύριε ὁδὸν, ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου. Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ, ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με. Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου, καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου. Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σου εἰμί.

Εἶτα τὴν Δοξολογίαν.

Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκία. Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμεν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι διὰ τὴν μεγάλην σου δόξαν. Κύριε Βασιλεῦ, ἐπουράνιε Θεὲ, Πάτερ Παντοκράτωρ, Κύριε Υἱὲ μονογενὲς Ἰησοῦ Χριστὲ, καὶ Ἅγιον Πνεῦμα. Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρὸς, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ Κόσμου· ἐλέησον ἡμᾶς ὁ αἴρων τὰς ἁμαρτίας τοῦ Κόσμου. Πρόσδεξαι τὴν δέησιν ἡμῶν ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρὸς, καὶ ἐλέησον ἡμᾶς. Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστὸς, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν. Καθ' ἑκάστην ἑσπέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα· Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι. Κύριε πρὸ σὲ κατέφυγον, δίδαξόν με, τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου. Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς. Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε. Καταξίωσον, Κύριε, ἐν τῇ νυκτὶ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς. Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν, καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν. Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ. Εὐλογητὸς εἶ, Κύριε. δίδαξόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου. Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα· τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς. Σοὶ πρέπει αἶνος, Σοὶ πρέπει ὕμνος. Σοὶ δόξα πρέπει τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν,

καὶ

καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶθ' οὕτω λέγομεν τό,

Ἄξιόν ἐστιν ὡς ἀληθῶς. Τὴν τιμιωτέραν τῶν Χερουβίμ. Εἶτα τό, πιστεύω εἰς ἕνα Θεόν. Ζήτει εἰς Φ. 27. Τὸ Τρισάγιον· Δόξα, καὶ νῦν. Παναγία Τριάς· τὸ, Πάτερ ἡμῶν· Ὅτι σοῦ ἐστιν. Τροπάριον τοῦ κατὰ τὴν ἡμέραν Ἁγίου, ἢ τὰ παρόντα. Ἦχος, δ'.

Ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, ὁ ποιῶν ἀεὶ μεθ' ἡμῶν κατὰ τὴν σὴν ἐπιείκειαν, μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν· ἀλλὰ ταῖς αὐτῶν ἱκεσίαις, ἐν εἰρήνῃ κυβέρνησον τὴν ζωὴν ἡμῶν.

Τῶν ἐν ὅλῳ τῷ Κόσμῳ Μαρτύρων σου, ὡς πορφύραν καὶ βύσσον τὰ αἵματα, ἡ Ἐκκλησία σου στολισαμένη, δι' αὐτῶν βοᾷ σοι Χριστὲ ὁ Θεός, τῷ λαῷ σου τοὺς οἰκτιρμούς σου κατάπεμψον, εἰρήνην τῇ πολιτείᾳ σου δώρησαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Δόξα Πατρὶ

Μετὰ τῶν Ἁγίων ἀνάπαυσον Χριστὲ, τὰς ψυχὰς τῶν δούλων σου, ἔνθα οὐκ ἔστι πόνος, οὐ λύπη, οὐ στεναγμὸς, ἀλλὰ ζωὴ ἀτελεύτητος.

Καὶ νῦν.

Τῇ πρεσβείᾳ, Κύριε, πάντων τῶν Ἁγίων, καὶ τῆς Θεοτόκου, τὴν σὴν εἰρήνην δὸς ἡμῖν, καὶ ἐλέησον ἡμᾶς, ὡς μόνος οἰκτίρμων. Τό, Κύριε ἐλέησον, μ'. Εἶτα τὴν Εὐχήν, τὸ, ὁ ἐν παντὶ καιρῷ, ὅρα φύλ. 1. Τό, Κύριε ἐλέησον γ'.

Δόξα καὶ νῦν.

Τὴν τιμιωτέραν, Ἐν ὀνόμα Κυρίου εὐλόγησον, Πάτερ. Δι' εὐχ τῶν Ἁγίων Πατέρων ἡμῶν. κτ

Εὐχὴ ἱκέσιος εἰς τὴν Ὑπεραγίαν Θεοτόκον, Παύλου Μοναχοῦ, Μονῆς τῆς Εὐεργέτιδος.

Καὶ σῶσον ἡμᾶς, παναγία Παρθένε.

Ἀσπιλε, ἀμόλυντε, ἄφθορε, χραντε, Ἁγνὴ Παρθένε, Θεόνυ φε Δέσποινα. Ἡ Θεὸν Λόγον τ ἀνθρώποις, τῇ παραδόξῳ σου κυ σει ἑνώσασα, καὶ τὴν ἀπωσθεῖσ φύσιν τοῦ γένους ἡμῶν, τοῖς Ο ρανίοις συνάψασα. Ἡ τῶν ἀπη πισμένων μόνη ἐλπὶς, καὶ τ πολεμουμένων βοήθεια. Ἡ ἐτ μὴ ἀντίληψις τῶν εἰς σὲ προ τρεχόντων, καὶ πάντων τῶν Χ στιανῶν τὸ καταφύγιον. Μὴ βδ λύξῃ με τὸν ἁμαρτωλὸν, τὸν ἐναν τὸν αἰσχροῖς λογισμοῖς, καὶ λόγο καὶ πράξεσιν, ὅλον ἐμαυτὸν ἀχρει σαντα καὶ τῇ τῶν ἡδονῶν τ βίου ῥαθυμίᾳ, γνώμῃ δοῦλον γ νόμενον. Ἀλλ' ὡς τοῦ φιλανθρ που Θεοῦ Μήτηρ, φιλανθρώπ σπλαγχνίσθητι ἐπ' ἐμοὶ τῷ ἁμ τωλῷ, καὶ ἀσώτῳ καὶ δέξαι μου τ ἐκ ῥυπαρῶν χειλέων προσφερο νην σοι δέησιν. Καὶ τὸν σὸν Υἱ καὶ ἡμῶν Δεσπότην καὶ Κύριον, μητρικῇ σου παῤῥησίᾳ χρωμ δυσώπησον, ἵνα ἀνοίξῃ κἀμοὶ φιλάνθρωπα σπλάγχνα τῆς αὐ ἀγαθότητος. Καὶ παιδῶν μου ἀναρίθμητα πταίσματα, ἐπιστρέ

Δημοσία Κεντρική Βιβλιοθήκη Βέροιας

με πρὸς μετάνοιαν, καὶ τῶν αὐτοῦ ἐντολῶν ἐργάτην ὁκιμον ἀνα δείξῃ με. Καὶ πάρεσό μοι ἀεὶ ὡς ἐλεήμων, καὶ συμπαθὴς καὶ φιλάγαθος. Ἐν μὲν τῷ παρόντι βίῳ, θερμὴ προστάτις καὶ βοηθὸς, τὰς τῶν ἐναντίων ἐφόδους ἀποτειχίζουσα, καὶ πρὸς σωτηρίαν καθοδηγοῦσά με. Καὶ ἐν τῷ καιρῷ τῆς ἐξόδου μου, τὴν ἀθλίαν μου ψυχὴν περιέπουσα, καὶ τὰς σκοτεινὰς ὄψεις τῶν πονηρῶν Δαιμόνων, πόρρω αὐτῆς ἀπελαύνουσα. Ἐν δὲ τῇ φοβερᾷ ἡμέρᾳ τῆς κρίσεως, τῆς αἰωνίου με ῥυομένη κολάσεως, καὶ τῆς ἀπορρήτου δόξης τοῦ σοῦ Υἱοῦ, καὶ Θεοῦ ἡμῶν κληρονόμον με ἀποδεικνύουσα. Ἧς καὶ τύχοιμι, Δέσποινά μου, Ὑπεραγία Θεοτόκε, διὰ τῆς σῆς μεσιτείας καὶ ἀντιλήψεως, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. ὯΙ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ αὐτοῦ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ ἑτέρα ἐπικοίτιος εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, Ἀντιόχου Μοναχοῦ καὶ Πανδέκτου.

Καὶ δὸς ἡμῖν Δέσποτα, πρὸς ὕπνον ἀπιοῦσιν, ἀνάπαυσιν σώματος καὶ ψυχῆς· καὶ διαφύλαξον ἡμᾶς ἀπὸ τοῦ ζοφεροῦ ὕπνου τῆς ἁμαρτίας, καὶ ἀπὸ πάσης σκοτεινῆς καὶ νυκτερινῆς ἡδυπαθείας. Παῦσον τὰς ὁρμὰς τῶν παθῶν, σβέσον τὰ πεπυρωμένα βέλη τοῦ πονηροῦ, τὰ καθ' ἡμῶν δολίως κινούμενα· τὰς τῆς σαρκὸς ἡμῶν ἐπαναστάσεις κατάστειλον, καὶ πᾶν γεῶδες, καὶ ὑλικὸν ἡμῶν φρόνημα, κοίμισον. Καὶ δώρησαι ἡμῖν ὁ Θεὸς γρήγορον νοῦν, σώφρονα λογισμὸν, καρδίαν νήφουσαν, ὕπνον ἐλαφρὸν, καὶ πάσης σατανικῆς φαντασίας ἀπηλλαγμένον. Διανάστησον δὲ ἡμᾶς ἐν τῷ καιρῷ τῆς προσευχῆς, ἑστηριγμένους ἐν ταῖς ἐντολαῖς σου, καὶ τὴν μνήμην τῶν σῶν κριμάτων ἐν ἑαυτοῖς ἀπαράθραυστον ἔχοντας. Παννύχιον ἡμῖν τὴν σὴν δόξολογίαν χάρισαι, εἰς τὸ ὑμνεῖν καὶ εὐλογεῖν, καὶ δοξάζειν τὸ πάντιμον, καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὑπερένδοξε, ἀειπάρθενε, εὐλογημένη Θεοτόκε, προσάγαγε τὴν ἡμετέραν προσευχὴν τῷ Υἱῷ σου, καὶ Θεῷ ἡμῶν, καὶ αἴτησαι, ἵνα σώσῃ διὰ σοῦ τὰς ψυχὰς ἡμῶν.

Εὐχὴ ἑτέρα τοῦ Ἁγίου Ἰωαννικίου

Ἡ Ἐλπίς μου ὁ Πατὴρ, καταφυγή μου ὁ Υἱὸς, σκέπη μου τὸ Πνεῦμα τὸ Ἅγιον, Τριὰς Ἁγία, δόξα σοι.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι, Μήτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Δόξα, καὶ νῦν. Κύριε ἐλέησον, μ'. Καὶ εἰ ἐστιν Ἱερεὺς, Ἐκφωνεῖ, ἡμῶν ἐπ' ἐδάφους κεκλιμένων.

Θίσ-

Δέσποτα πολυέλεε, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεὸς ἡμῶν, πρεσβείαις τῆς Παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ Ἀειπαρθένου Μαρίας. Δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ. Προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων Ἀσωμάτων. Τοῦ τιμίου ἐνδόξου Προφήτου, Προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου. Τῶν Ἁγίων ἐνδόξων, καὶ πανευφήμων Ἀποστόλων. Τῶν Ἁγίων ἐνδόξων, καὶ καλλινίκων Μαρτύρων. Τῶν Ὁσίων καὶ Θεοφόρων Πατέρων ἡμῶν. Τῶν Ἁγίων, καὶ δικαίων Θεοπατόρων, Ἰωακεὶμ καὶ Ἄννης, καὶ πάντων σου τῶν Ἁγίων. Εὐπρόσδεκτον ποίησον τὴν δέησιν ἡμῶν. Δώρησαι ἡμῖν τὴν ἄφεσιν τῶν παραπτωμάτων ἡμῶν. Σκέπασον ἡμᾶς ἐν τῇ σκέπῃ τῶν πτερύγων σου. Ἀποδίωξον ἀφ' ἡμῶν πάντα ἐχθρὸν καὶ πολέμιον· Εἰρήνευσον ἡμῶν τὴν ζωήν. Κύριε ἐλέησον ἡμᾶς, καὶ τὸν Κόσμον σου, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Εἶθ' οὕτω ποιήσας ὁ Προεστὼς Μετάνοιαν ἐπὶ γῆς, λέγει τοῖς Ἀδελφοῖς.

Εὐλογεῖτε Πατέρες Ἅγιοι, συγχωρήσατέ μοι τῷ ἁμαρτωλῷ. Καὶ οἱ Ἀδελφοί Ὁ Θεὸς συγχωρήσαί σοι, Πάτερ Ἅγιε. Καὶ ἄρχονται οἱ Ἀδελφοὶ ἀπὸ τοῦ δεξιοῦ, καὶ ἀριστεροῦ Χοροῦ κατὰ τάξιν, ἀνὰ εἷς καὶ εἷς, ποιεῖν ὁμοίως, καὶ αἰτεῖσθαι, καὶ λαμβάνειν συγχώρησιν, μέχρις ἂν πληρωθῶσιν ἅπαντες.

Ὁ δὲ Ἱερεὺς λέγει,

Εὐξώμεθα ὑπὲρ εἰρήνης τοῦ κόσμου, ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν. Καὶ ἡμεῖς τὸ, Κύριε ἐλέησον, Συνεχῶς. Ὑπὲρ εὐοδώσεως, καὶ ἐνισχύσεως τοῦ φιλοχρίστου Στρατοῦ. Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν Ἀδελφότητος. Ὑπὲρ τῶν ἀπολειφθέντων Πατέρων καὶ Ἀδελφῶν ἡμῶν. Ὑπὲρ τῶν διακονούντων, καὶ διακονησάντων ἡμῖν. Ὑπὲρ τῶν μισούντων, καὶ ἀγαπώντων ἡμᾶς. Ὑπὲρ τῶν ἐντειλαμένων ἡμῖν τοῖς ἀναξίοις εὔχεσθαι ὑπὲρ αὐτῶν. Ὑπὲρ ἀναῤῥύσεως τῶν αἰχμαλώτων. Ὑπὲρ τῶν ἐν θαλάσσῃ καλῶς πλεόντων. Ὑπὲρ τῶν ἐν ἀσθενείᾳ κατακειμένων. Ὑπὲρ εὐφορίας τῶν καρπῶν τῆς γῆς. Καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων Πατέρων, καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε κειμένων, καὶ ἁπανταχοῦ ὀρθοδόξων. Εἴπομεν καὶ ὑπὲρ αὐτῶν, τὸ, Κύριε ἐλέησον, γ. Ὁ Προεστώς. Δι' εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν κτλ.

Καὶ λαμβάνομενοί πάντες Συγχώρησιν παρὰ τοῦ Προεστῶτος, καὶ ἀπερχόμεθα ἐν τοῖς κελλίοις ἡμῶν,

Τοῖς μισοῦσι καὶ ἀδικοῦσιν ἡμᾶς συγχώρησον, Κύριε. Τοῖς ἀγαθοποιοῦσιν ἀγαθοποίησον. Τοῖς ἀδελφοῖς, καὶ ἰδίοις ἡμῶν χάρισαι τὰ πρὸς σωτηρίαν αἰτήματα, καὶ ζωὴν τὴν αἰώνιον. Τοὺς ἐν ἀσθενείᾳ ἐπίσκεψαι, καὶ ἴασιν δώρησαι. Τοὺς ἐν θαλάσσῃ κυβέρνησον. Τοῖς ἐν ὁδοιπορίαις συνόδευσον. Τῷ Βασιλεῖ συμμάχησον. Τοῖς διακονοῦσι καὶ ἐλε-

ἐλεοῦσιν ἡμῖν, ἁμαρτιῶν ἄφεσιν δώρησαι. Τοὺς ἐντειλαμένους ἡμῖν τοῖς ἀναξίοις, εὔχεσθαι ὑπὲρ αὐτῶν, ἐλέησον κατὰ τὸ μέγα σου ἔλεος. Μνήσθητι, Κύριε, τῶν προκοιμηθέντων Πατέρων, καὶ Ἀδελφῶν ἡμῶν, καὶ ἀνάπαυσον αὐτούς, ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου. Μνήσθητι Κύριε τῶν Ἀδελφῶν ἡμῶν τῶν αἰχμαλώτων, καὶ λύτρωσαι αὐτοὺς ἀπὸ πάσης περιστάσεως. Μνήσθητι, Κύριε, τῶν καρποφορούντων ἐν ταῖς Ἁγίαις σου Ἐκκλησίαις, καὶ δὸς αὐτοῖς τὰ πρὸς σωτηρίαν αἰτήματα, καὶ ζωὴν τὴν αἰώνιον. Μνήσθητι, Κύριε, καὶ ἡμῶν τῶν ταπεινῶν, καὶ ἁμαρτωλῶν, καὶ ἀναξίων δούλων σου, καὶ φώτισον ἡμῶν τὸν νοῦν τῷ φωτὶ τῆς γνώσεώς σου, καὶ ὁδήγησον ἡμᾶς ἐν τῇ τρίβῳ τῶν ἐντολῶν σου, πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ Ἀειπαρθένου Μαρίας, καὶ πάντων σου τῶν Ἁγίων. Ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΚΑΘΗΜΕΡΙΝΟΝ

ΜΕΣΟΝΥΚΤΙΚΟΝ.

Μετὰ τὸ, Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, λέγει· Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι.

Βασιλεῦ Οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρὼν, καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν καὶ ζωῆς χορηγός, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν, καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλίδος, καὶ σῶσον ἀγαθὲ τὰς ψυχὰς ἡμῶν. Τὸ Τρισάγιον. Μετανοίας τρεῖς. Εἰ ἔστιν Ἀλληλούϊα.

Δόξα, καὶ νῦν.

Παναγία Τριάς. Πάτερ ἡμῶν. Εἰ ἔστιν Ἱερεύς· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, τὸ Κύριε ἐλέησον, ιβ'. Δόξα Πατρί. Καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας. Δεῦτε προσκυνήσωμεν, καὶ προσπέσωμεν τῷ Βασιλεῖ ἡμῶν Θεῷ. Δεῦτε προσκυνήσωμεν, καὶ προσπέσωμεν Χριστῷ τῷ Βασιλεῖ ἡμῶν Θεῷ. Δεῦτε προσκυνήσωμεν, καὶ προσπέσωμεν αὐτῷ Χριστῷ τῷ Βασιλεῖ καὶ Θεῷ ἡμῶν.

ΨΑΛΜΟΣ, ν' 50.

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου. Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διὰ παντός. Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου· Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. Ῥαντιεῖς με

ὑσ-

θσσώπῳ καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. Ἀκουτεῖς μοι ἀγαλλιάσιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί ὁ Θεός, καὶ Πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ. Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπί σὲ ἐπιστρέψουσι. Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου. Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. Ἀγάθυνον Κύριε ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα· τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Εἶτα τὸν Ἅμωμον. Ψαλμὸς, ῥιή.

Στάσις Α'

Μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ, οἱ πορευόμενοι ἐν Νόμῳ Κυρίου. Μακάριοι οἱ ἐξερευνῶντες τὰ μαρτύρια αὐτοῦ, ἐν ὅλῃ καρδίᾳ ἐκζητήσωσιν αὐτόν. Οὐ γὰρ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν ἐν ταῖς ὁδοῖς αὐτοῦ ἐπορεύθησαν. Σὺ ἐνετείλω τὰς ἐντολάς σου, τοῦ φυλάξασθαι σφόδρα. Ὄφελον κατευθυνθείησαν αἱ ὁδοί μου, τοῦ φυλάξασθαι τὰ δικαιώματά σου. Τότε οὐ μὴ αἰσχυνθῶ ἐν τῷ με ἐπιβλέπειν ἐπὶ πάσας τὰς ἐντολάς σου. Ἐξομολογήσομαί σοι ἐν εὐθύτητι καρδίας, ἐν τῷ μεμαθηκέναί με τὰ κρίματα τῆς δικαιοσύνης σου. Τὰ δικαιώματά σου φυλάξω, μή με ἐγκαταλίπῃς ἕως σφόδρα. Ἐν τίνι κατορθώσει νεώτερος τὴν ὁδὸν αὐτοῦ; ἐν τῷ φυλάξασθαι τοὺς λόγους σου. Ἐν ὅλῃ καρδίᾳ μου ἐξεζήτησά σε, μὴ ἀπώσῃ με, ἀπὸ τῶν ἐντολῶν σου. Ἐν τῇ Καρδίᾳ μου ἔκρυψα τὰ λόγιά σου, ὅπως ἂν μὴ ἁμάρτω σοι. Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με τὰ δικαιώματά σου. Ἐν τοῖς χείλεσί μου ἐξήγγειλα πάντα τὰ κρίματα τοῦ στόματός σου. Ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐτέρφθην, ὡς ἐπὶ παντὶ πλούτῳ. Ἐν ταῖς ἐντολαῖς σου ἀδολεσχήσω, καὶ κατανοήσω τὰς ὁδούς σου. Ἐν τοῖς δικαιώμασί σου μελετήσω, οὐκ ἐπιλήσομαι τῶν λόγων σου. Ἀνταπόδος τῷ δούλῳ σου· ζῆσόν με, καὶ φυλάξω τοὺς λόγους σου. Ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ Νόμου σου. Πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ, μὴ ἀποκρύψῃς ἀπ' ἐμοῦ τὰς ἐντολάς σου. Ἐπεπόθησεν ἡ ψυχή μου, τοῦ ἐπιθυμῆσαι τὰ κριματά σου ἐν παντὶ καὶ

καιρῷ. Ἐπετίμησας ὑπερηφάνοις· ἐπικατάρατοι οἱ ἐκκλίνοντες ἀπὸ τῶν ἐντολῶν σου. Περίελε ἀπ' ἐμοῦ ὄνειδος καὶ ἐξουδένωσιν, ὅτι τὰ μαρτύριά σου ἐξεζήτησα. Καὶ γὰρ ἐκάθισαν Ἄρχοντες, καὶ κατ' ἐμοῦ κατελάλουν· ὁ δὲ δοῦλός σου ἠδολέσχει ἐν τοῖς δικαιώμασί σου. Καὶ γὰρ τὰ μαρτύρια σου μελέτη μου ἐστί, καὶ αἱ συμβουλίαι μου τὰ δικαιώματά σου. Ἐκολλήθη τῷ ἐδάφει ἡ ψυχή μου, ζῆσόν με κατὰ τὸν λόγον σου. Τὰς ὁδούς μου ἐξήγγειλα, καὶ ἐπήκουσάς μου· δίδαξόν με τὰ δικαιώματά σου. Ὁδὸν δικαιωμάτων σου συνέτισόν με, καὶ ἀδολεσχήσω ἐν τοῖς θαυμασίοις σου. Ἐνύσταξεν ἡ ψυχή μου ἀπὸ ἀκηδίας, βεβαίωσόν με ἐν τοῖς λόγοις σου. Ὁδὸν ἀδικίας ἀπόστησον ἀπ' ἐμοῦ, καὶ τῷ Νόμῳ σου ἐλέησόν με. Ὁδὸν ἀληθείας ᾑρετισάμην, καὶ τὰ κρίματά σου οὐκ ἐπελαθόμην. Ἐκολλήθην τοῖς μαρτυρίοις σου, Κύριε, μή με καταισχύνῃς. Ὁδὸν ἐντολῶν σου ἔδραμον, ὅταν ἐπλάτυνας τὴν καρδίαν μου. Νομοθέτησόν με, Κύριε, τὴν ὁδὸν τῶν δικαιωμάτων σου, καὶ ἐκζητήσω αὐτὴν διαπαντός. Συνέτισόν με, καὶ ἐξερευνήσω τὸν νόμον σου, καὶ φυλάξω αὐτὸν ἐν ὅλῃ καρδίᾳ μου. Ὁδήγησόν με ἐν τῇ τρίβῳ τῶν ἐντολῶν σου, ὅτι αὐτὴν ἠθέλησα. Κλῖνον τὴν καρδίαν μου εἰς τὰ μαρτύριά σου, καὶ μὴ εἰς πλεονεξίαν. Ἀπόστρεψον τοὺς ὀφθαλμούς μου τοῦ μὴ ἰδεῖν ματαιότητα, ἐν τῇ ὁδῷ σου ζῆσόν με. Στῆσον τῷ δούλῳ σου τὸ λόγιόν σου εἰς τὸν φόβον σου. Περίελε τὸν ὀνειδισμόν μου, ὃν ὑπώπτευσα, ὅτι τὰ κρίματά σου χρηστά. Ἰδοὺ ἐπεθύμησα τὰς ἐντολάς σου, ἐν τῇ δικαιοσύνῃ σου ζῆσόν με. Καὶ ἐλθοί ἐπ' ἐμὲ τὸ ἔλεός σου, Κύριε, τὸ σωτήριόν σου κατὰ τὸν λόγον σου. Καὶ ἀποκριθήσομαι τοῖς ὀνειδίζουσί μοι λόγον, ὅτι ἤλπισα ἐπὶ τοῖς λόγοις σου. Καὶ μὴ περιέλῃς ἐκ τοῦ στόματός μου λόγον ἀληθείας ἕως σφόδρα, ὅτι ἐπὶ τοῖς κρίμασί σου ἐπήλπισα. Καὶ φυλάξω τὸν Νόμον σου διὰ παντὸς εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Καὶ ἐπορευόμην ἐν πλατυσμῷ, ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα. Καὶ ἐλάλουν ἐν τοῖς μαρτυρίοις σου ἐναντίον Βασιλέων, καὶ οὐκ ᾐσχυνόμην. Καὶ ἐμελέτων ἐν ταῖς ἐντολαῖς σου, ἃς ἠγάπησα σφόδρα. Καὶ ἦρα τὰς χεῖράς μου πρὸς τὰς ἐντολάς σου, ἃς ἠγάπησα, καὶ ἠδολέσχουν ἐν τοῖς δικαιώμασί σου. Μνήσθητι τῶν λόγων σου τῷ δούλῳ σου, ὧν ἐπήλπισάς με. Αὕτη με παρεκάλεσεν ἐν τῇ ταπεινώσει μου, ὅτι τὸ λόγιόν σου ἔζησέ με. Ὑπερήφανοι παρηνόμουν ἕως σφόδρα, ἀπὸ δὲ τοῦ νόμου σου οὐκ ἐξέκλινα. Ἐμνήσθην τῶν κριμάτων σου ἀπ' αἰῶνος, Κύριε, καὶ παρεκλήθην. Ἀθυμία κατέσχεμε ἀπὸ ἁμαρτωλῶν τῶν ἐγκαταλιμπανόντων τὸν νόμον σου. Ψαλτὰ ἦσάν μοι τὰ δικαιώματά σου ἐν τόπῳ παροικίας μου. Ἐμνήσθην ἐν νυκτὶ τοῦ ὀνόματός σου, Κύριε, καὶ ἐφύλαξα τὸν Νόμον σου. Αὕτη ἐγενήθη μοι, ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα. Μερίς μου εἶ Κύριε, εἶπα τοῦ φυλάξασθαι τὸν Νόμον σου. Ἐδεήθην

ήθην τοῦ προσώπου σου ἐν ὅλῃ καρδίᾳ μου, ἐλέησόν με κατὰ τὸ λόγιόν σου. Διελογισάμην τὰς ὁδούς σου, καὶ ἐπέστρεψα τοὺς πόδας μου εἰς τὰ μαρτύριά σου. Ἡτοιμάσθην καὶ οὐκ ἐταράχθην, τοῦ φυλάξασθαι τὰς ἐντολάς σου. Σχοινία ἁμαρτωλῶν περιεπλάκησάν μοι, καὶ τοῦ Νόμου σου οὐκ ἐπελαθόμην. Μεσονύκτιον ἐξηγειρόμην, τοῦ ἐξομολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου. Μέτοχος ἐγὼ εἰμὶ πάντων τῶν φοβουμένων σε, καὶ τῶν φυλασσόντων τὰς ἐντολάς σου. Τοῦ ἐλέους σου, Κύριε πλήρης ἡ γῆ· τὰ δικαιώματά σου δίδαξόν με. Χρηστότητα, ἐποίησας μετὰ τοῦ δούλου σου, Κύριε, κατὰ τὸν λόγον σου. Χρηστότητα καὶ παιδείαν, καὶ γνῶσιν δίδαξόν με, ὅτι ταῖς ἐντολαῖς σου ἐπίστευσα. Πρὸ τοῦ με ταπεινωθῆναι ἐγὼ ἐπλημμέλησα, διὰ τοῦτο τὸ λόγιόν σου φύλαξα. Χρηστὸς εἶ σύ, Κύριε, καὶ ἐν τῇ Χρηστότητί σου δίδαξόν με τὰ δικαιώματά σου. Ἐπληθύνθη ἐπ' ἐμὲ ἀδικία ὑπερηφάνων, ἐγὼ δὲ ἐν ὅλῃ καρδίᾳ μου ἐξερευνήσω τὰς ἐντολάς σου. Ἐτυρώθη ὡς γάλα ἡ καρδία αὐτῶν, ἐγὼ δὲ τὸν Νόμον σου ἐμελέτησα. Ἀγαθόν μοι ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου. Ἀγαθός μοι ὁ Νόμος τοῦ στόματός σου ὑπὲρ χιλιάδας χρυσίου καὶ ἀργυρίου.

Δόξα, καὶ νῦν. Ἀλληλούϊα,
ἐκ Τρίτου. Μετανοίας τρεῖς

Στάσις Β'.

Αἱ χεῖρές σου ἐποίησάν με, καὶ ἔπλασάν με, σύνετίσόν με, καὶ μαθήσομαι τὰς ἐντολάς σου. Οἱ φοβούμενοί σε ὄψονταί με, καὶ εὐφρανθήσονται, ὅτι εἰς τοὺς λόγους σου ἐπήλπισα. Ἔγνων, Κύριε, ὅτι δικαιοσύνη τὰ κρίματά σου, καὶ ἀληθείᾳ ἐταπείνωσάς με· Γενηθήτω δή τὸ ἔλεός σου, τοῦ παρακαλέσαι με, κατὰ τὸ λόγιόν σου τῷ δούλῳ σου. Ἐλθέτωσάν μοι οἱ οἰκτιρμοί σου, καὶ ζήσομαι. ὅτι ὁ Νόμος σου μελέτη μου ἐστίν. Αἰσχυνθήτωσαν ὑπερήφανοι, ὅτι ἀδίκως ἠνόμησαν εἰς ἐμέ, ἐγὼ δὲ ἀδολεσχήσω ἐν ταῖς ἐντολαῖς σου. Ἐπιστρεψάτωσάν με οἱ φοβούμενοί σε, καὶ οἱ γινώσκοντες τὰ μαρτύριά σου. Γενηθήτω ἡ καρδία μου ἄμωμος ἐν τοῖς δικαιώμασί σου, ὅπως ἂν μὴ αἰσχυνθῶ. Ἐκλείπει εἰς τὸ σωτήριόν σου ἡ ψυχή μου, εἰς τοὺς λόγους σου ἐπήλπισα. Ἐξέλιπον οἱ ὀφθαλμοί μου εἰς τὸ λόγιόν σου, λέγοντες· πότε παρακαλέσεις με; Ὅτι ἐγενήθην ὡς ἀσκὸς ἐν πάχνῃ· τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην. Πόσαι εἰσὶν αἱ ἡμέραι τοῦ δούλου σου; πότε ποιήσεις μοι ἐκ τῶν καταδιωκόντων με κρίσιν; Διηγήσαντό μοι παράνομοι ἀδολεσχίας, ἀλλ' οὐχ ὡς ὁ Νόμος σου Κύριε. Πᾶσαι αἱ ἐντολαί σου ἀλήθεια· ἀδίκως κατεδίωξάν με, βοήθησόν μοι. Παραβραχὺ συνετέλεσάν με ἐν τῇ γῇ, ἐγὼ δὲ οὐκ ἐγκατέλιπον τὰς ἐντολάς σου. Κατὰ τὸ ἔλεός σου ζῆσόν με, καὶ φυλάξω τὰ μαρτύρια τοῦ στόματός σου. Εἰς τὸν αἰῶνα, Κύριε, ὁ λόγος σου διαμένει ἐν τῷ Οὐρανῷ. Εἰς γενεὰν καὶ γενεάν ἡ ἀλή-

λήθειά σου· ἐθεμελίωσας τὴν γῆν καὶ διαμένει. Τῇ διατάξει σου διαμένει ἡμέρα, ὅτι τὰ σύμπαντα δοῦλα σά. Εἰμὴ ὅτι ὁ Νόμος σου μελέτη μου ἐστί, τότε ἂν ἀπωλόμην ἐν τῇ ταπεινώσει μου. Εἰς τὸν αἰῶνα οὐ μὴ ἐπιλάθωμαι τῶν δικαιωμάτων σου, ὅτι ἐν αὐτοῖς ἔζησάς με.

ΜΕΣΗ.

Σός εἰμι ἐγώ, σῶσόν με, ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα. Ἐμὲ ὑπέμειναν ἁμαρτωλοὶ τοῦ ἀπολέσαι με· τὰ μαρτύριά σου συνῆκα. Πάσης συντελείας εἶδον πέρας· πλατεῖα ἡ ἐντολή σου σφόδρα. Ὡς ἠγάπησα τὸν Νόμον σου, Κύριε· ὅλην τὴν ἡμέραν μελέτη μου ἐστίν. Ὑπὲρ τοὺς ἐχθρούς μου ἐσόφισάς με τὴν ἐντολήν σου, ὅτι εἰς τὸν αἰῶνά μοί ἐστιν. Ὑπὲρ πάντας τοὺς διδάσκοντάς με συνῆκα, ὅτι τὰ μαρτύριά σου μελέτη μου ἐστιν. Ὑπὲρ πρεσβυτέρους συνῆκα, ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα. Ἐκ πάσης ὁδοῦ πονηρᾶς ἐκώλυσα τοὺς πόδας μου, ὅπως ἂν φυλάξω τοὺς λόγους σου. Ἀπὸ τῶν κριμάτων σου οὐκ ἐξέκλινα, ὅτι σὺ ἐνομοθέτησάς με. Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου, ὑπὲρ μέλι τῷ στόματί μου. Ἀπὸ τῶν ἐντολῶν σου συνῆκα, διὰ τοῦτο ἐμίσησα πᾶσαν ὁδὸν ἀδικίας. Λύχνος τοῖς ποσί μου ὁ Νόμος σου, καὶ φῶς ταῖς τρίβοις μου. Ὤμοσα, καὶ ἔστησα τοῦ φυλάξασθαι τὰ κρίματα τῆς δικαιοσύνης σου. Ἐταπεινώθην ἕως σφόδρα, Κύριε, ζῆσόν με κατὰ τὸν λόγον σου. Τὰ ἑκούσια τοῦ στόματός μου εὐδόκησον δή, Κύριε, καὶ τὰ κρίματά σου δίδαξόν με. Ἡ ψυχή μου ἐν ταῖς χερσί σου διαπαντὸς καὶ τοῦ Νόμου σου οὐκ ἐπελαθόμην. Ἔθεντο ἁμαρτωλοὶ παγίδα μοι, καὶ ἐκ τῶν ἐντολῶν σου οὐκ ἐπλανήθην. Ἐκληρονόμησα τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα, ὅτι ἀγαλλίαμα τῆς καρδίας μου εἰσίν. Ἔκλινα τὴν καρδίαν μου τοῦ ποιῆσαι τὰ δικαιώματά σου εἰς τὸν αἰῶνα διʼ ἀντάμειψιν. Παρανόμους ἐμίσησα, τὸν δὲ νόμον σου ἠγάπησα. Βοηθός μου καὶ ἀντιλήπτωρ μου εἶ σύ, εἰς τοὺς λόγους σου ἐπήλπισα. Ἐκκλίνατε ἀπʼ ἐμοῦ πονηρευόμενοι, καὶ ἐξερευνήσω τὰς ἐντολὰς τοῦ Θεοῦ μου. Ἀντιλαβοῦ μου κατὰ τὸ λόγιόν σου, καὶ ζῆσόν με, καὶ μὴ καταισχύνῃς με ἀπὸ τῆς προσδοκίας μου. Βοήθησόν μοι, καὶ σωθήσομαι, καὶ μελετήσω ἐν τοῖς δικαιώμασί σου διαπαντός. Ἐξουδένωσας πάντας τοὺς ἀποστατοῦντας ἀπὸ τῶν δικαιωμάτων σου, ὅτι ἄδικον τὸ ἐνθύμημα αὐτῶν. Παραβαίνοντας ἐλογισάμην πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς· διὰ τοῦτο ἠγάπησα τὰ μαρτύριά σου. Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου· ἀπὸ γὰρ τῶν κριμάτων σου ἐφοβήθην. Ἐποίησα κρίμα, καὶ δικαιοσύνην, μὴ παραδῷς με τοῖς ἀδικοῦσί με. Ἔκδεξαι τὸν δοῦλόν σου εἰς ἀγαθόν, μὴ συκοφαντησάτωσάν με ὑπερήφανοι. Οἱ ὀφθαλμοί μου ἐξέλιπον εἰς τὸ σωτήριόν σου, καὶ εἰς τὸ λόγιον τῆς δικαιοσύνης σου. Ποίησον μετὰ τοῦ δούλου σου κατὰ τὸ ἔλεός σου, καὶ τὰ δικαιώματά σου δίδαξόν με.

Δοῦ-

Δοῦλός σου εἰμὶ ἐγὼ, συνέτισόν με, καὶ γνώσομαι τὰ μαρτύριά σου. Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ· διεσκέδασαν τὸν Νόμον σου. Διὰ τοῦτο ἠγάπησα τὰς ἐντολάς σου ὑπὲρ χρυσίον καὶ τοπάζιον. Διὰ τοῦτο πρὸς πάσας τὰς ἐντολάς σου κατωρθούμην, πᾶσαν ὁδὸν ἄδικον ἐμίσησα. Θαυμαστὰ τὰ μαρτύριά σου, διὰ τοῦτο ἐξηρεύνησεν αὐτὰ ἡ ψυχή μου. Ἡ δήλωσις τῶν λόγων σου φωτιεῖ, καὶ συνετιεῖ νηπίους. Τὸ στόμα μου ἤνοιξα, καὶ εἵλκυσα πνεῦμα, ὅτι τὰς ἐντολάς σου ἐπεπόθουν. Δόξα καὶ νῦν. Ἀλληλούϊα ἐκ τρίτου.

Στάσις. Γ'.

Ἐπίβλεψον ἐπ' ἐμὲ, καὶ ἐλέησόν με, κατὰ τὸ κρῖμα τῶν ἀγαπώντων τὸ ὄνομά σου. Τὰ διαβήματά μου κατεύθυνον κατὰ τὸ λόγιόν σου, καὶ μὴ κατακυριευσάτω μου πᾶσα ἀνομία. Λύτρωσαί με ἀπὸ συκοφαντίας ἀνθρώπων, καὶ φυλάξω τὰς ἐντολάς σου. Τὸ πρόσωπόν σου ἐπίφανον ἐπὶ τὸν δοῦλόν σου, καὶ δίδαξόν με τὰ δικαιώματά σου. Διεξόδους ὑδάτων κατέβυσαν οἱ ὀφθαλμοί μου, ἐπεὶ οὐκ ἐφύλαξα τὸν Νόμον σου. Δίκαιος εἶ Κύριε, καὶ εὐθεῖς αἱ κρίσεις σου. Ἐνετείλω δικαιοσύνην τὰ μαρτύριά σου, καὶ ἀλήθειαν σφόδρα. Ἐξέτηξέ με ὁ ζῆλός σου, ὅτι ἐπελάθοντο τῶν λόγων σου οἱ ἐχθροί μου. Πεπυρωμένον τὸ λόγιόν σου σφόδρα, καὶ ὁ δοῦλός σου ἠγάπησεν αὐτό. Νεώτερος ἐγώ εἰμι, καὶ ἐξουδενωμένος, τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην. Ἡ δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα, καὶ ὁ Νόμος σου ἀλήθεια. Θλίψεις καὶ ἀνάγκαι εὗρόσάν με, αἱ ἐντολαί σου μελέτη μου Δικαιοσύνη τὰ μαρτύριά σου, εἰς τὸν αἰῶνα συνέτισόν με, καὶ ζήσομαι Ἐκέκραξα ἐν ὅλῃ καρδίᾳ μου, ἐπάκουσόν μου, Κύριε, τὰ δικαιώματά σου ἐκζητήσω. Ἐκέκραξοσοι, σῶσόν με, καὶ φυλάξω τὰ μαρτύριά σου. Προέφθασα ἐν ὠρίκαὶ ἐκέκραξα, εἰς τοὺς λόγους σου ἐπήλπισα. Προέφθασαν οἱ ὀφθαλμοί μου πρὸς ὄρθρον, τοῦ μελετᾶν τὰ λόγιά σου. Τῆς φωνῆς μου ἄκουσον Κύριε, κατὰ τὸ ἔλεός σου, κατὰ τὸ κρῖμά σου ζῆσόν με. Προσήγγισαν καταδιώκοντές με ἀνομίᾳ, ἀπὸ δὲ τοῦ Νόμου σου ἐμακρύνθησαν. Ἐγγὺς εἶσὺ Κύριε, καὶ πᾶσαι αἱ ὁδοί σου ἀλήθεια. Κατ' ἀρχὰς ἔγνων ἐκ τῶν μαρτυρίων σου, ὅτι εἰς τὸν αἰῶνα ἐθεμελίωσας αὐτά. Ἴδε τὴν ταπείνωσίν μου, καὶ ἐξελοῦ με, ὅτι τοῦ Νόμου σου οὐκ ἐπελαθόμην Κρῖνον τὴν κρίσιν μου, καὶ λύτρωσαί με, διὰ τὸν λόγον σου ζῆσόν με Μακρὰν ἀπὸ ἁμαρτωλῶν σωτηρία ὅτι τὰ δικαιώματά σου οὐκ ἐξεζήτησαν. Οἱ οἰκτιρμοί σου πολλοί, Κύριε, κατὰ τὸ κρῖμά σου ζῆσόν με Πολλοὶ οἱ ἐκδιώκοντές με, καὶ θλίβοντές με· ἐκ τῶν μαρτυρίων σου οὐκ ἐξέκλινα. Εἶδον ἀσυνετοῦντας καὶ ἐξετηκόμην, ὅτι τὰ λόγιά σου οὐκ ἐφυλάξαντο. Ἴδε, ὅτι τὰς ἐντολάς σου ἠγάπησα· Κύριε, ἐν τῷ ἐλέει σου ζῆσόν με. Ἀρχὴ τῶν λογων σου ἀλήθεια, καὶ εἰς τὸν αἰῶνα πάντα τὰ κρίματα τῆς δικαιοσύνης σου.

σου. Ἄρχοντες κατεδίωξάν με δωρεάν, καὶ ἀπὸ τῶν λόγων σου ἐδειλίασεν ἡ καρδία μου. Ἀγαλλιάσομαι ἐγὼ ἐπὶ τὰ λόγιά σου, ὡς ὁ εὑρίσκων σκῦλα πολλά. Ἀδικίαν ἐμίσησα, καὶ ἐβδελυξάμην, τὸν δὲ Νόμον σου ἠγάπησα. Ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σε, ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου. Εἰρήνη πολλὴ τοῖς ἀγαπῶσι τὸν Νόμον σου, καὶ οὐκ ἔστιν αὐτοῖς σκάνδαλον. Προσεδόκων τὸ σωτήριόν σου Κύριε, καὶ τὰς ἐντολάς σου ἠγάπησα. Ἐφύλαξεν ἡ ψυχή μου τὰ μαρτύριά σου, καὶ ἠγάπησεν αὐτὰ σφόδρα. Ἐφύλαξα τὰς ἐντολάς σου, καὶ τὰ μαρτύριά σου, ὅτι πᾶσαι αἱ ὁδοί μου ἐναντίον σου Κύριε. Ἐγγισάτω ἡ δέησίς μου ἐνώπιόν σου Κύριε, κατὰ τὸ λόγιόν σου συνέτισόν με. Εἰσέλθοι τὸ ἀξίωμά μου ἐνώπιόν σου Κύριε, κατὰ τὸ λόγιόν σου ῥῦσαί με. Ἐξερεύξονται τὰ χείλη μου ὕμνον, ὅταν διδάξῃς με τὰ δικαιώματά σου. Φθέγξεται ἡ γλῶσσά μου τὰ λόγιά σου, ὅτι πᾶσαι αἱ ἐντολαί σου δικαιοσύνη. Γενέσθω ἡ χείρ σου τοῦ σῶσαί με, ὅτι τὰς ἐντολάς σου ᾑρετισάμην. Ἐπεπόθησα τὸ σωτήριόν σου Κύριε, καὶ ὁ νόμος σου μελέτη μου ἐστί. Ζήσεται ἡ ψυχή μου, καὶ αἰνέσει σε, καὶ τὰ κρίματά σου βοηθήσει μοι. Ἐπλανήθην ὡς πρόβατον ἀπολωλός, ζήτησον τὸν δοῦλόν σου, ὅτι τὰς ἐντολάς σου οὐκ ἐπελαθόμην.

Δόξα, καὶ νῦν, Καὶ εὐθύς.

Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα Παντοκράτορα, ποιητὴν Οὐρανοῦ καὶ Γῆς, ὁρατῶν τε πάντων, καὶ ἀοράτων. Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν Υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων. Φῶς ἐκ φωτός, Θεὸν ἀληθινόν, ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί, δι' οὗ τὰ πάντα ἐγένετο. Τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν, κατελθόντα ἐκ τῶν Οὐρανῶν, καὶ σαρκωθέντα ἐκ Πνεύματος Ἁγίου, καὶ Μαρίας τῆς Παρθένου, καὶ ἐνανθρωπήσαντα. Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου, καὶ παθόντα, καὶ ταφέντα, καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς γραφάς. Καὶ ἀνελθόντα εἰς τοὺς Οὐρανούς, καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός. Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας, καὶ νεκρούς, οὗ τῆς Βασιλείας οὐκ ἔσται τέλος. Καὶ εἰς τὸ Πνεῦμα τὸ Ἅγιον τὸ Κύριον, τὸ ζωοποιὸν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον, καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν Προφητῶν. Εἰς μίαν, Ἁγίαν, Καθολικὴν, καὶ Ἀποστολικὴν Ἐκκλησίαν. Ὁμολογῶ ἓν Βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν. Προσδοκῶ ἀνάστασιν νεκρῶν. Καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.

Τρισάγιον. Μετανοίας τρεῖς. Παναγία Τριάς. Πάτερ ἡμῶν. Καὶ εὐθὺς ὁ Ἱερεὺς Ἐκφωνεῖ, Ὅτι σοῦ ἐστιν ἡ Βασιλεία.

Εἶτα τὰ Τροπάρια ταῦτα πρὸς ἦχον πλάγιον τέταρτον.

Ἰδοὺ

Ἰδοὺ ὁ Νυμφίος ἔρχεται ἐν τῷ μέσῳ τῆς νυκτὸς· καὶ μακάριος ὁ δοῦλος, ὃν εὑρήσει γρηγοροῦντα, ἀνάξιος δὲ πάλιν, ὃν εὑρήσει ῥαθυμοῦντα. Βλέπε οὖν ψυχή μου μὴ τῷ ὕπνῳ κατενεχθῇς· ἵνα μὴ τῷ θανάτῳ παραδοθῇς, καὶ τῆς Βασιλείας ἔξω κλεισθῇς· ἀλλὰ ἀνάνηψον κράζουσα. Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεὸς, διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς. Δόξα.

Τὴν ἡμέραν ἐκείνην τὴν φοβερὰν, ἐννοοῦσα ψυχή μου γρηγόρησον, ἀνάπτουσα λαμπάδα σου, ἐν ἐλαίῳ φαιδρύνουσα· οὐ γὰρ οἶδας, πότε πρὸς σὲ ἐπελεύσεται ἡ φωνὴ ἡ λέγουσα· ἰδοὺ ὁ Νυμφίος· Βλέπε οὖν ψυχή μου, μὴ νυστάξῃς, καὶ μείνῃς ἔξωθεν κρούουσα, ὡς αἱ πέντε Παρθένοι· ἀλλ' ἀγρύπνως καρτέρησον, ἵνα ὑπαντήσῃς Χριστῷ ἐν ἐλαίῳ πίονι, καὶ δῴη σοι τὸν νυμφῶνα τὸν θεῖον τῆς δόξης αὐτοῦ.

Καὶ νῦν Θεοτοκίον.

Σὲ τὸ ἀπόρθητον τεῖχος, τὸ τῆς σωτηρίας ὀχύρωμα, Θεοτόκε Παρθένε, ἱκετεύομεν· τὰς τῶν ἐναντίων βουλὰς διασκέδασον· τοῦ λαοῦ σου τὴν λύπην εἰς χαρὰν μετάβαλε· τὴν πόλιν σου περιτείχισον. τῷ Βασιλεῖ συμμάχησον, ὑπὲρ εἰρήνης τοῦ Κόσμου πρέσβευε, ὅτι σὺ εἶ Θεοτόκε ἡ ἐλπὶς ἡμῶν.

Εἶτα το, Κύριε ἐλέησον. Καὶ τὴν Εὐχὴν ταύτην Τοῦ Ἁγίου Ἐφραίμ

Κύριε καὶ Δέσποτα τῆς ζωῆς μου, πνεῦμα ἀργίας, περιεργίας, φιλαρχίας καὶ ἀργολογίας μὴ μοι δός· πνεῦμα δὲ σωφροσύνης, ταπεινοφροσύνης, ὑπομονῆς καὶ ἀγάπης χάρισαί μοι τῷ σῷ δούλῳ. Ναὶ Κύριε Βασιλεῦ, δώρησαί μοι ὁρᾶν τὰ ἐμὰ πταίσματα, καὶ μὴ κατακρίνειν τὸν ἀδελφόν μου· ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Λέγε δὲ ταύτην ιβ'. ποιῶν μετανοίας, μεγάλας μ' μικρὰς δὲ ιβ'. λέγων καθ' κάστην τὸ, Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, καὶ πάλιν, ὕστερα τὴν Εὐχὴν, καὶ μετάνοιαν μίαν μεγάλην.

Εἶτα τὴν Εὐχὴν ταύτην.

Δέσποτα Θεὲ, Πάτερ παντοκράτωρ, Κύριε, Υἱὲ μονογενὲς, σοῦ Χριστὲ, καὶ Ἅγιον Πνεῦμα μία Θεότης, μία δύναμις, ἐλέησόν με τὸν ἁμαρτωλόν· καὶ οἷς ἐπίστασαι κρίμασι σῶσόν με τὸν ἀνάξιον δοῦλόν σου· ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Εἰδ' οὐκ ἔστιν Ἀλληλούϊα, καὶ λιμπάνεται τὸ, Κύριε καὶ Δέσποτα τῆς ζωῆς μου, καὶ αἱ μετάνοιαι καὶ λέγομεν μόνον τὸ, Δέσποτα Θεὲ Πάτερ· καὶ τὰς Εὐχὰς τὰς. Ἰστέον, ὅτι ἡ Εὐχὴ αὕτη γεται ἀπὸ τῆς κβ'. τοῦ Σεπτεμβρίου Μηνὸς, μέχρι τῆς Κυριακῆς τῶν Βαΐων

Βασιλείου τοῦ Μεγάλου.

Κύριε παντοκράτωρ, ὁ Θεὸς τῶν Δυνάμεων, καὶ πάσης σαρκὸς ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ ταπεινὰ ἐφορῶν· καρδίας τε καὶ

σους ὁ ἑτάζων, καὶ τὰ κρυπτὰ
ῶν ἀνθρώπων σοφῶς ἐπιστάμε-
ος· τὸ ἄναρχον καὶ ἀίδιον φῶς,
αρ' ὃ οὐκ ἔστι παραλλαγὴ, ἢ τρο-
ῆς ἀποσκίασμα. Αὐτὸς ἀθάνατε
ασιλεῦ, πρόσδεξαι τὰς ἱκεσίας ἡ-
ῶν, ὡς κατὰ τὸν παρόντα καιρὸν
ῷ πλήθει τῶν σῶν οἰκτιρμῶν θαρ-
οῦντες ἐκ ῥυπαρῶν πρός σε χει-
έων ποιούμεθα. Καὶ ἄφες ἡμῖν τὰ
λημμελήμματα ἡμῶν, τὰ ἐν ἔργῳ,
αὶ λόγῳ, καὶ διανοίᾳ, γνώσεως, ἢ
γνωσίας πλημμεληθέντα ἡμῖν, καὶ
θάρισον ἡμᾶς ἀπὸ παντὸς μο-
υσμοῦ σαρκὸς, καὶ πνεύματος. Καὶ
ώρησαι ἡμῖν ἐν ἀγρύπνῳ καρδίᾳ,
αὶ νηφούσῃ διανοίᾳ, πᾶσαν τοῦ
αρόντος βίου τὴν νύκτα ἡμᾶς δι-
θεῖν, ἀπεκδεχομένους τὴν παρου-
αν τῆς λαμπρᾶς καὶ ἐπιφανοῦς
ἡμέρας τοῦ μονογενοῦς σου Υἱοῦ
ῶν Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος
ῶν Ἰησοῦ Χριστοῦ, ἐν ᾗ μετὰ
ξης Κριτὴς τῶν ἁπάντων ἐλεύ-
εται, ἑκάστῳ ἀποδοῦναι κατὰ τὰ
για αὐτοῦ, ἵνα μὴ ἀναπεπτωκό-
ς καὶ διοκνοῦντες, ἀλλ' ἐγρηγο-
οῦντες καὶ διεγγεγερμένοι ἐν τῇ
γασίᾳ, εὑρεθείημεν ἕτοιμοι εἰς
ν χαρὰν, καὶ εἰς τὸν θεῖον νυμ-
ῶνα τῆς δόξης αὐτοῦ συνεισέλ-
μεν, ἔνθα ὁ τῶν ἑορταζόντων ἦ-
ος ὁ ἀκατάπαυστος, καὶ ἡ ἀνέκ-
αστος ἡδονὴ τῶν καθορώντων
ὸ σοῦ προσώπου τὸ κάλλος τὸ
ρητον. Σὺ γὰρ εἶ τὸ ἀληθινὸν
ς, τὸ φωτίζον, καὶ ἁγιάζον τὰ
άντα, καὶ σὲ ὑμνεῖ πᾶσα ἡ
σις εἰς τοὺς αἰῶνας τῶν αἰώ-
ν. Ἀμήν.

Εἶτα ὑψοῖ ὁ Ἱερεὺς τὰς χεῖ-
ρας, λέγων. Τοῦ αὐτοῦ.

Σὲ εὐλογοῦμεν ὕψιστε, Θεὲ, καὶ Κύριε τοῦ ἐλέους, τὸν ποιοῦντα ἀεὶ μεθ' ἡμῶν μεγάλα τε καὶ ἀνεξιχνίαστα, ἐνδοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός· τὸν παρασχόντα ἡμῖν τὸν ὕπνον εἰς ἀνάπαυσιν τῆς ἀσθενείας ἡμῶν, καὶ ἄνεσιν τῶν κόπων τῆς πολυμόχθου σαρκός. Εὐχαριστοῦμέν σοι, ὅτι οὐ συναπώλεσας ἡμᾶς ταῖς ἀνομίαις ἡμῶν, ἀλλ' ἐφιλανθρωπεύσω συνήθως, καὶ πρὸς ἀπόγνωσιν κειμένους ἡμᾶς ἤγειρας, εἰς τὸ δοξολογῆσαι τὸ κράτος σου. Διὸ δυσωποῦμεν τὴν ἀνείκαστόν σου ἀγαθότητα, φώτισον ἡμῶν τοὺς τῆς διανοίας ὀφθαλμοὺς, καὶ τὸν νοῦν ἡμῶν ἐκ τοῦ βαρέως ὕπνου τῆς ῥαθυμίας ἀνάστησον. Ἄνοιξον ἡμῶν τὸ στόμα, καὶ πλήρωσον αὐτὸ τῆς σῆς αἰνέσεως, ὅπως ἂν δυνηθῶμεν ἀπερισπάστως ᾄδειν τε, καὶ ψάλλειν, καὶ ἐξομολογεῖσθαί σοι τῷ ἐν πᾶσι, καὶ ὑπὸ πάντων δοξαζομένῳ Θεῷ, τῷ ἀνάρχῳ Πατρὶ, σὺν τῷ μονογενεῖ σου Υἱῷ, καὶ τῷ Παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα. Δεῦτε προσκυνήσωμεν, ἐκ τρίτου. Μετανοίας, γ'. καὶ τοὺς Ψαλμούς.

ΨΑΛΜΟΣ, ρκ'.

Ἥρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου. Ἡ βοήθειά μου παρὰ Κυρίου, τοῦ ποιή-

ποιήσαντος τὸν Οὐρανὸν, καὶ τὴν γῆν. Μὴ δῴης εἰς σάλον τὸν πόδα σου, μηδὲ νυστάξῃ ὁ φυλάσσων σε. Ἰδοὺ οὐ νυστάξει, οὐ δὲ ὑπνώσει ὁ φυλάσσων τὸν Ἰσραήλ. Κύριος φυλάξοι σε, Κύριος σκέπη σοι ἐπὶ χεῖρα δεξιάν σου. Ἡμέρας ὁ Ἥλιος οὐ συγκαύσει σε, οὐδὲ ἡ Σελήνη τὴν νύκτα. Κύριος φυλάξοι σε ἀπὸ παντὸς κακοῦ, φυλάξοι τὴν ψυχήν σου ὁ Κύριος. Κύριος φυλάξοι τὴν εἴσοδόν σου, καὶ τὴν ἔξοδόν σου, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος,

ΨΑΛΜΟΣ, ρλγ'. 133.

Ἰδοὺ δὴ εὐλογεῖτε τὸν Κύριον πάντες οἱ δοῦλοι Κυρίου. Οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν. Ἐν ταῖς νυξὶν ἐπάρατε τὰς χεῖρας ἡμῶν εἰς τὰ Ἅγια, καὶ εὐλογεῖτε τὸν Κύριον. Εὐλογήσαι σε Κύριος ἐκ Σιὼν, ὁ ποιήσας τὸν Οὐρανὸν καὶ τὴν γῆν.

Δόξα, καὶ νῦν. Ἀλληλούϊα. Τρισάγιον. μετανοίας, γ'. Παναγία Τριάς. Πάτερ ἡμῶν. Καὶ τὰ Τροπάρια ταῦτα, ἦχ. πλ. δ'.

Μνήσθητι, Κύριε, ὡς ἀγαθὸς, τῶν δούλων σου, καὶ ὅσα ἐν βίῳ ἥμαρτον, συγχώρησον· οὐδεὶς γὰρ ἀναμάρτητος, εἰμὴ σὺ ὁ δυνάμενος, καὶ τοῖς μεταστᾶσι δοῦναι τὴν ἀνάπαυσιν.

Ὁ βάθει σοφίας φιλανθρώπως πάντα οἰκονομῶν, καὶ τὸ συμφέρον πᾶσιν ἀπονέμων, μόνε Δημιουργὲ, ἀνάπαυσον Κύριε τὰς ψυχὰς τῶν δούλων σου· ἐν σοὶ γὰρ τὴν ἐλπίδα ἀνέθεντο, τῷ Ποιητῇ, καὶ πλάστῃ, καὶ Θεῷ ἡμῶν.

Δόξα.

Μετὰ τῶν Ἁγίων ἀνάπαυσον Χριστὲ τὰς ψυχὰς τῶν δούλων σου, ἔνθα οὐκ ἔστι πόνος, οὐ λύπη, οὐ στεναγμὸς, ἀλλὰ ζωὴ ἀτελεύτητος.

Καὶ νῦν. Θεοτοκίον

Μακαρίζομέν σε πᾶσαι αἱ γενεαὶ, Θεοτόκε Παρθένε· ἐν σοὶ γὰρ ὁ ἀχώρητος Χριστὸς ὁ Θεὸς ἡμῶν χωρηθῆναι ηὐδόκησε. Μακάριοι ἐσμὲν καὶ ἡμεῖς, προστασίαν σε ἔχοντες· ἡμέρας γὰρ καὶ νυκτὸς πρεσβεύεις, ὑπὲρ ἡμῶν· καὶ τὰ σκῆπτρα τῆς Βασιλείας ταῖς σαῖς ἱκεσίαις κρατύνονται· διὸ ἀνυμνοῦντες βοῶμέν σοι· Χαῖρε, κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ.

Κύριε ἐλέησον, ιβ'.

Καὶ ἡ Εὐχὴ αὕτη.

Μνήσθητι Κύριε τῶν ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου κεκοιμημένων Πατέρων καὶ Ἀδελφῶν ἡμῶν, καὶ πάντων τῶν ἐν εὐσεβείᾳ καὶ πίστει τελειωθέντων, καὶ συγχώρησον αὐτοῖς πᾶν πλημμέλημα ἐκούσιόν τε, καὶ ἀκούσιον, ἐν λόγῳ, ἢ ἔργῳ, ἢ κατὰ διάνοιαν πλημμεληθὲν ὑπ' αὐτῶν. Καὶ κατασκήνωσον αὐτοὺς ἐν τόποις φωτεινοῖς, ἐν τόποις χλοεροῖς, ἐν τόποις ἀναψύξεως, ἔνθα ἀπέδρα πᾶσα ὀδύνη, λύπη, καὶ στεναγμὸς, ὅπου ἡ ἐπισκοπὴ τοῦ προσώπου σου εὐφραίνει πάντας τοὺς ἀπ' αἰῶνος Ἁγίους σου. Χάρισαι αὐτοῖς

Δημόσιον Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ ἡμῖν τὴν Βασιλείαν σου, τὴν μέθεξιν τῶν ἀφράστων καὶ ων σου ἀγαθῶν, καὶ τῆς σῆς άντου καὶ μακαρίας ζωῆς τὴν αυσιν. Σὺ γὰρ εἶ ἡ ζωὴ, ἡ ἀασις, καὶ ἡ ἀνάπαυσις τῶν κεημένων δούλων σου, Χριστὲ ὁ ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμ. ν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ. τῷ Παναγίῳ, καὶ ἀγαθῷ, καὶ τοιῷ σου Πνεύματι, νῦν καὶ αἰ εἰς τοὺς αἰῶνας τῶν αἰώ. Ἀμήν.

Παρένδοξε Ἀειπάρθενε, εὐλοίνη Θεοτόκε, προσάγαγε τὴν ἡραν προσευχὴν τῷ Υἱῷ σου Θεῷ ἡμῶν, καὶ αἴτησαι, ἵνα διὰ σοῦ τὰς ψυχὰς ἡμῶν.

Ψυχὴ ἑτέρα τοῦ Ἁγίου Ἰωαννικίου.

Ἡ Ἐλπίς μου ὁ πατὴρ, καταή μου ὁ Υἱός, σκέπη μου τὸ ὕμα τὸ Ἅγιον, Τριὰς Ἁγία, σοι.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ίθημι, Μῆτερ τοῦ Θεοῦ, φύν με ὑπὸ τὴν σκέπην σου. όξα, καὶ νῦν. Κύριε ἐλέησον, γησον. Ὁ Ἱερεύς. Χριστὸς ὁ θινός. Καὶ γίνεται Ἀπόλυσις. λαμβάνοντες συγχώρησιν τὴν θη, ὁ Ἱερεὺς λέγει·

Εὐξώμεθα ὑπὲρ τῶν κραταιῶν Ἁγίων ἡμῶν Αὐθεντῶν καὶ ιλέων. Καὶ ἡμεῖς, τὸ, Κύριε ἐσον, συνεχῶς. Ὑπὲρ εὐοδώς, καὶ ἐνισχύσεως τοῦ φιλοχρίυ Στρατοῦ. Ὑπὲρ τοῦ Πατρὸς ἡμῶν, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν Ἀδελφότητος. Ὑπὲρ τῶν μισούντων, καὶ ἀγαπώντων ἡμᾶς. Ὑπὲρ τῶν ἐλεούντων, καὶ διακονούντων ἡμῖν. Ὑπὲρ τῶν ἐντειλαμένων ἡμῖν τοῖς ἀναξίοις, εὔχεσθαι ὑπὲρ αὐτῶν. Ὑπὲρ ἀναῤῥύσεως τῶν αἰχμαλώτων. Ὑπὲρ τῶν ἀπολειφθέντων Πατέρων, καὶ Ἀδελφῶν ἡμῶν. Ὑπὲρ τῶν ἐν θαλάσσῃ καλῶς πλεόντων. Ὑπὲρ τῶν ἐν ἀσθενείαις κατακειμένων. Εὐξώμεθα καὶ ὑπὲρ εὐφορίας τῶν καρπῶν τῆς γῆς. Καὶ ὑπὲρ πάσης ψυχῆς Χριστιανῶν Ὀρθοδόξων. Μακαρίσωμεν τοὺς εὐσεβεῖς Βασιλεῖς. Τοὺς ὀρθοδόξους Ἀρχιερεῖς. Τοὺς Κτήτορας τῆς Ἁγίας Μονῆς ταύτης. Τοὺς Γονεῖς ἡμῶν, καὶ Διδασκάλους, καὶ πάντας τοὺς προαπελθόντας Πατέρας, καὶ Ἀδελφοὺς ἡμῶν, τοὺς ἐνθάδε κειμένους, καὶ ἁπανταχοῦ Ὀρθοδόξους.

Ὁ Προεστώς.

Εἴπωμεν καὶ ὑπὲρ αὐτῶν, τὸ, Κύριε ἐλέησον.

Διὰ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.

Πρόσχες, ὅτι οὕτως ὀφείλει ψάλλεσθαι ἐν ὅλῃ τῇ Ἑβδομάδι τὸ Μεσονυκτικόν.

ΜΕΣΟΝΥΚΤΙΚΟΝ ΤΟΥ ΣΑΒΒΑΤΟΥ.

Μετὰ τὸν Εὐλογητὸν, λέγε τὸ βασι-

Βασιλεῦ Οὐρανιε. Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ. Τό, Κύριε ἐλέησον, ιβ'. Δεῦτε προσκυνήσωμεν, γ'. εἶτα Ὁ Ν' Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου. Ζήτει εἰς Φύλ. 21

Μεσονύκτιος Εὐχή, ἡ τῶν Σαββάτων.

ΨΑΛΜΟΣ, ξδ'. 64.

Σοὶ πρέπει ὕμνος ὁ Θεὸς ἐν Σιὼν, καὶ σοὶ ἀποδοθήσεται εὐχὴ ἐν Ἱερουσαλήμ. Εἰσάκουσον προσευχῆς μου, πρός σὲ πᾶσα σὰρξ ἥξει. Λόγοι ἀνόμων ὑπερεδυνάμωσαν ἡμᾶς, καὶ ταῖς ἀσεβείαις ἡμῶν σὺ ἱλάσῃ. Μακάριος, ὃν ἐξελέξω, καὶ προσελάβου, κατασκηνώσει ἐν ταῖς αὐλαῖς σου. Πλησθησόμεθα ἐν τοῖς ἀγαθοῖς τοῦ οἴκου σου, ἅγιος ὁ Ναός σου, θαυμαστὸς ἐν δικαιοσύνῃ. Ἐπάκουσον ἡμῶν ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς, καὶ τῶν ἐν θαλάσσῃ μακράν. Ἑτοιμάζων ὄρη ἐν τῇ ἰσχύϊ αὐτοῦ, περιεζωσμένος ἐν δυναστείᾳ· ὁ συνταράσσων τὸ κῦτος τῆς θαλάσσης, ἦχους κυμάτων αὐτῆς τίς ὑποστήσεται; Ταραχθήσονται τὰ ἔθνη καὶ φοβηθήσονται οἱ κατοικοῦντες τὰ πέρατα ἀπὸ τῶν σημείων σου· ἐξόδους πρωΐας, καὶ ἑσπέρας τέρψεις. Ἐπεσκέψω τὴν γῆν, καὶ ἐμέθυσας αὐτὴν, ἐπλήθυνας τοῦ πλουτίσαι αὐτήν. Ὁ ποταμὸς τοῦ Θεοῦ ἐπληρώθη ὑδάτων· ἡτοίμασας τὴν τροφὴν αὐτῶν, ὅτι οὕτως ἡ ἑτοιμασία. Τὰς αὔλακας αὐτῆς μέθυσον, πλήθυνον τὰ γεννήματα αὐτῆς· ἐν ταῖς σταγόσιν αὐτῆς εὐφρανθήσεται ἀνατέλλουσα. Εὐλογήσεις τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου, καὶ τὰ πεδία σου πλησθήσονται πιότητος. Πιανθήσονται τὰ ὡραῖα τῆς ἐρήμου, καὶ ἀγαλλίασιν οἱ βουνοὶ περιζώσονται. Ἐνεδύσαντο οἱ κριοὶ τῶν προβάτων, καὶ αἱ κοιλάδες πληθυνοῦσι σῖτον· κεκράξονται, καὶ γὰρ ὑμνήσουσιν.

ΨΑΛΜΟΣ, ξέ. 65.

Ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ, ψάλατε δὴ τῷ ὀνόματι αὐτοῦ, δότε δόξαν ἐν αἰνέσει αὐτοῦ. Εἰπατε τῷ Θεῷ, ὡς φοβερὰ τὰ ἔργα σου· ἐν τῷ πλήθει τῆς δυνάμεώς σου ψεύσονταί σε οἱ ἐχθροί σου. Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι, καὶ ψαλάτωσάν σοι· ψαλάτωσαν δὴ τῷ ὀνόματί σου ὕψιστε. Δεῦτε, καὶ ἴδετε τὰ ἔργα τοῦ Θεοῦ, ὡς φοβερὸς ἐν βουλαῖς ὑπὲρ τοὺς Υἱοὺς τῶν ἀνθρώπων. Ὁ μεταστρέφων τὴν θάλασσαν εἰς ξηράν· ἐν ποταμῷ διελεύσονται ποδί. Ἐκεῖ εὐφρανθησόμεθα ἐπ' αὐτῷ, τῷ δεσπόζοντι ἐν τῇ δυναστείᾳ αὐτοῦ τοῦ αἰῶνος· οἱ ὀφθαλμοὶ αὐτοῦ ἐπὶ τὰ ἔθνη ἐπιβλέπουσιν· οἱ παραπικραίνοντες μὴ ὑψούσθωσαν ἐν ἑαυτοῖς. Εὐλογεῖτε ἔθνη τὸν Θεὸν ἡμῶν, καὶ ἀκουτίσατε τὴν φωνὴν τῆς αἰνέσεως αὐτοῦ. Τοῦ θεμένου τὴν ψυχήν μου εἰς ζωὴν, καὶ μὴ δόντος εἰς σάλον τοὺς πόδας μου. Ὅτι ἐδοκίμασας ἡμᾶς ὁ Θεός, ἐπύρωσας ἡμᾶς ὡς πυροῦται τὸ ἀργύριον. Εἰσήγαγες ἡμᾶς εἰς τὴν παγίδα, ἔθου θλίψεις ἐπὶ τὸν νῶτον ἡμῶν·

ἐπι-

ἐπεβίβασας ἀνθρώπους ἐπὶ τὰς κεφαλὰς ἡμῶν. Διήλθομεν διὰ τοῦ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν. Εἰσελεύσομαι εἰς τὸν οἶκον σου ἐν ὁλοκαυτώμασιν, ἀποδώσω σοι τὰς εὐχάς μου, ἃς διέστειλε τὰ χείλη μου. Καὶ ἐλάλησε τὸ στόμα μου ἐν τῇ θλίψει μου. Ὁλοκαυτώματα μεμυελωμένα ἀνοίσω σοι μετὰ θυμιάματος καὶ κριῶν, ἀνοίσω σοι βόας μετὰ χιμάρων. Δεῦτε, ἀκούσατε, καὶ διηγήσομαι ὑμῖν, πάντες οἱ φοβούμενοι τὸν Θεὸν, ὅσα ἐποίησε τῇ ψυχῇ μου. Πρὸς αὐτὸν τῷ στόματί μου ἐκέκραξα, καὶ ὕψωσα ὑπὸ τὴν γλῶσσάν μου. Ἀδικίαν εἰ ἐθεώρουν ἐν καρδίᾳ μου, μὴ εἰσακουσάτω μου Κύριος. Διὰ τοῦτο εἰσήκουσέ μου ὁ Θεὸς, προσέσχε τῇ φωνῇ τῆς δεήσεώς μου. Εὐλογητὸς ὁ Θεὸς, ὃς οὐκ ἀπέστησε τὴν προσευχήν μου, καὶ τὸ ἔλεος αὐτοῦ ἀπ' ἐμοῦ.

ΨΑΛΜΟΣ, ξϛ'. 66.

Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς, καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐλεήσαι ἡμᾶς. Τοῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου, ἐν πᾶσιν ἔθνεσι τὸ σωτήριόν σου. Ἐξομολογησάσθωσάν σοι λαοί, ὁ Θεὸς, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες. Εὐφρανθήτωσαν, καὶ ἀγαλλιάσθωσαν ἔθνη, ὅτι κρινεῖς λαοὺς ἐν εὐθύτητι, καὶ ἔθνη ἐν τῇ γῇ ὁδηγήσεις. Ἐξομολογησάσθωσάν σοι λαοί, ὁ Θεὸς, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες. γῆ ἔδωκε τὸν καρπὸν αὐτῆς. Εὐλογήσαι ἡμᾶς ὁ Θεὸς, ὁ Θεὸς ἡμῶν, εὐλογήσαι ἡμᾶς ὁ Θεὸς, καὶ φοβηθήτωσαν αὐτὸν πάντα τὰ πέρατα τῆς γῆς.

Δόξα καὶ νῦν. Ἀλληλούϊα, ἐκ Τρίτου.

ΨΑΛΜΟΣ ξζ'. 67.

Ἀναστήτω ὁ Θεὸς, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν. Ὡς ἐκλείπει καπνὸς, ἐκλειπέτωσαν· ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρὸς, οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ. Καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν· ἀγαλλιάσθωσαν ἐνώπιον τοῦ Θεοῦ, τερφθήτωσαν ἐν εὐφροσύνῃ. Ἄσατε τῷ Θεῷ, ψάλατε τῷ ὀνόματι αὐτοῦ, ὁδοποιήσατε τῷ ἐπιβεβηκότι ἐπὶ δυσμῶν, Κύριος ὄνομα αὐτῷ. Καὶ ἀγαλλιᾶσθε ἐνώπιον αὐτοῦ· ταραχθήτωσαν ἀπὸ προσώπου αὐτοῦ, τοῦ πατρὸς τῶν ὀρφανῶν, καὶ κριτοῦ τῶν χηρῶν. Ὁ Θεὸς ἐν τόπῳ ἁγίῳ αὐτοῦ, ὁ Θεὸς κατοικίζει μονοτρόπους ἐν οἴκῳ. Ἐξάγων πεπεδημένους ἐν ἀνδρείᾳ· ὁμοίως τοὺς παραπικραίνοντας, τοὺς κατοικοῦντας ἐν τάφοις. Ὁ Θεὸς ἐν τῷ ἐκπορεύεσθαί σε ἐνώπιον τοῦ λαοῦ σου, ἐν τῷ διαβαίνειν σε ἐν τῇ ἐρήμῳ. Γῆ ἐσείσθη, καὶ γὰρ οἱ οὐρανοὶ ἔσταξαν ἀπὸ προσώπου τοῦ Θεοῦ τοῦ Σινᾶ, ἀπὸ προσώπου τοῦ Θεοῦ Ἰσραήλ. Βροχὴν ἑκούσιον ἀφορίεις ὁ Θεὸς τῇ κληρονομίᾳ σου, καὶ ἠσθένησε, σὺ δὲ κατηρτίσω αὐτήν. Τὰ ζῶά σου κατοικοῦσιν ἐν αὐτῇ, ἡτοίμασας

ἐν τῇ χρηστότητί σου τῷ πτωχῷ ὁ Θεός. Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ. Ὁ Βασιλεὺς τῶν δυνάμεων τοῦ ἀγαπητοῦ, τῇ ὡραιότητι τοῦ οἴκου διελεῖσθαι σκῦλα. Ἐὰν κοιμηθῆτε ἀναμέσον τῶν κλήρων, πτέρυγες περιστερᾶς περιηργυρωμέναι, καὶ τὰ μετάφρενα αὐτῆς ἐν χλωρότητι χρυσίου. Ἐν τῷ διαστέλλειν τὸν ἐπουράνιον Βασιλεῖς ἐπ' αὐτῆς, χιονωθήσονται ἐν Σελμών· ὄρος τοῦ Θεοῦ, ὄρος πῖον. Ὄρος τετυρωμένον, ὄρος πῖον· ἵνα τί ὑπολαμβάνετε ὄρη τετυρωμένα; Τὸ ὄρος, ὃ εὐδόκησεν ὁ θεὸς κατοικεῖν ἐν αὐτῷ· καὶ γὰρ ὁ κύριος κατασκηνώσει εἰς τέλος. Τὸ ἅρμα τοῦ Θεοῦ μυριοπλάσιον, χιλιάδες εὐθυνούντων. Κύριος ἐν αὐτοῖς ἐν Σινᾳὴν ἐν τῷ Ἁγίῳ. Ἀνέβης εἰς ὕψος, ᾐχμαλώτευσας αἰχμαλωσίαν, ἔλαβες δόματα ἐν ἀνθρώποις. Καὶ γὰρ ἀπειθοῦντας τοῦ κατασκηνῶσαι Κύριος ὁ Θεός εὐλογητός. Εὐλογητὸς κύριος ἡμέραν καθ' ἡμέραν· κατευοδώσαι ἡμῖν ὁ θεὸς τῶν σωτηρίων ἡμῶν. Ὁ Θεὸς ἡμῶν, ὁ Θεὸς τοῦ σώζειν· καὶ τοῦ κυρίου κυρίου αἱ διέξοδοι τοῦ θανάτου. Πλὴν ὁ Θεὸς συνθλάσει κεφαλὰς ἐχθρῶν αὐτοῦ, κορυφὴν τριχὸς διαπορευομένων ἐν πλημμελείαις αὐτῶν. Εἶπε κύριος· Ἐκ Βασὰν ἐπιστρέψω, ἐπιστρέψω ἐν βυθοῖς θαλάσσης. Ὅπως ἂν βαφῇ ὁ ποὺς σου ἐν αἵματι, ἡ γλῶσσα τῶν κυνῶν σου ἐξ ἐχθρῶν παρ' αὐτοῦ. Ἐθεωρήθησαν αἱ πορεῖαί σου ὁ Θεός, αἱ πορεῖαι τοῦ Θεοῦ μου τοῦ Βασιλέως τοῦ ἐν τῷ ἁγίῳ. Προέφθασαν ἄρχοντες ἑχόμενοι ψαλλόντων, ἐν μέσῳ νεανίδων τυμπανιστριῶν. Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν, Κύριον ἐκ πηγῶν Ἰσραήλ. Ἐκεῖ Βενιαμὶν νεώτερος ἐν ἐκστάσει. Ἄρχοντες Ἰούδα ἡγεμόνες αὐτῶν, ἄρχοντες Ζαβουλὼν, ἄρχοντες Νεφθαλείμ. Ἐντεῖλαι ὁ Θεὸς τῇ δυνάμει σου· δυνάμωσον ὁ Θεὸς τοῦτο, ὃ κατειργάσω ἐν ἡμῖν. Ἀπὸ τοῦ Ναοῦ σου ἐπὶ Ἱερουσαλὴμ, σοὶ οἴσουσι Βασιλεῖς δῶρα. Ἐπιτίμησον τοῖς θηρίοις τοῦ καλάμου· ἡ συναγωγὴ τῶν ταύρων ἐν ταῖς δαμάλεσι τῶν λαῶν, τοῦ ἐγκλεισθῆναι τοὺς δεδοκιμασμένους τῷ ἀργυρίῳ. Διασκόρπισον ἔθνη τὰ τοὺς πολέμους θέλοντα· ἥξουσι πρέσβεις ἐξ Αἰγύπτου, Αἰθιοπία προφθάσει χεῖρα αὐτῆς τῷ Θεῷ. Αἱ βασίλειαι τῆς γῆς ᾄσατε τῷ θεῷ, ψάλατε τῷ Κυρίῳ τῷ ἐπιβεβηκότι ἐπὶ τὸν Οὐρανὸν τοῦ Οὐρανοῦ κατὰ ἀνατολάς. Ἰδοὺ δώσει τῇ φωνῇ αὐτοῦ, φωνὴν δυνάμεως· δότε δόξαν τῷ Θεῷ, ἐπὶ τὸν Ἰσραὴλ ἡ μεγαλοπρέπεια αὐτοῦ, καὶ ἡ δύναμις αὐτοῦ ἐν ταῖς νεφέλαις. Θαυμαστὸς ὁ θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ, ὁ θεὸς Ἰσραήλ. Αὐτὸς δώσει δύναμιν καὶ κραταίωσιν τῷ λαῷ αὐτοῦ. Εὐλογητὸς ὁ Θεός.

Δόξα καὶ νῦν. Ἀλληλούϊα, ἐκ τρίτου.

ΨΑΛΜΟΣ, ξή. 68.

Σῶσόν με ὁ Θεός, ὅτι εἰσῆλθοσαν ὕδατα ἕως ψυχῆς μου. Ἐνε-

νεπάγην εἰς βλὺν βυθοῦ, καὶ οὐκ ἔστιν ὑπόστασις. Ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης, καὶ καταιγὶς κατεπόντισέ με. Ἐκοπίασα κράζων, ἐβραγχίασεν ὁ λάρυγξ μου, ἐξέλιπον οἱ ὀφθαλμοί μου ἀπὸ τοῦ ἐλπίζειν με ἐπὶ τὸν Θεόν μου. Ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου οἱ μισοῦντές με δωρεάν. Ἐκραταιώθησαν οἱ ἐχθροί μου, οἱ ἐκδιώκοντές με ἀδίκως, ἃ οὐχ ἥρπαζον, τότε ἀπετίννυον. Ὁ θεός, σὺ ἔγνως τὴν ἀφροσύνην μου· καὶ αἱ πλημμέλειαί μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβησαν. Μὴ αἰσχυνθείησαν ἐπ' ἐμὲ οἱ ὑπομένοντές σε, Κύριε, Κύριε τῶν δυνάμεων· Μηδὲ ἐντραπείησαν ἐπ' ἐμὲ οἱ ζητοῦντές σε, ὁ Θεὸς τοῦ Ἰσραήλ. Ὅτι ἕνεκά σου ὑπήνεγκα ὀνειδισμόν, ἐκάλυψεν ἐντροπὴ τὸ πρόσωπόν μου. Ἀπηλλοτριωμένος ἐγεννήθην τοῖς ἀδελφοῖς μου, καὶ ξένος τοῖς υἱοῖς τῆς μητρός μου. Ὅτι ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ με, καὶ οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπεσον ἐπ' ἐμέ. Καὶ συνεκάλυψα ἐν νηστείᾳ τὴν ψυχήν μου, καὶ ἐγενήθη εἰς ὀνειδισμοὺς ἐμοί. Καὶ ἐθέμην τὸ ἔνδυμά μου σάκκον, καὶ ἐγενόμην αὐτοῖς εἰς παραβολήν. Κατ' ἐμοῦ ἠδολέσχουν οἱ καθήμενοι ἐν πύλαις, καὶ εἰς ἐμὲ ἔψαλλον οἱ πίνοντες οἶνον. Ἐγὼ δὲ τῇ προσευχῇ μου πρός σέ, Κύριε, καιρὸς εὐδοκίας. Ὁ Θεός, ἐν τῷ πλήθει τοῦ ἐλέους σου ἐπάκουσόν μου, ἐν ἀληθείᾳ τῆς σωτηρίας σου. Σῶσόν με ἀπὸ πηλοῦ, ἵνα μὴ ἐμπαγῶ· ῥυσθείην ἐκ τῶν μισούντων με, καὶ καταποντισάτω καταιγὶς ὕδατος, μηδὲ καταπιέτω με βυθός, μηδὲ συσχέτω ἐπ' ἐμὲ φρέαρ τὸ στόμα αὐτοῦ. Εἰσάκουσόν μου, Κύριε, ὅτι χρηστὸν τὸ ἔλεός σου, κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐπίβλεψον ἐπ' ἐμέ. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ τοῦ παιδός σου, ὅτι θλίβομαι, ταχὺ ἐπάκουσόν μου. Πρόσχες τῇ ψυχῇ μου, καὶ λύτρωσαι αὐτὴν· ἕνεκα τῶν ἐχθρῶν μου ῥῦσαί με. Σὺ γὰρ γινώσκεις τὸν ὀνειδισμόν μου, καὶ τὴν αἰσχύνην μου, καὶ τὴν ἐντροπήν μου. Ἐναντίον σου πάντες οἱ θλίβοντές με· ὀνειδισμὸν προσεδόκησεν ἡ ψυχή μου, καὶ ταλαιπωρίαν. Καὶ ὑπέμεινα συλλυπούμενον, καὶ οὐκ ὑπῆρξε· καὶ παρακαλοῦντας, καὶ οὐχ εὗρον. Καὶ ἔδωκαν εἰς τὸ βρῶμά μου χολήν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος. Γενηθήτω ἡ τράπεζα αὐτῶν ἐνώπιον αὐτῶν εἰς παγίδα, καὶ εἰς ἀνταπόδοσιν, καὶ εἰς σκάνδαλον. Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν, καὶ τὸν νῶτον αὐτῶν διαπαντὸς σύγκαμψον. Ἔκχεον ἐπ' αὐτοὺς τὴν ὀργήν σου, καὶ ὁ θυμὸς τῆς ὀργῆς σου καταλάβοι αὐτούς. Γενηθήτω ἡ ἔπαυλις αὐτῶν ἠρημωμένη, καὶ ἐν τοῖς σκηνώμασιν αὐτῶν μὴ ἔστω ὁ κατοικῶν. Ὅτι ὃν σὺ ἐπάταξας, αὐτοὶ κατεδίωξαν, καὶ ἐπὶ τὸ ἄλγος τῶν τραυμάτων μου προσέθηκαν. Πρόσθες ἀνομίαν ἐπὶ τῇ ἀνομίᾳ αὐτῶν, καὶ μὴ εἰσελθέτωσαν ἐν δικαιοσύνῃ σου. Ἐξαλειφθήτωσαν ἐκ βίβλου ζώντων,

καὶ

καὶ μετὰ δικαίων μὴ γραφήτωσαν. Πτωχὸς, καὶ ἀλγῶν εἰμι ἐγώ· ἡ σωτηρία σου, ὁ Θεὸς, ἀντιλάβοιτό μου. Αἰνέσω τὸ ὄνομα τοῦ Θεοῦ μου μετ' ᾠδῆς, μεγαλυνῶ αὐτὸν ἐν αἰνέσει. Καὶ ἀρέσει τῷ Θεῷ ὑπὲρ μόσχον νέον, κέρατα ἐκφέροντα, καὶ ὁπλάς. Ἰδέτωσαν πτωχοὶ, καὶ εὐφρανθήτωσαν· ἐκζητήσατε τὸν Θεὸν, καὶ ζήσεται ἡ ψυχὴ ὑμῶν. Ὅτι εἰσήκουσε τῶν πενήτων ὁ Κύριος, καὶ τοὺς πεπεδημένους αὐτοῦ οὐκ ἐξουδένωσεν. Αἰνεσάτωσαν αὐτὸν οἱ Οὐρανοὶ, καὶ ἡ γῆ, θάλασσα καὶ πάντα τὰ ἕρποντα ἐν αὐτῇ. Ὅτι ὁ Θεὸς σώσει τὴν Σιών, καὶ οἰκοδομηθήσονται αἱ πόλεις τῆς Ἰουδαίας. Καὶ κατοικήσουσιν ἐκεῖ, καὶ κληρονομήσουσιν αὐτήν. Καὶ τὸ σπέρμα τῶν δούλων σου καθέξουσιν αὐτὴν, καὶ οἱ ἀγαπῶντες τὸ ὄνομά σου κατασκηνώσουσιν ἐν αὐτῇ.

ΨΑΛΜΟΣ ξθ'. 69.

Ὁ Θεὸς, εἰς τὴν βοήθειάν μου πρόσχες· Κύριε, εἰς τὸ βοηθῆσαί μοι σπεῦσον. Αἰσχυνθήτωσαν, καὶ ἐντραπήτωσαν οἱ ζητοῦντες τὴν ψυχήν μου. Ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω, καὶ καταισχυνθήτωσαν οἱ βουλόμενοί μοι κακά. Ἀποστραφήτωσαν παραυτίκα αἰσχυνόμενοι οἱ λέγοντές μοι· Εὖγε, εὖγε. Ἀγαλλιάσθωσαν, καὶ εὐφρανθήτωσαν ἐπὶ σοὶ πάντες, οἱ ζητοῦντές σε, ὁ Θεὸς, καὶ λεγέτωσαν διαπαντὸς· Μεγαλυνθήτω ὁ Κύριος, οἱ ἀγαπῶντες τὸ σωτήριόν σου. Ἐγὼ δὲ πτωχός εἰμι καὶ πένης, ὁ Θεὸς, βοήθησόν μοι. Βοηθός μου καὶ ῥύστης μου εἶ σὺ, Κύριε· μὴ χρονίσῃς.

Δόξα, καὶ νῦν. Καὶ εὐθὺς τὸ, Πιστεύω εἰς ἕνα Θεόν. Εἶτα, Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν.

Καὶ τὰ Τροπάρια ταῦτα, ἦχ. β'.

Ἀκτιστε φύσις, ἡ τῶν ὅλων δημιουργὸς, τὰ χείλη ἡμῶν ἄνοιξον, ὅπως ἀναγγέλλωμεν τὴν ἄνεσίν σου βοῶντες· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός. Διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

Δόξα.

Τὰς ἄνω Δυνάμεις μιμούμενοι οἱ ἐπὶ γῆς, ἐπινίκιον ὕμνον προσφέρομέν σοι ἀγαθέ. Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός. Διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

Καὶ νῦν.

Τῆς κλίνης καὶ τοῦ ὕπνου ἐξεγείρας με, Κύριε, τὸν νοῦν μου φώτισον, καὶ τὴν καρδίαν, καὶ τὰ χείλη μου ἄνοιξον, εἰς τὸ ὑμνεῖν σε Ἁγία Τριάς· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός. Διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

Τὸ, Κύριε ἐλέησον, μ'. Ὁ ἐν παντὶ καιρῷ, καὶ πάσῃ ὥρα. Ζήτει εἰς Φύλλ. 4.

Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον Πάτερ. Ὁ ἱερεύς.

Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς. Δέσποτα Θεὲ Πάτερ. Καὶ ἡ παροῦσα εὐχὴ τοῦ Ἁγίου Εὐστρατίου.

Με-

Μεγαλύνων μεγαλύνω σε Κύριε, ὅτι ἐπεῖδες ἐπὶ τὴν ταπείνωσίν μου, καὶ οὐ συνέκλεισάς με εἰς χεῖρας ἐχθρῶν, ἀλλ' ἔσωσας ἐκ τῶν ἀναγκῶν τὴν ψυχήν μου. Καὶ νῦν, Δέσποτα, σκεπασάτω με ἡ χείρ σου καὶ ἔλθοι ἐπ' ἐμὲ τὸ ἔλεός σου, ὅτι τετάρακται ἡ ψυχή μου, καὶ κατώδυνός ἐστιν, ἐν τῷ ἐκπορεύεσθαι αὐτὴν ἐκ τοῦ ἀθλίου μου καὶ ῥυπαροῦ σώματος τούτου· μήποτε ἡ πονηρὰ τοῦ ἀντικειμένου βουλὴ συναντήσῃ αὐτῇ, καὶ παρεμποδίσῃ ἐν σκότει, διὰ τὰς ἐν ἀγνοίᾳ καὶ γνώσει ἐν τῷ βίῳ τούτῳ γενομένας μοι ἁμαρτίας. Ἵλεως γενοῦ μοι Δέσποτα· καὶ μὴ ἰδέτω ἡ ψυχή μου τὴν ζεζοφωμένην ὄψιν τῶν πονηρῶν Δαιμόνων· ἀλλὰ παραλαβέτωσαν αὐτὴν Ἄγγελοί σου φαιδροὶ καὶ φωτεινοί. Δὸς δόξαν τῷ ὀνόματί σου τῷ Ἁγίῳ, καὶ τῇ σῇ δυνάμει ἀνάγαγέ με εἰς τὸ θεῖόν σου βῆμα. Ἐν τῷ κρίνεσθαί με, μὴ καταλάβοι με ἡ χεὶρ τοῦ ἄρχοντος τοῦ Κόσμου τούτου, εἰς τὸ καταπᾶσαί με τὸν ἁμαρτωλὸν εἰς βυθὸν Ἅδου. Ἀλλὰ παράστηθί μοι, καὶ γενοῦ μοι Σωτὴρ καὶ ἀντιλήπτωρ· αἱ γὰρ σωματικαὶ αὗται τιμωρίαι, εὐφροσύναι εἰσὶ τοῖς δούλοις σου. Ἐλέησον, Κύριε, τὴν ῥυπωθεῖσαν τοῖς πάθεσι τοῦ βίου ψυχήν μου, καὶ καθαρὰν αὐτὴν διὰ μετανοίας καὶ ἐξομολογήσεως πρόσδεξαι· ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα τὸ, Δεῦτε προσκυνήσωμεν, γ'. Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, τὸ, Ἰδοὺ δὴ εὐλογεῖτε τὸν Κύριον. Δόξα καὶ νῦν. Τρισάγιον. Μετανοίας γ'. τὸ, Παναγία Τριάς. Πάτερ ἡμῶν, καὶ τὰ Τροπάρια: Μνήσθητι Κύριε ὡς ἀγαθός. Ὁ βάθει σοφίας φιλανθρώπως. Δόξα. Μετὰ τῶν ἁγίων ἀνάπαυσον Χριστέ. Καὶ νῦν. Μακαρίζομέν σε πᾶσαι αἱ γενεαί. Κύριε ἐλέησον, ιβ'. Μνήσθητι Κύριε τῶν ἐπ' ἐλπίδι.

Ἀπόλυσις παρὰ τοῦ Ἱερέως, καὶ ἡ Συγχώρησις. Ὅρα φύλ. 5

ΜΕΣΟΝΥΚΤΙΚΟΝ

ΤΗΣ

ΚΥΡΙΑΚΗΣ.

Μετὰ τὸν εὐλογητὸν, τὸ, Βασιλεῦ Οὐράνιε. Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ. Κύριε ἐλέησον, ιβ'. Δόξα, καὶ νῦν. Δεῦτε προσκυνήσωμεν, γ'. ὁ Ν'. Καὶ εὐθὺς λέγομεν τὸν Τριαδικὸν Κανόνα τοῦ ἐνεστῶτος ἤχου.

Καὶ μετὰ τὸν Τριαδικὸν κανόνα, ψάλλομεν τὰ Τριαδικὰ ταῦτα.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, τὴν ὑπέρθεον ὑμνεῖν Τριάδα, Ἄναρχον Πατέρα καὶ παντουργὸν, Συνάναρχον Λόγον, πρὸ αἰώνων ἐκ τοῦ Πατρὸς, ἀῤῥεύστως τεχθέντα, καὶ τὸ Ἅγιον Πνεῦμα, τὸ ἐκ Πατρὸς ἀχρόνως ἐκπορευόμενον

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, τοῦ δοξάζειν σε τὸν Θεὸν Λόγον. Ὃν ὁρίς-

φρίττει καὶ τρέμει τὰ Χερουβίμ, καὶ δοξολογοῦσιν αἱ Δυνάμεις τῶν οὐρανῶν, τὸν ἐξαναστάντα τριήμερον ἐκ Τάφου, Χριστὸν τὸν ζωοδότην φόβῳ δοξάσωμεν.

Μνήσωμεν πάντες θεοπρεπῶς, ᾄσμασιν ἐνθέοις, τὸν Πατέρα καὶ τὸν Υἱόν, καὶ Πνεῦμα τὸ θεῖον, τρισυπόστατον κράτος, τὴν μίαν Βασιλείαν καὶ Κυριότητα.

Ὃν ὑμνοῦσι πάντες οἱ γηγενεῖς, καὶ δοξολογοῦσιν αἱ Δυνάμεις τῶν οὐρανῶν, τὴν ὑπὸ τῶν πάντων πιστῶν προσκυνουμένην, Μονάδα κατ' οὐσίαν τὴν τρισυπόστατον.

Ὃν φρίσσει καὶ τρέμει τὰ Χερουβίμ, καὶ δοξολογοῦσι τῶν Ἀγγέλων αἱ στρατιαί, τὸν ἐκ τῆς Παρθένου ἀφράστως σαρκωθέντα, Χριστὸν τὸν ζωοδότην φόβῳ δοξάσωμεν.

Ἐκ νεκρῶν ἰδοῦσα τὸν σὸν Υἱόν, Ἄχραντε Παρθένε, ἀναστάντα θεοπρεπῶς, χαρᾶς ἀνεκφράστου ἡ κτίσις ἐπληροῦτο, αὐτὸν δοξολογοῦσα, καὶ σὲ γεραίρουσα.

Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ. Καὶ ἡ Ὑπακοὴ τοῦ ἤχου. ἢ τὸ, Ἐλέησον ἡμᾶς Κύριε.

Καὶ τὰ λοιπὰ, καὶ Ἀπόλυσις

Ἱστέον, ὅτι ἐν τῷ Ἁγίῳ ὄρει τοῦ Ἄθω, μετὰ τὸν Τριαδικὸν Κανόνα ψάλλουσι. Τὴν τιμιωτέραν, δίχορον· εἶθ' οὕτω. Τρισάγιον, Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν. Τὴν Ὑπακοὴν τοῦ ἤχου τὸ, Κύριε ἐλέησον, μ'. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν, καὶ τ λοιπὰ, καὶ Ἀπόλυσις. Ὁ ἀναστὰ ἐκ νεκρῶν Θεός.

ΑΡΧΗ

ΤΟΥ

ΟΡΘΡΟΥ

Εἰ μέν ἐστι μεγάλη Τεσσαρο κοστὴ, πρῶτον, Τρισάγιον, Πανα γίας Τριάς. Πάτερ ἡμῶν. Κύριε ἐ λέησον, ιϐ'. Δεῦτε προσκυνήσω μεν, γ'.

ΨΑΛΜΟΣ, ιθ'. 19.

Ἐπακοῦσαί σου Κύριος ἐν ἡ μέρᾳ θλίψεως, ὑπερασπίσαι σο τὸ ὄνομα τοῦ Θεοῦ Ἰακώϐ. Ἐξα ποστεῖλαί σοι βοήθειαν ἐξ Ἁγίου καὶ ἐκ Σιὼν ἀντιλάϐοιτό σου Μνησθείη πάσης θυσίας σου, καὶ τ ὁλοκαύτωμά σου πιανάτω. Δῴη σ Κύριος κατὰ τὴν καρδίαν σου, κ πᾶσαν τὴν βουλήν σου πληρώσα Ἀγαλλιασόμεθα ἐπὶ τῷ Σωτηρί σου, καὶ ἐν ὀνόματι Κυρίου Θε ἡμῶν μεγαλυνθησόμεθα. Πληρώ σαι Κύριος πάντα τὰ αἰτήματ σου· νῦν ἔγνων, ὅτι ἔσωσε Κύριο τὸν Χριστὸν αὐτοῦ. Ἐπακούσετα αὐτοῦ ἐξ Οὐρανοῦ Ἁγίου αὐτοῦ ἐν δυναστείαις ἡ σωτηρία τῆς δε ξιᾶς αὐτοῦ. Οὗτοι ἐν ἅρμασι, κα οὗτοι ἐν ἵπποις· ἡμεῖς δὲ ἐν ὀνό ματι Κυρίου, Θεοῦ ἡμῶν, ἐπικαλε σόμεθα. Αὐτοὶ συνεποδίσθησαν κα

ἔπε-

ἔπεσον, ἡμεῖς δὲ ἀνέστημεν, καὶ ἀνορθώθημεν. Κύριε σῶσον τὸν Βασιλέα, καὶ ἐπάκουσον ἡμῶν, ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλεσώμεθά σε.

ΨΑΛΜΟΣ, κ'. 20.

Κύριε, ἐν τῇ δυνάμει σου εὐφρανθήσεται ὁ Βασιλεὺς, καὶ ἐπὶ τῷ Σωτηρίῳ σου ἀγαλλιάσεται σφόδρα. Τὴν ἐπιθυμίαν τῆς καρδίας αὐτοῦ ἔδωκας αὐτῷ, καὶ τὴν θέλησιν τῶν χειλέων αὐτοῦ οὐκ ἐστέρησας αὐτόν. Ὅτι προέφθασας αὐτὸν ἐν εὐλογίαις χρηστότητος· ἔθηκας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον ἐκ λίθου τιμίου. Ζωὴν ἠτήσατό σε, καὶ ἔδωκας αὐτῷ μακρότητα ἡμερῶν εἰς αἰῶνα αἰῶνος. Μεγάλη ἡ δόξα αὐτοῦ ἐν τῷ σωτηρίῳ σου· δόξαν καὶ μεγαλοπρέπειαν ἐπιθήσεις ἐπ' αὐτόν. Ὅτι δώσεις αὐτῷ εὐλογίαν εἰς αἰῶνα, αἰῶνος, εὐφρανεῖς αὐτὸν ἐν χαρᾷ μετὰ τοῦ προσώπου σου. Ὅτι ὁ Βασιλεὺς ἐλπίζει ἐπὶ Κύριον, καὶ ἐν τῷ ἐλέει τοῦ Ὑψίστου οὐ μὴ σαλευθῇ. Εὑρεθείη ἡ χείρ σου πᾶσι τοῖς ἐχθροῖς σου, ἡ δεξιά σου εὕροι πάντας τοὺς μισοῦντάς σε. Ὅτι θήσεις αὐτοὺς ὡς κλίβανον πυρὸς εἰς καιρὸν τοῦ προσώπου σου. Κύριος ἐν ὀργῇ αὐτοῦ συνταράξει αὐτούς, καὶ καταφάγεται αὐτοὺς πῦρ. Τὸν καρπὸν αὐτῶν ἀπὸ τῆς γῆς ἀπολεῖς, καὶ τὸ σπέρμα αὐτῶν ἀπὸ Υἱῶν ἀνθρώπων. Ὅτι ἔκλιναν εἰς σὲ κακά, διελογίσαντο βουλὰς, αἷς οὐ μὴ δύνωνται στῆναι. Ὅτι θήσεις αὐτοὺς νῶτον ἐν τοῖς περιλοίποις σου, ἑτοιμάσεις τὸ πρόσωπον αὐτῶν. Ὑψώθητι, Κύριε, ἐν τῇ δυνάμει σου, ᾄσωμεν, καὶ ψαλοῦμεν τὰς δυναστείας σου.

Δόξα, καὶ νῦν. εἶτα Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ. Καὶ τὰ Τροπάρια ταῦτα.

Σῶσον Κύριε τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς Βασιλεῦσι κατὰ βαρβάρων δωρούμενος, καὶ τὸ σὸν φυλάττων διὰ τοῦ Σταυροῦ σου πολίτευμα. Δόξα.

Ὁ Ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως, τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ, τοὺς οἰκτιρμούς σου δώρησαι Χριστὲ ὁ Θεός· εὔφρανον ἐν τῇ δυνάμει σου τοὺς πιστοὺς Βασιλεῖς ἡμῶν, νίκας χορηγῶν αὐτοῖς κατὰ τῶν πολεμίων· τὴν συμμαχίαν ἔχοιεν τὴν σὴν, ὅπλον εἰρήνης, ἀήττητον τρόπαιον.

Καὶ νῦν. Θεοτοκίον.

Προστασία φοβερὰ καὶ ἀκαταίσχυντε, μὴ παρίδῃς ἀγαθὴ τὰς ἱκεσίας ἡμῶν, πανύμνητε Θεοτόκε. Στήριξον Ὀρθοδόξων πολιτείαν· Σῶζε, οὓς ἐκελεύσας βασιλεύειν, καὶ χορήγει αὐτοῖς οὐρανόθεν τὴν νίκην, διότι ἔτεκες τὸν Θεὸν, μόνη εὐλογημένη.

Ὁ Ἱερεύς. Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἐκφώνησις. Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ τὰ λοιπά.

Ὁ Λαός. Ἐν ὀνόματι Κυρίου, εὐλόγησον Πάτερ.

Ὁ Ἱερεύς. Δόξα τῇ ἁγίᾳ, καὶ ὁμοουσίῳ, καὶ ζωοποιῷ, καὶ ἀδιαιρέτῳ Τριάδι, πάντοτε νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ ἀρχόμεθα τοῦ Ἐξαψάλμου, πάσῃ σιωπῇ καὶ κατανύξει ἀκροώμενοι, ὁ δὲ ταχθεὶς Ἀδελφός, ἢ προεστὼς, μετ' εὐλαβείας καὶ φόβου Θεοῦ λέγει.

Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

(Ἐκ τρίτου.)

Κύριε τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. (Ἐκ δευτέρου.)

Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με; πολλοὶ ἐπανίστανται ἐπ' ἐμέ. Πολλοὶ λέγουσι τῇ ψυχῇ μου· οὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ Θεῷ αὐτοῦ. Σὺ δὲ Κύριε, ἀντιλήπτωρ μου εἶ, δόξα μου καὶ ὑψῶν τὴν κεφαλήν μου. Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, καὶ ἐπήκουσέ μου ἐξ ὄρους ἁγίου αὐτοῦ. Ἐγὼ δὲ ἐκοιμήθην, καὶ ὕπνωσα, ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψεταί μου. Οὐ φοβηθήσομαι, ἀπὸ μυριάδων λαοῦ, τῶν κύκλῳ συνεπιτιθεμένων μοι. Ἀνάστα Κύριε, σῶσόν με ὁ Θεός μου. Ὅτι σὺ ἐπάταξας πάντας τοὺς ἐχθραίνοντάς μοι ματαίως· ὀδόντας ἁμαρτωλῶν συνέτριψας. Τοῦ Κυρίου ἡ σωτηρία, καὶ ἐπὶ τὸν λαόν σου ἡ εὐλογία σου.

Ἐγὼ ἐκοιμήθην, καὶ ὕπνωσα, ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψετέ μου. (Ἐκ δευτέρου.)

ΨΑΛΜΟΣ, λζ'. 37.

Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με. Ὅτι τὰ βέλη σου ἐνεπάγησάν μοι, καὶ ἐπεστήριξας ἐπ' ἐμὲ τὴν χεῖρά σου. Οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου ἀπὸ προσώπου τῆς ὀργῆς σου· οὐκ ἔστιν εἰρήνη ἐν τοῖς ὀστέοις μου ἀπὸ προσώπου τῶν ἁμαρτιῶν μου. Ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου, ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ. Προσώζεσαν, καὶ ἐσάπησαν οἱ μώλωπές μου, ἀπὸ προσώπου τῆς ἀφροσύνης μου. Ἐταλαιπώρησα, καὶ κατεκάμφθην ἕως τέλους, ὅλην τὴν ἡμέραν σκυθρωπάζων ἐπορευόμην. Ὅτι αἱ ψόαι μου ἐπλήσθησαν ἐμπαιγμάτων, καὶ οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου. Ἐκακώθην, καὶ ἐταπεινώθην ἕως σφόδρα, ὠρυόμην ἀπὸ στεναγμοῦ τῆς καρδίας μου. Κύριε, ἐναντίον σου πᾶσα ἡ ἐπιθυμία μου, καὶ ὁ στεναγμός μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβη. Ἡ καρδία μου ἐταράχθη, ἐγκατέλιπέ με ἡ ἰσχύς μου, καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου, καὶ αὐτὸ οὐκ ἔστι μετ' ἐμοῦ. Οἱ φίλοι μου, καὶ οἱ πλησίον μου ἐξ ἐναντίας μου ἤγγισαν, καὶ ἔστησαν. Καὶ οἱ ἐγγιστά μου ἀπὸ μακρόθεν ἔστησαν· καὶ ἐξεβιάζοντο οἱ ζητοῦντες τὴν ψυχήν μου. Καὶ οἱ ζητοῦντες τὰ κακά μοι ἐλάλησαν ματαιότητας, καὶ δολιότητας ὅλην τὴν ἡμέραν ἐμελέτησαν. Ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον, καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ. Καὶ ἐγενόμην ὡσεὶ ἄνθρωπος οὐκ

οὐκ ἀκούων, καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς. Ὅτι ἐπὶ σοί, Κύριε, ἤλπισα, σὺ εἰσακούσῃ, Κύριε ὁ Θεός μου. Ὅτι εἶπον: Μήποτε ἐπιχαρῶσί μοι οἱ ἐχθροί μου, καὶ ἐν τῷ σαλευθῆναι πόδας μου, ἐπ' ἐμὲ ἐμεγαλορρήμονησαν. Ὅτι ἐγὼ εἰς μάστιγας ἕτοιμος, καὶ ἡ ἀλγηδών μου ἐνώπιόν μου ἐστὶ διαπαντός. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ ἀναγγελῶ, καὶ μεριμνήσω ὑπὲρ τῆς ἁμαρτίας μου· Οἱ δὲ ἐχθροί μου ζῶσι, καὶ κεκραταίωνται ὑπὲρ ἐμέ, καὶ ἐπληθύνθησαν οἱ μισοῦντές με ἀδίκως. Οἱ ἀνταποδιδόντές μοι κακὰ ἀντὶ ἀγαθῶν, ἐνδιέβαλλόν με, ἐπεὶ κατεδίωκον ἀγαθωσύνην. Μὴ ἐγκαταλίπῃς με Κύριε ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ' ἐμοῦ. Πρόσχες εἰς τὴν βοήθειάν μου· Κύριε τῆς σωτηρίας μου. Πάλιν.

Μὴ ἐγκαταλίπῃς με Κύριε ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ' ἐμοῦ. Πρόσχες εἰς τὴν βοήθειάν μου. Κύριε τῆς σωτηρίας μου.

ΨΑΛΜΟΣ, ξϐ'. 62

Ὁ Θεός, ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω. Ἐδίψησέ σε ἡ ψυχή μου, ποσαπλῶς σοι ἡ σάρξ μου· ἐν γῇ ἐρήμῳ, καὶ ἀβάτῳ καὶ ἀνύδρῳ, οὕτως ἐν τῷ ἁγίῳ ὤφθην σοι, τοῦ ἰδεῖν τὴν δύναμίν σου καὶ τὴν δόξαν σου. Ὅτι κρεῖσσον τὸ ἔλεός σου ὑπὲρ ζωάς, τὰ χείλη μου ἐπαινέσουσί σε. Οὕτως εὐλογήσω σε ἐν τῇ ζωῇ μου, καὶ ἐν τῷ ὀνόματί σου ἀρῶ τὰς χεῖράς μου. Ὡς ἐκ στέατος, καὶ πιότητος ἐμπλησθείη ἡ ψυχή μου, καὶ χείλη ἀγαλλιάσεως αἰνέσει τὸ στόμα μου. Εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ. Ὅτι ἐγενήθης βοηθός μου, καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι. Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου. Αὐτοὶ δὲ εἰς μάτην ἐζήτησαν τὴν ψυχήν μου, εἰσελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς. Παραδοθήσονται εἰς χεῖρας ῥομφαίας, μερίδες ἀλωπέκων ἔσονται. Ὁ δὲ Βασιλεὺς εὐφρανθήσεται ἐπὶ τῷ Θεῷ, ἐπαινεθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ, ὅτι ἐνεφράγη στόμα λαλούντων ἄδικα

Ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ· ὅτι ἐγενήθης βοηθός μου, καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι. Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου. Δίς.

Δόξα, καὶ νῦν, Ἀλληλούϊα, ἀνευ Μετανοιῶν, Καὶ ἐξέρχεται ὁ Ἱερεὺς ἐκ τοῦ Βήματος, καὶ λέγει τὰς ἑωθινὰς εὐχάς, ἔμπροσθεν τῆς Εἰκόνος τοῦ Δεσπότου Χριστοῦ, μυστικῶς.

ΨΑΛΜΟΣ, πζ'. 87.

Κύριε ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα, καὶ ἐν νυκτὶ ἐναντίον σου. Εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου, κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου, Ὅτι ἐπλήσθη κακῶν ἡ ψυχή μου, καὶ ἡ ζωή μου τῷ Ἅδῃ ἤγγισε. Προσελογίσθην μετὰ τῶν καταβαί-

θανόντων εἰς λάκκον, ἐγενήθην ὡσεὶ ἄνθρωπος ἀβοήθητος, ἐν νεκροῖς ἐλεύθερος. Ὡσεὶ τραυματίαι καθεύδοντες ἐν τάφῳ, ὧν οὐκ ἐμνήσθης ἔτι, καὶ αὐτοὶ ἐκ τῆς χειρός σου ἀπώσθησαν. Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ, ἐν σκοτεινοῖς, καὶ ἐν σκιᾷ θανάτου. Ἐπ' ἐμὲ ἐπεστηρίχθη ὁ θυμός σου, καὶ πάντας τοὺς μετεωρισμούς σου ἐπήγαγες ἐπ' ἐμέ. Ἐμάκρυνας τοὺς γνωστούς μου ἀπ' ἐμοῦ, ἔθεντό με βδέλυγμα ἑαυτοῖς. Παρεδόθην, καὶ οὐκ ἐξεπορευόμην. οἱ ὀφθαλμοί μου ἠσθένησαν ἀπὸ πτωχείας. Ἐκέκραξα πρὸς σέ, Κύριε, ὅλην τὴν ἡμέραν, διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου. Μὴ τοῖς νεκροῖς ποιήσεις θαυμάσια; ἢ ἰατροὶ ἀναστήσουσι, καὶ ἐξομολογήσονταί σοι; Μὴ διηγήσεταί τις ἐν τῷ τάφῳ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου ἐν τῇ ἀπωλείᾳ; Μὴ γνωσθήσεται ἐν τῷ σκότει τὰ θαυμάσιά σου, καὶ ἡ δικαιοσύνη σου ἐν γῇ ἐπιλελησμένῃ; Κἀγὼ πρὸς σέ Κύριε ἐκέκραξα, καὶ τὸ πρωὶ ἡ προσευχή μου προφθάσει σε. Ἵνα τί, Κύριε, ἀπωθῇ τὴν ψυχήν μου, ἀποστρέφῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ; Πτωχός εἰμι ἐγὼ, καὶ ἐν κόποις ἐκ νεότητός μου· ὑψωθεὶς δὲ ἐταπεινώθην, καὶ ἐξηπορήθην. Ἐπ' ἐμὲ διῆλθον αἱ ὀργαί σου, οἱ φοβερισμοί σου ἐξετάραξάν με. Ἐκύκλωσάν με ὡσεὶ ὕδωρ, ὅλην τὴν ἡμέραν περιέσχον με ἅμα. Ἐμάκρυνας ἀπ' ἐμοῦ φίλον καὶ πλησίον καὶ τοὺς γνωστούς μου ἀπὸ ταλαιπωρίας. Καὶ πάλιν.

Κύριε ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα. καὶ ἐν νυκτὶ ἐναντίον σου. Εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου, κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου.

ΨΑΛΜΟΣ, ρβ', 102.

Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ. Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ. Τὸν εὐιλατεύοντα πάσας τὰς ἀνομίας σου, τὸν ἰώμενον πάσας τὰς νόσους σου. Τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου, τὸν στεφανοῦντά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς. Τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου· ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου. Ποιῶν ἐλεημοσύνας ὁ Κύριος, καὶ κρῖμα πᾶσι τοῖς ἀδικουμένοις. Ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ Μωϋσῇ, τοῖς Υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ. Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος. Οὐκ εἰς τέλος ὀργισθήσεται, οὐδὲ εἰς τὸν αἰῶνα μηνιεῖ. Οὐ κατὰ τὰς ἀνομίας ἡμῶν ἐποίησεν ἡμῖν, οὐδὲ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν. Ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς, ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν. Καθόσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ' ἡμῶν τὰς ἀνομίας ἡμῶν. Καθὼς οἰκτείρει πατὴρ Υἱούς, ᾠκτείρησε Κύριος τοὺς φοβουμένους αὐτόν· ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν, ἐμνήσθη ὅτι

χοῦς

χοῦς ἐσμέν. Ἄνθρωπος ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ οὕτως ἐξανθήσει. Ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ, καὶ οὐχ ὑπάρξει, καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ. Τὸ δὲ ἔλεος τοῦ Κυρίου ἀπὸ τοῦ αἰῶνος, καὶ ἕως τοῦ αἰῶνος ἐπὶ τοὺς φοβουμένους αὐτόν. Καὶ ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ υἱοῖς υἱῶν, τοῖς φυλάσσουσι τὴν διαθήκην αὐτοῦ, καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ τοῦ ποιῆσαι αὐτάς. Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ Βασιλεία αὐτοῦ πάντων δεσπόζει. Εὐλογεῖτε τὸν Κύριον πάντες οἱ Ἄγγελοι αὐτοῦ, δυνατοὶ ἰσχύϊ ποιοῦντες τὸν λόγον αὐτοῦ, τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ. Εὐλογεῖτε τὸν Κύριον πᾶσαι αἱ Δυνάμεις αὐτοῦ, λειτουργοὶ αὐτοῦ, οἱ ποιοῦντες τὸ θέλημα αὐτοῦ. Εὐλογεῖτε τὸν Κύριον πάντα τὰ ἔργα αὐτοῦ ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ, εὐλόγει ἡ ψυχή μου τὸν Κύριον. Καὶ πάλιν.

Ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ, εὐλόγει ἡ ψυχή μου τὸν Κύριον.

ΨΑΛΜΟΣ, ρμβ'. 142.

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου. ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου. Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου. Ἐκάθισέ με ἐν σκοτεινοῖς, ὡς νεκροὺς αἰῶνος, καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. Διεπέτασα πρός σε τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι. Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Ἀκουστόν ποίησόν μοι τὸ πρωὶ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα. Γνώρισόν μοι, Κύριε, ὁδόν, ἐν ᾗ πορεύσομαι, ὅτι πρός σε ἦρα τὴν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρός σε κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου. Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με. Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου, καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου. Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σου εἰμί.

Εἰσάκουσόν μου Κύριε ἐν τῇ δικαιοσύνῃ σου, καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου.

(Δίς)

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

Δόξα, καὶ νῦν. Ἀλληλούϊα, γ'.

Ὁ ἱερεὺς λέγει τὰ εἰρηνικὰ τοῦ ἑσπερινοῦ, ὁρᾷ φύλ. 7. καὶ εὐθὺς λέγεται τὸ, Θεὸς Κύριος, (κατὰ τὸν ἦχον τοῦ Τροπαρίου τοῦ κατὰ τὴν

τὴν ἡμέραν τυχόντος Ἁγίου) μετὰ τῶν στίχων αὐτοῦ οὕτως.

Στίχος ά. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, καὶ ἐπικαλεῖσθε τὸ ὄνομα τὸ Ἅγιον αὐτοῦ.

Στίχος β'. Πάντα τὰ ἔθνη ἐκύκλωσάν σε, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Στίχος γ'. Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Εἶτα λέγομεν τὸ Τροπάριον τῆς τυχούσης ἑορτῆς, ἢ τοῦ Ἁγίου, ἢ τὸ Ἀναστάσιμον τοῦ τυχόντος ἤχου,

Τῇ δὲ Ἁγίᾳ καὶ μεγάλῃ Τεσσαρακοστῇ, μετὰ τὴν μικρὰν Συναπτὴν, ψάλλομεν τὸ Ἀλληλούϊα ἐκ γ'. κατ' ἦχον, λέγοντες πρότερον ἕνα τῶν ἑφεξῆς στίχων.

Στίχος ά. ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου πρὸς σὲ ὁ Θεός· διότι φῶς τὰ προστάγματά σου ἐπὶ τῆς γῆς.

Στίχος β'. Δικαιοσύνην μάθετε οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς.

Στίχος γ'. Ζῆλος λήψεται λαὸν ἀπαίδευτον, καὶ νῦν πῦρ τοὺς ὑπεναντίους ἔδεται.

Στίχος δ'. Πρόσθες αὐτοῖς κακὰ, Κύριε, πρόσθες αὐτοῖς κακὰ τοῖς ἐνδόξοις τῆς γῆς.

Καὶ μετὰ τὸ, Ἀλληλούϊα, ψάλλομεν τὰ Τριαδικὰ τοῦ ἤχου, καθ' ἓν, ἅπαξ. Ὕμνοι Τριαδικοί, ἦχος, ά.

Σωματικαῖς μορφώσεσι τῶν ἀσωμάτων Δυνάμεων, πρὸς νοερὰν καὶ ἄϋλον ἀναγόμενοι ἔννοιαν· καὶ Τρισαγίῳ μελῳδήματι τρισυποστάτου Θεοτόκου, ἐνδεχόμενοι ἔλλαμψιν, Χερουβικῶς βοήσωμεν, Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός. Διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

Δόξα.

Μετὰ πασῶν τῶν Οὐρανίων Δυνάμεων Χερουβικῶς τῷ ἐν ὑψίστοις βοήσωμεν, τὸν τρισάγιον ἀναμέλποντες αἶνον. Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός. Διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

Καὶ νῦν.

Ἐξεγερθέντες τοῦ ὕπνου, προσπίπτομέν σοι, ἀγαθὲ, καὶ τῶν Ἀγγέλων τὸν ὕμνον βοῶμέν σοι, δυνατέ. Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός. Διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς. ἦχος β'.

Ἀκτιστε φύσις, ἡ τῶν ὅλων δημιουργός, τὰ χείλη ἡμῶν ἄνοιξον, ὅπως ἀναγγέλλωμεν τὴν αἴνεσίν σου, βοῶντες. Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός. Διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς. Δόξα.

Τὰς ἄνω Δυνάμεις μιμούμενοι οἱ ἐπὶ γῆς, ἐπινίκιον ὕμνον προσφέρομέν σοι ἀγαθέ. Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός. Διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς. Καὶ νῦν.

Τῆς κλίνης καὶ τοῦ ὕπνου ἐξεγείρας με, Κύριε, τὸν νοῦν μου, φώτισον, καὶ τὴν καρδίαν, καὶ τὰ χείλη μου ἄνοιξον, εἰς τὸ ὑμνεῖν σε Ἁγία Τριάς. Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός. Διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

ἦχος

Ἦχος, γ΄.

Πατέρα ἄναρχον, Υἱὸν συνάναρχον, Πνεῦμα συναίδιον, Θεότητα μίαν, Χερουβικῶς δοξάσωμεν. Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός. Δόξα.

Τριὰς ὁμοούσιε καὶ ἀδιαίρετε, Μονὰς τρισυπόστατε καὶ συναίδιε, σοὶ ὡς Θεῷ τῶν Ἀγγέλων τὸν ὕμνον κραυγάζομεν. Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός. Καὶ νῦν.

Ἀθρόον ὁ Κριτὴς ἐπελεύσεται, καὶ ἑκάστου αἱ πράξεις γυμνωθήσονται· ἀλλὰ φόβῳ κράξωμεν ἐν τῷ μέσῳ τῆς νυκτός. Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός.

Ἦχος, δ΄.

Τὸν ἄναρχόν σου Πατέρα, καὶ σὲ Χριστὲ ὁ Θεός, καὶ τὸ Πανάγιόν σου Πνεῦμα, Χερουβικῶς δοξολογεῖν τολμῶντες λέγομεν. Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός. Δόξα.

Ὡς αἱ τάξεις τῶν Ἀγγέλων ἐν Οὐρανῷ, καὶ στάσεις φόβῳ ἀνθρώπων ἐπὶ τῆς γῆς, ἐπινίκιον ὕμνον προσφέρομέν σοι, ἀγαθέ. Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός. Διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς. Καὶ νῦν.

Τῶν νοερῶν σου Λειτουργῶν, προσφέρειν οἱ θνητοί, τὸν ὕμνον τολμῶντες λέγομεν· ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεός.

Ἦχος πλ. ά.

Ὑμνῳδίας ὁ καιρὸς, καὶ δοξήσεως ὥρα· ἐκτενῶς βοῶμέν σοι τῷ μόνῳ Θεῷ. ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεός. Διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς. Δόξα.

Εἰκονίζειν τολμῶντες τὰ Νοερά σου στρατεύματα, Τριὰς ἄναρχε, στόμασιν ἀναξίοις βοῶμέν σοι. ἅγιος, ἅγιος, ἅγιος, εἶ ὁ Θεός. Διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς. Καὶ νῦν.

Ὁ ἐν μήτρᾳ παρθενικῇ χωρηθείς, καὶ τῶν κόλπων τοῦ Πατρὸς μὴ χωρισθείς, σὺν Ἀγγέλοις καὶ ἡμᾶς πρόσδεξαι, Χριστὲ ὁ Θεὸς. βοῶντάς σοι. Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός.

Ἦχος, πλ.. β΄.

Ἀσωμάτοις στόμασιν, ἀσιγήτοις δοξολογίαις, τὰ Ἑξαπτέρυγα ᾄδουσί σοι τὸν Τρισάγιον ὕμνον, ὁ Θεὸς ἡμῶν· καὶ ἡμεῖς οἱ ἐπὶ γῆς ἀναξίοις χείλεσιν αἶνόν σοι ἀναπέμπομεν. ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεός. Διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς. Δόξα.

Παριστάμενα φόβῳ τὰ Χερουβίμ, ἐξιστάμενα τρόμῳ τὰ Σεραφίμ, τὸν Τρισάγιον ὕμνον προσφέρει ἀσιγήτῳ φωνῇ· μεθ' ὧν καὶ ἡμεῖς βοῶμεν οἱ ἁμαρτωλοί· ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεός. Διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς. Καὶ νῦν.

Τριαδικῆς μονάδος Θεότητα, ἀσυγχύτῳ ἑνώσει δοξάσωμεν, καὶ τῶν Ἀγγέλων τὸν Ὕμνον βοήσωμεν.

μεν. ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεός.

Ἦχος, βαρύς.

Ὁ Ὑψίστῳ δυνάμει Χερουβικῶς ἀνυμνούμενος, καὶ Θεϊκῇ δόξῃ ἀγγελικῶς προσκυνούμενος, πρόσδεξαι καὶ ἡμᾶς τοὺς ἁμαρτωλοὺς, ἀναξίως τολμῶντας κραυγάζειν σοι· ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ θεός. Διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

Δόξα.

Τῇ ἀπροσίτῳ Θεότητι, τῇ ἐν μονάδι Τριάδι, τῶν Σεραφὶμ τὸν Τρισάγιον ἀναπέμποντες αἶνον, μετὰ φόβου βοήσωμεν· ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεός. Καὶ νῦν.

Ὦ; ὕπνον τὸν ὄκνον ἀποθεμένη ψυχὴ, διορθωσιν πρὸς ἔγερσιν δεῖξον τῷ Κριτῇ, καὶ ἐν φόβῳ βόησον· ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεός.

Ἦχος, πλ. δ'.

Ὁρᾷν σε μὴ τολμῶντα τὰ Χερουβὶμ, ἱπτάμενα κραυγάζει ἀλαλαγμῷ, τὸ ἔνθεον μέλος τῆς Τρισαγίας φωνῆς μεθ' ὧν καὶ ἡμεῖς βοῶμεν οἱ ἁμαρτωλοί. ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεος. Διὰ τῆς Θεοτόκου κτλ·

Δόξα.

Εἰς Οὐρανὸν τὰς καρδίας ἔχοντες, Ἀγγελικὴν μιμησώμεθα τάξιν· καὶ ἐν φόβῳ τῷ ἀδεκάστῳ προσπέσωμεν, ἐπινίκιον ἀνακράζοντες αἶνον· ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεός. Καὶ νῦν.

Καταλαμπτόμενοι τῷ πλήθει τῶν πταισμάτων ἡμῶν, καὶ μὴ τολμῶντες ἀτενίσαι τῷ ὕψει σου, τὴν ψυχὴν σὺν τῷ σώματι κλίναντες, μετὰ Ἀγγέλων τὸν ὕμνον βοῶμέν σοι· ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεός. Διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

Εἶτα τὸ,

Θεὸς Κύριος καὶ ἐπιφανεν ἡμῖν. εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Τρίς.

Τὸ τροπάριον τῆς Κυριακῆς, ἢ τῆς ἑορτῆς καὶ εὐθὺς τὸ ψαλτήριον, κάθισμα πρῶτον Ἐξομολογήσωμαι σοι Κύριε καὶ αἴτησις: Ὅτι σὸν τὸ κράτος καὶ ἡ δύναμις. Εἶτα ψάλλομεν τὰ καθίσματα τῆς ἡμέρας ἢ ἑορτῆς, ἢ τῆς ὀκτωήχου· μετὰ ταῦτα ψάλλομεν τὸν ἅμωμον ψαλμὸν, ὅρα φύλλα 22 καὶ τὰ εὐλογητάρια εἰς ἦχον πλ. ά.

Ἐν ἑνὶ δὲ ἑκάστῳ τροπαρίῳ λέγομεν τὸ, Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Τῶν Ἀγγέλων ὁ ὄῆμος κατεπλάγη ὡρῶν σε, ἐν νεκροῖς λογισθέντα, τοῦ θανάτου δὲ Σωτὴρ τὴν ἰσχὺν καθελόντα· καὶ σὺν ἑαυτῷ τὸν Ἀδὰμ ἐγείραντα, καὶ ἐξ Ἅδου πάντας ἐλευθερώσαντα.

Εὐλογητὸς εἶ Κύριε.

Τί τὰ μῦρα, συμπαθῶς τοῖς δάκρυσιν, ὦ Μαθήτριαι κιρνᾶτε; ὁ ἀστράπτων ἐν τῷ τάφῳ Ἄγγελος, προσεφθέγγετο ταῖς Μυροφόροις. Ἴδετε ὑμεῖς τὸν τάφον καὶ ἤσθητε· ὁ Σωτὴρ γαρ ἐξενάστη τοῦ μνήματος.

Εὐλογητὸς εἶ Κύριε.

Λίαν πρωὶ, Μυροφόροι ἔδραμον, πρὸς τὰ μνῆμά σου θρηνολογοῦσαι ἀλλ' ἐπέστη, πρὸς αὐτὰς ὁ Ἄγγελος, καὶ εἶπε: θρήνου ὁ καιρὸς

ρὸς πέπαυται· μὴ κλαίεται, τὴν ἀνάστασιν δὲ Ἀποστόλοις εἰπατε.

Εὐλογητὸς εἶ Κύριε.

Μυροφόροι γυναῖκες, μετὰ μύρων ἐλθοῦσαι, πρὸς τὸ μνῆμά σου Σῶτερ ἐνηχοῦντο, Ἀγγέλου τρανῶς πρὸς αὐτὰς φθεγγομένου· τί μετὰ νεκρῶν τὸν ζῶντα λογίζεσθαι; ὡς θεὸς γὰρ ἐξανέστη τοῦ μνήματος.

Δόξα. Τριαδικόν.

Προσκυνοῦμεν Πατέρα, καὶ τὸν τούτου Υἱόν τε, καὶ τὸ Ἅγιον Πνεῦμα· τὴν Ἁγίαν Τριάδα, ἐν μιᾷ τῇ οὐσίᾳ, σὺν τοῖς Σεραφὶμ, κράζοντες τό· ἅγιος, ἅγιος, ἅγιος εἶ Κύριε.

Καὶ νῦν. Θεοτοκίον.

Ζωοδότην τεκοῦσα, ἐλυτρώσω Παρθένε, τὸν Ἀδὰμ ἁμαρτίας χαρμονὴν δὲ τῇ Εὔᾳ ἀντὶ λύπης παρέσχες· ῥεύσαντα ζωῆς, ξύλῳ νε πρὸς ταύτην δέ, ὁ ἐκ σοῦ σαρκωθεὶς Θεὸς καὶ ἄνθρωπος.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα. Δόξα σοι ὁ Θεός· Ἐκ τρίτου. Λέγομεν τὴν αἴτησιν, τὴν λέγουσαν. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· Ἀμήν.

Εἶτα τοὺς Ἀναβαθμοὺς τοῦ ἤχου, τὸ προκείμενον τῆς ἀναστάσεως.

Ὁ διάκονος λέγει

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ ἱερεύς

Ὅτι Ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, καὶ ἁγίοις ἀναπαύῃ κτλ. καὶ οἱ χοροὶ τό, Πᾶσα πνοὴ ἐκ τρίτου.

Ὁ ἱερεὺς ἐκφωνεῖ.

Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου. Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν, ὅπως ὀρθοὶ ἀκούσωμεν τοῦ ἁγίου εὐαγγελίου. Ὁ ἱερεύς

Εἰρήνη πᾶσι, καὶ οὕτω, λέγει τὸ ἑωθινὸν εὐαγγέλιον τῆς Κυριακῆς, ἢ τῆς ἑορτῆς Μετὰ ταῦτα εἰμὲν ἐστι Κυριακὴ, λέγομεν τό,

Ἀνάστασιν Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν ἅγιον, κύριον Ἰησοῦν τὸν μόνον ἀναμάρτητον· τὸν σταυρόν σου Χριστὲ προσκυνοῦμεν, καὶ τὴν ἁγίαν σου ἀνάστασιν ὑμνοῦμεν καὶ δοξάζομεν· σὺ γὰρ εἶ θεὸς ἡμῶν, ἐκτὸς σοῦ ἄλλον οὐκ οἴδαμεν τὸ ὄνομά σου ὀνομάζομεν. Δεῦτε πάντες οἱ πιστοὶ προσκυνήσωμεν τὴν τοῦ Χριστοῦ ἁγίαν ἀνάστασιν· ἰδοὺ γὰρ ἦλθε διὰ τοῦ σταυροῦ χαρὰ ἐν ὅλῳ τῷ κόσμῳ. Διὰ παντὸς εὐλογοῦντες τὸν Κύριον ὑμνοῦμεν τὴν ἀνάστασιν αὐτοῦ· σταυρὸν γὰρ ὑπομείνας δι' ἡμᾶς, θανάτῳ θάνατον ὤλεσε.

Εἶτα τὸν Ν. Ψαλ. μέλος, εἰ ἐστι Κυριακὴ, εἰδὲ ἑορτὴ, ἀναγινώσκομεν αὐτὸν χύμα. Δόξα. Ταῖς τῶν Ἀποστόλων. Καὶ νῦν Ταῖς τῆς Θεοτόκου, . . .

Στίχος. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἀναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου, καθὼς προεῖπεν, ἔδωκεν ἡμῖν τὴν αἰώνιον ζωὴν καὶ μέγα ἔλεος. Εἶτα ὁ Διάκονος λέγει·

Σῶσον, ὁ Θεὸς, τὸν λαόν Σου καὶ εὐλόγησον τὴν κληρονομίαν Σου· ἐπίσκεψαι τὸν κόσμον Σου

ἐν

ἐν ἐλέει καὶ οἰκτιρμοῖς· ὕψωσον κέρας χριστιανῶν ὀρθοδόξων, καὶ κατάπεμψον ἐφ' ἡμᾶς τὰ ἐλέη Σου τὰ πλούσια· πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων Ἀσωμάτων· τοῦ τιμίου ἐνδόξου Προφήτου, Προδρόμου, καὶ Βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων· τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν· τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, καὶ πάντων Σου τῶν Ἁγίων· ἱκετεύομέν σε μόνε πολυέλεε, Κύριε, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου καὶ ἐλέησον.

Ὁ Χορός. Κύριε ἐλέησον ιβ'.

Εἶτα ἐκφωνεῖ ὁ Ἱερεύς

Ἐλέει καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ ἀρχόμεθα τῶν Κανόνων, τοῦ Ἀναστασίμου, Σταυροαναστασίμου, τῆς Θεοτόκου, καὶ τοῦ Μηναίου. Μετὰ ταῦτα ψάλλομεν τὰς Καταβασίας τῶν Κυριακῶν τοῦ χρόνου, ἢ τῶν ἑορτῶν τοὺς Εἱρμούς.

Ὠδὴ ἀ. Ἦχος δ'. Εἱρμός.

Ἀνοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται πνεύματος, καὶ λόγον ἐρεύξομαι τῇ Βασιλίδι Μητρί, καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω γηθόμενος, ταύτης τὰ θαύματα.

Ὠδὴ γ'. Εἱρμός.

Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶσα καὶ ἄφθονος πηγή, θίασον συγκροτήσαντας, πνευματικὸν στερέωσον· καὶ ἐν τῇ θείᾳ δόξῃ σου, στέφανων δόξης ἀξίωσον.

Ὠδὴ δ'. Εἱρμός.

Τὴν ἀνεξιχνίαστον θείαν βουλήν, τὴν ἐκ τῆς Παρθένου σαρκώσεως, σοῦ τοῦ Ὑψίστου· ὁ Προφήτης Ἀββακοὺμ κατανοῶν ἐκραύγαζε: Δόξα τῇ δυνάμει σου, Κύριε.

Ὠδὴ ε. Εἱρμός.

Ἐξέστη τὰ σύμπαντα, ἐπὶ τῇ θείᾳ δόξῃ σου· σὺ γὰρ ἀπειρόγαμε Παρθένε, ἔσχες ἐν μήτρᾳ τὸν ἐπὶ πάντων Θεόν, καὶ τέτοκας ἄχρονον Υἱόν, πᾶσι τοῖς ὑμνοῦσί σε, σωτηρίαν βραβεύουσα.

Ὠδὴ ς'. Εἱρμός

Τὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες ἑορτὴν οἱ θεόφρονες, τῆς Θεομήτορος, δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐτῆς τεχθέντα, Θεὸν δοξάζοντες.

Ὠδὴ ζ'. Εἱρμός.

Οὐκ ἐλάτρευσαν τῇ κτίσει οἱ Θεόφρονες, παρὰ τὸν κτίσαντα· ἀλλὰ πυρὸς ἀπειλὴν, ἀνδρείως πατήσαντες, ἔχαιρον ψάλλοντες: Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ ἡ. Εἱρμός.

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ τόκος τῆς Θεοτόκου διεσώσατο, τότε μὲν τυπούμενος· νῦν δὲ ἐνεργούμενος, τὴν οἰκουμένην ἅπασαν ἐγείρει ψάλλουσαν· Τὸν Κύριον ὑμνεῖ-

ὑμνεῖται τὰ ἔργα καὶ ὑπερυψοῦται εἰς πάντας τοὺς αἰῶνας.

Ὁ ἱερεύς.

Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτὸς ἐν ὕμνοις τιμῶντες μεγαλύνομεν.

Στίχ. 1 Μεγαλύνει ἡ ψυχή μου τὸν κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

Τὴν τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον σὲ μεγαλύνωμεν.

Στίχ. 2 Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.

Τὴν τιμιωτέραν κτλ.

Στίχ. 3 Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ· καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.

Τὴν τιμιωτέραν κτλ.

Στίχ. 4 Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.

Τὴν τιμιωτέραν κτλ.

Στίχ. 5 Καθεῖλε δυνάστας ἀπὸ θρόνων, καὶ ὕψωσε ταπεινούς· πεινῶντας ἐνέπλησεν ἀγαθῶν, καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς.

Τὴν τιμιωτέραν κτλ.

Στίχ. 5 Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς Πατέρας ἡμῶν, τῷ Ἀβραὰμ, καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

Τὴν τιμιωτέραν κτλ.

Ὠδὴ θ'. Εἱρμός.

Ἅπας γηγενὴς, σκιρτάτω τῷ πνεύματι, λαμπαδουχούμενος, πανηγυριζέτω δέ, ἀΰλων Νόων φύσις γεραίρουσα, τὰ ἱερὰ θαυμάσια τῆς Θεομήτορος, καὶ βοάτω: Χαίροις παμμακάριστε, Θεοτόκε ἀγνὴ ἀειπάρθενε.

Ὁ ἱερεὺς λέγει,

Ἔτι, καὶ ἔτι, καὶ τὰ λοιπά. Ἀντιλαβοῦ σῶσον ἐλέησον κτλ. καὶ τὸ, Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις τῶν οὐρανῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπουσι τῷ Πατρὶ, καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΩΔΗ ΠΡΩΤΗ

ΤΟΥ

ΜΩΣΕΩΣ

ΕΝ ΤΗ ΕΞΟΔΩ

Κεφ. ιέ. 15.

Ἀσωμεν τῷ Κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται· ἵππον καὶ ἀναβάτην ἔρριψεν εἰς θάλασσαν. Βοηθὸς καὶ σκεπαστὴς ἐγένετό μοι εἰς σωτηρίαν, οὗτός μου Θεὸς, καὶ δοξάσω αὐτὸν, Θεὸς τοῦ Πατρός μου, καὶ ὑψώσω αὐτόν. Κύριος συντρίβων πολέμους, Κύριος ὄνομα αὐτῷ. Ἅρματα Φαραὼ, καὶ τὴν δύναμιν αὐτοῦ ἔρριψεν εἰς θάλασσαν· ἐπιλέκτους ἀναβάτας τριστάτας κατεπόντισεν ἐν ἐρυθρᾷ θαλάσσῃ. Πόντῳ ἐκάλυψεν αὐτούς, κατέδυσαν εἰς βυθὸν ὡσεὶ λίθος.

Ἡ δεξιά σου, Κύριε, δεδόξασται ἐν ἰσχύι, ἡ δεξιά σου χεὶρ, Κύριε, ἔθραυσεν ἐχθρούς. Καὶ τῷ πλήθει τῆς δόξης σου συνέτριψας τοὺς ὑπεναντίους. Ἀπέστειλας τὴν ὀργήν σου, κατέφαγεν αὐτοὺς ὡσεὶ καλάμην, καὶ διὰ πνεύματος τοῦ θυμοῦ σου διέστη τὸ ὕδωρ. Ἐπάγη ὡσεὶ τεῖχος τὰ ὕδατα, ἐπάγη καὶ τὰ κύματα ἐν μέσῳ τῆς θαλάσσης. Εἶπεν ὁ ἐχθρός, διώξας καταλήψομαι, μεριῶ σκῦλα, ἐμπλήσω ψυχήν μου, ἀνελῶ τῇ μαχαίρᾳ μου· κυριεύσει ἡ χείρ μου. Ἀπέστειλας τὸ πνεῦμά σου, ἐκάλυψεν αὐτοὺς θάλασσα, ἔδυσαν ὡσεὶ μόλυβδος ἐν ὕδατι σφοδρῷ. Τίς ὅμοιός σοι ἐν Θεοῖς Κύριε; τίς ὅμοιός σοι; δεδοξασμένος ἐν Ἁγίοις, θαυμαστὸς ἐν δόξαις, ποιῶν τέρατα. Ἐξέτεινας τὴν δεξιάν σου, κατέπιεν αὐτοὺς γῆ. Ὡδήγησας τῇ δικαιοσύνῃ σου τὸν λαόν σου τοῦτον, ὃν ἐλυτρώσω, παρεκάλεσας τῇ ἰσχύι σου εἰς κατάλυμα ἅγιόν σου. Ἤκουσαν ἔθνη, καὶ ὠργίσθησαν, ὠδῖνες ἔλαβον κατοικοῦντας Φιλιστιείμ.

Εἰς Στίχους ἡ.

Τότε ἔσπευσαν ἡγεμόνες Ἐδώμ, καὶ ἄρχοντες Μωαβιτῶν, ἔλαβεν αὐτοὺς τρόμος, ἐτάκησαν πάντες οἱ κατοικοῦντες Χαναάν. Ἐπιπέσοι ἐπ' αὐτοὺς φόβος, καὶ τρόμος, μεγέθει βραχίονός σου ἀπολιθωθήτωσαν. Εἰς Στίχους ς'.

Ἕως ἂν παρέλθῃ ὁ λαός σου, Κύριε, ἕως ἂν παρέλθῃ ὁ λαός σου οὗτος, ὃν ἐκτήσω. Εἰσαγαγὼν καταφύτευσον αὐτοὺς εἰς ὄρος κληρονομίας σου, εἰς ἕτοιμον κατοικητήριόν σου· ὃ κατειργάσω, Κύριε, ἁγίασμα, ὃ ἡτοίμασαν αἱ χεῖρές σου.

Εἰς Στίχους ζ'.

Κύριος βασιλεύων τῶν αἰώνων καὶ ἐπ' αἰῶνα, καὶ ἔτι. Ὅτε εἰσῆλθεν ἵππος Φαραὼ σὺν ἅρμασι, καὶ ἀναβάταις εἰς θάλασσαν καὶ ἐπήγαγεν ἐπ' αὐτοὺς Κύριος τὸ ὕδωρ τῆς θαλάσσης, οἱ δὲ υἱοὶ Ἰσραὴλ ἐπορεύθησαν διὰ ξηρᾶς ἐν μέσῳ τῆς θαλάσσης.

Δόξα, καὶ νῦν.

ΩΔΗ ΤΡΙΤΗ

ΑΝΝΗΣ ΤΗΣ

ΜΗΤΡΟΣ ΣΑΜΟΥΗΛ

ΤΟΥ ΠΡΟΦΗΤΟΥ.

Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ, ὑψώθη κέρας μου ἐν Θεῷ μου, ἐπλατύνθη στόμα μου ἐπ' ἐχθρούς μου, εὐφράνθην ἐν σωτηρίᾳ σου. Ὅτι οὐκ ἔστιν Ἅγιος ὡς ὁ Κύριος, καὶ οὐκ ἔστι δίκαιος ὡς ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν Ἅγιος πλὴν σοῦ. Μὴ καυχᾶσθε, καὶ μὴ λαλεῖτε ὑψηλὰ εἰς ὑπεροχήν, μὴ δὲ ἐξελθέτω μεγαλορρήμοσύνη ἐκ τοῦ στόματος ὑμῶν. Ὅτι Θεὸς γνώσεων Κύριος, καὶ Θεὸς ἑτοιμάζων ἐπιτηδεύματα αὐτοῦ. Τόξον δυνατῶν ἠσθένησε, καὶ οἱ ἀσθενοῦντες περιεζώσαντο δύναμιν. Πλήρεις ἄρτων ἠλαττώθησαν, καὶ οἱ πεινῶντες παρῆκαν γῆν. Ὅτι στεῖρα ἔτε-

ἔτεκεν ἑπτά, καὶ ἡ πολλὴ ἐν τέκνοις ἠσθένησε. Κύριος θανατοῖ καὶ ζωογονεῖ, κατάγει εἰς ᾅδου, καὶ ἀνάγει. Κύριος πτωχίζει καὶ πλουτίζει, ταπεινεῖ καὶ ἀνυψοῖ. Ἀνιστᾷ ἀπὸ γῆς πένητα, καὶ ἀπὸ κοπρίας ἐγείρει πτωχὸν, τοῦ καθίσαι αὐτὸν μετὰ δυναστῶν λαοῦ, καὶ θρόνου δόξης κατακληρονομῶν αὐτόν.

Εἰς Στίχους ἡ.

Διδοὺς εὐχὴν τῷ εὐχομένῳ, καὶ εὐλόγησεν ἔτη δικαίου. Ὅτι οὐκ ἐνισχύει δυνατὸς ἀνὴρ ἐν τῇ ἰσχύϊ αὐτοῦ. Κύριος ἀσθενῆ ποιήσει τὸν ἀντίδικον αὐτοῦ, Κύριος Ἅγιος.

Εἰς Στίχους ς'.

Μὴ καυχάσθω ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐτοῦ, καὶ μὴ καυχάσθω ὁ δυνατὸς ἐν τῇ δυνάμει αὐτοῦ, καὶ μὴ καυχάσθω ὁ πλούσιος ἐν τῷ πλούτῳ αὐτοῦ. Ἀλλ' ἢ ἐν τούτῳ καυχάσθω ὁ καυχώμενος, ἐν τῷ συνιεῖν καὶ γινώσκειν τὸν Κύριον, καὶ ποιεῖν κρῖμα, καὶ δικαιοσύνην ἐν μέσῳ τῆς γῆς.

Εἰς Στίχους δ'.

Κύριος ἀνέβη εἰς Οὐρανοὺς καὶ ἐβρόντησεν· αὐτὸς κρινεῖ ἄκρα γῆς, δίκαιος ὤν. Καὶ δώσει ἰσχὺν τοῖς Βασιλεῦσιν ἡμῶν, καὶ ὑψώσει κέρας χριστῶν αὐτοῦ.

Δόξα, καὶ νῦν.

ΩΔΗ ΤΕΤΑΡΤΗ

Ἀββακοὺμ τοῦ Προφήτου.

Κεφ. γ'.

Κύριε εἰσακήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην. Κύριε κατενόησα τὰ ἔργα σου, καὶ ἐξέστην. Ἐν μέσῳ δύω ζώων γνωσθήσῃ, ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ· ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθείσῃ· ἐν τῷ ταραχθῆναι τὴν ψυχήν μου, ἐν ὀργῇ ἐλέους μνησθήσῃ. Ὁ Θεὸς ἀπὸ Θαιμὰν ἥξει, καὶ ὁ Ἅγιος ἐξ ὄρους κατασκίου δασέος. Ἐκάλυψεν Οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ, καὶ τῆς αἰνέσεως αὐτοῦ πλήρης ἡ γῆ. Καὶ φέγγος αὐτοῦ ὡς φῶς ἔσται· κέρατα ἐν χερσὶν αὐτοῦ· καὶ ἔθετο ἀγάπησιν κραταιὰν ἰσχύος αὐτοῦ. Πρὸ προσώπου αὐτοῦ πορεύσεται λόγος, καὶ ἐξελεύσεται εἰς παιδείαν κατὰ πόδας αὐτοῦ. Ἔστη, καὶ ἐσαλεύθη ἡ γῆ· ἐπέβλεψε, καὶ ἐτάκη ἔθνη. Διετρίβη τὰ ὄρη βίᾳ· ἐτάκησαν βουνοὶ αἰώνιοι, πορείας αἰωνίους αὐτῶν ἀντὶ κόπων εἶδον. Σκηνώματα Αἰθιόπων πτοηθήσονται, καὶ σκηναὶ γῆς Μαδιάμ. Μὴ ἐν ποταμοῖς ὀργισθῆς Κύριε· μὴ ἐν ποταμοῖς ὁ θυμός σου, ἢ ἐν θαλάσσῃ τὸ ὁρμημά σου· ὅτι ἐπιβήσῃ ἐπὶ τοὺς ἵππους σου, καὶ ἡ ἱππασία σου Σωτηρία. Ἐντείνων ἐντενεῖς τὸ τόξον σου ἐπὶ σκῆπτρα, λέγει Κύριος. Ποταμῶν ῥαγήσεται γῆ· ὄψονταί σε, καὶ ὠδινήσουσι λαοί. σκορπίζων ὕδατα πορείας· ἔδωκεν ἡ Ἄβυσσος φωνὴν αὐτῆς, ὕψος φαντασίας αὐτῆς. Ἐπήρθη ὁ Ἥλιος, καὶ ἡ Σελήνη ἔστη ἐν τῇ τάξει αὐτῆς· εἰς φῶς αἱ βολίδες σου πορεύσονται, εἰς φέγγος ἀστραπῆς ὅπλων σου. Ἐν ἀπειλῇ ὀλιγώσεις γῆν, καὶ ἐν θυμῷ πατάξεις ἔθνη. Ἐξῆλθες εἰς σωτηρίαν

ρίαν λαοῦ σου, τοῦ σῶσαι τοὺς χριστούς σου· ἐβάλες εἰς κεφαλὰς ἀνόμων θάνατον, ἐξήγειρας δεσμοὺς ἕως τραχήλου εἰς τέλος. Διέκοψας ἐν ἐκστάσει κεφαλὰς δυναστῶν, σεισθήσονται ἐν αὐτοῖς· διανοίξουσι χαλινοὺς αὐτῶν, ὡς ὁ ἐσθίων πτωχὸς λάθρα. Καὶ ἐπεβίβασας εἰς θάλασσαν τοὺς ἵππους σου, ταράσσοντας ὕδατα πολλά. Ἐφυλαξάμην, καὶ ἐπτοήθη ἡ καρδία μου, ἀπὸ φωνῆς προσευχῆς τῶν χειλέων μου· καὶ εἰσῆλθε τρόμος εἰς τὰ ὀστᾶ μου, καὶ ἐν ἐμοὶ ἐταράχθη ἡ ἰσχύς μου. Ἀναπαύσομαι ἐν ἡμέρᾳ θλίψεώς μου, τοῦ ἀναβῆναί με εἰς λαὸν παροικίας μου. Εἰς στίχους ἡ.

Διότι συκῆ οὐ καρποφορήσει, καὶ οὐκ ἔσται γεννήματα ἐν ταῖς ἀμπέλοις. Ψεύσεται ἔργον ἐλαίας, καὶ τὰ πεδία οὐ ποιήσει βρῶσιν.

Εἰς στίχους ς'.

Ἐξέλιπον ἀπὸ βρώσεως πρόβατα, καὶ οὐχ ὑπάρξουσι βόες ἐπὶ φάτναις. Ἐγὼ δὲ ἐν τῷ Κυρίῳ ἀγαλλιάσομαι, χαρήσομαι ἐπὶ τῷ Θεῷ τῷ Σωτῆρί μου. Εἰς στίχους δ'.

Κύριος ὁ Θεός μου δύναμίς μου, καὶ τάξει τοὺς πόδας μου εἰς συντέλειαν. Καὶ ἐπὶ τὰ ὑψηλά ἐπιβιβᾷ με, τοῦ νικῆσαί με ἐν τῇ ᾠδῇ αὐτοῦ.

Δόξα, καὶ νῦν.

ΩΔΗ ΠΕΜΠΤΗ.

Προσευχὴ Ἡσαΐου τοῦ Προφήτου. Κεφάλαιον κς'.

Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου πρός σὲ ὁ Θεός, διότι φῶς τὰ προστάγματά σου ἐπὶ τῆς γῆς. Δικαιοσύνην μάθετε οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς. Πέπαυται γὰρ ὁ ἀσεβής, οὐ μὴ μάθῃ δικαιοσύνην ἐπὶ τῆς γῆς, ἀλήθειαν οὐ μὴ ποιήσῃ· ἀρθήτω ὁ ἀσεβής, ἵνα μὴ ἴδῃ τὴν δόξαν Κυρίου. Κύριε ὑψηλός σου ὁ βραχίων, καὶ οὐκ ἤδεισαν· γνόντες δὲ αἰσχυνθήτωσαν. Ζῆλος λήψεται λαὸν ἀπαίδευτον, καὶ νῦν πῦρ τοὺς ὑπεναντίους ἔδεται. Κύριε ὁ Θεὸς ἡμῶν κτῆσαι ἡμᾶς. Κύριε, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν. Οἱ δὲ νεκροὶ ζωὴν οὐ μὴ ἴδωσιν, οὐδὲ ἰατροὶ οὐ μὴ ἀναστήσωσι· διὰ τοῦτο ἐπήγαγες, καὶ ἀπώλεσας, καὶ ἦρας πᾶν ἄρσεν αὐτῶν.

Εἰς στίχους ἡ.

Πρόσθες αὐτοῖς κακά, Κύριε, πρόσθες αὐτοῖς κακὰ τοῖς ἐνδόξοις τῆς γῆς. Κύριε, ἐν θλίψει ἐμνήσθημέν σου, ἐν θλίψει μικρᾷ ἡ παιδεία σου ἡμῖν.

Εἰς στίχους ς'.

Καὶ ὡς ἡ ὠδίνουσα ἐγγίζει τοῦ τεκεῖν· καὶ ἐπὶ τῇ ὠδῖνι αὐτῆς ἐκέκραγεν, οὕτως ἐγενήθημεν τῷ ἀγαπητῷ σου. Διὰ τὸν φόβον σου, Κύριε, ἐν γαστρὶ ἐλάβομεν, καὶ ὠδινήσαμεν, καὶ ἐτέκομεν πνεῦμα σωτηρίας, ὃ ἐποιήσαμεν ἐπὶ τῆς γῆς. Οὐ πεσούμεθα, ἀλλὰ πεσοῦνται οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς.

Εἰς στίχους δ'.

Ἀναστήσονται οἱ νεκροί, καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις, καὶ εὐφρανθήσονται οἱ ἐν τῇ γῇ. Ἡ γὰρ δρόσος ἡ παρὰ σοῦ, ἴαμα αὐτοῖς

αὐτοῖς ἔστω· ἡ δὲ γῆ τῶν ἀσεβῶν πεσεῖται. Βάδιζε λαός μου, εἴσελθε εἰς τὸ ταμεῖόν σου, ἀπόκλεισον τὴν θύραν σου· ἀποκρύβηθι μικρὸν ὅσον ὅσον, ἕως ἂν παρέλθῃ ἡ ὀργὴ Κυρίου. Δόξα, καὶ νῦν.

ΩΔΗ ΕΚΤΗ.

Ἰωνᾶ τοῦ Προφήτου. Κεφ β'.

Ἐβόησα ἐν θλίψει μου· πρὸς Κύριον τὸν Θεόν μου καὶ εἰσήκουσέ μου· ἐκ κοιλίας ᾅδου κραυγῆς μου, ἤκουσας φωνῆς μου. Ἀπέρριψάς με εἰς βάθη καρδίας θαλάσσης, καὶ ποταμοὶ ἐκύκλωσάν με. Πάντες οἱ μετεωρισμοί μου, καὶ τὰ κύματά σου, ἐπ' ἐμὲ διῆλθον. Κἀγὼ εἶπον, ἀπῶσμαι ἐξ ὀφθαλμῶν σου· ἆρα προσθήσω τοῦ ἐπιβλέψαι με πρὸς Ναὸν τὸν Ἅγιόν σου.

Εἰς στίχους ή.

Περιεχύθη μοι ὕδωρ ἕως ψυχῆς μου, ἄβυσσος ἐκύκλωσέ με ἐσχάτη. Ἐδύ ἡ κεφαλή μου εἰς σχισμὰς ὀρέων, κατέβην εἰς γῆν, ἧς οἱ μοχλοὶ αὐτῆς κάτοχοι αἰώνιοι.

Εἰς Στίχους ς'.

Καὶ ἀναβήτω ἐκ φθορᾶς ἡ ζωή μου πρὸς σὲ Κύριε ὁ Θεός μου. Ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὴν ψυχήν μου, τοῦ Κυρίου ἐμνήσθην· καὶ ἦλθοι πρὸς σὲ ἡ προσευχή μου πρὸς Ναὸν τὸν Ἅγιόν σου.

Εἰς Στίχους δ'.

Φυλασσόμενοι μάταια καὶ ψευδῆ, ἔλεον αὐτοῖς ἐγκατέλιπον. Ἐγὼ δὲ μετὰ φωνῆς αἰνέσεως καὶ ἐξομολογήσεως θύσω σοι· ὅσα ηὐξάμην ἀποδώσω σοι εἰς σωτηρίαν μου τῷ Κυρίῳ. Δόξα, καὶ νῦν·

ΩΔΗ ΕΒΔΟΜΗ.

Τῶν Ἁγίων τριῶν Παίδων. Κεφάλαιον γ'. 2.

Εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν. καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν, οἷς ἐποίησας ἡμῖν· καὶ πάντα τὰ ἔργα σου ἀληθινὰ, καὶ εὐθεῖαι αἱ ὁδοί σου· καὶ πᾶσαι αἱ κρίσεις σου ἀληθεῖς. Καὶ κρίματα ἀληθείας ἐποίησας, κατὰ πάντα, ἃ ἐπήγαγες ἡμῖν· καὶ ἐπὶ τὴν Πόλιν τὴν Ἁγίαν τὴν τῶν Πατέρων ἡμῶν Ἱερουσαλήμ· ὅτι ἐν ἀληθείᾳ, καὶ κρίσει ἐπήγαγες ταῦτα πάντα ἐφ' ἡμᾶς, διὰ τὰς ἁμαρτίας ἡμῶν. Ὅτι ἡμάρτομεν, καὶ ἠνομήσαμεν ἀποστῆναι ἀπὸ σοῦ, καὶ ἐξημάρτομεν ἐν πᾶσι καὶ τῶν ἐντολῶν σου οὐκ ἠκούσαμεν, οὐδὲ ἐποιήσαμεν, καθὼς ἐνετείλω ἡμῖν, ἵνα εὖ ἡμῖν, γένηται. Καὶ πάντα ὅσα ἐποίησας ἡμῖν, καὶ πάντα ὅσα ἐπήγαγες ἡμῖν, ἐν ἀληθινῇ κρίσει ἐποίησας· καὶ παρέδωκας ἡμᾶς εἰς χεῖρας ἐχθρῶν ἀνόμων, ἐχθίστων, ἀποστατῶν, καὶ βασιλεῖ ἀδίκῳ, καὶ πονηροτάτῳ παρὰ πᾶσαν τὴν γῆν. Καὶ νῦν οὐκ ἔστιν ἡμῖν ἀνοίξαι τὸ στόμα ἡμῶν· αἰσχύνη καὶ ὄνειδος ἐγενήθημεν τοῖς δούλοις σου, καὶ τοῖς σεβομένοις σε. Μὴ δὴ παραδῴης ἡμᾶς εἰς τέλος, διὰ τὸ ὄνομά σου

μά σου τὸ ἅγιον, καὶ μὴ διασκεδάσῃς τὴν διαθήκην σου, καὶ μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν, διὰ Ἀβραὰμ τὸν ἠγαπημένον ὑπὸ σοῦ, καὶ διὰ Ἰσαὰκ τὸν δοῦλόν σου, καὶ Ἰσραὴλ τὸν ἅγιόν σου. Οἷς ἐλάλησας πληθῦναι τὸ σπέρμα αὐτῶν, ὡς τὰ ἄστρα τοῦ Οὐρανοῦ, καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης. Ὅτι Δέσποτα, ἐσμικρύνθημεν παρὰ πάντα τὰ ἔθνη, καὶ ἐσμὲν ταπεινοὶ ἐν πάσῃ τῇ γῇ σήμερον, διὰ τὰς ἁμαρτίας ἡμῶν. Καὶ οὐκ ἔστιν ἐν τῷ καιρῷ τούτῳ ἄρχων, καὶ προφήτης, καὶ ἡγούμενος, οὐδὲ ὁλοκαύτωσις, οὐδὲ θυσία, οὐδὲ προσφορά, οὐδὲ θυμίαμα, οὐ τόπος τοῦ καρπῶσαι ἐνώπιόν σου, καὶ εὑρεῖν ἔλεος. Ἀλλ' ἐν ψυχῇ συντετριμμένῃ, καὶ πνεύματι ταπεινώσεως προσδεχθείημεν, ὡς ἐν ὁλοκαυτώμασι κριῶν, καὶ ταύρων, καὶ ὡς ἐν μυριάσιν ἀρνῶν πιόνων· οὕτω γενέσθω ἡ θυσία ἡμῶν εὐπρόσδεκτος ἐνώπιόν σου σήμερον, καὶ ἐκτελείσθω ὄπισθέν σου· ὅτι οὐκ ἔστιν αἰσχύνη τοῖς πεποιθόσιν ἐπὶ σέ. Καὶ νῦν ἐξακολουθοῦμεν ἐν ὅλῃ καρδίᾳ, καὶ φοβούμεθά σε, καὶ ζητοῦμεν τὸ πρόσωπόν σου· μὴ καταισχύνῃς ἡμᾶς, ἀλλὰ ποίησον μεθ' ἡμῶν κατὰ τὴν ἐπιείκειάν σου, καὶ κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου. Ἐξελοῦ ἡμᾶς κατὰ τὰ θαυμάσιά σου, καὶ δὸς δόξαν τῷ ὀνόματί σου, Κύριε. Καὶ ἐντραπείησαν πάντες οἱ ἐνδεικνύμενοι τοῖς δούλοις σου κακά, καὶ καταισχυνθείησαν ἀπὸ πάσης δυναστείας, καὶ ἡ ἰσχὺς αὐτῶν συντριβείη. Καὶ γνώτωσαν, ὅτι σὺ εἶ Κύριος, ὁ Θεὸς μόνος, καὶ ἔνδοξος ἐφ' ὅλην τὴν Οἰκουμένην. Καὶ οὐ διέλιπον οἱ ἐμβάλλοντες αὐτοὺς ὑπηρέται τοῦ βασιλέως, καίοντες τὴν κάμινον νάφθῃ, καὶ πίσσῃ, καὶ συππίῳ, καὶ κληματίδι. Καὶ διεχεῖτο ἡ φλὸξ ἐπάνω τῆς καμίνου ἐπὶ πήχεις τεσσαράκοντα ἐννέα, καὶ διώδευσε καὶ ἐνεπύρισεν, οὓς εὗρε περὶ τὴν κάμινον τῶν Χαλδαίων. Ὁ δὲ Ἄγγελος Κυρίου συγκατέβη ἅμα τοῖς περὶ τὸν Ἀζαρίαν εἰς τὴν κάμινον, καὶ ἐξετίναξε τὴν φλόγα τοῦ πυρὸς ἐκ τῆς καμίνου. Καὶ ἐποίησε τὸ μέσον τῆς καμίνου, ὡς πνεῦμα δρόσου διασυρίζον, καὶ οὐχ ἥψατο αὐτῶν καθόλου τὸ πῦρ, οὐδὲ ἐλύπησεν, οὐδὲ παρηνώχλησεν αὐτούς. Τότε οἱ τρεῖς ὡς ἐξ ἑνὸς στόματος ὕμνουν καὶ εὐλόγουν, καὶ ἐδόξαζον τὸν Θεὸν ἐν τῇ καμίνῳ, λέγοντες.

Ἡ τῶν τριῶν ὕμνησις, ἣν ᾄδο

Νέοι. Εἰς Στίχους ἡ.

Εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς τῶ Πατέρων ἡμῶν, καὶ ὑπερύμνητο καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνα

Καὶ εὐλογημένον τὸ ὄνομ τῆς δόξης σου τὸ ἅγιον, τὸ ὑπε ρύμνητον, καὶ ὑπερυψούμενον, ε τοὺς αἰῶνας.

Εἰς Στίχους ς'.

Εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆ ἁγίας δόξης σου, ὁ ὑπερύμνητο καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνα

Εὐλογημένος εἶ ὁ βλέπων βύσσους, ὁ καθήμενος ἐπὶ τ Χερουβὶμ, ὁ ὑποφαινόμενος, καὶ περυ-

περυψούμενος εἰς τοὺς αἰῶνας.

Εἰς Στίχους δ'.

Εὐλογημένος εἶ ὁ ἐπὶ Θρόνου δόξης τῆς βασιλείας σου, ὁ ὑπερύμνητος, καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.

Εὐλογημένος εἶ ἐν τῷ στερεώματι τοῦ Οὐρανοῦ, ὁ ὑπερύμνητος, καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας. Δόξα, καὶ νῦν.

ΩΔΗ ΟΓΔΟΗ.

Τῶν Ἁγίων τριῶν Παίδων.

Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε, Ἄγγελοι Κυρίου, Οὐρανοὶ Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε ὕδατα πάντα τὰ ὑπεράνω τῶν οὐρανῶν, πᾶσαι αἱ δυνάμεις Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦται αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε Ἥλιος καὶ Σελήνη, Ἄστρα τοῦ Οὐρανοῦ, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε πᾶς ὄμβρος, καὶ δρόσος, πάντα τὰ πνεύματα, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε πῦρ, καὶ καῦμα, ψύχος, καὶ καύσων, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε δρόσοι, καὶ νιφετοί, πάγοι, καὶ ψύχος, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε πάχναι, καὶ χιόνες, ἀστραπαί, καὶ νεφέλαι, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε φῶς, καὶ σκότος, νύκτες καὶ ἡμέραι, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε γῆ, ὄρη, καὶ βουνοί, καὶ πάντα τὰ φυόμενα ἐν αὐτῇ, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε πηγαί, θάλασσαι, καὶ ποταμοί, κήτη, καὶ πάντα τὰ κινούμενα ἐν τοῖς ὕδασι, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εἰς στίχους ἡ.

Εὐλογεῖτε πάντα τὰ πετεινὰ τοῦ Οὐρανοῦ, τὰ θηρία, καὶ πάντα τὰ κτήνη, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε Υἱοὶ τῶν ἀνθρώπων, εὐλογείτω Ἰσραὴλ, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εἰς στίχους ς'.

Εὐλογεῖτε Ἱερεῖς Κυρίου, δοῦλοι Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε πνεύματα, καὶ ψυχαὶ δικαίων, ὅσιοι καὶ ταπεινοὶ τῇ καρδίᾳ, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εἰς στίχους δ'.

Εὐλογεῖτε Ἀνανία, Ἀζαρία καὶ Μισαὴλ, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε Ἀπόστολοι, Προφῆται, καὶ Μάρτυρες Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογοῦμεν Πατέρα, Υἱὸν, καὶ Ἅγιον Πνεῦμα, τὸν Κύριον ὑμνοῦμεν, καὶ ὑπερυψοῦ-

υψοῦμεν αὐτὸν εἰς τοὺς αἰῶνας. εὐλογοῦμεν, Αἰνοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον, ὑμνοῦντες, καὶ ὑπερυψοῦντες αὐτὸν εἰς τοὺς αἰῶνας. Δόξα, καὶ νῦν.

Εἶτα.

Εἰ ἐστι Κυριακὴ λέγομεν τό: Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν ἐκ γ'. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνῆτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ, ὅτι ἅγιός ἐστι. Καὶ εὐθὺς τὸ ἑωθινὸν Ἐξαποστειλάριον τῆς Ὀκτωήχου· εἰ δὲ ἐστιν ἑορτή, ψάλλομεν εὐθὺς τὸ ἐξαποστειλάριον αὐτῆς ἄνευ στίχων· εἰ δὲ Τεσσαρακοστὴ τὰ Φωταγωγικά, κατὰ τὸν τυχόντα ἦχον. Εἰς δὲ τὴν συμπλήρωσιν τοῦ Φωταγωγικοῦ, λέγομεν οὕτω·

Τῇ Δευτέρᾳ.

Προστασιαις Κύριε τῶν Ἀσωμάτων, καὶ σῶσόν με.

Τῇ Τρίτῃ.

Πρεσβείαις Κύριε τοῦ Προδρόμου, καὶ σῶσόν με.

Τῇ Τετάρτῃ, καὶ τῇ Παρασκευῇ.

Δυνάμει Κύριε τοῦ Σταυροῦ σου, καὶ σῶσόν με. Τῇ Πέμπτῃ.

Πρεσβείαις Κύριε τῶν Ἀποστόλων, καὶ σῶσόν με.

Τῷ Σαββάτῳ λέγομεν αὐτὸ δίς.

Ἐν μὲν τῷ πρώτῳ

Πρεσβείαις Κύριε τῶν Ἁγίων σου, καὶ σῶσόν με.

Ἐν δὲ τῷ δευτέρῳ.

Πρεσβείαις Κύριε τῆς Θεοτόκου, καὶ σῶσόν με.

Εἶτα ψάλλονται καὶ τὰ ἐφεξῆς Φωταγωγικὰ ἐκ τρίτου. Ἦχος, ά.

Ο τὸ φῶς ἀνατέλλων Κύριε, τὴν ψυχήν μου καθάρισον ἀπὸ πάσης ἁμαρτίας, προστασίαις τῶν Ἀσωμάτων, καὶ σῶσόν με. Ἦχος, β'.

Τὸ φῶς σου τὸ ἀΐδιον ἐξαπόστειλον Κύριε, καὶ φώτισον τὰ ὄμματα τὰ κρυπτὰ τῆς καρδίας μου, προσασίαις τῶν Ἀσωμάτων, καὶ σῶσόν με. Ἦχος, γ'.

Ἐξαπόστειλον τὸ φῶς σου, Χριστὲ ὁ Θεός, καὶ φώτισον τὴν καρδίαν μου, προστασίαις τῶν Ἀσωμάτων καὶ σῶσόν με. Ἦχος δ.

Ο τὸ φῶς ἀνατέλλων τῷ Κόσμῳ σου, τὴν ἐν σκότει ψυχήν μου ὑπάρχουσαν, ἀπὸ πάσης ἁμαρτίας καθάρισον, προστασίαις τῶν Ἀσωμάτων, καὶ σῶσόν με.

Ἦχος, πλ. ά.

Φωτοδότα, Κύριε, ἐξαπόστειλον τὸ φῶς σου, καὶ φώτισον τὴν καρδίαν μου, προσασίαις τῶν Ἀσωμάτων, καὶ σῶσόν με. Ἦχος πλ. β'.

Προσασίαις Κύριε τῶν Ἀσωμάτων, κατάπεμψον ταῖς ψυχαῖς ἡμῶν τὸ φῶς σου τὸ ἀΐδιον.

Ἦχος, βαρύς.

Προσασίαις Κύριε τῶν Ἀσωμάτων, φῶς κατάπεμψον ταῖς ψυχαῖς ἡμῶν, διὰ τὸ μέγα σου ἔλεος.

Ἦχος πλ. δ.

Φῶς ὑπάρχων Χριστὲ, φώτισόν με ἐν σοὶ, προστασίαις τῶν Ἀσωμάτων, καὶ σῶσόν με.

Ἐξαποστειλάρια τῆς ὅλης Ἑβδομάδος. Αὐτόμελον, τῇ Δευτέρᾳ.

Ἦχος γ'.

Ο οὐρανὸν τοῖς ἄστροις, κατακοσμήσας ὡς Θεὸς, καὶ διὰ τῶν σῶν Ἀγγέλων, πᾶσαν τὴν γῆν φωταγωγῶν, Δημιουργὲ τῶν ὰ-

πάντων,

πάντων, τους ἀνυμνοῦντάς σε σῶζε.

Θεοτοκίον.

Ὁ γλυκασμὸς τῶν Ἀγγέλων, τῶν θλιβομένων ἡ χαρὰ, Χριστιανῶν ἡ προστάτις, Παρθένε Μήτηρ Κυρίου, ἀντιλαβοῦ ἡμᾶς ῥῦσαι, τῶν αἰωνίων βασάνων.

Τῇ Τρίτῃ Ἦχος γ΄. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Τὸν Πρόδρομον Ἰωάννην, καὶ Βαπτιστὴν τοῦ Σωτῆρος, τὸν ἐν Προφήταις Προφήτην, καὶ τῆς ἐρήμου τὸ θρέμμα, τῆς Ἐλισάβετ τὸν γόνον, ἀνευφημήσωμεν πάντες.

Θεοτοκίον. Ὁ γλυκασμὸς τῶν Ἀγγέλων· ὡς ἄνω.

Τῇ Τετάρτῃ καὶ Παρασκευῇ. Ἦχος β΄.

Σταυρὸς ὁ φύλαξ πάσης τῆς Οἰκουμένης, Σταυρὸς ἡ ὡραιότης τῆς Ἐκκλησίας, Σταυρὸς Βασιλέων τὸ κραταίωμα, Σταυρὸς πιστῶν τὸ στήριγμα, Σταυρὸς Ἀγγέλων ἡ δόξα, καὶ τῶν Δαιμόνων τὸ τραῦμα.

Σταυροθεοτοκίον. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Ἐν τῷ Σταυρῷ παρεστῶσα, ἡ σὲ ἀσπόρως τεκοῦσα, καὶ θρηνῳδοῦσα ἐβόα: Οἴμοι γλυκύτατον τέκνον! πῶς ἔδυς ἐξ ὀφθαλμῶν μου; πῶς ἐν νεκροῖς ἐλογίσθης;

Τῇ Πέμπτῃ. Ἦχος β΄. Γυναῖκες ἀκουτίσθητε.

Εἰς πᾶσαν τὴν ὑφήλιον, δραμόντες ἐκηρύξατε, τὴν τοῦ Χριστοῦ ἐκ Παρθένου, Ἁγίαν Σάρκωσιν ὄντως, ἐκ πλάνης ἐπιστρέφοντες, τὰ ἔθνη καὶ φωτίζοντες, καὶ πάντας ἐκδιδάσκοντες, Τριάδα σέβειν Ἁγίαν, Ἀπόστολοι τοῦ Σωτῆρος.

Ὅμοιον.

Τὸν μέγαν Ἀρχιποίμενα, καὶ Ἱεράρχην ἅπαντες, τὸν Πρόεδρον τῶν Μυρέων, Νικόλαον εὐφημοῦμεν· πολλοὺς γὰρ ἄνδρας ἔσωσεν, ἀδίκως θνήσκειν μέλλοντας, καὶ Βασιλεῖ ὀπτάνεται, σὺν Ἀβλαβίῳ κατ' ὄναρ, λύων τὴν ἄδικον ψῆφον.

Θεοτοκίον.

Μαρία καθαρώτατον, χρυσοῦν θυμιατήριον, τῆς ἀχωρήτου Τριάδος, δοχεῖον γεγενημένη· ἐν ᾧ Πατὴρ ηὐδόκησεν, ὁ δὲ Υἱὸς ἐσκήνωσε, καὶ Πνεῦμα τὸ Πανάγιον, ἐπεσκίασαν σοι Κόρη, ἀνέδειξε Θεοτόκον. Τῷ Σαββάτῳ. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Ὁ καὶ νεκρῶν καὶ ζώντων, ἐξουσιάζων ὡς Θεὸς, καὶ διὰ τῶν σῶν Ἁγίων, πᾶσαν τὴν γῆν φωταγωγῶν, Δημιουργὲ τῶν ἁπάντων, τοὺς ἀνυμνοῦντάς σε σῶζε.

Θεοτοκίον.

Ἡμεῖς ἐν σοὶ καυχώμεθα Θεοτόκε, καὶ πρὸς Θεόν σε ἔχομεν προσασίαν· ἔκτεινόν σου τὴν χεῖρα τὴν ἄμαχον, καὶ θραῦσον τοὺς ἐχθροὺς ἡμῶν· σοῖς ἐξαπόστειλον δούλοις, βοήθειαν ἐξ Ἁγίου.

Καὶ οἱ αἶνοι οὕτω, ὡς κάτωθεν.

ΨΑΛΜΟΣ, ρμή. 148.

Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτὸν πάντες οἱ Ἄγγελοι αὐτοῦ, αἰνεῖτε αὐτὸν πᾶσαι αἱ Δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος.

Τῷ

τῷ Θεῷ. Αἰνεῖτε αὐτὸν Ἥλιος καὶ Σελήνη· αἰνεῖτε αὐτὸν πάντα τὰ ἄστρα καὶ τὸ φῶς. Αἰνεῖτε αὐτὸν οἱ Οὐρανοὶ τῶν Οὐρανῶν, καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν. Αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου. Ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν· αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν. Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται. Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, δράκοντες, καὶ πᾶσαι ἄβυσσοι. Πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ. Τὰ Ὄρη καὶ πάντες οἱ βουνοί, ξύλα καρποφόρα, καὶ πᾶσαι κέδροι. Τὰ θηρία καὶ πάντα τὰ κτήνη, ἑρπετὰ καὶ πετεινὰ πτερωτά. Βασιλεῖς τῆς γῆς, καὶ πάντες λαοί, ἄρχοντες, καὶ πάντες κριταὶ γῆς. Νεανίσκοι, καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων, αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου. Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ Οὐρανοῦ, καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ. Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ. τοῖς Υἱοῖς Ἰσραὴλ λαῷ ἐγγίζοντι αὐτῷ.

ΨΑΛΜΟΣ, ρμθ'. 149

Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν· ἡ αἴνεσις αὐτοῦ ἐν Ἐκκλησίᾳ ὁσίων. Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτόν, καὶ Υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν. Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ, ἐν τυμπάνῳ, καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ. Ὅτι εὐδοκεῖ Κύριος ἐν τῷ λαῷ αὐτοῦ, καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ. Καυχήσονται ὅσιοι ἐν δόξῃ, καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν. Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν, καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν. Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς. Τοῦ δῆσαι τοὺς Βασιλεῖς αὐτῶν ἐν πέδαις, καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς. Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον. Δόξα αὐτῷ ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

ΨΑΛΜΟΣ, ρν'. 150.

Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς Ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Δόξα, καὶ νῦν, λέγομεν οὕτω.

Σοὶ δόξα πρέπει Κύριε ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Δόξα σοι τῷ δείξαντι τὸ φῶς

Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς

γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκία. Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι διὰ τὴν μεγάλην σου δόξαν. Κύριε Βασιλεῦ, ἐπουράνιε Θεὲ, Πάτερ παντοκράτωρ, Κύριε Υἱὲ μονογενὲς, Ἰησοῦ Χριστὲ, καὶ Ἅγιον Πνεῦμα. Κύριε ὁ Θεὸς, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρὸς ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ Κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ Κόσμου. Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρὸς, καὶ ἐλέησον ἡμᾶς. Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστὸς, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν. Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ ἐγὼ εἶπα, Κύριε ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου ὅτι ἥμαρτόν σοι. Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με, τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου. Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς· ἐν τῷ φωτί σου ὀψόμεθα φῶς. Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς. Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν. Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπί σέ. Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου. Κύριε τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς. Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

Ὁ Ἱερεύς.

Πληρώσωμεν τὴν Ἑωθινὴν δέησιν...

Ἐκφώνησις. Ὅτι Θεὸς ἐλέους. Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ἡμῶν. Καὶ τὴν μυστικὴν εὐχήν.

Κύριε Ἅγιε, ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν, καὶ τῷ παντεφόρῳ σου ὄμματι ἐπιβλέπων ἐπὶ πᾶσαν τὴν Κτίσιν, σοὶ ἐκκλίναμεν τὸν αὐχένα τῆς ψυχῆς καὶ τοῦ σώματος, καὶ δεόμεθά σου Ἅγιε Ἁγίων· ἔκτεινον τὴν χεῖρά σου τὴν ἀόρατον ἐξ Ἁγίου κατοικητηρίου σου, καὶ εὐλόγησον πάντας ἡμᾶς, καὶ εἴτι ἡμάρτομεν ἑκουσίως, ἢ ἀκουσίως ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς συγχώρησον, δωρούμενος ἡμῖν τὰ ἐγκόσμια, καὶ ὑπερκόσμια ἀγαθά σου. Ἐκφώνησις. Σὸν γὰρ ἐστὶ κτλ.

Εἶτα τὰ τῆς Ὀκτωήχου στιχηρὰ· εἰ δὲ οὐκ ἔστι Δεσποτικὴ ἑορτὴ, τὰ παρόντα στιχηρὰ Κατανυκτικὰ

Ἦχος πλ. β'.

Γυμνὸν εὑρὼν με τῶν ἀρετῶν ὁ ἐχθρὸς, τῷ βέλει τῆς ἁμαρτίας ἔτρω-

ἔτρωσεν· ἀλλὰ σὺ ὡς ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων, τὰ τραύματα τῆς ψυχῆς μου θεράπευσον ὁ Θεὸς, καὶ ἐλέησόν με.

Στίχος ά.

Ἐνεπλήσθημεν τὸ πρωὶ τοῦ ἐλέους σου, Κύριε, καὶ ἠγαλλιασάμεθα, καὶ εὐφράνθημεν ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν. Εὐφρανθείημεν, ἀνθ' ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς, ἐτῶν ὧν εἴδομεν κακά· καὶ ἴδε ἐπὶ τοὺς δούλους σου, καὶ ἐπὶ τὰ ἔργα σου, καὶ ὁδήγησον τοὺς υἱοὺς αὐτῶν.

Τὰ τῆς καρδίας μου τραύματα, ἐκ πολλῶν ἁμαρτημάτων φυέντα μοι, ἰάτρευσον Σωτὴρ, ὁ τῶν ψυχῶν καὶ τῶν σωμάτων ἰατρός· ὁ παρέχων τοῖς αἰτοῦσι, πταισμάτων τὴν συγχώρησιν ἀεί, παράσχου μοι δάκρυα μετανοίας, διδούς μοι τὴν λύσιν τῶν ὀφλημάτων Κύριε, καὶ ἐλέησόν με.

Στίχος β'.

Καὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ' ἡμᾶς, καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ' ἡμᾶς, καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον.

Κύριε εἰ μὴ τοὺς Ἁγίους σου εἴχομεν πρεσβευτὰς, καὶ τὴν ἀγαθότητά σου συμπαθοῦσαν ἡμῖν, πῶς ἐτολμῶμεν Σωτὴρ ὑμνῆσαί σε, ὃν εὐλογοῦσιν ἀπαύστως Ἄγγελοι; Καρδιογνῶστα φεῖσαι τῶν ψυχῶν μῶν.

τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις· αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Εἰ δὲ Κυριακὴ οὕτω

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον, αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις· σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτὸν πάντες οἱ Ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτὸν πᾶσαι αἱ δυνάμεις αὐτοῦ· σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Δόξα αὕτη ἔσται πᾶσι τοῖς Ὁσίοις αὐτοῦ.

Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ· αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ. αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος· αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ· αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Στίχος ά.

Ἀνάστηθι Κύριε ὁ Θεός μου, ὑψωθήτω ἡ χείρ σου μὴ ἐπιλάθῃ τῶν πενήτων σου εἰς τέλος.

Στίχος β'.

Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου, διηγήσομαι πάντα τὰ θαυμάσιά σου.

Δόξα, τὸ Ἑωθινόν. Καὶ νῦν, τὸ παρὸν Θεοτοκίον.

Ὑπερευλογημένη ὑπάρχεις, Θεοτόκε Παρθένε· διὰ γὰρ τοῦ ἐκ σοῦ σαρκωθέντος ὁ ᾅδης ἠχμαλώτισται, ὁ Ἀδὰμ ἀνακέκληται, ἡ κατάρα νενέκρωται, ἡ Εὔα ἠλευθέρωται, ὁ θάνατος τεθανάτωται, καὶ ἡμεῖς ἐζωοποιήθημεν· διὸ ἀνυμνοῦντες βοῶμεν· εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ οὕτως εὐδοκήσας, δόξα σοι. Δοξολογία μεγάλη.

Δόξα σοι τῷ δείξαντι τὸ φῶς. Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε Βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ Παντοκράτωρ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ Ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ Κόσμου· ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ Κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ' ἑκάστην ἡμέραν εὐλογήσωσε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς

εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καταξίωσον Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με τὰ δικαιώματά σου. Ἐκ γ'.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ ἐγὼ εἶπα: Κύριε ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με, τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς· ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Ἅγιος ὁ Θεός, Ἅγιος ἰσχυρός, Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἐκ τρίτου.

Δόξα, καὶ νῦν. ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

εἶτα γεγονωτέρᾳ φωνῇ.

Ἅγιος ὁ Θεὸς, Ἅγιος ἰσχυρὸς Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

Καὶ εὐθὺς τὰ ἑφεξῆς Τροπάρια Ἀναστάσιμα, εἰς μὲν τὸν ἀ. β'. γ'. καὶ δ'. ἦχον λέγομεν τὸ παρόν.

Τροπάριον, ἦχος δ'.

Σήμερον σωτηρία τῷ κόσμῳ

γ'. καὶ τὴν ἁ. Ὥραν. Εἰ δὲ Τεσσαρακοστή, μετὰ τό. Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ τὸ Τρισάγιον. Ὁ Ἱερεύς. Ὅτι σοῦ ἐστί· τὸ, Κύριε ἐλέησον μ'. εἶτα λέγομεν τὸ παρὸν Ἀπολυτίκιον.

Ἐν τῷ Ναῷ ἑστῶτες τῆς δόξης σου, ἐν οὐρανῷ ἑστάναι νομίζομεν, Θεοτόκε, πύλη ἐπουράνιε, ἄνοιξον ἡμῖν τὴν θύραν τοῦ ἐλέους σου.

Εἶτα τὸ, Κύριε ἐλέησον, μ'. Τὴν τιμιωτέραν τῶν Χερουβὶμ. Ἐν ὀνόματι Κυρίου εὐλόγησον Πάτερ.

Ὁ Ἱερεύς. Ὁ ὢν εὐλογητὸς Χριστὸς, ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Καὶ ἡμεῖς λέγομεν τό:

Ἐπουράνιε Βασιλεῦ, τοὺς Πιστοὺς Βασιλεῖς ἡμῶν στερέωσον, τὴν Πίστιν στήριξον, τὰ Ἔθνη πράϋνον, τὸν Κόσμον εἰρήνευσον, τὴν ἁγίαν ἐκκλησίαν ταύτην καλῶς διαφύλαξον, τοὺς προαπελθόντας Πατέρας, καὶ ἀδελφοὺς ἡμῶν ἐν σκηναῖς Δικαίων τάξον, καὶ ἡμᾶς ἐν μετανοίᾳ καὶ ἐξομολογήσει παράλαβε, ὡς ἀγαθὸς, καὶ φιλάνθρωπος

Εἴθ' οὕτω, μετανοίας, γ'. λέγοντες καθ' ἑαυτοὺς ἐν ἑκάστῃ τὴν εὐχὴν τοῦ Ὁσίου Ἐφραίμ.

ὥρα φυλ. 5.

Μετὰ δὲ ταύτας, ἑτέρας μικρὰς. ιβ'. Εἶτ' αὖθις ἑτέραν μετάνοιαν μεγάλην μίαν, λέγοντες καὶ ἐν ταύτῃ τὴν προγραφεῖσαν Εὐχήν. Ἀναστάντες δὲ ἀρχόμεθα. Δεῦτε προσκυνήσωμεν, γ'. Μετανοίας, γ'. καὶ ψάλλομεν τὴν Πρώτην Ὥραν.

ΑΡΧΗ ΤΗΣ ΠΡΩΤΗΣ ΩΡΑΣ

Δεῦτε προσκυνήσωμεν, ἐκ γ'. καὶ τοὺς Ψαλμούς.

ΨΑΛΜΟΣ, ε' 5.

Τὰ ῥήματά μου ἐνώτισαι Κύριε σύνες τῆς κραυγῆς μου. κ.τ.λ. (ὥρα φυλ. 9.)

ΨΑΛΜΟΣ, πθ'. 89

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Πρὸ τοῦ ὄρη γενηθῆναι καὶ πλασθῆναι τὴν γῆν, καὶ τὴν οἰκουμένην, καὶ ἀπὸ τοῦ αἰῶνος, καὶ ἕως τοῦ αἰῶνος, σὺ εἶ. Μὴ ἀποστρέψῃς ἄνθρωπον εἰς ταπείνωσιν, καὶ εἶπας: Ἐπιστρέψατε Υἱοὶ τῶν ἀνθρώπων. Ὅτι χίλια ἔτη ἐν ὀφθαλμοῖς σου, Κύριε, ὡς ἡμέρα ἡ ἐχθές, ἥτις διῆλθε, καὶ φυλακὴ ἐν νυκτί· τὰ ἐξουδενώματα αὐτῶν ἔτη ἔσονται, τὸ πρωὶ ὡσεὶ χλόη παρέλθοι. Τὸ πρωὶ ἀνθήσαι, καὶ παρέλθοι, τὸ ἑσπέρας ἀποπέσοι σκληρυνθείη, καὶ ξηρανθείη. Ὅτι ἐξελίπομεν ἐν τῇ ὀργῇ σου, καὶ ἐν τῷ θυμῷ σου ἐταράχθημεν. Ἔθου τὰς ἀνομίας ἡμῶν ἐναντίον σου· ὁ αἰὼν ἡμῶν εἰς φωτισμὸν τοῦ προσώπου σου. Ὅτι πᾶσαι αἱ ἡμέραι ἡμῶν ἐξέλιπον, καὶ ἐν τῇ ὀργῇ σου ἐξελίπομεν. Τὰ ἔτη ἡμῶν ὡσεὶ ἀράχνη ἐμελέτων· αἱ ἡμέραι τῶν ἐτῶν ἡμῶν ἐν αὐτοῖς ἑβδομήκοντα ἔτη. Ἐὰν δὲ ἐν δυναστείαις, ὀγδοήκοντα ἔτη, καὶ τὸ πλεῖον αὐτῶν

τῶν κόπος, καὶ πόνος. Ὅτι ἐπῆλθε πραότης ἐφ' ἡμᾶς, καὶ παιδευθησόμεθα. Τίς γινώσκει τὸ κράτος τῆς ὀργῆς σου; καὶ ἀπὸ τοῦ φόβου σου τὸν θυμόν σου ἐξαριθμήσασθαι; Τὴν δεξιάν σου οὕτω γνώρισόν μοι, καὶ τοὺς πεπαιδευμένους τῇ καρδίᾳ ἐν σοφίᾳ. Ἐπίστρεψον Κύριε, ἕως πότε; καὶ παρακλήθητι ἐπὶ τοῖς δούλοις σου. Ἐνεπλήσθημεν τὸ πρωὶ τοῦ ἐλέους σου, Κύριε, καὶ ἠγαλλιασάμεθα, καὶ εὐφράνθημεν ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν. Εὐφρανθείημεν, ἀνθ' ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς, ἐτῶν ὧν εἴδομεν κακά. Καὶ ἴδε ἐπὶ τοὺς δούλους σου, καὶ ἐπὶ τὰ ἔργα σου, καὶ ὁδήγησον τοὺς Υἱοὺς αὐτῶν. Καὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ' ἡμᾶς, καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ' ἡμᾶς, καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον.

ΨΑΛΜΟΣ, ρ'. 100

Ἔλεον, καὶ κρίσιν ᾄσομαί σοι, Κύριε· ψαλῶ, καὶ συνήσω ἐν ὁδῷ ἀμώμῳ, πότε ἥξεις πρός με; Διεπορευόμην ἐν ἀκακίᾳ καρδίας μου ἐν μέσῳ τοῦ οἴκου μου. Οὐ προετιθέμην πρὸ ὀφθαλμῶν μου πρᾶγμα παράνομον, ποιοῦντας παραβάσεις ἐμίσησα. Οὐκ ἐκολλήθη μοι, καρδία σκαμβή· ἐκκλίνοντος ἀπ' ἐμοῦ τοῦ πονηροῦ, οὐκ ἐγίνωσκον. Τὸν καταλαλοῦντα λάθρα τὸν πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον. Ὑπερηφάνῳ ὀφθαλμῷ, καὶ ἀπλήστῳ καρδίᾳ, τούτῳ οὐ συνήσθιον. Οἱ ὀφθαλμοί μου ἐπὶ τοὺς πιστοὺς τῆς γῆς, τοῦ συγκαθῆσθαι αὐτοὺς μετ' ἐμοῦ. Πορευόμενος ἐν ὁδῷ ἀμώμῳ, οὗτός μοι ἐλειτούργει. Οὐ κατῴκει ἐν μέσῳ τῆς οἰκίας μου ποιῶν ὑπερηφανίαν. Λαλῶν ἄδικα, οὐ κατεύθυνον ἐνώπιον τῶν ὀφθαλμῶν μου. Εἰς τὰς πρωΐας ἀπέκτεινον πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς· τοῦ ἐξολοθρεῦσαι ἐκ πόλεως Κυρίου πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν.

Δόξα, καὶ νῦν. Ἀλληλούϊα, ἐκ γ'. Κύριε ἐλέησον ἐκ γ'. Δόξα καὶ νῦν, μετανοίας γ'. καὶ εἰ μέν, Θεὸς Κύριος, ἔψαλτο, λέγομεν, Δόξα, τὸ Τροπάριον τῆς ἡμέρας. Καὶ νῦν. Τί σε καλέσωμεν, ὦ κεχαριτωμένη. Εἰδὲ, Ἀλληλούϊα, τὸ παρὸν εἰς ἦχον, πλ. β'.

Τὸ πρωὶ εἰσάκουσον τῆς φωνῆς μου, ὁ Βασιλεύς μου, καὶ ὁ Θεός μου.

Στίχος, ά.

Τὰ ῥήματά μου ἐνώτισαι Κύριε.

Στίχος β'.

Ὅτι πρός σὲ προσεύξομαι Κύριε.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Τί σὲ καλέσωμεν, ὦ κεχαριτωμένη; οὐρανόν; ὅτι ἀνέτειλας τὸν Ἥλιον τῆς δικαιοσύνης. Παράδεισον; ὅτι ἐβλάστησας τὸ ἄνθος τῆς ἀφθαρσίας. Παρθένον; ὅτι ἔμεινας ἄφθορος. Ἀγνὴν μητέρα; ὅτι ἔσχες σαῖς ἁγίαις ἀγκάλαις Υἱὸν, τὸν πάντων Θεόν· αὐτὸν ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν. Καὶ εὐθύς.

Τὰ διαβήματά μου κατεύθυνον κατὰ τὸ λόγιόν σου, καὶ μὴ κατακυριευσάτω μου πᾶσα ἀνομία.

Λύτρωσαί με ἀπὸ συκοφαντίας ἀνθρώπων, καὶ φυλάξω τὰς ἐντολάς σου.

Τὰ

Τὸ πρόσωπόν σου ἐπίφανον ἐπὶ τὸν δοῦλόν σου, καὶ δίδαξόν με τὰ δικαιώματά σου.

Πληρωθήτω τὸ στόμα μου αἰνέσεώς σου, Κύριε, ὅπως ὑμνήσω τὴν δόξαν σου, ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρέπειάν σου. Ἐκ γ'.

Εἶτα Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστι. Καὶ εἰ οὐκ ἔστιν Ἀλληλούϊα, λέγομεν τὸ τοῦ Ἁγίου Κοντάκιον, εἰ ἔχει, ἢ τῆς τυχούσης Ἑορτῆς. Εἰ δὲ μή, τῇ μὲν Δευτέρᾳ, τῇ Τρίτῃ, καὶ τῇ Πέμπτῃ.

Λέγομεν τὸ παρὸν Θεοτοκίον.

Τὴν ὑπερένδοξον τοῦ Θεοῦ Μητέρα, καὶ τῶν Ἁγίων Ἀγγέλων ἁγιωτέραν, ἀσιγήτως ὑμνήσωμεν καρδίᾳ καὶ στόματι, Θεοτόκον αὐτὴν ὁμολογοῦντες, ὡς κυρίως γεννήσασαν Θεὸν σεσαρκωμένον, καὶ πρεσβεύουσαν ἀπαύστως ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Τῇ δὲ Τετάρτῃ, καὶ Παρασκευῇ Ταχὺ προκατάλαβε, πρὶν δουλωθῆναι ἡμᾶς, ἐχθροὶς βλασφημοῦσί σε, καὶ ἀπειλοῦσιν ἡμῖν, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἄνελε τῷ Σταυρῷ σου τοὺς ἡμᾶς πολεμοῦντας, γνώτωσαν πῶς ἰσχύει Ὀρθοδόξων ἡ Πίστις, πρεσβείαις τῆς Θεοτόκου, μόνε φιλάνθρωπε.

Τῷ Σαββάτῳ, τοῦτο.

Ὡς ἀπαρχὰς τῆς φύσεως, τῷ φυτουργῷ τῆς κτίσεως, ἡ Οἰκουμένη προσφέρει σοι Κύριε, τοὺς Θεοφόρους Μάρτυρας· ταῖς αὐτῶν ἱκεσίαις ἐν εἰρήνῃ βαθείᾳ τὴν Ἐκκλησίαν σου, διὰ τῆς Θεοτόκου συντήρησον πολυέλεε.

Τῇ δὲ Κυριακῇ λέγομεν τὴν Ὑπακοὴν τοῦ τυχόντος ἤχου. Εἶτα τὸ, Κύριε ἐλέησον μ'. Ὁ ἐν παντὶ καιρῷ, καὶ τὸ, Κύριε ἐλέησον, γ'. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον Πάτερ. Ὁ Ἱερεὺς Ἐκφωνεῖ. Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς. Εἰ δέ ἐστι Τεσσαρακοστή, ποιοῦμεν γ'. μεγάλας μετανοίας, λέγοντες καὶ τὴν προγραφεῖσαν Εὐχήν: Κύριε, καὶ Δέσποτα τῆς ζωῆς μου· ὁμοίως καὶ τὰς ἑτέρας μικράς, ιϛ'. εἶτα καὶ τὴν τελευταίαν, γινομένων ὁμοῦ, ιζ'. Εἶτα Τρισάγιον, Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ. Κύριε ἐλέησον ιϛ'.

Καὶ τὴν παροῦσαν Εὐχήν.

Χριστέ, τὸ φῶς τὸ ἀληθινόν, τὸ φωτίζον, καὶ ἁγιάζον πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν Κόσμον. σημειωθήτω ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, ἵνα ἐν αὐτῷ ὀψόμεθα φῶς τὸ ἀπρόσιτον, καὶ κατεύθηνον τὰ διαβήματα ἡμῶν πρὸς ἐργασίαν τῶν ἐντολῶν σου· πρεσβείαις τῆς παναχράντου σου Μητρὸς καὶ πάντων σου τῶν ἁγίων. Ἀμήν.

Δόξα, καὶ νῦν· καὶ γίνεται ἀπόλυσις.

ΩΡΑ ΤΡΙΤΗ.

Βασιλεῦ Οὐράνιε. Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ. τὸ, Κύριε ἐλέησον, ιϛ'. Δόξα, καὶ νῦν. Δεῦτε προσκυνήσωμεν, ἐκ τρίτου. Μετανοίας γ'. Εἶτα τοὺς Ψαλμούς.

ΨΑΛΜΟΣ, ιϛ'. 16.

Εἰσάκουσον, Κύριε, δικαιοσύνης μου πρόσχες τῇ δεήσει μου. Ἐνώτισαι τὴν προσευχήν μου, οὐκ ἐν χείλε-

σι δολίοις. Ἐκ προσώπου σου τὸ κρῖμά μου ἐξέλθοι, οἱ ὀφθαλμοί μου ἰδέτωσαν εὐθύτητας. Ἐδοκίμασας τὴν καρδίαν μου, ἐπεσκέψω νυκτός· ἐπύρωσάς με, καὶ οὐχ εὑρέθη ἐν ἐμοὶ ἀδικία. Ὅπως ἂν μὴ λαλήσῃ τὸ στόμα μου τὰ ἔργα τῶν ἀνθρώπων, διὰ τοὺς λόγους τῶν χειλέων σου ἐγὼ ἐφύλαξα ὁδοὺς σκληράς. Κατάρτισαι τὰ διαβήματά μου ἐν ταῖς τρίβοις σου, ἵνα μὴ σαλευθῶσι τὰ διαβήματά μου. Ἐγὼ ἐκέκραξα, ὅτι ἐπήκουσάς μου, ὁ Θεός· κλῖνον τὸ οὖς σου ἐμοί, καὶ εἰσάκουσον τῶν ῥημάτων μου. Θαυμάστωσον τὰ ἐλέη σου, ὁ σώζων τοὺς ἐλπίζοντας ἐπὶ σέ. Ἐκ τῶν ἀνθεστηκότων τῇ δεξιᾷ σου, φύλαξόν με, Κύριε, ὡς κόρην ὀφθαλμοῦ. Ἐν σκέπῃ τῶν πτερύγων σου σκεπάσεις με, ἀπὸ προσώπου ἀσεβῶν τῶν θλιψάντων με. Οἱ ἐχθροί μου τὴν ψυχήν μου περιέσχον, τὸ στέαρ αὐτῶν συνέκλεισαν, τὸ στόμα αὐτῶν ἐλάλησεν ὑπερηφανίαν. Ἐκβάλλοντές με νυνὶ περιεκύκλωσάν με, τοὺς ὀφθαλμοὺς αὐτῶν ἔθεντο ἐκκλῖναι ἐν τῇ γῇ. Ὑπέλαβόν με ὡσεὶ λέων ἕτοιμος εἰς θήραν, καὶ ὡσεὶ σκύμνος οἰκῶν ἐν ἀποκρύφοις. Ἀνάστηθι Κύριε, πρόφθασον αὐτούς, καὶ ὑποσκέλισον αὐτούς, ῥῦσαι τὴν ψυχήν μου ἀπὸ ἀσεβοῦς ῥομφαίαν σου, ἀπὸ ἐχθρῶν τῆς χειρός σου. Κύριε, ἀπὸ ὀλίγων ἀπὸ γῆς, διαμέρισον αὐτοὺς ἐν τῇ ζωῇ αὐτῶν, καὶ τῶν κεκρυμμένων σου ἐπλήσθη ἡ γαστὴρ αὐτῶν. Ἐχορτάσθησαν υἱῶν, καὶ ἀφῆκαν τὰ καταλοιπα τοῖς νηπίοις αὐτῶν. Ἐγὼ

ταίωμα Κύριος τῶν φοβουμένων αὐτὸν, καὶ ἡ διαθήκη αὐτοῦ δηλώσει αὐτοῖς Οἱ ὀφθαλμοί μου διαπαντὸς πρὸς τὸν Κύριον, ὅτι αὐτὸς ἐκσπάσει ἐκ παγίδος τοὺς πόδας μου. Ἐπίβλεψον ἐπ' ἐμὲ, καὶ ἐλέησόν με, ὅτι μονογενὴς καὶ πτωχός εἰμι ἐγώ. Αἱ θλίψεις τῆς καρδίας μου ἐπληθύνθησαν· ἐκ τῶν ἀναγκῶν μου ἐξάγαγέ με. Ἴδε τὴν ταπείνωσίν μου καὶ τὸν κόπον μου, καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου. Ἴδε τοὺς ἐχθρούς μου, ὅτι ἐπληθύνθησαν, καὶ μῖσος ἄδικον ἐμίσησάν με. Φύλαξον τὴν ψυχήν μου, καὶ ῥῦσαί με, μὴ κατασχυνθείην, ὅτι ἤλπισα ἐπὶ σέ. Ἄκακοι καὶ εὐθεῖς ἐκολλῶντό μοι, ὅτι ὑπέμεινά σε Κύριε. Λύτρωσαι, ὁ Θεὸς, τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ.

Καὶ εὐθὺς τὸν Ν'. Ὅρα σελ. 21.

Δόξα, καὶ νῦν. Ἀλληλούϊα ἐκ τρίτου. Κύριε ἐλέησον γ'. Καὶ εἰ μὲν ψάλλεται: Θεὸς Κύριος, λέγομεν τὸ τῆς ἡμέρας Τροπάριον. Καὶ νῦν, Θεοτόκε σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή.

Εἰδέ, Ἀλληλούϊα, τὸ παρὸν Τροπάριον. πρὸς ἦχον, πλ. δ'.

Κύριε, ὁ τὸ πανάγιόν σου Πνεῦμα ἐν τῇ τρίτῃ ὥρᾳ τοῖς Ἀποστόλοις σου καταπέμψας, τοῦτο ἀγαθὲ μὴ ἀντανέλῃς ἀφ' ἡμῶν, ἀλλ' ἐγκαίνισον ἡμῖν τοῖς δεομένοις σου.

στίχ. ά. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

στίχ. β'. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Θεοτόκε σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινὴ, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς· σὲ ἱκετεύομεν, πρέσβευε Δέσποινα, μετὰ τῶν Ἀποστόλων, καὶ πάντων τῶν ἁγίων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Κύριος ὁ Θεὸς, εὐλογητὸς, εὐλογητὸς, Κύριος ἡμέραν καθ' ἡμέραν· κατευοδώσαι ἡμῖν ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν, ὁ Θεὸς τοῦ σώζειν.

Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστι. Καὶ τὰ Τροπάρια ταῦτα, εἰ οὐκ ἔστιν Ἑορτή.

Εὐλογητὸς εἶ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πανσόφους τοὺς Ἁλιεῖς ἀναδείξας, καταπέμψας αὐτοῖς τὸ Πνεῦμα τὸ Ἅγιον, καὶ δι' αὐτῶν τὴν οἰκουμένην σαγηνεύσας, φιλάνθρωπε δόξα σοι. Δόξα.

Ταχεῖαν, καὶ σαθερὰν δίδου παραμυθίαν τοῖς δούλοις σου Ἰησοῦ, ἐν τῷ ἀκηδιάσαι τὰ πνεύματα ἡμῶν· μὴ χωρίζου τῶν ψυχῶν ἡμῶν ἐν θλίψεσι, μὴ μακρύνου τῶν φρενῶν ἡμῶν ἐν περισάσεσιν· ἀλλ' ἀεὶ ἡμᾶς πρόρθασον. Ἔγγισον ἡμῖν, ἔγγισον ὁ παντα χοῦ· ὥσπερ καὶ τοῖς Ἀποστόλοις σου πάντοτε συνῆς, οὕτω καὶ τοῖς σὲ ποθοῦσιν ἕνωσον σαυτὸν οἰκτίρμων· ἵνα συνημμένοι σοι ὑμνῶμεν, καὶ δοξολογῶμεν τὸ πανάγιόν σου πνεῦμα.

Καὶ νῦν Θεοτοκίον.

Ἡ ἐλπὶς, καὶ προσασία, καὶ καταφυγὴ τῶν Χριστιανῶν, τὸ ἀκατα-

μά-

ταμάχητον τεῖχος, τῶν καταπονουμένων ὁ λιμὴν ὁ ἀχείμαστος σὺ εἶ Θεοτόκε ἄχραντε· ἀλλ' ὡς τὸν κόσμον σώζουσα τῇ ἀπαύστῳ πρεσβείᾳ σου, μνήσθητι καὶ ἡμῶν, Παρθένε Πανύμνητε.

Τὸ Κύριε ἐλέησον μ'. Ὁ ἐν παντὶ καιρῷ. Κύριε ἐλέησον γ'. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν τῶν Χερουβίμ. Ἐν ὀνόματι Κυρίου εὐλόγησον Πάτερ. Καὶ εἰ ἔζι Τεσσαρακοστὴ, ποιοῦμεν τὰς μετανοίας, ὡς προεγράφη. Μετὰ δὲ τὴν τελευταίαν μετάνοιαν, λέγομεν τὴν Εὐχὴν τοῦ Ἁγίου Μαρδαρίου: Δέσποτα Θεὲ, Πάτερ παντοκράτωρ, ἧτις προεγράφη Ὥρα σιλ. 28.

ΩΡΑ ΕΚΤΗ.

Δεῦτε προσκυνήσωμεν, ἐκ γ'. Μετανοίας τρεῖς, εἶτα τοὺς ψαλμούς.

ΨΑΛΜΟΣ, νγ'. 53.

Ὁ Θεὸς, ἐν τῷ ὀνόματί σου σῶσόν με, καὶ ἐν τῇ δυνάμει σου κρινεῖς με. Ὁ Θεὸς, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὰ ῥήματα τοῦ στόματός μου. Ὅτι ἀλλότριοι ἐπανέστησαν ἐπ' ἐμὲ, καὶ κραταιοὶ ἐζήτησαν τὴν ψυχήν μου, καὶ οὐ προέθεντο τὸν Θεὸν ἐνώπιον αὐτῶν. Ἰδοὺ γὰρ ὁ Θεὸς βοηθεῖ μοι, καὶ ὁ Κύριος ἀντιλήπτωρ τῆς ψυχῆς μου. Ἀποστρέψει τὰ κακὰ τοῖς ἐχθροῖς μου, ἐν τῇ ἀληθείᾳ σου ἐξολόθρευσον αὐτούς. Ἑκουσίως θύσω σοι· ἐξομολογήσομαι τῷ ὀνόματί σου, Κύριε, ὅτι ἀγαθόν. Ὅτι ἐκ πάσης θλίψεως ἐρρύσω με, καὶ ἐν τοῖς ἐχθροῖς μου ἐπεῖδεν ὁ ὀφθαλμός μου.

ΨΑΛΜΟΣ. νδ'. 54.

Ἐνώτισαι, ὁ Θεὸς, τὴν προσευχήν μου· καὶ μὴ ὑπερίδῃς τὴν δέησίν μου· πρόσχες μοι, καὶ εἰσάκουσόν μου. Ἐλυπήθην ἐν τῇ ἀδολεσχίᾳ μου, καὶ ἐταράχθην ἀπὸ φωνῆς ἐχθροῦ, καὶ ἀπὸ θλίψεως ἁμαρτωλοῦ. Ὅτι ἐξέκλιναν ἐπ' ἐμὲ ἀνομίαν, καὶ ἐν ὀργῇ ἐνεκότουν μοι. Ἡ καρδία μου ἐταράχθη ἐν ἐμοὶ, καὶ δειλία θανάτου ἐπέπεσεν ἐπ' ἐμέ. Φόβος καὶ τρόμος ἦλθον ἐπ' ἐμὲ, καὶ ἐκάλυψέ με σκότος. Καὶ εἶπα: Τίς δώσει μοι πτέρυγας ὡσεὶ περιστερᾶς, καὶ πετασθήσομαι, καὶ καταπαύσω; Ἰδοὺ ἐμάκρυνα φυγαδεύων, καὶ ηὐλίσθην ἐν τῇ ἐρήμῳ. Προσεδεχόμην τὸν Θεὸν τὸν σώζοντά με ἀπὸ ὀλιγοψυχίας, καὶ ἀπὸ καταιγίδος. Καταπόντισον, Κύριε, καὶ καταδίελε τὰς γλώσσας αὐτῶν· ὅτι εἶδον ἀνομίαν καὶ ἀντιλογίαν ἐν τῇ πόλει. Ἡμέρας καὶ νυκτὸς κυκλώσει αὐτὴν ἐπὶ τὰ τείχη αὐτῆς, καὶ ἀνομία καὶ κόπος ἐν μέσῳ αὐτῆς, καὶ ἀδικία. Καὶ οὐκ ἐξέλιπεν ἐκ τῶν πλατειῶν αὐτῆς τόκος καὶ δόλος. Ὅτι, εἰ ὁ ἐχθρὸς ὠνείδισέ με, ὑπήνεγκα ἄν. Καὶ εἰ ὁ μισῶν με ἐπ' ἐμὲ ἐμεγαλορρήμονησεν, ἐκρύβην ἂν ἀπ' αὐτοῦ. Σὺ δὲ ἄνθρωπε ἰσόψυχε, ἡγεμών μου, καὶ γνωστέ μου. Ὃς ἐπὶ τὸ αὐτὸ ἐγλύκανάς μοι βρώματα·

ώματα· ἐν τῷ οἴκῳ τοῦ Θεοῦ ἐπορεύθημεν ἐν ὁμονοίᾳ. Ἐλθέτω δὴ θάνατος ἐπ' αὐτούς, καὶ καταβήτωσαν εἰς Ἅδου ζῶντες. Ὅτι πονηρία ἐν ταῖς παροικίαις αὐτῶν ἐν μέσῳ αὐτῶν. Ἐγὼ πρὸς τὸν Θεὸν ἐκέκραξα, καὶ ὁ Κύριος εἰσήκουσέ μου. Ἑσπέρας, καὶ πρωΐ, καὶ μεσημβρίας διηγήσομαι καὶ ἀπαγγελῶ, καὶ εἰσακούσεται τῆς φωνῆς μου. Λυτρώσεται ἐν εἰρήνῃ τὴν ψυχήν μου ἀπὸ τῶν ἐγγιζόντων μοι, ὅτι ἐν πολλοῖς ἦσαν σὺν ἐμοί. Εἰσακούσεται ὁ Θεὸς, καὶ ταπεινώσει αὐτοὺς ὁ ὑπάρχων πρὸ τῶν αἰώνων. Οὐ γάρ ἐστιν αὐτοῖς ἀντάλλαγμα, ὅτι οὐκ ἐφοβήθησαν τὸν Θεόν· ἐξέτεινε τὴν χεῖρα αὐτοῦ ἐν τῷ ἀποδιδόναι. Ἐβεβήλωσαν τὴν διαθήκην αὐτοῦ, διεμερίσθησαν ἀπὸ ὀργῆς τοῦ προσώπου αὐτοῦ, καὶ ἤγγισαν αἱ καρδίαι αὐτῶν· Ἠπαλύνθησαν οἱ λόγοι αὐτῶν ὑπὲρ ἔλαιον, καὶ αὐτοί εἰσι βολίδες. Ἐπίῤῥιψον ἐπὶ Κύριον τὴν μέριμνάν σου, καὶ αὐτός σε διαθρέψει· οὐ δώσει εἰς τὸν αἰῶνα σάλον τῷ δικαίῳ. Σὺ δὲ, ὁ, Θεός, κατατάξεις αὐτοὺς εἰς φρέαρ διαφθορᾶς. Ἄνδρες αἱμάτων, καὶ δολιότητος οὐ μὴ ἡμισεύσωσι τὰς ἡμέρας αὐτῶν· ἐγὼ δὲ, Κύριε, ἐλπιῶ ἐπί σέ.

ΨΑΛΜΟΣ, ϙ'. 90.

Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ Ὑψίστου, ἐν σκέπῃ τοῦ Θεοῦ τοῦ οὐρανοῦ αὐλισθήσεται. Ἐρεῖ τῷ Κυρίῳ· Ἀντιλήπτωρ μου εἶ, καὶ καταφυγή μου, ὁ Θεός μου, καὶ ἐλπιῶ ἐπ' αὐτόν. Ὅτι αὐτὸς ῥύσεταί σε ἐκ παγίδος θηρευτῶν, καὶ ἀπὸ λόγου ταραχώδους. Ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοι, καὶ ὑπὸ τὰς πτέρυγας αὐτοῦ ἐλπιεῖς· ὅπλῳ κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ. Οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ, ἀπὸ βέλους πετομένου ἡμέρας. Ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου, ἀπὸ συμπτώματος δαιμονίου μεσημβρινοῦ. Πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιὰς καὶ μυριὰς ἐκ δεξιῶν σου, πρὸς σὲ δὲ οὐκ ἐγγιεῖ. Πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοήσεις, καὶ ἀνταπόδοσιν ἁμαρτωλῶν ὄψει. Ὅτι σὺ, Κύριε, ἡ ἐλπίς μου, τὸν Ὕψιστον ἔθου καταφυγήν σου. Οὐ προσελεύσεται πρὸς σὲ κακά, καὶ μάστιξ οὐκ ἐγγιεῖ ἐν τῷ σκηνώματί σου. Ὅτι τοῖς Ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου. Ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου. Ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσεις λέοντα καὶ δράκοντα. Ὅτι ἐπ' ἐμὲ ἤλπισε, καὶ ῥύσομαι αὐτόν· σκεπάσω αὐτόν, ὅτι ἔγνω τὸ ὄνομά μου. Κεκράξεται πρός με, καὶ ἐπακούσομαι αὐτοῦ, μετ' αὐτοῦ εἰμὶ ἐν θλίψει· ἐξελοῦμαι αὐτόν, καὶ δοξάσω αὐτόν. Μακρότητα ἡμερῶν ἐμπλήσω αὐτόν, καὶ δείξω αὐτῷ τὸ σωτήριόν μου.

Δόξα, καὶ νῦν. Ἀλληλούϊα, ἐκ γ'. Κύριε ἐλέησον γ', καὶ εἰ μὲν ψάλλεται, τὸ, Θεὸς Κύριος, λέγομεν τὸ τῆς ἡμέρας Ἀπολυτίκιον.

εἰδὲ, Ἀλληλούϊα, τὸ παρὸν, ἦχος β΄.

Ὁ ἐν ἕκτῃ ἡμέρᾳ τε καὶ ὥρᾳ τῷ Σταυρῷ προσηλώσας τὴν ἐν τῷ Παραδείσῳ τολμηθεῖσαν τῷ Ἀδὰμ ἁμαρτίαν, καὶ τῶν πταισμάτων ἡμῶν τὸ χειρόγραφον διαῤῥῆξον. Χριστὲ ὁ Θεὸς, καὶ σῶσον ἡμᾶς.

Στίχος ἀ·

Ἐνώτισαι ὁ Θεὸς τὴν προσευχήν μου, καὶ μὴ ὑπερίδῃς τὴν δέησίν μου.

Στίχος β΄.

Ἐγὼ πρὸς τὸν Θεὸν ἐκέκραξα, καὶ ὁ Κύριος εἰσήκουσέ μου.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ὅτι οὐκ ἔχομεν παῤῥησίαν διὰ τὰ πολλὰ ἡμῶν ἁμαρτήματα, σὺ τὸν ἐκ σοῦ γεννηθέντα δυσώπησον, Θεοτόκε Παρθένε· πολλὰ γὰρ ἰσχύει δέησις Μητρὸς, πρὸς εὐμένειαν Δεσπότου. Μὴ παρίδῃς ἁμαρτωλῶν ἱκεσίας ἡ πάνσεμνος, ὅτι ἐλεήμων ἐστὶ, καὶ σώζειν δυνάμενος, ὁ καὶ παθεῖν ὑπὲρ ἡμῶν καταδεξάμενος.

Ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου, Κύριε, ὅτι ἐπτωχεύσαμεν σφόδρα· βοήθησον ἡμῖν, ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ἕνεκεν τῆς δόξης τοῦ ὀνόματός σου· Κύριε, ῥῦσαι ἡμᾶς, καὶ ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ.

Καὶ τὰ Τροπάρια ταῦτα, εἰ οὐκ ἔστιν ἑορτὴ, ἦχος β΄.

Σωτηρίαν εἰργάσω ἐν μέσῳ τῆς γῆς, Χριστὲ ὁ Θεὸς· ἐπὶ Σταυροῦ τὰς ἀχράντους σου χεῖρας ἐξέτεινας, ἐπισυνάγων πάντα τὰ ἔθνη κράζοντα· Κύριε δόξα σοι.

Δόξα.

Τὴν ἄχραντον Εἰκόνα σου προσκυνοῦμεν ἀγαθὲ, αἰτούμενοι συγχώρησιν τῶν πταισμάτων ἡμῶν, Χριστὲ ὁ Θεός· βουλήσει γὰρ εὐδόκησας σαρκὶ ἀνελθεῖν ἐν τῷ Σταυρῷ, ἵνα ῥύσῃ οὓς ἔπλασας ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ· ὅθεν εὐχαρίστως βοῶμέν σοι. Χαρᾶς ἐπλήρωσας τὰ πάντα ὁ Σωτὴρ ἡμῶν, παραγενόμενος εἰς τὸ σῶσαι τὸν Κύριον. Καὶ νῦν. Θεοτοκίον.

Εὐσπλαγχνίας ὑπάρχουσα πηγὴ, συμπαθείας ἀξίωσον ἡμᾶς Θεοτόκε· βλέψον εἰς λαὸν τὸν ἁμαρτήσαντα, δεῖξον ὡς ἀεὶ τὴν δυναστείαν σου· εἰς σὲ γὰρ ἐλπίζοντες, τὸ· Χαῖρε βοῶμέν σοι, ὡς ποτε ὁ Γαβριὴλ, ὁ τῶν Ἀσωμάτων Ἀρχιστράτηγος.

Τὸ Θεοτοκίον τοῦτο λέγεται τῇ Δευτέρᾳ, τῇ Τρίτῃ, καὶ τῇ Πέμπτῃ, ὅτε οὐκ ἔχει ἡ ἡμέρα Κοντάκιον· τῇ δὲ Τετάρτῃ, καὶ τῇ Παρασκευῇ, τὸ ἑξῆς Σταυροθεοτοκίον, ἦχος, β΄.

Ὑπερδεδοξασμένη ὑπάρχεις, Θεοτόκε Παρθένε ὑμνοῦμέν σε· διὰ γὰρ τοῦ Σταυροῦ τοῦ Υἱοῦ σου κατεβλήθη ὁ Ἅδης, καὶ ὁ θάνατος τέθνηκε· νεκρωθέντες ἀνέστημεν, καὶ ζωῆς ἠξιώθημεν· τὸν Παράδεισον ἐλάβομεν, τὴν ἀρχαίαν ἀπόλαυσιν· διὸ εὐχαριστοῦντες δοξολογοῦμεν, ὡς κραταιὸν Χριστὸν τὸν Θεὸν ἡμῶν, καὶ μόνον πολυέλεον.

Τὸ, Κύριε ἐλέησον, μ΄. Ὁ ἐν παντὶ

παντὶ καιρῷ. Κύριε ἐλέησον, γ'. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν· καὶ μετανοίας, ὡς εἴρηται εἰ ἔζι Τεσσαρακοστὴ· εἰδὲ μὴ, τὴν εὐχὴν ταύτην:

Τοῦ Μεγάλου Βασιλείου.

Θεὲ καὶ Κύριε τῶν δυνάμεων, καὶ πάσης κτίσεως Δημιουργὲ, ὁ διὰ σπλάγχνα ἀνεικάστου ἐλέους σου, τὸν μονογενῆ σου Υἱὸν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν κατεπέμψας ἐπὶ σωτηρίᾳ τοῦ γένους ἡμῶν. Καὶ διὰ τοῦ τιμίου αὐτοῦ Σταυροῦ τὸ χειρόγραφον τῶν ἁμαρτιῶν ἡμῶν διαῤῥήξας, καὶ θριαμβεύσας ἐν αὐτῷ τὰς ἀρχὰς καὶ ἐξουσίας τοῦ σκότους. Αὐτὸς, Δέσποτα, φιλάνθρωπε, πρόσδεξαι καὶ ἡμῶν τῶν ἁμαρτωλῶν τὰς εὐχαριστηρίους ταύτας καὶ ἱκετηρίους ἐντεύξεις, καὶ ῥῦσαι ἡμᾶς ἀπὸ παντὸς ὀλεθρίου καὶ σκοτεινοῦ παραπτώματος, καὶ πάντων τῶν κακῶσαι ἡμᾶς ζητούντων ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν. Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας ἡμῶν, καὶ μὴ ἐκκλίνῃς τὰς καρδίας ἡμῶν εἰς λόγους, ἢ εἰς λογισμοὺς πονηρίας. Ἀλλὰ τῷ πόθῳ σου τρῶσον ἡμῶν τὰς ψυχάς, ἵνα πρὸς σὲ διαπαντὸς ἀτενίζοντες, καὶ τῷ παρὰ σοῦ φωτὶ ὁδηγούμενοι, σὲ τὸ ἀπρόσιτον καὶ ἀΐδιον κατοπτεύοντες φῶς, ἀκατάπαυστόν σοι τὴν ἐξομολόγησιν καὶ εὐχαριστίαν ἀναπέμπωμεν, τῷ ἀνάρχῳ Πατρὶ, σὺν τῷ μονογενεῖ σου, Υἱῷ καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ εἰ μὲν, Θεὸς Κύριος, ἔψαλτο, τὰ Τυπικὰ λέγομεν ὧδε· εἰ δὲ Ἀλληλούϊα, ὑπέρθες αὐτὰ μετὰ τὴν Ἐνάτην Ὥραν.

ΑΚΟΛΟΥΘΙΑ
ΤΩΝ ΤΥΠΙΚΩΝ.

—

ΨΑΛΜΟΣ, ρβ'. 102.

Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον. Εὐλογητὸς εἶ Κύριε. Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.

Τὸν εὐίλατεύοντα πάσας τὰς ἀνομίας σου, τὸν ἰώμενον πάσας τὰς νόσους σου.

Τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου, τὸν στεφανοῦντά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς.

Τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου· ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου.

Ποιῶν ἐλεημοσύνας ὁ Κύριος, καὶ κρίμα πᾶσι τοῖς ἀδικουμένοις.

Ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ Μωϋσῇ, τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ.

Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος· οὐκ εἰς τέλος ὀργισθήσεται, οὐδὲ εἰς τὸν αἰῶνα μηνιεῖ.

Οὐ κατὰ τὰς ἀνομίας ἡμῶν ἐποίησεν ἡμῖν, οὐδὲ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν.

Ὅτι

Ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς, ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν.

Καθόσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ' ἡμῶν τὰς ἀνομίας ἡμῶν.

Καθὼς οἰκτείρει πατὴρ υἱοὺς, ᾠκτείρησε Κύριος τοὺς φοβουμένους αὐτόν· ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν, ἐμνήσθη ὅτι χοῦς ἐσμέν.

Ἄνθρωπος ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ οὕτως ἐξανθήσει.

Ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ, καὶ οὐχ ὑπάρξει, καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ.

Τὸ δὲ ἔλεος τοῦ Κυρίου ἀπὸ τοῦ αἰῶνος, καὶ ἕως τοῦ αἰῶνος ἐπὶ τοὺς φοβουμένους αὐτόν.

Καὶ ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ υἱοῖς υἱῶν, τοῖς φυλάσσουσι τὴν διαθήκην αὐτοῦ, καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ τοῦ ποιῆσαι αὐτάς.

Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ Βασιλεία αὐτοῦ πάντων δεσπόζει.

Εὐλογεῖτε τὸν Κύριον πάντες οἱ Ἄγγελοι αὐτοῦ, δυνατοὶ ἰσχύϊ ποιοῦντες τὸν λόγον αὐτοῦ, τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ.

Εὐλογεῖτε τὸν Κύριον πᾶσαι αἱ Δυνάμεις αὐτοῦ, λειτουργοὶ αὐτοῦ, οἱ ποιοῦντες τὸ θέλημα αὐτοῦ.

Εὐλογεῖτε τὸν Κύριον πάντα τὰ ἔργα αὐτοῦ· ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ. Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον.

Δόξα τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι.

ΨΑΛΜΟΣ. ρμέ. 145.

Αἶνει ἡ ψυχή μου τὸν Κύριον· αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Μὴ πεποίθατε ἐπ' ἄρχοντας, ἐπὶ υἱοὺς ἀνθρώπων, οἷς οὐκ ἔστι σωτηρία.

Ἐξελεύσεται τὸ πνεῦμα αὐτοῦ, καὶ ἐπιστρέψει εἰς τὴν γῆν αὐτοῦ, Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπολοῦνται πάντες οἱ διαλογισμοὶ αὐτοῦ.

Μακάριος, οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ.

Τὸν ποιήσαντα τὸν οὐρανὸν, τὴν γῆν, τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς.

Τὸν φυλάσσοντα ἀλήθειαν εἰς τὸν αἰῶνα, ποιοῦντα κρίμα τοῖς ἀδικουμένοις, διδόντα τροφὴν τοῖς πεινῶσι.

Κύριος λύει πεπεδημένους. Κύριος σοφοῖ τυφλούς. Κύριος ἀνορθοῖ κατεραγμένους Κύριος ἀγαπᾷ δικαίους. Κύριος φυλάσσει τοὺς προσηλύτους.

Ὀρφανὸν καὶ χήραν ἀναλήψεται, καὶ ὁδὸν ἁμαρτωλῶν ἀφανιεῖ.

Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιὼν, εἰς γενεὰν καὶ γενεάν. Καὶ νῦν

Ὁ Μονογενὴς Υἱὸς, καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων, καὶ καταδεξάμενος διὰ τὴν ἡμετέραν σωτηρίαν, σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας

Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σαυρωθείς τε Χριστὲ ὁ Θεὸς, θανάτῳ θάνατον πατήσας, εἷς ὢν τῆς ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ, καὶ τῷ ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.

Εἰδέναι χρὴ, ὅτι τῇ μεγάλῃ Τεσσαρακοστῇ, οὐ λέγομεν τοὺς τῶν Τυπικῶν Ψαλμούς· ἀλλὰ μετὰ τὰς ἐν τῇ Ἐννάτῃ Ὥρᾳ τρεῖς μεγάλας μετανοίας, ἀρχόμεθα εὐθὺς τῶν Μακαρισμῶν, ψάλλοντες μεθ' ἕνα ἕκαστον αὐτῶν τὸ, Μνήσθητι ἡμῶν, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου, εἰς ἦχον πλ. δ'. Ὡσαύτως καὶ μετὰ τὸ, Δόξα καὶ νῦν· ποιοῦμεν δὲ καὶ μετάνοιαν μικρὰν μίαν ἐν ἑκάστῳ Μνήσθητι.

ΟΙ ΜΑΚΑΡΙΣΜΟΙ.

Ἐν τῇ Βασιλείᾳ σου μνήσθητι ἡμῶν, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου.

Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ Βασιλεία τῶν Οὐρανῶν.

Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται.

Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν.

Μακάριοι οἱ πεινῶντες, καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται.

Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται.

Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται.

Μακάριοι οἱ εἰρηνοποιοὶ, ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται.

Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ Βασιλεία τῶν οὐρανῶν.

Μακάριοι ἐστὲ, ὅταν ὀνειδίσωσιν ὑμᾶς, καὶ διώξωσι, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν, ψευδόμενοι ἕνεκεν ἐμοῦ.

Χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς.

Καὶ εἰ μὲν ἐστι μεγάλη Τεσσαρακοστὴ, ἐνούμενοι οἱ δύω Χοροὶ ψάλλουσι μετὰ μέλους τὸ, Μνήσθητι ἡμῶν Κύριε ἐκ γ'. καὶ μετάνοιαν μίαν ἐν ἑκάστῳ· εἰδ' οὔ, χύμα καὶ ἄνευ μετανοιῶν.

Δόξα, καὶ νῦν.

Μνήσθητι ἡμῶν Κύριε, ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου.

Μνήσθητι ἡμῶν Δέσποτα, ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου.

Μνήσθητι ἡμῶν Ἅγιε, ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου.

Χορὸς ὁ ἐπουράνιος ὑμνεῖ σε, καὶ λέγει: Ἅγιος, ἅγιος, ἅγιος, Κύριος Σαβαὼθ, πλήρης ὁ οὐρανὸς, καὶ ἡ γῆ τῆς δόξης σου.

Στίχος. Προσέλθετε πρὸς αὐτὸν, καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ.

Χορὸς ὁ ἐπουράνιος ὑμνεῖ σε, καὶ λέγει: ἅγιος, ἅγιος, ἅγιος, Κύριος

ριος Σαβαὼθ, πλήρης ὁ οὐρανὸς, καὶ ἡ γῆ τῆς δόξης σου. Δόξα. **Χ**ορὸς ἁγίων Ἀγγέλων, καὶ Ἀρχαγγέλων, μετὰ πασῶν τῶν ἐπουρανίων Δυνάμεων ὑμνεῖσε, καὶ λέγει· Ἅγιος, ἅγιος, ἅγιος, Κύριος Σαβαὼθ, πλήρης ὁ Οὐρανὸς, καὶ ἡ γῆ τῆς δόξης σου. Καὶ νῦν. **Π**ιστεύω εἰς ἕνα Θεὸν, ὅρα σελ. 27

Εἶτα.

Ἄνες, ἄφες, συγχώρησον, ὁ Θεὸς, τὰ παραπτώματα ἡμῶν, τὰ ἑκούσια καὶ τὰ ἀκούσια, τὰ ἐν ἔργῳ καὶ λόγῳ, τὰ ἐν γνώσει καὶ ἀγνοίᾳ, τὰ ἐν νυκτὶ καὶ ἡμέρᾳ, τὰ κατὰ νοῦν καὶ διάνοιαν· τὰ πάντα ἡμῖν συγχώρησον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος. Εἶτα.

Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστι. Μεθ' ὃ, εἰ μέν ἐστι Δεσποτικὴ ἑορτὴ, λέγομεν τὸ ταύτης Κοντάκιον· εἰ δὲ τύχῃ καὶ ἅγιος ἑορταζόμενος ἐνταυτῷ, λέγεται πρῶτον τὸ τοῦ ἁγίου, εἶτα· Δόξα, καὶ νῦν, τὸ τῆς Ἑορτῆς. Εἰδ' Ἀλληλούια ἔψαλτο, ἢ ὅτε οὐκ ἔστιν Ἑορτὴ, λέγε πρῶτον τὸ τῆς Μετσμορφώσεως, εἶτα τὸ τῆς ἡμέρας· καὶ μετ' αὐτό. Δόξα. Μετὰ τῶν ἁγίων ἀνάπαυσον Χριστέ. Καὶ νῦν. Προσασία τῶν Χριστιανῶν ἀκαταίσχυντε, ὡς ἔπονται καθ' ἑξῆς.

Τὸ τῆς Μεταμορφώσεως,
ἦχος βαρύς.

Ἐπὶ τοῦ ὄρους μετεμορφώθης, καὶ ὡς ἐχώρουν οἱ Μαθηταί σου τὴν δόξαν σου, Χριστὲ ὁ Θεὸς, ἐθεάσαντο· ἵνα ὅταν σε ἴδωσι σταυρούμενον, τὸ μὲν Πάθος νοήσωσιν ἑκούσιον, τῷ δὲ κόσμῳ κηρύξωσιν, ὅτι σὺ ὑπάρχεις ἀληθῶς τοῦ Πατρὸς τὸ ἀπαύγασμα.

Τῇ Δευτέρᾳ, Κοντάκιον τῶν
Ἀσωμάτων, ἦχος, β'.

Ἀρχισράτηγοι Θεοῦ, λειτουργοὶ θείας δόξης, τῶν ἀνθρώπων ὁδηγοὶ, καὶ ἀρχηγοὶ Ἀσωμάτων, τὸ συμφέρον ἡμῖν πρεσβεύσατε, καὶ τὸ μέγα ἔλεος, ὡς τῶν Ἀσωμάτων Ἀρχισράτηγοι.

Τῇ Τρίτῃ, τοῦ Προδρόμου,
Κοντάκιον, ἦχος β'.

Τὰ ἄνω ζητῶν.

Προφῆτα Θεοῦ, καὶ Πρόδρομε τῆς χάριτος, τὴν κάραν τὴν σὴν, ὡς ῥόδον ἱερώτατον, ἐκ τῆς γῆς εὐράμενοι, τὰς ἰάσεις πάντοτε λαμβάνομεν· καὶ γὰρ πάλιν ὡς πρότερον, ἐν κόσμῳ κηρύττεις τὴν μετάνοιαν.

Τῇ Τετάρτῃ, καὶ τῇ Παρασκευῇ,
ἦχος, δ'.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως, τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ, τοὺς οἰκτιρμούς σου ὤρηγαι, Χριστὲ ὁ Θεός· εὔφρανον ἐν τῇ δυνάμει σου τοὺς πιστοὺς Βασιλεῖς ἡμῶν, νίκας χορηγῶν αὐτοῖς κατὰ τῶν πολεμίων· τὴν συμμαχίαν ἔχοιεν

χοιεν τὴν σὴν, ὅπλον εἰρήνης, ἀήττητον τρόπαιον.

Τῇ Πέμπτῃ, τῶν ἁγίων Ἀποστόλων, ἦχος β'.

Τοὺς ἀσφαλεῖς καὶ θεοφθόγγους Κήρυκας, τὴν κορυφὴν τῶν Μαθητῶν σου Κύριε, πρεσελεύσθου εἰς ἀπόλαυσιν τῶν ἀγαθῶν σου καὶ ἀνάπαυσιν· τοὺς πόνους γὰρ ἐκείνων καὶ τὸν θάνατον, ἐδέξω ὑπὲρ πᾶσαν ὁλοκάρπωσιν, ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ἁγίου Νικολάου.

Ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Ἐν τοῖς Μύροις Ἅγιε ἱερουργὸς ἀνεδείχθης· τοῦ Χριστοῦ γὰρ Ὅσιε, τὸ Εὐαγγέλιον πληρώσας, ἔθηκας τὴν ψυχήν σου ὑπὲρ λαοῦ σου, ἔσωσας τοὺς ἀθώους ἐκ τοῦ θανάτου· διὰ τοῦτο ἡγιάσθης, ὡς μέγας μύστης Θεοῦ τῆς χάριτος.

Τῷ Σαββάτῳ, Κοντάκιον Νεκρώσιμον, ἦχος πλ. δ'.

Μετὰ τῶν ἁγίων ἀνάπαυσον, Χριστὲ ὁ Θεὸς τὰς ψυχὰς τῶν δούλων σου, ἔνθα οὐκ ἔστι πόνος, οὐ λύπη, οὐ στεναγμός· ἀλλὰ ζωὴ ἀτελεύτητος.

Καὶ τὸ παρὸν Μαρτυρικὸν Κοντάκιον, ἦχος πλ. δ'.

Ὡς ἀπαρχὰς τῆς φύσεως, τῷ φυτουργῷ τῆς κτίσεως, ἡ οἰκουμένη προσφέρει σοι Κύριε, τοὺς Θεοφόρους Μάρτυρας· ταῖς αὐτῶν ἱκεσίαις, ἐν εἰρήνῃ βαθείᾳ τὴν Ἐκκλησίαν σου, διὰ τῆς Θεοτόκου συντήρησον πολυέλεε.

Τὸ παρὸν δὲ λέγεται καθ' ἑκάστην, ἐκτὸς τοῦ Σαββάτου.

Προσασία τῶν Χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν Ποιητὴν ἀμετάθετε, μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς· ἀλλὰ πρόφθασον ὡς ἀγαθὴ εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι· Τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεὶ Θεοτόκε τῶν τιμώντων σε.

Τὸ Κύριε ἐλέησον, μ'. Καὶ εἰ ἐξ' Τεσσαρακοστὴ, Ὁ ἐν παντὶ καιρῷ. Τὴν τιμιωτέραν Ἐν ὀνόματι Κυρίου εὐλόγησον Πάτερ.

Ὁ Ἱερεύς.

Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς· καὶ τὰς τετυπωμένας μετανοίας. Εἶτα Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ. Κύριε ἐλέησον, ιβ'. καὶ τὴν Εὐχὴν ταύτην:

Παναγία Τριὰς, τὸ ὁμοούσιον κράτος, ἡ ἀδιαίρετος βασιλεία, ἡ πάντων τῶν ἀγαθῶν αἰτία, εὐδόκησον δὴ καὶ ἐπ' ἐμοὶ τῷ ἁμαρτωλῷ, στήριξον, συνέτισον τὴν καρδίαν μου, καὶ πᾶσαν περιελέ μου τὴν βεβηλότητα. Φώτισόν μου τὴν διάνοιαν, ἵνα διαπαντὸς δοξάζω, ὑμνῶ, καὶ προσκυνῶ, καὶ λέγω: εἷς Ἅγιος, εἷς Κύριος, Ἰησοῦς Χριστὸς, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Εἶτα τὸ ὄνομα Κυρίου εὐλογημένον ἑπτάκις. Εἶτα· Ἐλέησόν με, ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου. Δόξα, καὶ νῦν. Εἶτα τὸν ἑπόμενον Ψαλμόν.

ΨΑΛΜΟΣ, λγ'. 33.

Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ, διαπαντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου. Ἐν τῷ Κυρίῳ ἐπαινεθήσεται ἡ ψυχή μου, ἀκουσάτωσαν πραεῖς, καὶ εὐφρανθήτωσαν. Μεγαλύνατε τὸν Κύριον σὺν ἐμοί, καὶ ὑψώσωμεν τὸ ὄνομα αὐτοῦ ἐπὶ τὸ αὐτό. Ἐξεζήτησα τὸν Κύριον, καὶ ἐπήκουσέ μου, καὶ ἐκ πασῶν τῶν θλίψεών μου ἐρρύσατό με. Προσελθετε πρὸς αὐτὸν, καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ. Οὗτος ὁ πτωχὸς ἐκέκραξε, καὶ ὁ Κύριος ἐπήκουσεν αὐτοῦ, καὶ ἐκ πασῶν ἐων θλίψεων αὐτοῦ ἔσωσεν αὐτόν. Παρεμβαλεῖ Ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν, καὶ ῥύσεται αὐτούς. Γεύσασθε, καὶ ἴδετε, ὅτι χρηστὸς ὁ Κύριος· μακάριος ἀνὴρ ὃς ἐλπίζει ἐπ' αὐτόν. Φοβήθητε τὸν Κύριον πάντες οἱ Ἅγιοι αὐτοῦ, ὅτι οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτόν. Πλούσιοι ἐπτώχευσαν, καὶ ἐπείνασαν· οἱ δὲ ἐκζητοῦντες τὸν Κύριον οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ. Δεῦτε τέκνα, ἀκούσατέ μου, φόβον Κυρίου διδάξω ὑμᾶς. Τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωὴν, ἀγαπῶν ἡμέρας ἰδεῖν ἀγαθάς; Παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ, καὶ χείλη σου τοῦ μὴ λαλῆσαι δόλον. Ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν· ζήτησον εἰρήνην, καὶ δίωξον αὐτήν. Ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν. Πρόσωπον δὲ Κυρίου ἐπὶ ποιοῦντας κακὰ, τοῦ ἐξολοθρεῦσαι ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν. Ἐκέκραξαν οἱ δίκαιοι, καὶ ὁ Κύριος εἰσήκουσεν αὐτῶν, καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτῶν ἐρρύσατο αὐτούς. Ἐγγὺς Κύριος τοῖς συντετριμμένοις τῇ καρδίᾳ, καὶ τοὺς ταπεινοὺς τῷ πνεύματι σώσει. Πολλαὶ αἱ θλίψεις τῶν δικαίων, καὶ ἐκ πασῶν αὐτῶν ῥύσεται αὐτοὺς ὁ Κύριος. Φυλάσσει Κύριος πάντα τὰ ὀστᾶ αὐτῶν, ἓν ἐξ αὐτῶν οὐ συντριβήσεται. Θάνατος ἁμαρτωλῶν πονηρὸς, καὶ οἱ μισοῦντες τὸν δίκαιον πλημμεληθήσουσι. Λυτρώσεται Κύριος ψυχὰς δούλων αὐτοῦ, καὶ οὐ μὴ πλημμεληθήσουσι πάντες οἱ ἐλπίζοντες ἐπ' αὐτόν.

Δόξα, καὶ νῦν, καὶ γίνεται ἀπόλυσις.

ΑΚΟΛΟΥΘΙΑ
ΤΗΣ
ΤΡΑΠΕΖΗΣ.

Πρὸ τῆς τροφῆς ὕμνησον αὖθις τὸν Κτίστην.
Ἐλθόντες εἰς τὴν Τράπεζαν, λέγομεν.

ΨΑΛΜΟΣ, ρμδ'. 144

Ὑψώσω σε ὁ Θεός μου ὁ Βασιλεύς μου

μου, καὶ εὐλογήσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Καθ' ἑκάστην ἡμέραν εὐλογήσωσε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Μέγας Κύριος καὶ αἰνετὸς σφόδρα, καὶ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας. Γενεὰ καὶ γενεὰ ἐπαινέσει τὰ ἔργα σου, καὶ τὴν δύναμίν σου ἀπαγγελοῦσι. Τὴν μεγαλοπρέπειαν τῆς δόξης τῆς ἁγιωσύνης σου λαλήσουσι, καὶ τὰ θαυμασιά σου διηγήσονται. Καὶ τὴν δύναμιν τῶν φοβερῶν σου ἐροῦσι, καὶ τὴν μεγαλωσύνην σου διηγήσονται. Μνήμην τοῦ πλήθους τῆς χρηστότητός σου ἐξερεύξονται, καὶ τῇ δικαιοσύνῃ σου ἀγαλλιάσονται. Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος. μακρόθυμος, καὶ πολυέλεος. Χρηστὸς Κύριος τοῖς σύμπασι, καὶ οἱ οἰκτιρμοὶ αὐτοῦ ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ. Ἐξομολογησάσθωσάν σοι, Κύριε, πάντα τὰ ἔργα σου, καὶ οἱ Ὅσιοί σου εὐλογησάτωσάν σε. Δόξαν τῆς Βασιλείας σου ἐροῦσι, καὶ τὴν δυναστείαν σου λαλήσουσι. Τοῦ γνωρίσαι τοῖς Υἱοῖς τῶν ἀνθρώπων τὴν δυναστείαν σου, καὶ τὴν δοξαν τῆς μεγαλοπρεπείας τῆς Βασιλείας σου. Ἡ βασιλεία σου βασιλεία πάντων τῶν αἰώνων, καὶ ἡ Δεσποτεία σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ. Πιστὸς Κύριος ἐν πᾶσι τοῖς λόγοις αὐτοῦ καὶ Ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ. Ὑποστηρίζει Κύριος πάντας τοὺς καταπίπτοντας, καὶ ἀνορθοῖ πάντας τοὺς κατερραγμένους. Οἱ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσι, καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ. Ἀνοίγεις σὺ τὴν χεῖρά σου, καὶ ἐμπιπλᾷς πᾶν ζῶον εὐδοκίας. Δίκαιος Κύριος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ, καὶ Ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ. Ἐγγὺς Κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτόν, πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ. Θέλημα τῶν φοβουμένων αὐτὸν ποιήσει, καὶ τῆς δεήσεως αὐτῶν εἰσακούσεται, καὶ σώσει αὐτούς. Φυλάσσει Κύριος πάντας τοὺς ἀγαπῶντας αὐτόν, καὶ πάντας τοὺς ἁμαρτωλοὺς ἐξολοθρεύσει. Αἶνεσιν Κυρίου λαλήσει τὸ στόμα μου· καὶ εὐλογείτω πᾶσα σὰρξ τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Δόξα, καὶ νῦν. Κύριε ἐλέησον, ἐκ τρίτου. Καὶ ὁ Ἱερεὺς εὐλογεῖ τὰ παρατιθέμενα, καὶ λέγει τὴν Εὐχὴν τῆς Τραπέζης.

Χριστὲ ὁ Θεός, εὐλόγησον τὴν βρῶσιν καὶ τὴν πόσιν τῶν δούλων σου, ὅτι ἅγιος εἶ πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ μετὰ τὸ γεύσασθαι, ἀνιστάμενοι, καὶ τῷ Θεῷ εὐχαριστοῦντες, λέγομεν.

Εὐλογητὸς ὁ Θεός, ὁ ἐλεῶν καὶ τρέφων ἡμᾶς ἐκ νεότητος ἡμῶν· ὁ διδοὺς τροφὴν πάσῃ σαρκί, πλήρωσον χαρᾶς καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν· ἵνα πάντοτε πᾶσαν αὐτάρκειαν ἔχοντες περισσεύωμεν εἰς πᾶν ἔργον ἀγαθόν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· μεθ' οὗ σοι δόξα πρέπει, κράτος, τιμὴ, καὶ προσκύνησις, σὺν τῷ Ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας. Ἀμήν.

Δόξα σοι Κύριε, Δόξα σοι Ἅγιε, Δόξα σοι Βασιλεῦ, ὅτι ἔδωκας ἡμῖν βρώματα εἰς εὐφροσύνην, πλήρωσον ἡμᾶς καὶ Πνεύματος Ἁγίου, ἵνα εὑρεθῶμεν ἐνώπιόν σου εὐάρεστοι, καὶ μὴ αἰσχυνόμενοι, ὅταν ἀποδώσῃς ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

Δόξα, καὶ νῦν. Κύριε ἐλέησον, γ'. Κύριε Εὐλόγησον.

Ὁ Ἱερεύς.

Εὐλογητὸς ὁ Θεός, ὁ ἐλεῶν καὶ τρέφων ἡμᾶς ἐκ τῶν αὐτοῦ πλουσίων δωρεῶν, τῇ αὐτοῦ χάριτι καὶ φιλανθρωπίᾳ, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΥΑΓΓΕΛΙΑ

ΕΩΘΙΝΑ ΑΝΑΣΤΑΣΙΜΑ

Τὰ ΙΑ'.

ΕΥΑΓΓΕΛΙΟΝ Α'.

Ἐκ τοῦ κατὰ Ματθαῖον.

Κεφ. κή. 16. (α)

Τῷ καιρῷ ἐκείνῳ, οἱ ἕνδεκα Μαθηταὶ ἐπορεύθησαν εἰς τὴν Γαλιλαίαν, εἰς τὸ ὄρος, οὗ ἐτάξατο αὐτοῖς ὁ Ἰησοῦς. Καὶ ἰδόντες αὐτὸν, προσεκύνησαν αὐτῷ· οἱ δὲ ἐδίστασαν. Καὶ προσελθὼν ὁ Ἰησοῦς, ἐλάλησεν αὐτοῖς, λέγων: Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν Οὐρανῷ καὶ ἐπὶ γῆς. Πορευθέντες οὖν μαθητεύσατε πάντα τὰ Ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος· διδάσκοντες αὐτοὺς τηρεῖν πάντα, ὅσα ἐνετειλάμην ὑμῖν. Καὶ ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος. Ἀμήν.

Ἐνταῦθα κατατάττομεν μόνον τὰ ἕνδεκα ἑωθινὰ εὐαγγέλια τῶν Κυριακῶν τοῦ ὄρθρου, καὶ οὐχὶ τὰ τῆς λειτουργίας, διότι λειτουργία ἄνευ εὐαγγελίου δὲν γίνεται, μήτε εἴσοδος ἄνευ αὐτοῦ.

ΕΥΑΓΓΕΛΙΟΝ Β'.

ἐκ τοῦ κατὰ Μάρκον·

Κεφ. ις'. 1.

Τῷ καιρῷ ἐκείνῳ, διαγενομένου τοῦ Σαββάτου, Μαρία ἡ Μαγδαληνὴ, καὶ Μαρία ἡ τοῦ Ἰακώβου καὶ Σαλώμη ἠγόρασαν ἀρώματα, ἵνα ἐλθοῦσαι ἀλείψωσι τὸν Ἰησοῦν. Καὶ λίαν πρωὶ τῆς μιᾶς Σαββάτων, ἔρχονται ἐπὶ τὸ μνημεῖον ἀνατείλαντος τοῦ Ἡλίου. Καὶ ἔλεγον πρὸς ἑαυτάς: Τίς ἀποκυλίσει ἡμῖν τὸν λίθον ἐκ τῆς θύρας τοῦ μνημείου; Καὶ ἀναβλέψασαι θεωροῦσιν ὅτι ἀποκεκύλισται ὁ λίθος· ἦν γὰρ μέγας σφόδρα. Καὶ εἰσελθοῦσαι εἰς τὸ μνημεῖον, εἶδον Νεανίσκον καθήμενον ἐν τοῖς δεξιοῖς, περιβεβλημένον στολὴν λευκὴν, καὶ ἐξεθαμβήθησαν. Ὁ δὲ λέγει αὐταῖς: Μὴ ἐκθαμβεῖσθε· Ἰησοῦν ζητεῖτε τὸν Ναζαρηνὸν τὸν ἐσταυρωμένον; ἠγέρθη, οὐκ ἔστιν ὧδε· ἴδε ὁ τόπος ὅπου ἔθηκαν αὐτόν. Ἀλλ' ὑπάγετε εἰπα-

εἴπατε τοῖς Μαθηταῖς αὐτοῦ, καὶ τῷ Πέτρῳ, ὅτι προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν· ἐκεῖ αὐτὸν ὄψεσθε, καθὼς εἶπεν ὑμῖν. Καὶ ἐξελθοῦσαι ταχὺ, ἔφυγον ἀπὸ τοῦ μνημείου· εἶχε δὲ αὐτὰς τρόμος καὶ ἔκστασις. καὶ οὐδενὶ οὐδὲν εἶπον· ἐφοβοῦντο γάρ.

ΕΥΑΓΓΕΛΙΟΝ Γ'.

Ἐκ τοῦ κατὰ Μάρκον.

Κεφ. ις'. 9.

Τῷ καιρῷ ἐκείνῳ, ἀναστὰς ὁ Ἰησοῦς, πρωΐ πρώτῃ Σαββάτου, ἐφάνη πρῶτον Μαρίᾳ τῇ Μαγδαληνῇ, ἀφ' ἧς ἐκβεβλήκει ἑπτὰ δαιμόνια. Ἐκείνη πορευθεῖσα, ἀπήγγειλε τοῖς μετ' αὐτοῦ γενομένοις πενθοῦσι, καὶ κλαίουσι. Κἀκεῖνοι, ἀκούσαντες ὅτι ζῇ, καὶ ἐθεάθη ὑπ' αὐτῆς, ἠπίστησαν. Μετὰ δὲ ταῦτα, δυσὶν ἐξ αὐτῶν περιπατοῦσιν, ἐφανερώθη ἐν ἑτέρᾳ μορφῇ, πορευομένοις εἰς ἀγρόν. Κἀκεῖνοι ἀπελθόντες, ἀπήγγειλαν τοῖς λοιποῖς· οὐδὲ ἐκείνοις ἐπίστευσαν. Ὕστερον, ἀνακειμένοις αὐτοῖς τοῖς ἑνδεκα, ἐφανερώθη, καὶ ὠνείδισε τὴν ἀπιστίαν αὐτῶν, καὶ σκληροκαρδίαν· ὅτι τοῖς θεασαμένοις αὐτὸν ἐγηγερμένον οὐκ ἐπίστευσαν. Καὶ εἶπεν αὐτοῖς, Πορευθέντες εἰς τὸν Κόσμον ἅπαντα, κηρύξατε τὸ Εὐαγγέλιον πάσῃ τῇ Κτίσει. Ὁ πιστεύσας καὶ βαπτισθεὶς σωθήσεται, ὁ δὲ ἀπιστήσας κατακριθήσεται. Σημεῖα δὲ τοῖς πιστεύσασι ταῦτα παρακολουθήσει: Ἐν τῷ ὀνόματί μου δαιμόνια ἐκβαλοῦσι, γλώσσαις λαλήσουσι καιναῖς· ὄφεις ἀροῦσι· κἂν θανάσιμόν τι πίωσιν, οὐ μὴ αὐτοὺς βλάψει· ἐπὶ ἀρρώστους χεῖρας ἐπιθήσουσι, καὶ καλῶς ἕξουσιν. Ὁ μὲν οὖν Κύριος, μετὰ τὸ λαλῆσαι αὐτοῖς, ἀνελήφθη εἰς τὸν Οὐρανὸν, καὶ ἐκάθησεν ἐκ δεξιῶν τοῦ Θεοῦ. Ἐκεῖνοι δὲ ἐξελθόντες, ἐκήρυξαν πανταχοῦ, τοῦ Κυρίου συνεργοῦντος, καὶ τὸν λόγον βεβαιοῦντος, διὰ τῶν ἐπακολουθούντων σημείων. Ἀμήν.

ΕΥΑΓΓΕΛΙΟΝ Δ'.

Ἐκ τοῦ κατὰ Λουκᾶν.

Κεφ. κδ'. 1.

Τῇ μιᾷ τῶν Σαββάτων, ὄρθρου βαθέος, ἦλθον γυναῖκες ἐπὶ τὸ μνῆμα, φέρουσαι ἃ ἡτοίμασαν ἀρώματα· καί τινες σὺν αὐταῖς. Εὗρον δὲ τὸν λίθον ἀποκεκυλισμένον ἀπὸ τοῦ μνημείου, καὶ εἰσελθοῦσαι, οὐχ εὗρον τὸ σῶμα τοῦ Κυρίου Ἰησοῦ. Καὶ ἐγένετο ἐν τῷ διαπορεῖσθαι αὐτὰς περὶ τούτου, καὶ ἰδοὺ ἄνδρες δύω ἐπέστησαν αὐταῖς ἐν ἐσθήσεσιν ἀστραπτούσαις. Ἐμφόβων δὲ γενομένων αὐτῶν, καὶ κλινουσῶν τὸ πρόσωπον εἰς τὴν γῆν, εἶπον πρὸς αὐτάς: Τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; οὐκ ἔστιν ὧδε, ἀλλ' ἠγέρθη· μνήσθητε ὡς ἐλάλησεν ὑμῖν, ἔτι ὢν ἐν τῇ Γαλιλαίᾳ, λέγων: Ὅτι δεῖ τὸν Υἱὸν τοῦ ἀνθρώπου παραδοθῆναι εἰς χεῖρας ἀνθρώπων ἁμαρτωλῶν, καὶ σταυρωθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι. Καὶ ἐμνήσθησαν τῶν ῥημάτων αὐτοῦ. Καὶ ὑποστρέψασαι ἀπὸ τοῦ μνη-

μείου

μείου, ἀπήγγειλαν ταῦτα πάντα τοῖς ἑνδεκα, καὶ πᾶσι τοῖς λοιποῖς. Ἦσαν δὲ ἡ Μαγδαληνὴ Μαρία, καὶ Ἰωάννα, καὶ Μαρία Ἰακώβου, καὶ αἱ λοιπαὶ σὺν αὐταῖς, αἳ ἔλεγον πρὸς τοὺς Ἀποστόλους ταῦτα. Καὶ ἐφάνησαν ἐνώπιον αὐτῶν ὡσεὶ λῆρος τὰ ῥήματα αὐτῶν, καὶ ἠπίστουν αὐταῖς. Ὁ δὲ Πέτρος ἀναστὰς ἔδραμεν ἐπὶ τὸ μνημεῖον, καὶ παρακύψας βλέπει τὰ ὀθόνια κείμενα μόνα, καὶ ἀπῆλθε, πρὸς ἑαυτὸν θαυμάζων τὸ γεγονός.

ΕΥΑΓΓΕΛΙΟΝ Ε'.

Ἐκ τοῦ κατὰ Λουκᾶν

Κεφ. κδ'. 12.

Τῷ καιρῷ ἐκείνῳ, ὁ Πέτρος ἀναστὰς ἔδραμεν ἐπὶ τὸ μνημεῖον· καὶ παρακύψας βλέπει τὰ ὀθόνια κείμενα μόνα, καὶ ἀπῆλθε, πρὸς ἑαυτὸν θαυμάζων τὸ γεγονός. Καὶ ἰδοὺ δύο ἐξ αὐτῶν ἦσαν πορευόμενοι ἐν αὐτῇ τῇ ἡμέρᾳ εἰς κώμην, ἀπέχουσαν σταδίους ἑξήκοντα ἀπὸ Ἰερουσαλὴμ, ᾗ ὄνομα Ἐμμαούς· καὶ αὐτοὶ ὡμίλουν πρὸς ἀλλήλους περὶ πάντων τῶν συμβεβηκότων τούτων. Καὶ ἐγένετο ἐν τῷ ὁμιλεῖν αὐτοὺς καὶ συζητεῖν, καὶ αὐτὸς ὁ Ἰησοῦς ἐγγίσας, συνεπορεύετο αὐτοῖς. Οἱ δὲ ὀφθαλμοὶ αὐτῶν ἐκρατοῦντο τοῦ μὴ ἐπιγνῶναι αὐτόν. Εἶπε δὲ πρὸς αὐτούς· Τίνες οἱ λόγοι οὗτοι, οὓς ἀντιβάλλετε πρὸς ἀλλήλους περιπατοῦντες, καὶ ἐστὲ σκυθρωποί; Ἀποκριθεὶς δὲ ὁ εἷς, ᾧ ὄνομα Κλεόπας, εἶπε πρὸς αὐτόν· Σὺ μόνος παροικεῖς ἐν Ἰερουσαλὴμ, καὶ οὐκ ἔγνως τὰ γενόμενα ἐν αὐτῇ ἐν ταῖς ἡμέραις ταύταις; καὶ εἶπεν αὐτοῖς· Ποῖα; Οἱ δὲ εἶπον αὐτῷ· Τὰ περὶ Ἰησοῦ τοῦ Ναζωραίου, ὃς ἐγένετο ἀνὴρ προφήτης, δυνατὸς ἐν ἔργῳ καὶ λόγῳ, ἐναντίον τοῦ Θεοῦ, καὶ παντὸς τοῦ λαοῦ· ὅπως τε παρέδωκαν αὐτὸν οἱ ἀρχιερεῖς, καὶ οἱ ἄρχοντες ἡμῶν εἰς κρίμα θανάτου, καὶ ἐσταύρωσαν αὐτόν. Ἡμεῖς δὲ ἠλπίζομεν, ὅτι αὐτός ἐστιν ὁ μέλλων λυτροῦσθαι τὸν Ἰσραήλ. Ἀλλά γε σὺν πᾶσι τούτοις, τρίτην ταύτην ἡμέραν ἄγει σήμερον, ἀφ' οὗ ταῦτα ἐγένετο. Ἀλλὰ καὶ γυναῖκες τινὲς ἐξ ἡμῶν ἐξέστησαν ἡμᾶς, γενόμεναι ὄρθριαι ἐπὶ τὸ μνημεῖον· καὶ μὴ εὑροῦσαι τὸ σῶμα αὐτοῦ, ἦλθον λέγουσαι, καὶ ὀπτασίαν Ἀγγέλων ἑωρακέναι, οἳ λέγουσιν αὐτὸν ζῆν. Καὶ ἀπῆλθον τινὲς τῶν σὺν ἡμῖν ἐπὶ τὸ μνημεῖον, καὶ εὗρον οὕτω, καθὼς καὶ αἱ γυναῖκες εἶπον· αὐτὸν δὲ οὐκ εἶδον. Καὶ αὐτὸς εἶπε πρὸς αὐτούς· Ὦ ἀνόητοι, καὶ βραδεῖς τῇ καρδίᾳ τοῦ πιστεύειν ἐπὶ πᾶσιν, οἷς ἐλάλησαν οἱ Προφῆται· οὐχὶ ταῦτα ἔδει παθεῖν τὸν Χριστὸν, καὶ εἰσελθεῖν εἰς τὴν δόξαν αὐτοῦ; Καὶ ἀρξάμενος ἀπὸ Μωσέως, καὶ ἀπὸ πάντων τῶν Προφητῶν, διηρμήνευεν αὐτοῖς ἐν πάσαις ταῖς γραφαῖς τὰ περὶ ἑαυτοῦ. Καὶ ἤγγισαν εἰς τὴν κώμην, οὗ ἐπορεύοντο· καὶ αὐτὸς προσεποιεῖτο πορρώτερον πορεύεσθαι. Καὶ παρεβιάσαντο αὐτὸν, λέγοντες· Μεῖνον μεθ' ἡμῶν, ὅτι πρὸς ἑσπέραν ἐστὶ, καὶ κέκλικεν ἡ ἡμέρα. Καὶ εἰσῆλθε τοῦ μεῖναι σὺν αὐτοῖς. Καὶ ἐγένετο ἐν τῷ

τῷ κατακλιθῆναι αὐτὸν μετ' αὐτῶν, λαβὼν τὸν ἄρτον, εὐλόγησε, καὶ κλάσας ἐπεδίδου αὐτοῖς. Αὐτῶν δὲ διηνοίχθησαν οἱ ὀφθαλμοὶ, καὶ ἐπέγνωσαν αὐτόν· καὶ αὐτὸς ἄφαντος ἐγένετο ἀπ' αὐτῶν. Καὶ εἶπον πρὸς ἀλλήλους: Οὐχὶ ἡ καρδία ἡμῶν καιομένη ἦν ἐν ἡμῖν, ὡς ἐλάλει ἡμῖν ἐν τῇ ὁδῷ, καὶ ὡς διήνοιγεν ἡμῖν τὰς Γραφάς; Καὶ ἀναστάντες αὐτῇ τῇ ὥρᾳ, ὑπέστρεψαν εἰς Ἰερουσαλὴμ, καὶ εὗρον συνηθροισμένους τοὺς ἕνδεκα καὶ τοὺς σὺν αὐτοῖς, λέγοντας: Ὅτι ἠγέρθη ὁ Κύριος ὄντως, καὶ ὤφθη Σίμωνι. Καὶ αὐτοὶ ἐξηγοῦντο τὰ ἐν τῇ ὁδῷ, καὶ ὡς ἐγνώσθη αὐτοῖς ἐν τῇ κλάσει τοῦ ἄρτου.

ΕΥΑΓΓΕΛΙΟΝ ΣΤ'.

Ἐκ τοῦ κατὰ Λουκᾶν.

Κεφ. κδ'. 36.

Τῷ καιρῷ ἐκείνῳ, ἀναστὰς ὁ Ἰησοῦς ἐκ νεκρῶν, ἔστη ἐν μέσῳ τῶν Μαθητῶν αὐτοῦ, καὶ λέγει αὐτοῖς: Εἰρήνη ὑμῖν. Πτοηθέντες δὲ καὶ ἔμφοβοι γενόμενοι, ἐδόκουν πνεῦμα θεωρεῖν. Καὶ εἶπεν αὐτοῖς: Τί τεταραγμένοι ἐστὲ, καὶ διὰ τί διαλογισμοὶ ἀναβαίνουσιν ἐν ταῖς καρδίαις ὑμῶν; ἴδετε τὰς χεῖράς μου, καὶ τοὺς πόδας μου, ὅτι αὐτὸς ἐγώ εἰμι· ψηλαφήσατέ με καὶ ἴδετε· ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα. Καὶ τοῦτο εἰπὼν, ἐπέδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τοὺς πόδας. Ἔτι δὲ ἀπιστούντων αὐτῶν ἀπὸ τῆς χαρᾶς, καὶ θαυμαζόντων, εἶπεν αὐτοῖς: Ἔχετέ τι βρώσιμον ἐνθάδε; Οἱ δὲ ἐπέδωκαν αὐτῷ ἰχθύος ὀπτοῦ μέρος, καὶ ἀπὸ μελισσίου κηρίου. Καὶ λαβὼν, ἐνώπιον αὐτῶν ἔφαγεν· Εἶπε δὲ αὐτοῖς: Οὗτοι οἱ λόγοι, οὓς ἐλάλησα πρὸς ὑμᾶς, ἔτι ὢν σὺν ὑμῖν, ὅτι δεῖ πληρωθῆναι πάντα τὰ γεγραμμένα ἐν τῷ Νόμῳ Μωσέως, καὶ Προφήταις, καὶ Ψαλμοῖς περὶ ἐμοῦ. Τότε διήνοιξεν αὐτῶν τὸν νοῦν, τοῦ συνιέναι τὰς Γραφάς. Καὶ εἶπεν αὐτοῖς: Ὅτι οὕτω γέγραπται, καὶ οὕτως ἔδει παθεῖν τὸν Χριστὸν, καὶ ἀναστῆναι ἐκ νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ, καὶ κηρυχθῆναι ἐπὶ τῷ ὀνόματι αὐτοῦ μετάνοιαν, καὶ ἄφεσιν ἁμαρτιῶν εἰς πάντα τὰ Ἔθνη, ἀρξάμενον ἀπὸ Ἰερουσαλήμ. Ἡμεῖς δέ ἐστε μάρτυρες τούτων. Καὶ ἰδοὺ ἐγὼ ἀποστέλλω τὴν ἐπαγγελίαν τοῦ Πατρός μου ἐφ' ὑμᾶς· ὑμεῖς δὲ καθίσατε ἐν τῇ πόλει Ἰερουσαλὴμ, ἕως οὗ ἐνδύσησθε δύναμιν ἐξ ὕψους. Ἐξήγαγε δὲ αὐτοὺς ἔξω ἕως εἰς Βηθανίαν· καὶ ἐπάρας τὰς χεῖρας αὐτοῦ, εὐλόγησεν αὐτούς. Καὶ ἐγένετο ἐν τῷ εὐλογεῖν αὐτὸν αὐτούς, διέστη ἀπ' αὐτῶν, καὶ ἀνεφέρετο εἰς τὸν Οὐρανόν. Καὶ αὐτοὶ προσκυνήσαντες αὐτὸν, ὑπέστρεψαν εἰς Ἰερουσαλὴμ μετὰ χαρᾶς μεγάλης. Καὶ ἦσαν διαπαντὸς ἐν τῷ Ἱερῷ, αἰνοῦντες καὶ εὐλογοῦντες τὸν Θεόν. Ἀμήν.

ΕΥΑΓΓΕΛΙΟΝ Ζ'.

Ἐκ τοῦ κατὰ Ἰωάννην.

Κεφ. κ'. 1.

Τῇ μιᾷ τῶν Σαββάτων, Μα-

ρία ἡ Μαγδαληνὴ ἔρχεται πρωὶ σκοτίας ἔτι οὔσης εἰς τὸ μνημεῖον, καὶ βλέπει τὸν λίθον ἠρμένον ἐκ τοῦ μνημείου. Τρέχει οὖν, καὶ ἔρχεται πρὸς Σίμωνα Πέτρον, καὶ πρὸς τὸν ἄλλον Μαθητὴν, ὃν ἐφίλει ὁ Ἰησοῦς, καὶ λέγει αὐτοῖς· Ἦραν τὸν Κύριον ἐκ τοῦ μνημείου, καὶ οὐκ οἴδαμεν, ποῦ ἔθηκαν αὐτόν. Ἐξῆλθεν οὖν ὁ Πέτρος καὶ ὁ ἄλλος Μαθητὴς, καὶ ἤρχοντο εἰς τὸ μνημεῖον. Ἔτρεχον δὲ οἱ δύω ὁμοῦ. καὶ ὁ ἄλλος Μαθητὴς προέδραμε τάχιον τοῦ Πέτρου, καὶ ἦλθε πρῶτος εἰς τὸ μνημεῖον. Καὶ παρακύψας βλέπει κείμενα τὰ ὀθόνια, οὐ μέν τοι εἰσῆλθεν. Ἔρχεται οὖν Σίμων Πέτρος ἀκολουθῶν αὐτῷ, καὶ εἰσῆλθεν εἰς τὸ μνημεῖον, καὶ θεωρεῖ τὰ ὀθόνια κείμενα, καὶ τὸ σουδάριον, ὃ ἦν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, οὐ μετὰ τῶν ὀθονίων κείμενον, ἀλλὰ χωρὶς, ἐντετυλιγμένον εἰς ἕνα τόπον. Τότε οὖν εἰσῆλθε καὶ ὁ ἄλλος Μαθητὴς, ὁ ἐλθὼν πρῶτος εἰς τὸ μνημεῖον, καὶ εἶδε, καὶ ἐπίστευσεν. Οὐδέπω γὰρ ᾔδεισαν τὴν Γραφὴν, ὅτι δεῖ αὐτὸν ἐκ νεκρῶν ἀναστῆναι. Ἀπῆλθον οὖν πάλιν πρὸς ἑαυτοὺς οἱ Μαθηταί.

ΕΥΑΓΓΕΛΙΟΝ Η'.

Ἐκ τοῦ κατὰ Ἰωάννην.

Κεφ. κ'. 11.

Τῷ καιρῷ ἐκείνῳ, Μαρία εἱστήκει πρὸς τὸ μνημεῖον κλαίουσα

ἦσαν οἱ μαθηταὶ συνηγμένοι διὰ τὸν φόβον τῶν Ἰουδαίων, ἦλθεν ὁ Ἰησοῦς, καὶ στὰς εἰς τὸ μέσον, καὶ λέγει αὐτοῖς· Εἰρήνη ὑμῖν. Καὶ τοῦτο εἰπὼν, ἔδειξεν αὐτοῖς τὰς χεῖρας, καὶ τὴν πλευρὰν αὐτοῦ. Ἐχάρησαν οὖν οἱ μαθηταὶ ἰδόντες τὸν Κύριον. Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς πάλιν· Εἰρήνη ὑμῖν· καθὼς ἀπέσταλκέ με ὁ Πατὴρ, κἀγὼ πέμπω ὑμᾶς. Καὶ τοῦτο εἰπὼν, ἐνεφύσησε, καὶ λέγει αὐτοῖς· Λάβετε Πνεῦμα ἅγιον· ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφέωνται αὐτοῖς· ἄν τινων κρατῆτε, κεκράτηνται. Θωμᾶς δὲ, εἷς ἐκ τῶν δώδεκα, ὁ λεγόμενος Δίδυμος, οὐκ ἦν μετ' αὐτῶν ὅτε ἦλθεν ὁ Ἰησοῦς. Ἔλεγον οὖν αὐτῷ οἱ ἄλλοι μαθηταί· Ἑωράκαμεν τὸν Κύριον. Ὁ δὲ εἶπεν αὐτοῖς· Ἐὰν μὴ ἴδω ἐν ταῖς χερσὶν αὐτοῦ τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὸν δάκτυλόν μου εἰς τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὴν χεῖρά μου εἰς τὴν πλευρὰν αὐτοῦ, οὐ μὴ πιστεύσω. Καὶ μεθ' ἡμέρας ὀκτὼ πάλιν ἦσαν ἔσω οἱ μαθηταὶ αὐτοῦ, καὶ Θωμᾶς μετ' αὐτῶν· ἔρχεται ὁ Ἰησοῦς, τῶν θυρῶν κεκλεισμένων, καὶ ἔστη εἰς τὸ μέσον, καὶ εἶπεν· Εἰρήνη ὑμῖν. Εἶτα λέγει τῷ Θωμᾷ· Φέρε τὸν δάκτυλόν σου ὧδε, καὶ ἴδε τὰς χεῖράς μου· καὶ φέρε τὴν χεῖρά σου, καὶ βάλε εἰς τὴν πλευράν μου· καὶ μὴ γίνου ἄπιστος, ἀλλὰ πιστός. Καὶ ἀπεκρίθη ὁ Θωμᾶς, καὶ εἶπεν αὐτῷ· Ὁ Κύριός μου καὶ ὁ Θεός μου. Λέγει αὐτῷ ὁ Ἰησοῦς· Ὅτι ἑώρακάς με πεπίστευκας· μακάριοι οἱ μὴ ἰδόντες, καὶ πιστεύσαντες. Πολλὰ μὲν οὖν καὶ ἄλλα σημεῖα ἐποίησεν ὁ Ἰησοῦς ἐνώπιον τῶν μαθητῶν αὐτοῦ, ἃ οὐκ ἔστι γεγραμμένα ἐν τῷ βιβλίῳ τούτῳ· Ταῦτα δὲ γέγραπται, ἵνα πιστεύσητε, ὅτι ὁ Ἰησοῦς ἐστιν ὁ Χριστὸς, ὁ Υἱὸς τοῦ Θεοῦ, καὶ ἵνα πιστεύοντες ζωὴν ἔχητε ἐν τῷ ὀνόματι αὐτοῦ.

ΕΥΑΓΓΕΛΙΟΝ Γ.

Ἐκ τοῦ κατὰ Ἰωάννην.

Κεφ. κά. 1.

Τῷ καιρῷ ἐκείνῳ, ἐφανέρωσεν ἑαυτὸν ὁ Ἰησοῦς τοῖς μαθηταῖς αὐτοῦ, ἐγερθεὶς ἐκ νεκρῶν, ἐπὶ τῆς θαλάσσης τῆς Τιβεριάδος. Ἐφανέρωσε δὲ οὕτως· Ἦσαν ὁμοῦ Σίμων Πέτρος, καὶ Θωμᾶς ὁ λεγόμενος Δίδυμος, καὶ Ναθαναὴλ ὁ ἀπὸ Κανᾶ τῆς Γαλιλαίας, καὶ οἱ τοῦ Ζεβεδαίου, καὶ ἄλλοι ἐκ τῶν μαθητῶν αὐτοῦ δύω. Λέγει αὐτοῖς Σίμων Πέτρος· Ὑπάγω ἁλιεύειν. Λέγουσιν αὐτῷ· Ἐρχόμεθα καὶ ἡμεῖς σὺν σοί. ἦλθον, καὶ ἀνέβησαν εἰς τὸ [illegible] ουν, καὶ ἐν ἐκείνῃ τῇ νυκτὶ ἔπιασαν οὐδέν. Πρωΐας δὲ ἤδη γενομένης, ἔστη ὁ Ἰησοῦς εἰς τὸν αἰγιαλόν· οὐ μέντοι ἤδεισαν οἱ μαθηταί, ὅτι Ἰησοῦς ἐστι. Λέγει οὖν αὐτοῖς ὁ Ἰησοῦς· Παιδία, μήτι προσφάγιον ἔχετε; ἀπεκρίθησαν αὐτῷ· Οὔ. Ὁ δὲ εἶπεν αὐτοῖς· Βάλετε εἰς τὰ δεξιὰ μέρη τοῦ πλοίου τὸ δίκτυον, καὶ εὑρήσετε.

Δημόσιο Κεντρικό Βιβλιοθήκη

σετε. Ἔβαλον οὖν, καὶ οὐκ ἔτι αὐτὸ ἑλκύσαι ἰσχυσαν ἀπὸ τοῦ πλήθους τῶν ἰχθύων. Λέγει οὖν ὁ Μαθητὴς ἐκεῖνος, ὃν ἠγάπα ὁ Ἰησοῦς, τῷ Πέτρῳ: Ὁ Κύριός ἐστι. Σίμων οὖν Πέτρος ἀκούσας ὅτι ὁ Κύριός ἐστι, τὸν ἐπενδύτην διεζώσατο (ἦν γὰρ γυμνός), καὶ ἔβαλεν ἑαυτὸν εἰς τὴν θάλασσαν. Οἱ δὲ ἄλλοι Μαθηταὶ τῷ πλοιαρίῳ ἦλθον, (οὐ γὰρ ἦσαν μακρὰν ἀπὸ τῆς γῆς, ἀλλ' ὡς ἀπὸ πηχῶν διακοσίων), σύροντες τὸ δίκτυον τῶν ἰχθύων. Ὡς οὖν ἀπέβησαν εἰς τὴν γῆν, βλέπουσιν ἀνθρακιὰν κειμένην, καὶ ὀψάριον ἐπικείμενον, καὶ ἄρτον. Λέγει αὐτοῖς ὁ Ἰησοῦς: Ἐνέγκατε ἀπὸ τῶν ὀψαρίων, ὧν ἐπιάσατε νῦν. Ἀνέβη Σίμων Πέτρος, καὶ εἵλκυσε τὸ δίκτυον ἐπὶ τῆς γῆς, μεστὸν ἰχθύων μεγάλων ἑκατὸν πεντήκοντα τριῶν. Καὶ τοσούτων ὄντων, οὐκ ἐσχίσθη τὸ δίκτυον. Λέγει αὐτοῖς ὁ Ἰησοῦς: Δεῦτε, ἀριστήσατε. Οὐδεὶς δὲ ἐτόλμα τῶν Μαθητῶν ἐξετάσαι αὐτόν, Σὺ τίς εἶ; Εἰδότες ὅτι ὁ Κύριός ἐστιν. Ἔρχεται οὖν ὁ Ἰησοῦς, καὶ λαμβάνει τὸν ἄρτον, καὶ δίδωσιν αὐτοῖς, καὶ τὸ ὀψάριον ὁμοίως. Τοῦτο ἤδη τρίτον ἐφανερώθη ὁ Ἰησοῦς τοῖς Μαθηταῖς αὐτοῦ, ἐγερθεὶς ἐκ νεκρῶν.

ΕΥΑΓΓΕΛΙΟΝ ΙΑ'.

Ἐκ τοῦ κατὰ Ἰωάννην.

Κεφ. κά. 14.

Τῷ καιρῷ ἐκείνῳ, ἐφανερω-

σεν ἑαυτὸν ὁ Ἰ[illegible] τοῖς [illegible] ταῖς αὐτοῦ, ἐγερ[illegible] Πε[illegible] καὶ λέγει τῷ Σίμω[illegible] μων Ἰωνᾶ, ἀγαπᾷς με [illegible] των; Λέγει αὐτῷ: Ν[illegible] οἶδας, ὅτι φιλῶ σε. Ἀ[illegible] βόσκε τὰ ἀρνία μου. Λ[illegible] πάλιν δεύτερον: Σίμων [illegible] γαπᾷς με; Λέγει αὐτῷ [illegible] ριε, σὺ οἶδας, ὅτι φιλῶ [illegible] αὐτῷ: Ποίμαινε τὰ πρ[illegible] Λέγει αὐτῷ τὸ τρίτον: Σ[illegible] φιλεῖς με; Ἐλυπήθη ὁ [illegible] εἶπεν αὐτῷ τὸ τρίτον, [illegible] καὶ εἶπεν αὐτῷ: Κύριε [illegible] οἶδας, σὺ γινώσκεις ὅ[illegible] Λέγει αὐτῷ ὁ Ἰησοῦς [illegible] προβατά μου. Ἀμὴν ἀ[illegible] σοι, ὅτε ἦς νεώτερος [illegible] σεαυτόν, καὶ περιεπάτ[illegible] θελες· ὅταν δὲ γηράσῃ [illegible] τας χεῖράς σου, καὶ ἄλ[illegible] σει, καὶ οἴσει ὅπου [illegible] Τοῦτο δὲ εἶπε, σημ[illegible] θανάτῳ δοξάσει τὸν [illegible] τοῦτο εἰπὼν, λέγει α[illegible] λούθει μοι. Ἐπιστραφεὶ[illegible] τρος βλέπει τὸν Μα[illegible] γάπα ὁ Ἰησοῦς, ἀκολ[illegible] καὶ ἀνέπεσεν ἐν τῷ [illegible] τὸ στῆθος αὐτοῦ, κα[illegible] ριε, τίς ἐστιν ὁ παραδιδ[illegible] τον ἰδὼν ὁ Πέτρος, λ[illegible] σοῦ: Κύριε, οὗτος δ[illegible] αὐτῷ ὁ Ἰησοῦς: Ἐὰν [illegible] μένειν ἕως ἔρχομαι, [illegible] σὺ ἀκολούθει μοι. Ἐξ[illegible] λόγος οὗτος εἰς τοὺ[illegible] ὅτι ὁ Μαθητὴς ἐκεῖν[illegible] θνήσκει· καὶ οὐκ εἶ[illegible]

Ἰησοῦς, ὅτι οὐκ ἀποθνήσκει· ἀλλ᾽· Ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρός σέ; Οὗτός ἐστιν ὁ Μαθητής, ὁ μαρτυρῶν περὶ τούτων, καὶ γράψας ταῦτα· καὶ οἴδαμεν, ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία αὐτοῦ. Ἔστι δὲ καὶ ἄλλα πολλά, ὅσα ἐποίησεν ὁ Ἰησοῦς, ἅτινα ἐὰν γράφηται καθ᾽ ἕν, οὐδὲ αὐτὸν οἶμαι τὸν κόσμον χωρῆσαι τὰ γραφόμενα βιβλία. Ἀμήν.

ΑΝΑΣΤΑΣΙΜΑ
ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ
ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΒΑΣΙΛΕΩΣ
Καὶ
ΕΩΘΙΝΑ ΙΑ΄.
Τοῦ Πατρὸς αὐτοῦ
ΛΕΟΝΤΟΣ ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ
ΒΑΣΙΛΕΩΣ.

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ Α΄.

Τοῖς Μαθηταῖς συνελθοῦσιν, ἐν ὄρει Γαλιλαίας, πιστεῖ Χριστὸν θεάσασθαι, λέγοντα ἐξουσίαν, λαβεῖν τῶν ἄνω καὶ κάτω. Μάθωμεν πῶς διδάσκει, βαπτίζειν εἰς τὸ ὄνομα, τοῦ Πατρὸς ἔθνη πάντα, καὶ τοῦ Υἱοῦ, καὶ ἁγίου Πνεύματος, καὶ συνεῖναι, τοῖς μύσταις ὡς ὑπέσχετο, ἕως τῆς συντελείας.

Θεοτοκίον.

Τοῖς μαθηταῖς συνέχαιρες, Θεοτόκε παρθένε, ὅτι Χριστὸν ἑώρακας, ἀναστάντα ἐκ τάφου, τριήμερον καθὼς εἶπεν· Οἷς καὶ ὤφθη διδάσκων, καὶ φανερῶν τὰ κρείττονα, καὶ βαπτίζειν κελεύων, ἐν τῷ Πατρὶ, καὶ Υἱῷ, καὶ Πνεύματι τοῦ πιστεύειν, αὐτοῦ ἡμᾶς τὴν ἔγερσιν, καὶ δοξάζειν σε κόρη.

ΕΩΘΙΝΟΝ Α΄.
Ἦχος α΄

Εἰς τὸ ὄρος τοῖς Μαθηταῖς ἐπειγομένοις, διὰ τὴν χαμόθεν ἔπαρσιν, ἐπέστη ὁ Κύριος. Καὶ προσκυνήσαντες αὐτὸν, καὶ τὴν δοθεῖσαν ἐξουσίαν πανταχοῦ διδαχθέντες, εἰς τὴν ὑπ᾽ οὐρανὸν ἐξαπεστέλλοντο, κηρύξαι τὴν ἐκ νεκρῶν ἀνάστασιν, καὶ τὴν εἰς οὐρανοὺς ἀποκατάστασιν. Οἷς καὶ συνδιαιωνίζειν, ὁ ἀψευδὴς ἐπηγγείλατο Χριστὸς ὁ Θεὸς, καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ Β΄.

Τὸν λίθον θεωρήσασαι, ἀποκεκυλισμένον, αἱ Μυροφόροι ἔχαιρον, εἶδον γὰρ νεανίσκον, καθήμενον ἐν τῷ τάφῳ. Καὶ αὐτὸς ταύταις ἔφη, ἰδοὺ Χριστὸς ἐγήγερται, εἴπατε σὺν τῷ Πέτρῳ τοῖς Μαθηταῖς, ἐν τῷ ὄρει φθάσατε Γαλιλαίας, ἐκεῖ ὑμῖν ὀφθήσεται, ὡς προεῖπε τοῖς φίλοις.

Θεοτοκίον.

Ἄγγελος μὲν ἐκόμισε, τῇ Παρθένῳ τὸ, Χαῖρε, πρὸ σῆς Χριστὲ συλλήψεως. Ἄγγελος δὲ τὸν λίθον, ἐκύλισέ σου τοῦ τάφου. Ἀντὶ λύπης ὁ μὲν γὰρ, χαρᾶς ἀφράστου σύμ-

σύμβολα, ὁ δὲ ἀντὶ θανάτου, σὲ χορηγὸν τῆς ζωῆς κηρύττων καὶ μεγαλύνων, καὶ λέγων τὴν ἀνάστασιν, Γυναιξὶ καὶ τοῖς Μύσταις.

ΕΩΘΙΝΟΝ Β'.

Ἦχος β'.

Μετὰ μύρων προσέλθούσαις, ταῖς περὶ τὴν Μαριὰμ γυναιξὶ, καὶ διαπορουμέναις, πῶς ἔσται αὐταῖς τυχεῖν τοῦ ἐφετοῦ, ὡράθη ὁ λίθος μετηρμένος, καὶ θεῖος Νεανίας καταστελλων τὸν θάρυβον αὐτῶν τῆς ψυχῆς. Ἠγέρθη γάρ φησίν, Ἰησοῦς ὁ Κύριος. Διὸ κηρύξατε, τοῖς κήρυξιν αὐτοῦ μαθηταῖς, εἰς τὴν Γαλιλαίαν δραμεῖν, καὶ ὄψεσθαι αὐτὸν, ἀναστάντα ἐκ νεκρῶν, ὡς ζωοδότην καὶ Κύριον.

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ Γ'.

Ὅτι Χριστὸς ἐγήγερται, μὴ τις διαπιστείτω. Ἐφάνη γὰρ τῇ Μαρίᾳ γὰρ, ἔπειτα καθωράθη τοῖς εἰς ἀγρὸν ἀπιοῦσι. Μύσταις δὲ πάλιν ὤφθη, ἀνακειμένοις ἑνδεκα, οὓς βαπτίζειν ἐκπέμψας εἰς οὐρανοὺς, ὅθεν καταβέβηκεν ἀνελήφθη, ἐπικυρῶν τὸ κήρυγμα, πλήθεσι τῶν σημείων.

Θεοτοκιον.

Ὁ ἀνατείλας ἥλιος, ἐκ παστοῦ ὡς Νυμφίος, ἀπὸ τοῦ τάφου σήμερον, καὶ τὸν ᾅδην σκυλεύσας. καὶ θάνατον καταργήσας. Σὲ τεκούσης πρεσβείαις, φῶς ἡμῖν ἐξαπόστειλον, φῶς φωτίζον καρδίας καὶ τὰς ψυχὰς, φῶς βαδίζειν ἅπαντας ἐμβιβάζον, ἐν τρίβοις προσταγμάτων σου, καὶ ὁδοῖς τῆς σ ρήνης.

ΕΩΘΙΝΟΝ Γ'.

Ἦχος γ'.

Τῆς Μαγδαληνῆς Μαρίας, τ τοῦ Σωτῆρος εὐαγγελιζομένης, ἐ νεκρῶν ἀνάστασιν καὶ ἐμφάνεια διαπιστοῦντες οἱ Μαθηταὶ, ὠνει δίζοντο τὸ τῆς καρδίας σκληρό Ἀλλὰ τοῖς σημείοις καθοπλισθέ τες, καὶ θαύμασι, πρὸς τὸ κ ρυγμα ἀπεστέλλοντο. Καὶ σὺ μὲ Κύριε πρὸς τὸν ἀρχίφωτον ἀν λήθης Πατέρα. Οἱ δὲ ἐκήρυττ πανταχοῦ τὸν λόγον, τοῖς θεύμ σι πιστούμενοι. Διὸ οἱ φωτισθέ τες δι' αὐτῶν, δοξολογέν σου τ ἐκ νεκρῶν ἀνάστασιν, φιλάνθρωτ Κύριε.

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ Δ'.

Τῆς ἀρεταῖς ἀστράψαντες, δ δωμεν ἐπιστάντας, ἐν ζωηφόρ μνήματι, ἄνδρας ἐν ἀστραπτου σαις, ἐσθήσεσι Μυροφόροις, κλινου σαις εἰς γῆν ὄψιν. Τοῦ οὐρανοῦ δ σπόζοντος, ἐγερσιν διδαχθῶμεν, κ πρὸς ζωὴν, ἐν μνημείῳ δράμωμ σὺν τῷ Πέτρῳ, καὶ τὸ πραχθ θαυμάσαντες, μείνωμεν Χριστ βλέψαι.

Θεοτοκίον.

Τὸ χαίρετε φθεγξάμενος, δι μείψω τὴν λύπην, τῶν Πρωπατ ρων Κύριε, τὴν χαρὰν ἀντεισάγω ἐγέρσεώς σου ἐν Κόσμῳ. Ταύτ οὖν ζωοδότα, διὰ τῆς κυησάσ σε, φῶς φωτίζον καρδίας, φῶ

φίκτιρμῶν, τῶν σῶν ἐξαπόστειλον τοῦ βροτοῦ σοι· φιλάνθρωπε, θεάνθρωπε, δόξα τῇ σῇ ἐγέρσει.

ΕΩΘΙΝΟΝ Δ'.

ἦχος δ'.

Ὄρθρος ἦν βαθὺς, καὶ αἱ γυναῖκες ἦλθον ἐπὶ τὸ μνῆμά σου Χριστέ. Ἀλλὰ τὸ σῶμα οὐχ εὑρέθη τὸ παθούμενον αὐταῖς. Διὸ ἀπορούμεναις, οἱ ταῖς ἀστραπτούσαις ἐσθῆτεσιν ἐπιστάντες, τί τὸν ζῶντα μετὰ τῶν νεκρῶν ζητεῖτε, ἔλεγον; ἠγέρθη ὡς προεῖπε. Τί ἀμνημονεῖτε τῶν ῥημάτων αὐτοῦ; οἷς πεισθεῖσαι, τὰ ὁρώμενα ἐκήρυττον ἀλλ' ἐδόκει λῆρος τὰ εὐαγγέλια. Οὕτως ἦσαν ἔτι νωθεῖς οἱ Μαθηταί. Ἀλλ' ὁ Πέτρος ἔδραμε, καὶ ἰδὼν, ἐδόξασέ σου πρὸς ἑαυτὸν τὰ θαυμάσια.

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ Ε'.

Ἡ ζωὴ καὶ ὁδὸς Χριστὸς, ἐκ νεκρῶν τῷ Κλεόπᾳ, καὶ τῷ Λουκᾷ συνώδευσεν. Οἷς περ καὶ ἐπεγνώσθη, εἰς Ἐμμαοὺς κλῶν τῶν ἄρτον. Ὧν ψυχαὶ καὶ καρδίαι, καιόμεναι ἐτύγχανον, ὅτε τούτοις ἐλάλει ἐν τῇ ὁδῷ, καὶ γραφαῖς ἡρμήνευεν ἃ ὑπέστη, μεθ' ὧν ἠγέρθη κράξωμεν, ὤφθη τε καὶ τῷ Πέτρῳ.

Θεοτοκίον.

Γινῶσου τὸ ἀμέτρητον, ἔλεος ποιητά μου, ὅτι σαυτὸν ἐκένωσας, ποῦ φορέσαι καὶ σῶσαι, φύσιν βροτῶν κακωθεῖσαν. Καὶ Θεὸς ὢν ἠνέσχου, ἐκ τῆς ἀγνῆς Θεόπαιδος, κατ' ἐμὲ τοῦ γενέσθαι, καὶ κατελθεῖν μέχρις ᾅδου, θέλων με τοῦ σωθῆναι, πρεσβείαις τῆς τεκούσης σε, Δέσποτα πανοικτίρμων.

ΕΩΘΙΝΟΝ Ε'.

ἦχος πλ. ά.

Ὢ τῶν σοφῶν σου κριμάτων Χριστέ. πῶς Πέτρῳ μὲν τοῖς ὀθονίοις μόνοις, ἔδωκας ἐννοῆσαί σου τὴν ἀνάστασιν. Λουκᾷ δὲ καὶ Κλεόπα συμπορευόμενος ὡμίλεις, καὶ ὁμιλῶν, οὐκ εὐθέως σεαυτὸν φανεροῖς· διὸ καὶ ὠνειδίζη, ὡς μόνος παροικῶν ἐν Ἱερουσαλὴμ, καὶ μὴ μετέχων τῶν ἐν τέλει βουλευμάτων αὐτῆς. Ἀλλ' ὁ πάντα πρὸς τὸ τοῦ πλάσματος συμφέρον οἰκονομῶν, καὶ τὰς περὶ σοῦ Προφητείας ἀνέπτυξας. Καὶ ἐν τῷ εὐλογεῖν τὸν ἄρτον, ἐγνώσθης αὐτοῖς· ὧν καὶ πρὸ τούτου αἱ καρδίαι, πρὸς γνῶσίν σου ἀνεφλέγοντο. Οἳ καὶ τοῖς μαθηταῖς συνηθροισμένοις, ἤδη τρανῶς ἐκήρυττόν σου τὴν ἀνάστασιν, ὅτι ἦς ἐλέησον ἡμᾶς.

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ ΣΤ'.

Δεικνύων ὅτι ἄνθρωπος, Σῶτερ εἶ κατ' οὐσίαν, ἐν μέσῳ σας ἐδίδασκες, ἀναστὰς ἐκ τοῦ τάφου, καὶ βρώσεως συμμετέσχες, βάπτισμα μετανοίας. Εὐθὺς δὲ πρὸς οὐράνιον ἀνελήφθης Πατέρα, καὶ Μαθητὰς πέμπειν τὸν παράκλητον ἐπηγγείλω, ὑπέρθεε θεάνθρωπε, δόξα τῇ σῇ ἐγέρσει.

Θεοτο-

Θεοτοκίον.

Ὁ ποιητὴς τῆς κτίσεως, καὶ Θεὸς τῶν ἁπάντων, σάρκα βροτείαν ἔλαβεν, ἐξ ἀχράντων αἱμάτων, σοῦ παναγία Παρθένε. Καὶ γὰρ φθαρεῖσαν πρώην τὴν φύσιν ἐκαινούργησαι, πάλιν ὡς πρὸ τοῦ τόκου καταλιπών, μετὰ τόκον ὄθεν πιστῶς σὲ πάντες, ἀνευφημοῦμεν κράζοντες: Χαῖρε Δέσποινα Κόσμου.

ΕΩΘΙΝΟΝ ΣΤ.

ἦχος πλ. β'.

Ἦ ὄντως εἰρήνη σὺ Χριστέ, πρὸς ἀνθρώπους Θεοῦ, εἰρήνην τὴν σὴν διδοὺς, μετὰ τὴν ἔγερσιν Μαθηταῖς, ἐμφόβους ἔδειξας αὐτοὺς, δόξαν τας Πνεῦμα ὁρᾶν, ἄλλα κατέστειλας τὸν ταράχον αὐτῶν τῆς ψυχῆς, δείξας τὰς χεῖρας καὶ τοὺς πόδας σου. Πλὴν ἀπιστούντων ἔτι τῇ τῆς τροφῆς μεταλήψει, καὶ διδαχῶν ἀναμνήσει, διήνοιξας αὐτῶν τὸν νοῦν τοῦ συνιέναι τὰς γραφὰς, οἷς καὶ τὴν πατρικὴν ἐπαγγελίαν καθυποσχόμενος, καὶ εὐλογήσας αὐτοὺς, διέστης πρὸς οὐρανόν· διὸ σὺν αὐτοῖς προσκυνοῦμέν σε, Κύριε δόξα σοι.

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ Ζ'.

Ὅτι ἦραν τὸν Κύριον, τῆς Μαρίας εἰπούσης, ἀπὸ τὸν τάφον ἔδραμον, Σίμων Πέτρος καὶ ἄλλος, Μύστης Χριστοῦ ὃν ἠγάπα, ἔτρεχον δὲ οἱ δύω, καὶ εὗρον τὰ ὀθόνια, ἔνδον κείμενα μόνα, καὶ κε-

Θεοτοκίον.

Τριάδος Κόρη τέτοκας, ἀπορρήτως τὸν ἕνα, διπλοῦν τῇ φύσει πέλοντα, καὶ διπλοῦν ἐνεργείᾳ, καὶ ἕνα τῇ ὑποστάσει. Τοῦτον οὖν ἐκδυσώπει, ἀεὶ ὑπὲρ τῶν πίστει σε προσκυνούντων ἐκ πάσης ἐπιβουλῆς, τοῦ ἐχθροῦ λυτρώσασθαι ὅτι πάντες, πρὸς σὲ νῦν καταφεύγομεν, Δέσποινα Θεοτόκε.

ΕΩΘΙΝΟΝ Η'.

ἦχος πλ. δ'.

Τὰ τῆς Μαρίας δάκρυα, οὐ μάτην χεῖται θερμῶς· ἰδοὺ γὰρ κατηξίωται, καὶ διδασκόντων Ἀγγέλων, καὶ τῆς ὄψεως τῆς σῆς, ὦ Ἰησοῦ. Ἀλλ' ἔτι πρόσγειος φρονεῖ, οἷα γυνὴ ἀσθενής. Διὸ καὶ ἀποπέμπεται, μὴ προσψαῦσαί σοι Χριστέ. Ἀλλ' ὅμως κῆρυξ πέμπεται τοῖς σοῖς Μαθηταῖς· οἷς εὐαγγέλια ἔφησε, τὴν πρὸς τὸν πατρῷον κλῆρον ἀνοδον ἀπαγγέλλουσα. Μεθ' ἧς ἀξίωσον καὶ ἡμᾶς τῆς ἐμφανείας σου, Δέσποτα Κύριε.

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ Θ'.

Συγκεκλεισμένων Δέσποτα, τῶν θυρῶν ὡς εἰσῆλθες, τοὺς Ἀποστόλους ἔπλησας, Πνεύματος παναγίου, εἰρηνικῶς ἐμφυσήσας, οἷς δεσμεῖν τε καὶ λύειν, τὰς ἁμαρτίας εἴρηκας. Καὶ ὀκτὼ μεθ' ἡμέρας τὴν σὴν πλευρὰν, τῷ Θωμᾷ ὑπέδειξας, καὶ τὰς χεῖρας. Μεθ' οὗ βοῶμεν: Κύριος, καὶ Θεὸς σὺ ὑπάρχεις.

Θεοτοκίον.

Τὸν σὸν υἱὸν ὡς ἔβλεψας, ἀναστάντα ἐκ τάφου, τριήμερον Θεόνυμφε, παναγία Παρθένε, ἅπασαν θλῖψιν ἀπέθου, ἣν ὑπέστης ὡς Μήτηρ, ὅτε κατεῖδες πάσχοντα, καὶ χαρᾶς ἐμπλησθεῖσα, σὺν τοῖς αὐτοῦ, Μαθηταῖς γεραίρουσα τοῦτον ὕμνεις. Διὸ τοὺς Θεοτόκον σε, νῦν κρύπτοντας σῶζε.

ΕΩΘΙΝΟΝ Θ'.

ἦχος πλ. α.

Ὡς ἐπ' ἐσχάτων τῶν χρόνων, οὔσης ὄψιας Σαββάτων, ἐφίστασαι τοῖς φίλοις Χριστέ, καὶ θαύμασι θαῦμα βεβαιοῖς, τῇ κεκλεισμένῃ εἰσόδῳ τῶν θυρῶν, τὴν ἐκ νεκρῶν σου ἀνάστασιν. Ἀλλ' ἔπλησας χαρᾶς τοὺς Μαθητάς, καὶ Πνεύματος ἁγίου μετέδωκας αὐτοῖς, καὶ ἐξουσίαν ἔνειμας ἀφέσεως ἁμαρτιῶν, καὶ τὸν Θωμᾶν οὐ κατέλιπες, τῷ τῆς ἀπιστίας καταβαπτίζεσθαι κλύδωνι. Διὸ παράσχου καὶ ἡμῖν, γνῶσιν ἀληθῆ, καὶ ἄφεσιν πταισμάτων, εὔσπλαγχνε Κύριε.

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ Ι'.

Τιβεριάδος θάλασσα, σὺν παισὶ Ζεβεδαίου, Ναθαὴλ τῷ Πέτρῳ τε, σὺν δυσὶν ἄλλοις πάλαι, καὶ Θωμᾶν εἶχε πρὸς ἀγράν, οἱ Χριστοῦ τῇ προστάξει, ἐν δεξιοῖς, χαλάσαντες, πλῆθος εἶλκον ἰχθύων. Ὃν Πέτρος γνούς, πρὸς αὐτὸν ἐνήχετο, οἷς τὸ τρίτον, φανείς, καὶ ἄρτον ἔδειξε, καὶ ἰχθὺν ἐπ' ἀνθράκων.

Θεοτο-

Θεοτοκίον.

Τὸν ἀναστάντα Κύριον, τριήμερον ἐκ τοῦ τάφου, Παρθένε καθικέτευε, ὑπὲρ τῶν σὲ ὑμνούντων, καὶ πόθῳ μακαριζόντων. Σὲ γὰρ ἔχομεν πάντες, καταφυγὴν σωτήριον, καὶ μεσίτην πρὸς τοῦτον. Κλῆρος γὰρ σὸς, καὶ οἰκέται πέλομεν Θεοτόκε, καὶ πρὸς τὴν σὴν ἀντίληψιν, ἅπαντες ἀφορῶμεν,

ΕΩΘΙΝΟΝ Γ.

ἦχος πλ. β'.

Μετὰ τὴν εἰς ᾅδου καθόδον, καὶ τὴν ἐκ νεκρῶν ἀνάστασιν, ἀθυμοῦντες ὡς εἰκὸς, ἐπὶ τῷ χωρισμῷ σου Χριστὲ οἱ Μαθητοί, πρὸς ἐργασίαν ἐτράπησαν. Καὶ πάλιν πλοῖα καὶ δίκτυα, καὶ ἄγρα οὐδαμοῦ. Ἀλλὰ σὺ Σῶτερ, ἐμφανισθεὶς ὡς δεσπότης πάντων, δεξιοῖς τὰ δίκτυα κελεύεις βαλεῖν, καὶ ἦν ὁ λόγος ἔργον εὐθύς, καὶ πλῆθος τῶν ἰχθύων πολὺ, καὶ δεῖπνον ξένον ἑτοιμον ἐν γῇ. Οὗ μετασχόντων τότε σου τῶν Μαθητῶν, καὶ ἡμᾶς νῦν νοητῶς καταξίωσον, ἐντρυφῆσαι φιλάνθρωπε Κύριε.

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ ΙΑ'.

Μετὰ τὴν θείαν ἔγερσιν, τρὶς

ΘΕΟΤΟΚΙΑ ΑΠΟΛΥΤΙΚΙΑ

Ψαλλόμενα ἐν ὅλῳ τῷ Ἑαυτῷ, ἔν τε τῷ Ἑσπερινῷ, καὶ εἰς τὸ, Θεὸς Κύριος ἐν τῷ Ὄρθρῳ, καὶ πάλιν ἐπὶ τέλει τοῦ Ὄρθρου.

—

Τῇ Κυριακῇ ἑσπέρας, καὶ τῇ Β'. εἰς τὸ, Θεὸς Κύριος. Ἦχος Α'.

Θαῦμα θαυμάτων Κεχαριτωμένη, ἐν σοὶ θεωροῦσα ἡ κτίσις ἀγάλλεται· συνέλαβες γὰρ ἀσπόρως, καὶ ἔτεκες ἀῤῥάστως, ὃν ταξιαρχίαι Ἀγγέλων ὁρᾶν οὐ δεδύνανται· αὐτὸν ἱκέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸ τέλος τοῦ ὄρθρου.

Ἄχραντε Θεοτόκε, ἡ ἐν οὐρανοῖς εὐλογημένη, καὶ ἐπὶ γῆς δοξολογουμένη, χαῖρε Νύμφη ἀνύμφευτε.

Τῇ β'. ἑσπέρας, καὶ τῇ γ'. εἰς τὸ, Θεὸς Κύριος.

Συλλαβοῦσα ἀῤῥήκτως τὸ πῦρ τῆς Θεότητος, καὶ τεκοῦσα ἀσπόρως πηγὴν ζωῆς, τὸν Κύριον, Κεχαριτωμένη Θεοτόκε, περίσωζε τοὺς σὲ μεγαλύνοντας.

Εἰς τὸ τέλος τοῦ ὄρθρου.

Τὸν ἀμήτορα ἐν οὐρανῷ, ὑπὲρ ἔννοιαν καὶ ἀκοήν, ἐπὶ γῆς ἀπάτορα ἔτεκες· αὐτὸν Θεοτόκε ἱκέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Τῇ γ'. ἑσπέρας, καὶ τῇ δ', εἰς τὸ Θεὸς Κύριος.

Οἱ τὴν σὴν προστασίαν κεκτημένοι ἀχράντε, καὶ ταῖς σαῖς ἱκεσίαις τῶν δεινῶν ἐκλυτρούμενοι, τῷ σταυρῷ τοῦ Υἱοῦ σου ἐν παντὶ φρουρούμενοι, κατὰ χρέος σε πάντες εὐσεβῶς μεγαλύνομεν.

Εἰς τὸ τέλος τοῦ ὄρθρου.

Ἄχραντε Θεοτόκε, ἡ ἐν οὐρανοῖς εὐλογημένη κτλ.

Τῇ δ' ἑσπέρας, καὶ τῇ ε. εἰς τὸ, Θεὸς Κύριος.

Συλλαβοῦσα ἀῤῥήκτως τόκῳ κτλ.

Εἰς τὸ τέλος τοῦ ὄρθρου.

Τὸν ἀμήτορα ἐν οὐρανῷ κτλ.

Τῇ ε. ἑσπέρας, καὶ τῇ παρασκ. εἰς τὸ, Θεὸς Κύριος.

Οἱ τὴν σὴν προσασίαν κτλ.

Εἰς τὸ τέλος τοῦ ὄρθρου.

Ἄχραντε Θεοτόκε κτλ.

Τῇ παρασκ. ἑσπέρας, καὶ τῷ Σαββάτ. εἰς τὸ, Θεὸς Κύριος.

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ Κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαβιδ, ἐδείχθης πλατυτέρα τῶν Οὐρανῶν, βαστάσασα τὸν κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί. Δόξα τῷ προελθόντι ἐκ σοῦ. Δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς διὰ τοῦ τόκου σου.

Εἰς τὸ τέλος τοῦ ὄρθρου.

Τὸν ἀμήτορα ἐν οὐρανῷ κτλ.

Τῇ Κυριακῇ ἑσπέρας, καὶ τῇ β'. εἰς τὸ, Θεὸς Κύριος. Ἦχος Β'.

Εὐσπλαγχνίας ὑπάρχουσα πηγή, συμπαθείας ἀξίωσον ἡμᾶς Θεοτόκε, βλέψον εἰς λαὸν τὸν ἁμαρτήσαντα, δεῖξον ὡς ἀεὶ τὴν δυνατείαν

σείκν σου· εἰς σὲ γὰρ ἐλπίζοντες, τὸ, χαῖρε βοῶμέν σοι, ὡς ποτὲ ὁ Γαβριὴλ, ὁ τῶν Ἀσωμάτων Ἀρχιστράτηγος.

Εἰς τὸ τέλος τοῦ ὄρθρου.

Μήτηρ ἁγία, ἡ τοῦ ἀφράστου φωτὸς, Ἀγγελικοῖς σε ὕμνοις τιμῶντες, εὐσεβῶς μεγαλύνομεν.

Τῇ β'. ἑσπέρας, καὶ τῇ γ'. εἰς τὸ, Θεὸς Κύριος.

Θείας γεγόναμεν κοινωνοὶ φύσεως, διὰ σοῦ Θεοτόκε ἀειπάρθενε. Θεὸν γὰρ ἡμῖν σεσαρκωμένον τέτοκας. Διὸ κατὰ χρέος σε πάντες εὐσεβῶς μεγαλύνομεν.

Εἰς τὸ τέλος τοῦ ὄρθρου.

Σὲ μεγαλύνομεν Θεοτόκε βοῶντες: Χαῖρε ἀδύτου φωτὸς νεφέλη, αὐτὸν βαστάσασα ἐν κόλποις τῆς δόξης τὸν Κύριον.

Τῇ γ'. ἑσπέρας, καὶ τῇ δ'. εἰς τὸ, Θεὸς Κύριος.

Ὑπερδεδοξασμένη ὑπάρχεις Θεοτόκε ὑμνοῦμέν σε· διὰ γὰρ τοῦ σταυροῦ τοῦ Υἱοῦ σου, κατεβλήθη ὁ ᾅδης, καὶ ὁ θάνατος τέθνηκε· νεκρωθέντες ἀνέστημεν, καὶ ζωῆς ἠξιώθημεν· τὸν Παράδεισον ἐλάβομεν, τὴν ἀρχαίαν ἀπολαυσιν. Διὸ εὐχαριστοῦντες δοξολογοῦμεν ὡς κραταιὸν Χριστὸν τὸν Θεὸν ἡμῶν, καὶ μόνον πολυέλεον.

Εἰς τὸ τέλος τοῦ ὄρθρου.

Σὲ μεγαλύνομεν Θεοτόκε βοῶντες: Χαῖρε ἡ ῥάβδος, ἐξ ἧς ἀσπόρως Θεὸς βλαστήσας, ἀνεῖλεν ἐν ξύλῳ τὸν θάνατον.

Τῇ δ'. ἑσπέρας, καὶ τῇ ε. εἰς τὸ Θεὸς Κύριος.

Θείας γεγόναμεν κοινωνοὶ κτλ.

Εἰς τὸ τέλος τοῦ ὄρθρου.

σου, καὶ τὸ ὑπέρλαμπρον τὸ τῆς ἁγνείας σου, ὁ Γαβριὴλ καταπλαγείς, ἐβόα σοι Θεοτόκε· Ποῖόν σοι ἐγκώμιον, προσαγάγω ἐπάξιον; τί δὲ ὀνομάσω σε; ἀπορῶ καὶ ἐξίσαμαι. Διὸ ὡς προσετάγην βοῶ σοι· Χαῖρε ἡ Κεχαριτωμένη.

Εἰς τὸ τέλος τοῦ ὄρθρου.

Ἕκαστος ὅπου σώζεται. ἐκεῖ δικαίως καὶ προστρέχει. Καὶ ποία ἄλλη τοιαύτη καταφυγή, ὡς σὺ Θεοτόκε, σκέπουσα τὰς ψυχὰς ἡμῶν.

Τῇ β'. ἑσπέρας, καὶ τῇ γ'. εἰς τὸ, Θεὸς Κύριος.

Κραταιὰ βοήθεια τοῦ κόσμου, ταῖς πρεσβείαις σου σκέπε τοὺς δούλους σου, ἀπὸ πάσης ἀνάγκης, μόνη εὐλογημένη.

Εἰς τὸ τέλος τοῦ ὄρθρου.

Ἕκαστος ὅπου σώζεται. κτλ.

Τῇ γ'. ἑσπέρας, καὶ τῇ δ', εἰς τὸ, Θεὸς Κύριος.

Ῥάβδον δυνάμεως κεκτημένοι, τὸν σαυρὸν τοῦ Υἱοῦ σου Θεοτόκε, ἐν αὐτῷ καταβάλλομεν τῶν ἐχθρῶν τὰ φρυάγματα, οἱ πόθῳ σε ἀπαύστως μεγαλύνοντες.

Εἰς τὸ τέλος τοῦ ὄρθρου.

Καταφυγὴ καὶ δύναμις κτλ.

Τῇ δ'. ἑσπέρας, καὶ τῇ ε'. εἰς τὸ, Θεὸς Κύριος.

Προφῆται προεκήρυξαν, Ἀπόστολοι ἐδίδαξαν, μάρτυρες ὡμολόγησαν, καὶ ἡμεῖς ἐπιστεύσαμεν Θεοτόκον σε κυρίως ὑπάρχουσαν. Διὸ καὶ μεγαλύνομεν τὸν τόκον σου τὸν ἄφραστον.

Εἰς τὸ τέλος τοῦ ὄρθρου.

Ἕκαστος ὅπου σώζεται. κτλ.

Τῇ ε'. ἑσπέρας, καὶ τῇ παρασκευῇ εἰς τὸ, Θεὸς Κύριος.

Ῥάβδον δυνάμεως, κεκτημένοι.

Εἰς τὸ τέλος τοῦ ὄρθρου.

Καταφυγὴ καὶ δύναμις κτλ.

Τῇ παρασκευῇ ἑσπέρας, καὶ τῷ Σαββάτῳ εἰς τὸ, Θεὸς Κύριος.

Ἐκ τῆς μεσιτευούσης τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν, τὸ διὰ Σταυροῦ καταδεξάμενος Πάθος, ἐλυτρώσατο ἡμᾶς ἐκ φθορᾶς, ὡς φιλάνθρωπος.

Εἰς τὸ τέλος τοῦ ὄρθρου.

Προφῆται προεκήρυξαν, κτλ.

Τῇ Κυριακῇ ἑσπέρας, καὶ τῇ β'. εἰς τὸ, Θεὸς Κύριος. Ἦχος δ'.

Τῇ ἀναπαφείσῃ ἐν τῷ ναῷ εἰς τὰ ἅγια τῶν ἁγίων, τῇ περιβεβλημένῃ τὴν πίστιν καὶ τὴν σοφίαν, καὶ τὴν ἄμετρον παρθενίαν, ὁ Ἀρχιστράτηγος Γαβριὴλ προσέφερεν οὐρανόθεν τὸν ἀσπασμόν, καὶ τό, Χαῖρε· Χαῖρε εὐλογημένη· Χαῖρε δεδοξασμένη, ὁ Κύριος μετὰ σοῦ.

Εἰς τὸ τέλος τοῦ ὄρθρου.

Ὅτι πάντων ὑπάρχεις τῶν ποιημάτων ὑπερτέρα, ἀνυμνεῖν σε ἀξίως μὴ εὐπορούντες Θεοτόκε, δωρεὰν αἰτούμέν σε, ἐλέησον ἡμᾶς.

Τῇ β'. ἑσπέρας, καὶ τῇ γ'. εἰς τὸ, Θεὸς Κύριος.

Τῇ Θεοτόκῳ ἐκτενῶς νῦν προσδράμωμεν, ἁμαρτωλοὶ καὶ ταπεινοί, καὶ προσπέσωμεν, ἐν μετανοίᾳ κράζοντες ἐκ βάθους ψυχῆς· Δέσποινα βοήθησον ἐφ' ἡμῖν σπλαγχνι-

χνισθεῖσα σπεῦσον ἀπολλύμεθα ὑπὸ πλήθους πταισμάτων· μὴ ἀποστρέψῃς σοὺς δούλους κενούς· σὲ γὰρ καὶ μόνην ἐλπίδα κεκτήμεθα.

Εἰς τὸ τέλος τοῦ ὄρθρου.

Σὲ μεγαλύνομεν Θεοτόκε βοῶντες· Σὺ εἶ ἡ βάτος, ἣν ἡ ἀφλέκτως Μωσῆς κατεῖδεν, ὡς φλόγα τὸ πῦρ τῆς Θεότητος.

Τῇ γ'. ἐσπέρας, καὶ τῇ δ'. εἰς τὸ,

Θεὸς Κύριος.

Παρθένε πανάμωμε, Μήτηρ Χριστοῦ τοῦ Θεοῦ, ῥομφαία διῆλθε σου τὴν παναγίαν ψυχήν, ἡνίκα σταυρούμενον, ἔβλεψας ἑκουσίως τὸν Υἱὸν καὶ Θεόν σου, ὃν περ, εὐλογημένη, δυσωποῦσα μὴ παύσῃ, συγχώρησιν πταισμάτων ἡμῖν δωρήσασθαι.

Εἰς τὸ τέλος τοῦ ὄρθρου.

Σὲ μεγαλύνομεν Θεοτόκε βοῶντες· Σὺ εἶ τὸ ὄρος, ἐξ οὗ ἀρρήτως ἐτμήθη λίθος, καὶ πύλας τοῦ ᾅδου συνέτριψε.

Τῇ δ'. ἑσπέρας, καὶ τῇ ε. εἰς τὸ,

Θεὸς Κύριος·

Τὸν Λόγον τοῦ Πατρὸς, Χριστὸν τὸν Θεὸν ἡμῶν, ἐκ σοῦ σαρκωθέντα ἔγνωμεν, Θεοτόκε Παρθένε, μόνη ἁγνὴ, μόνη εὐλογημένη· διὸ ἀπαύστως σὲ ἀνυμνοῦντες μεγαλύνομεν.

Εἰς τὸ τέλος τοῦ ὄρθρου.

Ὅτι πάντων ὑπάρχεις κτλ.

Τῇ ε. ἑσπέρας, καὶ τῇ παρασκ.

εἰς τὸ Θεὸς Κύριος.

Παρθένε πανάμωμε, κτλ.

Εἰς τὸ τέλος τοῦ ὄρθρου,

Σὲ μεγαλύνομεν Θεοτόκε κτλ.

Τῇ παρασκευῇ. καὶ τῷ Σαββάτῳ

εἰς τὸ, Θεὸς Κύριος.

σου συνήθως. κραυγάζοντά σοι ἐκτενῶς, ἀντιτάχθητι αἰσχροῖς καὶ ἀλαζόσι λογισμοῖς, ἵνα βοῶμέν σοι· Χαῖρε ἀειπάρθενε.

Τῇ γ'. ἑσπέρας, καὶ τῇ δ' εἰς τό,
Θεὸς Κύριος.

Τῷ σαυρῷ τοῦ Υἱοῦ σου Θεοχαρίτωτε, τῶν εἰδώλων ἡ πλάνη πᾶσα κατήργηται, καὶ τῶν Δαιμόνων ἡ ἰσχὺς καταπεπάτηται. Διὰ τοῦτο οἱ πιστοὶ κατὰ χρέος σε ἀεὶ ὑμνοῦμεν καὶ εὐλογοῦμεν, καὶ Θεοτόκον κυρίως ὁμολογοῦντές σε μεγαλύνομεν.

Εἰς τὸ τέλος τοῦ ὄρθρου.

Ὁ ἐκ παρθένου ἀνατείλας τῷ κόσμῳ κτλ.

Τῇ δ'. ἑσπέρας καὶ τῇ ε. εἰς τὸ
Θεὸς Κύριος.

Τὸ ξένον τῆς παρθένου Μυστήριον, τῷ κόσμῳ ἀνεδείχθη σωτήριον· ἐξ αὐτῆς γὰρ ἐτέχθης ἀνευ σπορᾶς, καὶ σαρκὶ ἀνεδείχθης δίχα φθορᾶς, ἡ πάντων χαρά, Κύριε δόξα σοι.

Εἰς τὸ τέλος τοῦ ὄρθρου.

Μήτηρ Θεοῦ Παναγία, τὸ τεῖχος τῶν χριστιανῶν κτλ.

Τῇ ε. ἑσπέρας καὶ τῇ παρασκευῇ εἰς τό, Θεὸς Κύριος.

Τῷ σαυρῷ τοῦ Υἱοῦ σου Θεοχαρίτωτε κτλ.

Εἰς τὸ τέλος τοῦ ὄρθρου.

Ὁ ἐκ παρθένου ἀνατείλας τῷ κόσμῳ κτλ.

Τῇ παρασκευῇ ἑσπέρας καὶ τῷ Σαββάτῳ εἰς τό, Θεὸς Κύριος.

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος. Χαῖρε τεῖχος καὶ σκέπη τῶν προστρεχόντων εἰς σέ. Χαῖρε ἀχείμαστε λιμὴν καὶ ἀπειρόγαμε, ἡ τεκοῦσα ἐν σαρκὶ τὸν Ποιητήν σου καὶ Θεόν, πρεσβεύουσα μὴ ἐλλείπῃς, ὑπὲρ τῶν ἀνυμνούντων καὶ προσκυνούντων τὸν τόκον σου.

Εἰς τὸ τέλος τοῦ ὄρθρου.

Ὁ ἐκ Παρθένου ἀνατείλας τῷ κόσμῳ κτλ.

Τῇ Κυριακῇ ἑσπέρας, καὶ τῇ β' εἰς τό,
Θεὸς Κύριος ἦχος πλ. Β'.

Ἀρχὴ σωτηρίας, ἡ τοῦ Γαβριὴλ προσαγόρια πρὸς τὴν Παρθένον γέγονεν. Ἤκουσε γὰρ τό, Χαῖρε, καὶ οὐ κατέφυγε τὸν ἀσπασμὸν, οὐκ ἐδίσασεν ὡς ἡ Σάῤῥα ἐν τῇ σκηνῇ, ἀλλ' οὕτως ἔλεγεν· Ἰδοὺ ἡ δούλη Κύριου, γένοιτό μοι κατὰ τὸ ῥῆμά σου.

Εἰς τὸ τέλος τοῦ ὄρθρου.

Ἀρχαγγελικὸν λόγον ὑπεδέξω, καὶ Χερουβικὸς θρόνος ἀνεδείχθης, καὶ ἐν ἀγκάλαις σου ἐβάστασας Θεοτόκε, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Τῇ β'. ἑσπέρας καὶ τῇ γ'. εἰς τό,
Θεὸς Κύριος.

Ἐλπὶς τοῦ κόσμου ἀγαθὴ, Θεοτόκε Παρθένε, τὴν σὴν καὶ μόνην κραταιὰν προσασίαν αἰτοῦμεν, σπλαγχνίσθητι εἰς ἀπροσάτευτον λαὸν, ἐυσώπησον τὸν ἐλεήμονα Θεὸν, ῥύσασθαι τὰς ψυχὰς ἡμῶν ἐκ πάσης ἀπειλῆς, μόνη εὐλογημένη.

Εἰς τὸ τέλος τοῦ ὄρθρου.

Οὐδεὶς προσρέχων ἐπὶ σοὶ, κατησχυμένος ἀπὸ σοῦ ἐκπορεύεται, ἁγνὴ Παρθένε Θεοτόκε, ἀλλ' αἰτεῖται τὴν χάριν, καὶ λαμβάνει τὸ δώρη-

δώρημα, πρὸς τὸ συμφέρον τῆς αἰτήσεως.

Τῇ γ'. ἑσπέρας καὶ τῇ δ'. εἰς τὸ,

Θεὸς Κύριος.

Θεοτόκε Παρθένε ἱκέτευε τὸν Υἱόν σου, τὸν ἑκουσίως προσπαγέντα ἐν σταυρῷ, καὶ τὸν κόσμον ἐκ πλάνης ἐλευθερώσαντα, Χριστὸν τὸν Θεὸν ἡμῶν, τοῦ ἐλεῆσαι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸ τέλος τοῦ ὄρθρου

Τὸν πρὸ αἰώνων ἐκ Πατρὸς ἄνευ Μητρὸς γεννηθέντα, Υἱὸν καὶ Λόγον τοῦ Θεοῦ, ἐπ' ἐσχάτων τῶν χρόνων, ἐκύησας σεσαρκωμένον ἐξ ἁγνῶν αἱμάτων σου, Θεοκυῆτορ ἄνευ ἀνδρός. ὃν αἴτησαι δωρήσασθαι ἡμῖν, ἁμαρτιῶν ἄφεσιν πρὸ τοῦ τέλους.

Τῇ δ' ἑσπέρας καὶ τῇ ε. εἰς τὸ,

Θεὸς Κύριος.

Ἁγία Δέσποινα ἁγνή, τοῦ Θεοῦ ἡμῶν Μήτηρ, ἡ τῶν ἁπάντων Ποιητὴν ἀπορρήτως τεκοῦσα, ἱκέτευε σὺν Ἀποστόλοις ἱεροῖς, ἐκάστοτε τὴν ἀγαθότητα αὐτοῦ, παθῶν ἡμᾶς λυτρώσασθαι, καὶ ἄφεσιν ἡμῖν δοῦναι ἁμαρτημάτων.

Εἰς τὸ τέλος τοῦ ὄρθρου.

Μεγάλων χαρισμάτων ἀγνή, Παρθένε Θεομῆτορ σὺ ἠξιώθης, ὅτι ἔτεκες σαρκὶ τὸν ἕνα τῆς Τριάδος, Χριστὸν τὸν ζωοδότην· εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Τῇ ε. ἑσπέρας καὶ τῇ παρασκευῇ εἰς τὸ, Θεὸς Κύριος.

Θεοτόκε Παρθένε ἱκέτευε. κτλ.

Εἰς τὸ τέλος τοῦ ὄρθρου·

Τὸν πρὸ αἰώνων ἐκ Πατρὸς κτλ.

Τῇ Παρασκευῇ ἑσπέρας, καὶ τῷ Σαββάτῳ εἰς τὸ Θεὸς Κύριος.

Ὁ τὴν εὐλο
Μητέρα ἠλθε
κουσίᾳ βουλῇ
σταυρῷ, ἀναζῆ
δαμ, λέγων τ
χάρητέ μοι, ὃ
λυμένη δραχμ
οἰκονομήσας δ

Εἰς τὸ τέ

Τὸν πρὸ αἰώ

Τῇ Κυριακῇ
εἰς τὸ, Θεὸς

Θεοτόκε πα
Υἱόν σου δυσώ
δυνάμεσι, συγχ
ἡμῖν πρὸ τοῦ
τοῖς πιστῶς σε

Εἰς τὸ τέ

Ὑπερέβης
οὐρανῶν, ὅτι
κὸς, εὐλογημέ
κοῦσα Χριστὸ
ψυχῶν ἡμῶν.

Τῇ Δευτέρᾳ
εἰς τὸ,

Τὸ χαῖρε σο
τόκε, τῶν Ἀγ
ρα ἐδείχθης,

Εἰς το τέ

Εἰρήνευσον
τόκου, τὴν ζω
των σοι, ἐλεήμ

Τῇ γ'. ἑσπέρα
Θεὸ

Τὸν σαρω
Χριστὸν τὸν Θ
τοῦ θανάτου τ
ἱκέτευε Θεοτόκ
τὰς ψυχὰς ὑμ

Εἰς τὸ τέλος τοῦ ὄρθρου

Λύτρωσαι Θεοτόκε τῶν συνεχουσῶν ἡμᾶς ἁμαρτιῶν, ὅτι ἄλλην ἐλπίδα οἱ πιστοὶ οὐκ ἔχομεν, εἰμὴ σέ, καὶ τὸν ἐκ σοῦ τεχθέντα Θεόν.

Τῇ δ. ἑσπέρας, καὶ τῇ ε. εἰς τὸ, Θεὸς Κύριος.

Ὁ καρπὸς τῆς κοιλίας σου, ἄχραντε, τῶν προφητῶν ὑπάρχει καὶ τοῦ νόμου τὸ πλήρωμα· διόσε Θεοτόκον ἐν ἐπιγνώσει δοξάζοντες, εὐσεβῶς μεγαλύνομεν.

Εἰς τὸ τέλος τοῦ ὄρθρου.

Ὁ καρπὸς τῆς γαστρός σου Θεόνυμφε, τοῖς ἀνθρώποις ἐδείχθη σωτηρίας πρόξενος. Διό σε Θεοτόκον, γνώμῃ καὶ γλώσσῃ δοξάζοντες, οἱ πιστοὶ μεγαλύνομεν.

Τῇ ε. ἑσπέρας καὶ τῇ παρασκευῇ εἰς τὸ, Θεὸς Κύριος.

Τὸν σαρωθέντα ὑπὲρ ἡμῶν Χριστὸν τὸν Θεὸν κτλ.

Εἰς τὸ τέλος τοῦ ὄρθρου.

Λύτρωσαι Θεοτόκε τῶν συνεχουσῶν κτλ.

Τῇ παρασκευῇ ἑσπέρας καὶ τῷ σαββάτῳ εἰς τὸ, Θεὸς Κύριος.

Ὡς τῆς ἡμῶν ἀναζάσεως θησαύρισμα, τοὺς ἐπὶ σοὶ πεποιθότας Πανύμνητε, ἐκ λάκκου καὶ βυθοῦ πταισμάτων ἀνάγαγε. Σὺ γάρ τοὺς ὑπευθύνους τῇ ἁμαρτίᾳ ἔσωσας τεκοῦσα τὴν σωτηρίαν· ἡ πρὸ τόκου Παρθένος, καὶ ἐν τόκῳ Παρθένος, καὶ μετὰ τόκον πάλιν μένεις Παρθένος.

Εἰς τὸ τέλος τοῦ ὄρθρου.

Χαῖρε ἡ τὸν ἀχώρητον ἐν οὐρανοῖς χωρήσασα ἐν μήτρᾳ σου· Χαῖρε παρθένε, τῶν Προφητῶν τὸ κήρυγμα, δι' ἧς ἔλαμψεν ὁ Ἐμμανουήλ. Χαῖρε Μήτηρ Χριστοῦ τοῦ Θεοῦ.

Τῇ κυριακῇ ἑσπέρας, καὶ τῇ β'. εἰς τὸ, Θεὸς Κύριος, ἦχος πλάγιος Δ'.

Χαῖρε ἡ δι' Ἀγγέλου τὴν χαρὰν τοῦ κόσμου δεξαμένη. Χαῖρε ἡ τεκοῦσα τὸν Ποιητήν σου καὶ Κύριον· χαῖρε ἡ ἀξιωθεῖσα γενέσθαι Μήτηρ Θεοῦ·

Εἰς τὸ τέλος τοῦ ὄρθρου.

Χαῖρε ἡ πύλη τοῦ Βασιλέως τῆς δόξης, ἣν ὁ Ὕψιστος μόνος διώδευσε, καὶ μένην ἐσφραγισμένην ἐφύλαξεν, εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Τῇ β'. ἑσπέρας, καὶ τῇ γ'. εἰς τὸ, Θεὸς Κύριος.

Τὸ ἀσάλευτον στήριγμα τὸ τῆς Πίστεως, καὶ σεβασμιον ξόανον τῶν ψυχῶν ἡμῶν, τὴν Θεοτόκον ἐν ὕμνοις μεγαλύνωμεν πιστοί· Χαῖρε ἡ τὴν πέτραν τῆς ζωῆς ἐν Γαστρί σου χωρήσασα. Χαῖρε τῶν περάτων ἡ ἐλπίς, θλιβομένων ἀντίληψις· Χαῖρε Νύμφη ἀνύμφευτε.

Εἰς τὸ τέλος τοῦ ὄρθρου.

Παρθένε ἄχραντε, σῶσον ἡμᾶς ταῖς πρεσβείαις σου, κινοῦσα σπλάγχνα μητρικά, τῷ Υἱῷσου καὶ Θεῷ ἡμῶν.

Τῇ γ'. ἑσπέρας, καὶ τῇ δ', εἰς τὸ, Θεὸς Κύριος.

Τὸν Ἀμνὸν καὶ Ποιμένα καὶ Σωτῆρα τοῦ Κόσμου, ἐν τῷ Σταυρῷ θεωροῦσα ἡ τεκοῦσα ἔλεγε δα-

κρύουσα· ὁ μὲν Κόσμος ἀγάλλεται, δεχόμενος τὴν λύτρωσιν, τὰ δὲ σπλάγχνα μου φλέγονται, ὁρώσης σου τὴν Σταύρωσιν, ἣν ὑπὲρ πάντων ὑπομένεις ὁ Υἱὸς καὶ Θεός μου.

Εἰς τὸ τέλος τοῦ ὄρθρου.

Ὁ Καρπὸς τῆς κοιλίας σου Ἄχραντε, τῶν Προφητῶν ὑπάρχει καὶ τοῦ Νόμου τὸ πλήρωμα· διό σε Θεοτόκον ἐν ἐπιγνώσει δοξάζοντες, εὐσεβῶς μεγαλύνομεν.

Τῇ δ'. ἑσπέρας καὶ τῇ ε. εἰς τὸ, Θεὸς Κύριος.

Ἡ νοητὴ πύλη τῆς ζωῆς, ἄχραντε Θεοτόκε, τοὺς προσρέχοντάς σοι πιστῶς λύτρωσαι τῶν κινδύνων· ἵνα δοξάζωμεν τὸν πανάγιον τόκον σου, εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸ τέλος τοῦ ὄρθρου.

Παρθένε Ἄχραντε, κτλ.

Τῇ ε. ἑσπέρας καὶ τῇ παρασκευῇ εἰς τὸ, Θεὸς Κύριος.

Τὸν Ἀμνὸν, καὶ Ποιμένα κτλ.

Εἰς τὸ τέλος τοῦ ὄρθρου

Ὁ καρπὸς τῆς κοιλίας σου Ἄχραντε κτλ.

Τῇ Παρασκευῇ ἑσπέρας, καὶ τῷ Σαββάτῳ εἰς τὸ, Θεὸς Κύριος.

Ὁ δι' ἡμᾶς γεννηθεὶς ἐκ Παρθένου, καὶ σταύρωσιν ὑπομείνας ἀγαθὲ, ὁ θανάτῳ τὸν θάνατον σκυλεύσας, καὶ ἔγερσιν δείξας ὡς Θεὸς, μὴ παρίδῃς οὓς ἔπλασας τῇ χειρί σου, δεῖξον τὴν φιλανθρωπίαν σου ἐλεήμον· δέξαι τὴν τεκοῦσάν σε Θεοτόκον, πρεσβεύουσαν ὑπὲρ ἡμῶν· καὶ σῶσον Σωτὴρ ἡμῶν λαὸν ἀπεγνωσμένον.

Κυρίου Πρόδρομε· ἀνεδείχθης γὰρ ὄντως, καὶ Προφητῶν σεβασμιώτερος, ὅτι καὶ ἐν ῥείθροις βαπτίσαι κατηξιώθης τὸν κηρυττόμενον ὄθεν τῆς ἀληθείας ὑπεραθλήσας, χαίρων εὐηγγελίσω καὶ τοῖς ἐν Ἅιδῃ. Θεὸν φανερωθέντα ἐν σαρκί, τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου, καὶ παρέχοντα ἡμῖν τὸ μέγα ἔλεος.

Θεοτοκίον. ὁ αὐτός.

Θείας γεγόναμεν κοινωνοί. (ὅρα σελ. 92).

ΤΗ ΤΡΙΤΗ ΕΣΠΕΡΑΣ,

Τροπάριον. ἦχος ἀ.

Σῶσον Κύριε τὸν λαόν σου, καὶ Εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς Εὐσεβέσι κατὰ βαρβάρων δωρούμενος, καὶ τὸ σὸν φυλάττων, διὰ τοῦ Σταυροῦ σου πολίτευμα.

Σταυροθεοτοκίον, ἦχος ὁ αὐτός

Οἱ τὴν σὴν προσασίαν κεκτημένοι Ἄχραντε, καὶ ταῖς σαῖς ἱκεσίαις τῶν δεινῶν ἐκλυτρουμένοι, τῷ Σταυρῷ τοῦ Υἱοῦ σου ἐν παντὶ φρουρούμενοι, κατὰ χρέος σὲ πάντες, εὐσεβῶς μεγαλύνομεν.

ΤΗ ΤΕΤΑΡΤΗ ΕΣΠΕΡΑΣ,

ἦχος γ'.

Ἀπόστολοι Ἅγιοι πρεσβεύσατε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

Ἕτερον, ἦχος δ'.

Κανόνα πίστεως, καὶ εἰκόνα πραότητος, ἐγκρατείας Διδάσκαλον, ἀνέδειξέ σε τῇ ποίμνῃ σου ἡ τῶν πραγμάτων ἀλήθεια· διὰ τοῦτο ἐκτήσω τῇ ταπεινώσει τὰ ὑψηλά, τῇ πτωχείᾳ τὰ πλούσια, Πάτερ Ἱεράρχα Νικόλαε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Θεοτοκίον, ἦχος ὁ αὐτός.

Τὸν Λόγον τοῦ Πατρός, Χριστὸν τὸν Θεὸν ἡμῶν, ἐκ σοῦ σαρκωθέντα ἔγνωμεν, Θεοτόκε Παρθένε, μόνη Ἁγνή, μόνη εὐλογημένη. Διὸ ἀπαύστως σὲ ἀνυμνοῦντες μεγαλύνομεν.

ΤΗ Ε'. ΕΣΠΕΡΑΣ

Τροπάριον, ἦχος ἀ.

Σῶσον Κύριε τὸν λαόν σου κτλ.

Σταυροθεοτοκίον, ἦχος ὁ αὐτός.

Οἱ τὴν σὴν προσασίαν κτλ.

ΤΗ ΠΑΡΑΣΚΕΥΗ ΕΣΠΕΡΑΣ.

ἦχος β'.

Ἀπόστολοι Μάρτυρες, καὶ Προφῆται, Ἱεράρχαι, Ὅσιοι καὶ Δίκαιοι, οἱ καλῶς τὸν ἀγῶνα τελέσαντες, καὶ τὴν Πίστιν τηρήσαντες, παῤῥησίαν ἔχοντες πρὸς τὸν Σωτῆρα, ὑπὲρ ἡμῶν αὐτὸν ὡς ἀγαθὸν ἱκετεύσατε, σωθῆναι δεόμεθα τὰς ψυχὰς ἡμῶν.

Μνήσθητι, Κύριε, ὡς ἀγαθὸς, τῶν ψυχῶν τῶν δούλων σου, καὶ ὅσα ἐν βίῳ ἥμαρτον συγχώρησον· οὐδεὶς γὰρ ἀναμάρτητος, εἰμὴ σὺ ὁ δυνάμενος, καὶ τοῖς μετανοοῦσι δοῦναι τὴν ἀνάπαυσιν.

Θεοτοκίον.

Μήτηρ Ἁγία, ἡ τοῦ ἀφράστου ῥωτὸς, Ἀγγελικοῖς σε ὕμνοις τιμῶντες, εὐσεβῶς μεγαλύνομεν.

—

ΑΝΤΙΦΩΝΑ
ΕΙΣ ΤΗΝ
ΛΕΙΤΟΥΡΓΙΑΝ

Μετὰ τὴν ἁ. αἴτησιν, λέγει ὁ ἁ. Χορός.

ΑΝΤΙΦΩΝΟΝ Α'. ἦχος πλ. ἁ.

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου Ὕψιστε.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου Σῶτερ σῶσον ἡμᾶς.

Τοῦ ἀναγγέλλειν τὸ πρωὶ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου καθ' ἑκάστην.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου Σῶτερ σῶσον ἡμᾶς,

Ὅτι εὐθὺς Κύριος ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου Σῶτερ σῶσον ἡμᾶς.

Δόξα, καὶ νῦν.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου Σῶτερ σῶσον ἡμᾶς.

ΑΝΤΙΦΩΝΟΝ, Β'. ἦχος, πλ. ἁ.

Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο, ἐνεδύσατο ὁ Κύριος δύναμιν καὶ περιεζώσατο·

Πρεσβείαις τῶν ἁγίων σου σῶσον ἡμᾶς Κύριε.

Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται.

Πρεσβείαις τῶν ἁγίων σου, σῶσον ἡμᾶς Κύριε.

Τῷ οἴκῳ σου πρέπει ἁγ
Κύριε, εἰς μακρότητα ἡμερ
Πρεσβείαις τῶν ἁγίων σο
σον ἡμᾶς Κύριε. Δό
Πρεσβείαις τῶν ἁγίων σο
σον ἡμᾶς Κύριε.

Καὶ νῦν. ἦχος. πλ. β'

Ὁ μονογενὴς Υἱὸς καὶ
τοῦ Θεοῦ ἀθάνατος ὑπάρχω
καταδεξάμενος διὰ τὴν ἡμε
σωτηρίαν, σαρκωθῆναι ἐκ τ
γίας Θεοτόκου καὶ ἀειπαρ
Μαρίας, ἀτρέπτως ἐνανθρωπ
σταυρωθείς τε Χριστὲ ὁ Θεὸς
νάτῳ θάνατον πατήσας. εἷ
τῆς ἁγίας Τριάδος, συνδοξα
νος τῷ Πατρὶ καὶ τῷ ἁγίῳ
ματι, σῶσον ἡμᾶς.

ΑΝΤΙΦΩΝΟΝ, Γ'. ἦχος

Δεῦτε ἀγαλλιασώμεθα τῷ
ῥ'ῳ, ἀλαλάξωμεν τῷ Θεῷ τ
τῆρι ἡμῶν.

Σῶσον ἡμᾶς υἱὲ Θεοῦ, ὁ
γίοις θαυμασὸς, ψάλλοντά
ἀλληλούϊα.

Προφθάσωμεν τὸ πρόσωπ
τοῦ ἐν ἐξομολογήσει, καὶ ἐν
μοῖς ἀλαλάξωμεν αὐτῷ, ὅτι
μέγας Κύριος, καὶ βασιλεὺ
γας ἐπὶ πᾶσαν τὴν γῆν.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ
γίοις θαυμασὸς, ψάλλοντά
Ἀλληλούϊα.

Ὅτι ἐν τῇ χειρὶ αὐτοῦ τ
ρατα τῆς γῆς, καὶ τὰ ὕψη τ
ρέων αὐτοῦ εἰσίν. Ὅτι αὐτοῦ
ἡ θάλασσα, καὶ αὐτὸς ἐποίησ
τὴ

τὴν, καὶ τὴν ξηρὰν αἱ χεῖρες αὐτοῦ ἔπλασαν.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν ἁγίοις θαυμαστὸς, ψάλλοντάς σοι, ἀλληλούϊα.

Μετὰ δὲ τὴν εἴσοδον τοῦ Εὐαγγελίου.

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν ἁγίοις θαυμαστὸς ψάλλοντάς σοι, Ἀλληλούϊα.

Εἶτα τὸ Τροπάριον τῆς ἡμέρας ἢ τῆς ἑορτῆς, τὸ τροπάριον τοῦ ἐν τῇ ἐκκλησίᾳ Ἁγίου, καὶ τὸ Κοντάκιον. Εἶτα τὸ Τρισάγιον. ὁ Ἀπόστολος, καὶ τὸ Χερουβικόν.

Οἱ τὰ Χερουβὶμ μυστικῶς εἰκονίζοντες, καὶ τῇ ζωοποιῷ Τριάδι τὸν Τρισάγιον ὕμνον προσάδοντες, πᾶσαν τὴν βιωτικὴν ἀποθώμεθα μέριμναν. Ὡς τὸν Βασιλέα τῶν ὅλων ὑποδεξόμενοι, ταῖς ἀγγελικαῖς ἀοράτως δορυφορούμενον τάξεσιν. Ἀλληλούϊα, γ'.

ΚΟΙΝΩΝΙΚΑ ΤΗΣ ΕΒΔΟΜΑΔΟΣ.

ΤΗ ΔΕΥΤΕΡΑ.

ἦχος ά.

Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ Πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. Ἀλληλ. γ'.

ΤΗ ΤΡΙΤΗ.

ἦχος. πλ. δ'.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος, Ἀλληλούϊα γ'.

ΤΗ ΤΕΤΑΡΤΗ,

ἦχος. πλ. β'.

Ποτήριον σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι. Ἀλληλούϊα, γ'.

ΤΗ ΠΕΜΠΤΗ,

ἦχος. β'.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. Ἀλληλούϊα. γ'.

ΤΗ ΠΑΡΑΣΚΕΥΗ.

ἦχος β'.

Σωτηρίαν εἰργάσω ἐν μέσῳ τῆς γῆς Χριστὲ ὁ Θεός. Ἀλληλ. γ'.

ΤΩ ΣΑΒΒΑΤΩ.

ἦχος ά.

Μακάριοι οὓς ἐξελέξω καὶ προσελάβου Κύριε, καὶ τὸ μνημόσυνον αὐτῶν εἰς γενεὰν, καὶ γενεάν. Ἀλληλούϊα γ'.


ΤΗ ΚΥΡΙΑΚΗ.

ἦχος. πλ. β'.

Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν. Ἀλληλούϊα. γ'.

1901 Μαρτίου 22 Π
μέρα σήμερα σήμερα

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου



Τ Α Ξ Ι Σ

ΤΗΣ

ΘΕΙΑΣ ΚΑΙ ΙΕΡΑΣ ΠΡΟΣΚΟΜΙΔΗΣ

Ὁ ἱερεὺς καὶ ὁ ἱεροδιάκονος, ἀφοῦ ἀφ' ἑσπέρας καὶ τὸ πρωΐ ἀναγνώ-
σι τὴν Μετάληψίν των, ἔρχονται εἰς τὴν ἐκκλησίαν, καὶ ἀφοῦ οἱ δύο ἐ
θοῦν τὸ Στοιχάριον, τὸ ἐπιτραχήλιον, τὰ ἐπιμάνικα, τὸ περιζώνιον κα
φελώνιον, νίπτουν τὰς χεῖράς των καλῶς, ἔπειτα ἔρχονται εἰς τὴν προ
μιδήν, καὶ ἐκεῖ ἑτοιμάζουν τὸ δισκοπότηρον, καὶ βλέπουν νὰ μὴ ἦναι
πιον ἢ λαιρωμένον· βλέπουν τὰ καλύμματα νὰ μὴ ἦναι καμμένα ἢ
ρωμένα, ἢ κονιορκτισμένα, ἢ τρύπια, ἀλλὰ νὰ ἦναι πάντα καθαρά,
εἰ δυνατὸν, καινούρια, ἢ τοὐλάχιστον πλυμμένα εἰς τὴν νιπτῆρα,
θὼς ποιοῦσι πολλοὶ εὐλαβεῖς ἱερεῖς, καὶ τότε ἑτοιμάζουσι πρόσφ
προσφοράν, ἔνζυμον, καθαρὰν ἀπὸ σῖτον καλὸν, καὶ βλέπουν νὰ μὴ ἦναι
χλιασμένη, ἢ ποντικοφαγωμένη, ἢ λαδομένη. Καὶ διὰ τὸ ζέον νὰ
ἄγγεῖον καινούριον, καὶ οὐχὶ καπνισμένον καὶ λαιρωμένον, καὶ ὁ οἶνο
ἦναι καλὸς καὶ γλυκὺς, καὶ οὐχὶ ὀξυνὸς καὶ χαλασμένος, ὁμοίως καὶ τὸ
καθαρὸν εἰς ἀγγεῖα καθαρά. Τότε λαμβάνει ὁ ἱερεὺς μὲ τὴν ἀριστεράν του
τὴν καθαρὰν προσφοράν, καὶ μὲ τὴν δεξιάν του τὴν ἁγίαν λόγχην,

Καὶ λέγει:

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Σταυρώνων αὐτὴν τρὶς, λέγει:

Εἰς ἀνάμνησιν τοῦ Κυρίου, καὶ Θ
καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ
ἐκ τρίτου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροια

Ἐμπήγνυ τὴν λόγχην εἰς τὰ δεξιὰ τῆς σφραγῖδος, λέγει:

Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη.

Εἰς δὲ τὰ ἀριστερά, λέγει:

Καὶ ὡς Ἀμνὸς ἄμωμος ἐναντίον τοῦ κείροντος ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ.

Ἐν δὲ τῇ ἄνω, λέγει:

Ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη.

Ἐν δὲ τῇ κάτω, λέγει:

Τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται;

Καὶ οὕτω τίθησι τὸν ἄρτον εἰς τὸν δίσκον, λέγων:

Ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ.

Εἶτα γυρίσας αὐτὸν ὅλον σταυροειδῶς, καὶ αὐτοῦ τιθεμένου, ἐμπήγει τὴν λόγχην ὁ ἱερεὺς εἰς τὰ δεξιὰ λέγων:

Εἷς τῶν στρατιωτῶν λόγχῃ τὴν πλευρὰν αὐτοῦ ἔνυξε καὶ εὐθέως ἐξῆλθεν Αἷμα καὶ Ὕδωρ· καὶ ὁ ἑωρακὼς μεμαρτύρηκε, καὶ ἀληθινή ἐστιν ἡ μαρτυρία αὐτοῦ.

Καὶ οὕτως ἐκχέει εἰς τὸ Ἅγιον Ποτήριον οἶνον καὶ ὕδωρ, λέγων:

Εὐλογημένη ἡ ἁγία ἕνωσις κτλ.

Τούτων γενομένων, λαμβάνει ὁ ἱερεὺς τὴν πρόσφορὰν, καὶ ἐκβάζει τὴν πρώτην τριγωνικὴν μερίδα τῆς Θεοτόκου, λέγων:

Εἰς τιμὴν, καὶ μνήμην τῆς ὑπερευλογημένης ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ Ἀειπαρθένου Μαρίας, ἧς ταῖς πρεσβείαις πρόσδεξαι, Κύριε, τὴν Θυσίαν ταύτην εἰς τὸ ὑπερουράνιόν σου Θυσιαστήριον.

Καὶ οὕτω τίθησι τὴν τριγωνικὴν μερίδα εἰς τὰ δεξιὰ τοῦ Ἁγίου Ἄρτου εἰς τὸ Α. πλησίον, λέγων:

Παρέστη ἡ Βασίλισσα ἐκ δεξιῶν σου, ἐν ἱματισμῷ διαχρύσῳ, περιβεβλημένη πεποικιλμένη.

Μετὰ ταῦτα λαμβάνων ἄλλην σφραγῖδα ἐκβάζει τὰ ἑννέα λεγόμενα τάγματα. Καὶ εἰς τὴν πρώτην μερίδα λέγει:

1. Τοῦ τιμίου ἐνδόξου Προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου.

Καὶ τίθησιν αὐτὴν εἰς τὰ ἀριστερὰ τοῦ Θείου Ἄρτου εἰς τὸ 1. Εἶτα λέγει:

2. Τῶν Ἁγίων ἐνδόξων Προφητῶν, Μωσέως καὶ Ἀαρὼν, Ἠλιοὺ, Ἐλισσαίου, Δαβὶδ, καὶ Ἰεσσαὶ, τῶν Ἁγίων τριῶν Παίδων, καὶ Δανιὴλ τοῦ Προφήτου, καὶ πάντων τῶν Ἁγίων Προφητῶν.

Καὶ τίθησι δευτέραν μερίδα εἰς τὰ 2, κατωθὲν τῆς πρώτης· καὶ αὖθις λέγει:

3. Τῶν Ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, Πέτρου καὶ Παύλου, τῶν 12 καὶ 70 καὶ πάντων τῶν Ἁγίων Ἀποστόλων.

Καὶ τίθησι τρίτην μερίδα εἰς τὰ 3, κάτωθεν τῆς δευτέρας· λέγων:

4. Τῶν ἐν Ἁγίοις Πατέρων ἡμῶν καὶ Οἰκουμενικῶν μεγάλων Διδασκάλων, καὶ Ἱεραρχῶν, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου, καὶ Ἰωάννου τοῦ Χρυσοστόμου, Ἀθανασίου καὶ Κυρίλλου, Νικολάου τοῦ ἐν Μύροις, καὶ πάντων τῶν Ἁγίων Ἱεραρχῶν.

Καὶ οὕτω τίθησι τὴν τετάρτην μερίδα 4, πλησίον τῆς πρώτης, ποιῶν ἀρχὴν δευτέρας τάξεως. Μετὰ ταῦτα λέγει:

5. Τοῦ

Δημόσια Κεντρική Βιβλιοθήκη Ε

5. Τοῦ Ἁγίου πρωτομάρτυρος καὶ Ἀρχιδιακόνου Στεφάνου, τῶν Ἁγίων μεγάλων μαρτύρων Γεωργίου, Δημητρίου, Θεοδώρου, καὶ πάντων τῶν Ἁγίων Μαρτύρων.

Καὶ τίθησι πέμπτην μερίδα εἰς τὰ ὀλίγων:

6. Τῶν Ὁσίων καὶ Θεοφόρων Πατέρων ἡμῶν, Ἀντωνίου τοῦ Μεγάλου, Εὐθυμίου, Σάββα, Ὀνουφρίου, Ἀθανασίου τοῦ ἐν τῷ Ἄθῳ, καὶ πάντων τῶν Ὁσίων.

Καὶ τίθησιν ἕκτην μερίδα εἰς τὰ 6. Μετὰ ταῦτα δὲ λέγει:

7. Τῶν ἁγίων, καὶ Θαυματουργῶν Ἀναργύρων, Κοσμᾶ καὶ Δαμιανοῦ, Κύρου καὶ Ἰωάννου, Παντελεήμονος, καὶ Ἑρμολάου, καὶ πάντων τῶν ἁγίων Ἀναργύρων.

Καὶ τίθησιν ἑβδόμην μερίδα εἰς τὰ 7. Εἶτα λέγει:

8. Τῶν ἁγίων καὶ Δικαίων Θεοπατόρων, Ἰωακεὶμ, καὶ Ἄννης (τοῦ ἁγίου τῆς ἡμέρας), καὶ πάντων τῶν ἁγίων, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς ὁ Θεός.

Καὶ τίθησιν ὀγδόην μερίδα ὑποκάτω κατὰ τάξιν. Ἔτι δὲ πρὸς τούτοις λέγει:

9. Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου.

Καὶ οὕτω τίθησιν ἐννάτην μερίδα εἰς τὸ τέλος. Εἶτα λαβὼν τρίτην σφραγῖδα, λέγει:

Μνήσθητι, Δέσποτα, φιλάνθρωπε, πάσης Ἐπισκοπῆς Ὀρθοδόξων, καὶ τοῦ Ἐπισκόπου ἡμῶν (δεῖνος), τοῦ τιμίου Πρεσβυτερίου, τῆς ἐν Χριστῷ Διακονίας, καὶ πάντων τῶν ἀδελ-

Μετὰ ταῦτα ἀναγινώσκει τὴν εὐχήν: Ὁ Θεὸς, ὁ Θεὸς ἡμῶν, ὁ τὸν Οὐράνιον ἄρτον. κτλ.

Καὶ ποιεῖ ἀπόλυσιν, λέγων οὕτω:

Εἰ μέν ἐστι Κυριακή·

Ὁ ἀναστὰς ἐκ νεκρῶν. εἰδ' οὔ.

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, πρεσβείαις τῆς Παναχράντου αὐτοῦ Μητρὸς, τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου, καὶ πάντων τῶν ἁγίων, ἐλεήσαι, καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος. Ἀμήν.

Καὶ εὐθὺς λέγει:

Εὐλογημένη ἡ Βασιλεία τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. (α).

(α) Ἀλλοίμονον εἰς ἐκεῖνον τὸν ἱερέα, ἢ ἀρχιερέα, ὅστις εἶναι φονεὺς, ἢ πόρνος, ἢ μοιχὸς, ἢ κλέπτης, ἢ μέθυσος, ἢ πλήκτης, ἢ ὀργίλος, καὶ τολμᾷ νὰ λειτουργήσῃ, διότι, ὁ ἄγγελος Κυρίου ἐτελεῖτο τότε τὴν θείαν λειτουργίαν ἐκείνην, καὶ ὁ ἀνάξιος ἱερεὺς δένεται ὑπὸ τοῦ ἀγγέλου τοῦ Θεοῦ εἰς μίαν γωνίαν, ὡς ἀνάξιος στρατιώτης τοῦ ἐπουρανίου Βασιλέως, καθὼς τὸ λέγει ὁ ἅγιος Βασίλειος καὶ ὁ ἅγιος Γρηγόριος εἰς τὰ συγγράμματά των.

Λοιπὸν ὁποιος ἱερεὺς, ἢ Ἀρχιερεὺς, ἢ Ἱεροδιάκονος ἔχει πάθος τι κατά τινος ἀδελφοῦ χριστιανοῦ, ἢ μῖσος, δὲν ἠμπορεῖ νὰ λειτουργῇ· μήτε ἐκεῖνος ὁστις δὲν ἔχει καλὴν συνείδησιν καὶ ἀμφιβάλλει εἰς τὰ θεῖα, καὶ εἰς τὴν παντοδυναμίαν τοῦ ἁγίου Θεοῦ, δὲν δύναται νὰ λειτουργήσῃ· μήτε ἐκεῖνος ὁστις ἐδάκησε τινὰ ἀδελφόν του, ἢ κατακρατεῖ τὸ ξένον δίκαιον, ἢ ψευδομαρτυρεῖ καὶ κάμνει ὅρκους ψευδεῖς διὰ κέρδος τι, ἢ νὰ ἐκτελέσῃ τὸν θυμόν του καὶ τὴν κακίαν του· μήτε ἐκεῖνος ὁστις κάμνει πρῶτον συμφωνίαν διὰ νὰ λειτουργήσῃ μὲ πληρωμὴν μεγάλην, νὰ πωλῇ τὴν δωρεὰν τοῦ ἁγίου Πνεύματος μὲ χρήματα εἰς τοὺς ἀδελφούς, τὴν ὁποίαν αὐτὸς ἔλαβε δωρεὰν ἀπὸ τὸν Θεόν· μήτε ἐκεῖνος, ὁ Ἱερεὺς ὁ πολλὰ γηραλαῖος, καὶ δὲν βλέπει, ἢ τρέμουν αἱ χεῖρες καὶ οἱ πόδες του.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας



Ο ΑΓΙΟΣ ΙΩΑΝΝΗΣ Ο ΧΡΥΣΟΣΤΟΜΟΣ.

ΠΑΤΡΙΑΡΧΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Η ΘΕΙΑ
ΛΕΙΤΟΥΡΓΙΑ
ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ
ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ.

ΕΥΧΗ ΤΗΣ ΠΡΟΘΕΣΕΩΣ.

Ο Θεὸς, ὁ Θεός ἡμῶν, ὁ τὸν Οὐράνιον Ἄρτον, τὴν Τροφὴν τοῦ παντὸς Κόσμου, τὸν Κύριον ἡμῶν καὶ Θεὸν Ἰησοῦν Χριστὸν, ἐξαποστείλας Σωτῆρα, καὶ Λυτρωτὴν, καὶ Εὐεργέτην, εὐλογοῦντα, καὶ ἁγιάζοντα ἡμᾶς. Αὐτὸς εὐλόγησον τὴν Πρόθεσιν ταύτην, καὶ πρόσδεξαι αὐτὴν εἰς τὸ ὑπερουράνιόν σου Θυσιαστήριον. Μνημόνευσον ὡς ἀγαθὸς, καὶ φιλάνθρωπος, τῶν προσενεγκάντων, καὶ δι' οὓς προσήγαγον· καὶ ἡμᾶς ἀκατακρίτους διαφύλαξον ἐν τῇ Ἱερουργίᾳ τῶν Θείων σου Μυστηρίων. Ὅτι ἡγίασαι, καὶ δεδόξασαι τὸ πάντιμον, καὶ μεγαλοπρεπές ὄνομά σου, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Διάκονος ἐξέρχεται τοῦ Βήματος, καὶ προσκυνήσας τρὶς, λέγει:

Εὐλόγησον Δέσποτα.

Ὁ Ἱερεὺς ἐκφώνως.

Εὐλογημένη ἡ Βασιλεία τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός. Ἀμήν. Εἶτα, ἀποκρινομένου τοῦ Χοροῦ: Κύριε ἐλέησον.

Ὁ Διάκονος:

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος Κόσμου, εὐσταθείας τῶν Ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ Ἁγίου Οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος), τοῦ τιμίου Πρεσβυτερίου, τῆς ἐν Χριστῷ Διακονίας, παντὸς τοῦ Κλήρου, καὶ τοῦ Λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν εὐσεβεστάτων, καὶ Θεοφυλάκτων Βασιλέων ἡμῶν, παντὸς τοῦ Παλατίου καὶ τοῦ στρατοπέδου αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ

Ὑπὲρ τοῦ συμπολεμῆσαι, καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν πάντα ἐχθρὸν καὶ πολέμιον, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς Ἁγίας ἐκκλησίας ταύτης, πάσης πόλεως, χώρας, καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς, καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων, καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου, καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου, καὶ Ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες ἑαυτοὺς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Ἱερεὺς ἐκφώνως.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ Οἴκου σου. Σὺ αὐτοὺς ἀντιδόξασον τῇ Θεϊκῇ σου δυνάμει, καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ.

Ὁ Διάκονος.

Ἔτι, καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου.

Ὁ Ἱερεὺς ἐκφώνως.

Ὅτι ἀγαθὸς, καὶ φιλάνθρ
Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴ
ἀναπέμπομεν, τῷ Πατρὶ,
Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύμ
καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰ
αἰώνων.

ΕΥΧΗ ΑΝΤΙΦΩΝΟ

Ἣν λέγει ὁ Ἱερεὺ

Ὁ τὰς κοινὰς ταῖ
φώνους ἡμῖν χαρισ
χὰς. ὁ καὶ δυσὶ, κ
νοῦσιν ἐπὶ τῷ ὀνόμ
τήσεις παρέχειν ἐ
αὐτὸς καὶ νῦν τῶν
αἰτήματα πρὸς τὸ
ρωσον, χορηγῶν
ρόντι αἰῶνι τὴν ἐπ
ἀληθείας, καὶ ἐν τ
αἰώνιον χαριζόμεν

ΕΥΧΗ ΤΗΣ ΕΙΣΟ
ΤΟΥ ΕΥΑΓΓΕΛ

Ἣν λέγει ὁ Ἱε

Δέσποτα Κύρ
καταστήσας ἐ
καὶ στρατι
χαγγελω
σῆς δό
δῷ ἡ
λω
ἡ

ὄντος εἰς τὸ εἶναι παρα- τοὺς τῆς διανοίας ἡμῶν διάνοιξον
σύμπαντα. Ὁ κτίσας ὀφθαλμούς, εἰς τὴν τῶν εὐαγγε-
κατ' εἰκόνα σήν, καὶ λικῶν σου κηρυγμάτων κατανόη-
ντί σου χαρίσματι σιν. Ἔνθες ἡμῖν καὶ τὸν τῶν μα-
δοὺς αἰτοῦντι καρίων σου ἐντολῶν φόβον, ἵνα τας
καὶ μὴ παρο- σαρκικὰς ἐπιθυμίας καταπατήσαν-
λὰ θέμενος τες, πνευματικὴν πολιτείαν μετέλ-
Ὁ κατα- θωμεν, πάντα πρὸς εὐαρέστησιν σου
ς, καὶ φρονοῦντες, καὶ πράττοντες. Σὺ
ὥρα γὰρ εἰ ὁ φωτισμὸς τῶν ψυχῶν καὶ
δο- τῶν σωμάτων ἡμῶν, Χριστὲ ὁ
σου, Θεός, καὶ σοὶ τὴν δόξαν ἀναπέμ-
πομεν, σὺν τῷ ἀνάρχῳ σου Πα-
τρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγα-
θῷ, καὶ ζωοποιῷ σου Πνεύματι,
, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας
αἰώνων.

τὰ δὲ τὸ Εὐαγγέλιον, ἀπο-
ένου τοῦ Χοροῦ· Κύριε ἐλέη-
ς,

Ὁ Διάκονος.

εν πάντες ἐξ ὅλης τῆς
ἐξ ὅλης τῆς διανοίας ἡ-
εν.

ντοκράτορ, ὁ Θεὸς τῶν
ῶν, δεόμεθά σου, ἐπά-
λέησον.

μᾶς ὁ Θεὸς, κατὰ τὸ
υ, δεόμεθά σου, ἐπά-
έησον.

Γ Χ Η
ΟΥΣ ΙΚΕΣΙΑΣ.

Ἱερεὺς μυστικῶς.

ἡμῶν, τὴν ἐκτενῆ
προσδεξαι παρὰ τῶν
ἐλέησον ἡμᾶς κατὰ
λέους σου, καὶ τοὺς
οἰκτιρ-

εἰκτιρμούς σου κατάπεμψον ἐφ' ἡμᾶς, καὶ ἐπὶ πάντα τὸν Λαόν σου, τὸν ἀπεκδεχόμενον τὸ παρὰ σοῦ πλούσιον ἔλεος.

Ὁ Διάκονος.

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ Ὀρθοδόξων Χριστιανῶν.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος).

Ἔτι δεόμεθα ὑπὲρ τῶν Ἀδελφῶν ἡμῶν, τῶν Ἱερέων, Ἱερομονάχων, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν Ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων, καὶ ἀοιδήμων κτητόρων τῆς Ἁγίας Ἐκκλησίας ταύτης, καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων Πατέρων, καὶ Ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε κειμένων, καὶ ἁπάντα χοῦ Ὀρθοδόξων.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, συγχωρήσεως, καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, τῶν Ἀδελφῶν τῆς Ἁγίας Ἐκκλησίας ταύτης.

Ἔτι δεόμεθα ὑπὲρ τῶν καρποφορούντων, καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ, καὶ Πανσέπτῳ Ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων, καὶ ὑπὲρ τοῦ περιεστῶτος Λαοῦ, τοῦ ἀπεκδεχομένου τὸ παρὰ σοῦ μέγα, καὶ πλούσιον ἔλεος.

Ὁ Ἱερεὺς ἐκφώνως.

Ὅτι ἐλεήμων, καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Διάκονος.

Εὔξασθε οἱ Κατηχούμενοι τῷ Κυρίῳ.

Οἱ Πιστοὶ ὑπὲρ τῶν Κατηχουμένων δεηθῶμεν.

Ἵνα ὁ Κύριος αὐτοὺς ἐλεήσῃ.

Κατηχήσῃ αὐτοὺς τῷ λόγῳ τῆς ἀληθείας.

Ἀποκαλύψῃ αὐτοῖς τὸ Εὐαγγέλιον τῆς δικαιοσύνης.

Ἑνώσῃ αὐτοὺς τῇ Ἁγίᾳ αὐτοῦ, Καθολικῇ, καὶ Ἀποστολικῇ Ἐκκλησίᾳ.

Σῶσον, ἐλέησον, ἀντιλαβοῦ, καὶ διαφύλαξον αὐτούς, ὁ Θεός, τῇ σῇ χάριτι.

Οἱ Κατηχούμενοι, τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

ΕΥΧΗ ΚΑΤΗΧΟΥΜΕΝΩΝ.

Ἐν τῷ ἀπλωθῆναι τὸ Εἰλητὸν

Ἣν λέγει ὁ Ἱερεὺς μυστικῶς

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν, ὁ τὴν σωτηρίαν τῷ γένει τῶν ἀνθρώπων ἐξαποστείλας τὸν μονογενῆ σου Υἱόν, καὶ Θεόν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἐπίβλεψον ἐπὶ τοὺς δούλους σου τοὺς Κατηχουμένους, τοὺς ὑποκεκλικότας σοι τὸν ἑαυτῶν αὐχένα, καὶ καταξίωσον αὐτούς, ἐν καιρῷ εὐθέτῳ τοῦ λουτροῦ τῆς παλιγγενεσίας, τῆς ἀφέσεως τῶν ἁμαρτιῶν, καὶ τοῦ ἐνδύματος τῆς ἀφθαρσίας. Ἕνωσον αὐτοὺς τῇ Ἁγίᾳ

γία σου Καθολικὴ, καὶ Ἀποστολικὴ Ἐκκλησία, καὶ συγκαταρίθμησον αὐτοὺς ἐν τῇ ἐκλεκτῇ σου ποίμνῃ.

Ὁ Ἱερεὺς ἐκφώνως

Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι τὸ πάντιμον, καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Μετὰ τὴν ἐκφώνησιν λαμβάνει ὁ Ἱερεὺς τὸ Εἱλητὸν, καὶ κατὰ τὸ σύνηθες ἐξαπλώνει.

Ὁ Διάκονος.

Ὅσοι Κατηχούμενοι προέλθετε· ὅσοι Κατηχούμενοι προέλθετε. Μήτις τῶν Κατηχουμένων· ὅσοι Πιστοί.

Ἔτι καὶ ἔτι, ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

ΕΥΧΗ ΠΙΣΤΩΝ ΠΡΩΤΗ.

Μετὰ τὸ ἁπλωθῆναι τὸ Εἱλητὸν Ἣν λέγει ὁ Ἱερεὺς μυστικῶς.

Εὐχαριστοῦμέν σοι Κύριε ὁ Θεὸς τῶν Δυνάμεων, τῷ καταξιώσαντι ἡμᾶς παραστῆναι καὶ νῦν τῷ Ἁγίῳ σου Θυσιαστηρίῳ, καὶ προσπεσεῖν τοῖς οἰκτιρμοῖς σου ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων. Πρόσδεξαι ὁ Θεὸς τὴν δέησιν ἡμῶν· ποίησον ἡμᾶς ἀξίους γενέσθαι τοῦ προσφέρειν σοι δεήσεις, καὶ ἱκεσίας καὶ Θυσίας ἀναιμάκτους, ὑπὲρ παντὸς τοῦ Λαοῦ σου. Καὶ ἱκάνωσον ἡμᾶς, οὓς ἔθου εἰς τὴν διακονίαν σου ταύτην, ἐν τῇ δυνάμει τοῦ Πνεύματός σου τοῦ Ἁγίου, ἀκαταγνώστως, καὶ ἀπροσκόπτως, ἐν καθαρῷ τῷ μαρτυρίῳ τῆς συνειδήσεως ἡμῶν, ἐπικαλεῖσθαί σοι ἐν παντὶ καιρῷ, καὶ τοπῳ. ἵνα εἰσακούων ἡμῶν, ἵλεως ἡμῖν εἴης ἐν τῷ πλήθει τῆς σῆς ἀγαθότητος.

Ὁ Διάκονος.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι. Σοφία.

Ὁ Ἱερεὺς ἐκφώνως.

Ὅτι πρέπει σοὶ πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Διάκονος.

Ἔτι καὶ ἔτι, ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

ΕΥΧΗ ΠΙΣΤΩΝ ΔΕΥΤΕΡΑ.

Ἣν λέγει ὁ Ἱερεὺς μυστικῶς.

Πάλιν, καὶ πολλάκις σοὶ προσπίπτωμεν, καὶ σοῦ δεόμεθα. ἀγαθὲ, καὶ φιλάνθρωπε, ὅπως ἐπιβλέψας ἐπὶ τὴν δέησιν ἡμῶν, καθαρίσῃς ἡμῶν τὰς ψυχὰς, καὶ τὰ σώματα ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς, καὶ πνεύματος, καὶ δῴης ἡμῖν ἀνένοχον, καὶ ἀκατάκριτον τὴν παράστασιν τοῦ Ἁγίου Θυσιαστη-

σηρίου. Χάρισαι δὲ ὁ Θεὸς καὶ τοῖς συνευχομένοις ἡμῖν προκοπὴν βίου, καὶ πίστεως, καὶ συνέσεως πνευματικῆς. Δὸς αὐτοῖς πάντοτε μετὰ φόβου, καὶ ἀγάπης λατρεύειν σοι ἀνενόχως, καὶ ἀκατακρίτως μετέχειν τῶν Ἁγίων σου Μυστηρίων, καὶ τῆς ἐπουρανίου σου Βασιλείας ἀξιωθῆναι.

Ὁ Διάκονος.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι Σοφία.

Ὁ Ἱερεὺς ἐκφώνως.

Ὅπως ὑπὸ τοῦ κράτους σου πάντοτε φυλαττόμενοι, σοὶ δόξαν ἀναπέμπωμεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΕΥΧΗ ΤΟΥ ΧΕΡΟΥΒΙΚΟΥ ΑΔΟΜΕΝΟΥ.

Ἣν λέγει ὁ Ἱερεὺς μυστικῶς.

Οὐδεὶς ἄξιος τῶν συνδεδεμένων ταῖς σαρκικαῖς ἐπιθυμίαις, καὶ ἡδοναῖς, προσέρχεσθαι, ἢ προσεγγίζειν, ἢ λειτουργεῖν σοι, Βασιλεῦ τῆς δόξης· τὸ γὰρ διακονεῖν σοι, μέγα καὶ φοβερὸν, καὶ αὐταῖς ταῖς ἐπουρανίαις Δυνάμεσιν· ἀλλ' ὅμως διὰ τὴν ἄφατον, καὶ ἀμέτρητόν σου φιλανθρωπίαν, ἀτρέπτως, καὶ ἀναλλοιώτως γέγονας ἄνθρωπος, καὶ Ἀρχιερεὺς ἡμῶν ἐχρημάτισας, καὶ τῆς λειτουργικῆς ταύτης, καὶ ἀναιμάκτου Θυσίας τὴν Ἱερουργίαν παρέδωκας ἡμῖν, ὡς Δεσπότης τῶν ἁπάντων. Σὺ γὰρ μόνος, Κύριε ὁ Θεὸς ἡμῶν, δεσπόζεις τῶν ἐπουρανίων, καὶ τῶν ἐπιγείων· ὁ ἐπὶ Θρόνου Χερουβικοῦ ἐποχούμενος, ὁ τῶν Σεραφὶμ Κύριος, καὶ Βασιλεὺς τοῦ Ἰσραὴλ, ὁ μόνος Ἅγιος καὶ ἐν Ἁγίοις ἀναπαυόμενος. Σὲ τοίνυν δυσωπῶ τὸν μόνον ἀγαθὸν, καὶ εὐήκοον, ἐπίβλεψον ἐπ' ἐμὲ τὸν ἁμαρτωλὸν, καὶ ἀχρεῖον δοῦλόν σου, καὶ καθάρισόν μου τὴν ψυχὴν, καὶ τὴν καρδίαν ἀπὸ συνειδήσεως πονηρᾶς. Καὶ ἱκάνωσόν με τῇ δυνάμει τοῦ Ἁγίου σου Πνεύματος, ἐνδεδυμένον τὴν τῆς Ἱερατείας χάριν, παραστῆναι τῇ ἁγίᾳ σου ταύτῃ Τραπέζῃ, καὶ ἱερουργῆσαι τὸ ἅγιον, καὶ ἄχραντόν σου Σῶμα, καὶ τὸ τίμιον Αἷμα. Σοὶ γὰρ προσέρχομαι, κλίνας τὸν ἐμαυτοῦ αὐχένα, καὶ δέομαί σου, μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, μηδὲ ἀποδοκιμάσῃς με ἐκ παίδων σου. Ἀλλ' ἀξίωσον προσενεχθῆναί σοι ὑπ' ἐμοῦ τοῦ ἁμαρτωλοῦ, καὶ ἀναξίου δούλου σου τὰ Δῶρα ταῦτα. Σὺ γὰρ εἶ ὁ προσφέρων, καὶ προσφερόμενος, καὶ προσδεχόμενος καὶ διαδιδόμενος, Χριστὲ ὁ Θεὸς ἡμῶν. Καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ Παναγίῳ, καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μετὰ τὸν Χερουβικὸν Ὕμνον, λέγει ὁ Διάκονος.

Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Ὑπὲρ τῶν προτεθέντων τιμίων Δώρων, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ Ἁγίου Οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

ΕΥΧΗ ΤΗΣ ΠΡΟΣΚΟΜΙΔΗΣ.

Μετὰ τὴν ἐν τῇ Ἁγίᾳ Τραπέζῃ τῶν Θείων Δώρων ἀπόθεσιν.

Ἣν λέγει ὁ Ἱερεὺς μυστικῶς.

Κύριε ὁ Θεὸς ὁ Παντοκράτωρ, ὁ μόνος Ἅγιος, ὁ δεχόμενος Θυσίαν αἰνέσεως παρὰ τῶν ἐπικαλουμένων σε ἐν ὅλῃ καρδίᾳ, πρόσδεξαι καὶ ἡμῶν τῶν ἁμαρτωλῶν τὴν δέησιν, καὶ προσάγαγε τῷ Ἁγίῳ σου Θυσιαστηρίῳ. Καὶ ἱκάνωσον ἡμᾶς προσενεγκεῖν σοι Δῶρά τε καὶ Θυσίας πνευματικὰς ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων. Καὶ καταξίωσον ἡμᾶς εὑρεῖν χάριν ἐνώπιόν σου, τοῦ γενέσθαι σοι εὐπρόσδεκτον τὴν Θυσίαν ἡμῶν καὶ ἐπισκηνῶσαι τὸ Πνεῦμα τῆς χάριτός σου τὸ ἀγαθὸν ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ προκείμενα Δῶρα ταῦτα, καὶ ἐπὶ πάντα τὸν λαόν σου.

Ὁ Διάκονος.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν, καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγὸν, Φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Συγγνώμην, καὶ ἄφεσιν τῶν ἁμαρτιῶν, καὶ τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν, καὶ εἰρήνην τῷ Κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ, καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικὰ, καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ Βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ Ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Ἱερεὺς ἐκφώνως.

Διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ

εἰ σὺν τῷ Παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Ἱερεύς. Εἰρήνη πᾶσι. Ὁ Διάκονος. Ἀγαπήσωμεν ἀλλήλους, ἵνα ἐν ὁμονοίᾳ ὁμολογήσωμεν. Ὁ Διάκονος. Τὰς θύρας, τὰς θύρας, ἐν σοφίᾳ πρόσχωμεν. Ὁ Λαός. Πιστεύω εἰς ἕνα Θεόν κτλ.

Ὁ Διάκονος.

Στῶμεν καλῶς, Στῶμεν μετὰ φόβου. Πρόσχωμεν τὴν Ἁγίαν ἀναφορὰν ἐν εἰρήνῃ προσφέρειν.

Ὁ Ἱερεὺς ἐκφώνως.

Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρός, καὶ ἡ κοινωνία τοῦ Ἁγίου Πνεύματος εἴη μετὰ πάντων ἡμῶν.

Ἄνω σχῶμεν τὰς καρδίας.
Εὐχαριστήσωμεν τῷ Κυρίῳ.

Ὁ Ἱερεὺς μυστικῶς.

Ἄξιον, καὶ δίκαιον, σὲ ὑμνεῖν, σὲ εὐλογεῖν, σὲ αἰνεῖν, σοὶ εὐχαριστεῖν, σὲ προσκυνεῖν ἐν παντὶ τόπῳ τῆς Δεσποτείας σου· σὺ γὰρ εἶ Θεὸς, ἀνέκφραστος, ἀπερινόητος, ἀόρατος, ἀκατάληπτος, ἀεὶ ὢν, ὡσαύτως ὢν, σὺ καὶ ὁ μονογενής σου Υἱὸς, καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον. Σὺ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἡμᾶς παρήγαγες, καὶ παραπεσόντας ἀνέστησας πάλιν, καὶ οὐκ ἀπέστης πάντα ποιῶν, ἕως ἡμᾶς εἰς τὸν Οὐρανὸν ἀνήγαγες, καὶ τὴν Βασιλείαν σου ἐχαρίσω τὴν μέλλουσαν. Ὑπὲρ τούτων ἁπάντων εὐχαριστοῦμέν σοι, καὶ τῷ μονογενεῖ σου Υἱῷ, καὶ τῷ Πνεύματί σου τῷ Ἁγίῳ ὑπὲρ πάντων ὧν ἴσμεν, καὶ ὧν οὐκ ἴσμεν, τῶν φανερῶν καὶ ἀφανῶν εὐεργεσιῶν, τῶν εἰς ἡμᾶς γεγενημένων. Εὐχαριστοῦμέν σοι, καὶ ὑπὲρ τῆς λειτουργίας ταύτης, ἣν ἐκ τῶν χειρῶν ἡμῶν δέξασθαι κατηξίωσας· καίτοι σοὶ παρεστήκασι χιλιάδες Ἀρχαγγέλων, καὶ μυριάδες Ἀγγέλων, τὰ Χερουβὶμ καὶ τὰ Σεραφὶμ, ἑξαπτέρυγα, πολυόμματα, μετάρσια, πτερωτά.

Ὁ Ἱερεὺς ἐκφώνως.

Τὸν ἐπινίκιον Ὕμνον ᾄδοντα, βοῶντα, κεκραγότα, καὶ λέγοντα.

Ὁ Ἱερεὺς μυστικῶς.

Μετὰ τούτων καὶ ἡμεῖς τῶν μακαρίων Δυνάμεων, Δέσποτα φιλάνθρωπε, βοῶμεν, καὶ λέγομεν. Ἅγιος εἶ καὶ Πανάγιος, σὺ καὶ ὁ Μονογενής σου Υἱὸς, καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον· Ἅγιος εἶ καὶ πανάγιος καὶ μεγαλοπρεπὴς ἡ δόξα σου· ὃς τὸν κόσμον σου οὕτως ἠγάπησας, ὥστε τὸν μονογενῆ σου Υἱὸν δοῦναι, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόλυται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. Ὃς ἐλθὼν καὶ πᾶσαν τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν πληρώσας, τῇ νυκτί, ᾗ παρεδίδετο, μᾶλλον δὲ ἑαυτὸν παρεδίδου ὑπὲρ τῆς τοῦ Κόσμου ζωῆς, λαβὼν ἄρτον

Δημόσια Κεντρική Βιβλιοθήκη Θεσσαλονίκης

τον ἐν ταῖς ἁγίαις αὐτοῦ, καὶ ἀχράντοις, καὶ ἀμωμήτοις χερσὶν, εὐχαριστήσας, καὶ εὐλογήσας, ἁγιάσας, κλάσας, ἔδωκε τοῖς Ἁγίοις αὐτοῦ Μαθηταῖς, καὶ Ἀποστόλοις, εἰπών.

Ὁ Ἱερεὺς ἐκφώνως.

Λάβετε, φάγετε, τοῦτό μου ἐστὶ τὸ Σῶμα, τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὁ Ἱερεὺς μυστικῶς.

Ὁμοίως καὶ τὸ Ποτήριον, μετὰ τὸ δειπνῆσαι, λέγων·

Πίετε ἐξ αὐτοῦ πάντες, τοῦτο ἐστὶ τὸ Αἷμά μου, τὸ τῆς Καινῆς Διαθήκης, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὁ Ἱερεὺς μυστικῶς.

Μεμνημένοι τοίνυν τῆς σωτηρίου ταύτης ἐντολῆς, καὶ πάντων τῶν ὑπὲρ ἡμῶν γεγενημένων, τοῦ Σταυροῦ, τοῦ Τάφου, τῆς τριημέρου Ἀναστάσεως, τῆς εἰς Οὐρανοὺς Ἀναβάσεως, τῆς ἐκ δεξιῶν Καθέδρας, τῆς δευτέρας καὶ ἐνδόξου πάλιν παρουσίας.

Ὁ Ἱερεὺς ἐκφώνως.

Τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσφέρομεν, κατὰ πάντα καὶ διὰ πάντα.

Ὁ Ἱερεὺς μυστικῶς.

Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην καὶ ἀναίμακτον Λατρείαν, καὶ παρακαλοῦμεν, καὶ δεόμεθα, καὶ ἱκετεύομεν, κατάπεμψον τὸ Πνεῦμά σου τὸ Ἅγιον ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ προκείμενα Δῶρα ταῦτα. Εἶτα εὔχονται ὅτε Ἱερεὺς καὶ ὁ Διάκονος, λέγοντες,

Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ.

Καὶ ἀνιστάμενος ὁ Ἱερεὺς σφραγίζει τρὶς τὰ Ἅγια Δῶρα, λέγων.

Καὶ ποίησον τὸν μὲν ἄρτον τοῦτον, τίμιον Σῶμα τοῦ Χριστοῦ σου. Ὁ Διάκονος· Ἀμήν. Ὁ Ἱερεύς Τὸ δὲ ἐν τῷ Ποτηρίῳ τούτῳ, τίμιον Αἷμα τοῦ Χριστοῦ σου. Ὁ Διάκονος· Ἀμήν. Ὁ Ἱερεὺς Μεταβαλὼν τῷ Πνεύματί σου τῷ Ἁγίῳ. Ὁ Διάκονος· Ἀμήν. Τρίς.

Ὁ Ἱερεὺς μυστικῶς.

Ὥστε γενέσθαι τοῖς μεταλαμβάνουσιν εἰς νῆψιν ψυχῆς, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς κοινωνίαν τοῦ Ἁγίου σου Πνεύματος, εἰς Βασιλείας Οὐρανῶν πλήρωμα, εἰς παρρησίαν τὴν πρὸς σὲ, μὴ εἰς κρῖμα, ἢ εἰς κατάκριμα. Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην Λατρείαν, ὑπὲρ τῶν ἐν πίστει ἀναπαυσαμένων Προπατόρων, Πατέρων, Πατριαρχῶν, Προφητῶν, Ἀποστόλων, Κηρύκων, Εὐαγγελιστῶν, Μαρτύρων, Ὁμολογητῶν, Ἐγκρατευτῶν, καὶ παντὸς πνεύματος ἐν πίστει τετελειωμένου.

Ὁ Ἱερεὺς ἐκφώνως.

Ἐξαιρέτως τῆς Παναγίας, ἀχράν-

χράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ Ἀειπαρθένου Μαρίας.

Ὁ Διάκονος μνημονεύει τὰ Δίπτυχα τῶν Κεκοιμημένων.

Ὁ Ἱερεὺς μυστικῶς.

Τοῦ Ἁγίου Ἰωάννου Προφήτου Προδρόμου, καὶ Βαπτιστοῦ. Τῶν Ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων. Τοῦ Ἁγίου (τοῦ δεῖνος,) οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων σου τῶν Ἁγίων· ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς ὁ Θεός. Καὶ μνήσθητι πάντων τῶν προκεκοιμημένων ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου Καὶ ἀνάπαυσον αὐτοὺς, ὁ Θεὸς ἡμῶν, ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου.

Ἔτι παρακαλοῦμέν σε, μνήσθητι, Κύριε, πάσης Ἐπισκοπῆς Ὀρθοδόξων τῶν ὀρθοτομούντων τὸν λόγον τῆς σῆς ἀληθείας, παντὸς τοῦ Πρεσβυτερίου τῆς ἐν Χριστῷ Διακονίας, καὶ παντὸς Ἱερατικοῦ καὶ Μοναχικοῦ τάγματος.

Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην Λατρείαν ὑπὲρ τῆς Οἰκουμένης. Ὑπὲρ τῆς Ἁγίας Καθολικῆς καὶ Ἀποστολικῆς Ἐκκλησίας. Ὑπὲρ τῶν ἐν ἁγνοίᾳ, καὶ σεμνῇ πολιτείᾳ διαγόντων. Ὑπὲρ τῶν πιστοτάτων καὶ φιλοχρίστων ἡμῶν Βασιλέων, παντὸς τοῦ Παλατίου καὶ τοῦ Στρατοπέδου αὐτῶν. Δὸς αὐτοῖς, Κύριε, εἰρηνικὸν τὸ Βασίλειον, ἵνα καὶ ἡμεῖς ἐν τῇ γαλήνῃ αὐτῶν ἥρεμον, καὶ ἡσύχιον βίον διάγωμεν, ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι.

Ὁ Ἱερεὺς ἐκφώνως.

Ἐν πρώτοις μνήσθητι Κύριε τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος,) ὃν χάρισαι ταῖς Ἁγίαις σου Ἐκκλησίαις ἐν εἰρήνῃ, σῶον, ἔντιμον, ὑγιᾶ, μακροημερεύοντα, καὶ ὀρθοτομοῦντα τὸν λόγον τῆς σῆς ἀληθείας.

Ὁ Διάκονος μνημονεύει τὰ Δίπτυχα τῶν ζώντων.

Ὁ Ἱερεὺς μυστικῶς.

Μνήσθητι, Κύριε, τῆς Πόλεως, ἐν ᾗ παροικοῦμεν, καὶ πάσης Πόλεως καὶ χώρας, καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς. Μνήσθητι, Κύριε, πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν. Μνήσθητι, Κύριε, τῶν καρποφορούντων, καὶ καλλιεργούντων ἐν ταῖς Ἁγίαις σου Ἐκκλησίαις, καὶ μεμνημένων τῶν πενήτων, καὶ ἐπὶ πάντας ἡμᾶς τὰ ἐλέη σου ἐξαπόστειλον.

Ὁ Ἱερεὺς ἐκφώνως.

Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι, καὶ μιᾷ καρδίᾳ δοξάζειν, καὶ ἀνυμνεῖν τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Ἱερεὺς ἐκφώνως.

Καὶ ἔσται τὰ ἐλέη τοῦ Μεγάλου

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

λου Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ἡμῶν.

Ὁ Διάκονος.

Πάντων τῶν Ἁγίων μνημονεύσαντες.

Ἔτι, καὶ ἔτι, ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν προσκομισθέντων, καὶ ἁγιασθέντων τιμίων Δώρων, τοῦ Κυρίου δεηθῶμεν.

Ὅπως ὁ φιλάνθρωπος Θεὸς ἡμῶν, ὁ προσδεξάμενος ἡμᾶς εἰς τὸ Ἅγιον, καὶ ὑπερουράνιον, καὶ νοερὸν αὐτοῦ Θυσιαστήριον, εἰς ὀσμὴν εὐωδίας πνευματικῆς, ἀντικαταπέμψῃ ἡμῖν τὴν Θείαν Χάριν, καὶ τὴν Δωρεὰν τοῦ Ἁγίου Πνεύματος, δεηθῶμεν.

Ὁ Ἱερεὺς μυστικῶς.

Σοὶ παρακατατιθέμεθα τὴν ζωὴν ἡμῶν ἅπασαν, καὶ τὴν ἐλπίδα, Δέσποτα φιλάνθρωπε· καὶ παρακαλοῦμεν, καὶ δεόμεθα, καὶ ἱκετεύομεν, καταξίωσον ἡμᾶς μεταλαβεῖν τῶν ἐπουρανίων σου, καὶ φρικτῶν μυστηρίων, ταύτης τῆς Ἱερᾶς καὶ Πνευματικῆς Τραπέζης, μετὰ καθαροῦ συνειδότος, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς συγχώρησιν πλημμελημάτων, εἰς Πνεύματος Ἁγίου κοινωνίαν, εἰς Βασιλείας Οὐρανῶν κληρονομίαν, εἰς παῤῥησίαν τὴν πρὸς σέ, μὴ εἰς κρῖμα, ἢ εἰς κατάκριμα.

Ὁ Διάκονος.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγὸν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν, καὶ τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὰ καλὰ, καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν, καὶ εἰρήνην τῷ Κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικὰ, καὶ καλὴν ἀπολογίαν, τὴν ἐπὶ τοῦ φοβεροῦ Βήματος, τοῦ Χριστοῦ αἰτησώμεθα.

Τὴν ἑνότητα τῆς Πίστεως, καὶ τὴν κοινωνίαν τοῦ Ἁγίου Πνεύματος αἰτησάμενοι ἑαυτοὺς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Ἱερεὺς ἐκφώνως.

Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα, μετὰ παῤῥησίας, ἀκατακρίτως, τολμᾶν ἐπικαλεῖσθαί σε τὸν ἐπουράνιον Θεὸν Πατέρα, καὶ λέγειν·

Ὁ Λαός. Πάτερ ἡμῶν. Ὁ Ἱερεύς Ὅτι σοῦ ἐστὶν. Εἶτα, Εἰρήνη πᾶ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

πάσι. Ὁ Διάκονος. Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνατε.

Ὁ Ἱερεὺς μυστικῶς.

Εὐχαριστοῦμέν σοι Βασιλεῦ ἀόρατε, ὁ τῇ ἀμετρήτῳ σου δυνάμει τὰ πάντα δημιουργήσας, καὶ τῷ πλήθει τοῦ ἐλέους σου ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα· Αὐτός, Δέσποτα, οὐρανόθεν ἔπιδε ἐπὶ τοὺς ὑποκεκλικότας σοι τὰς ἑαυτῶν κεφαλὰς· οὐ γὰρ ἔκλιναν σαρκί, καὶ αἵματι, ἀλλά σοι τῷ φοβερῷ Θεῷ. Σὺ οὖν, Δέσποτα, τὰ προκείμενα πᾶσιν ἡμῖν εἰς ἀγαθὸν ἐξομάλισον, κατὰ τὴν ἑκάστου ἰδίαν χρείαν· τοῖς πλέουσι σύμπλευσον· τοῖς ὁδοιποροῦσι συνόδευσον· τοὺς νοσοῦντας ἴασαι, ὁ ἰατρὸς τῶν ψυχῶν, καὶ τῶν σωμάτων ἡμῶν.

Ὁ Ἱερεὺς ἐκφώνως.

Χάριτι καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Ἱερεὺς μυστικῶς.

Πρόσχες Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ ἐξ ἁγίου κατοικητηρίου σου, καὶ ἀπὸ Θρόνου δόξης τῆς Βασιλείας σου, καὶ ἐλθὲ εἰς τὸ ἁγιάσαι ἡμᾶς, ὁ ἄνω τῷ Πατρὶ συγκαθήμενος, καὶ ὧδε ἡμῖν ἀοράτως συνών, καὶ καταξίωσον τῇ κραταιᾷ σου χειρὶ, μεταδοῦναι ἡμῖν τοῦ ἀχράντου Σώματός σου, καὶ τοῦ Τιμίου Αἵματος, καὶ δι' ἡμῶν παντὶ τῷ Λαῷ.

Ὁ Διάκονος· Πρόσχωμεν. Ὁ Ἱερεύς· Τὰ Ἅγια τοῖς Ἁγίοις.

ΕΥΧΗ Ο

Ἰωάννου τοῦ Δαμασκηνοῦ.

Πρὸ τῶν θυρῶν τοῦ Ναοῦ σου παρέστηκα, καὶ τῶν δεινῶν λογισμῶν οὐκ ἀφίσαμαι· ἀλλὰ σὺ Χριστὲ ὁ Θεὸς, ὁ Τελώνην δικαιώσας, καὶ Χαναναίαν ἐλεήσας, καὶ τῷ Λῃστῇ Παραδείσου πύλας ἀνοίξας, ἄνοιξόν μοι τὰ σπλάγχνα τῆς φιλανθρωπίας σου, καὶ δέξαι με προσερχόμενον καὶ ἁπτόμενόν σου, ὡς τὴν Πόρνην, καὶ τὴν Αἱμόῤῥουν· ἡ μὲν γοῦν τοῦ κρασπέδου σου ἁψαμένη, εὐχερῶς τὴν ἴασιν ἔλαβεν· ἡ δὲ τοὺς σοὺς ἀχράντους πόδας κρατήσασα, τὴν λύσιν τῶν ἁμαρτημάτων ἐκομίσατο. Ἐγὼ δὲ ὁ ἐλεεινός, ὅλον σου τὸ Σῶμα τολμῶν δέξασθαι, μὴ καταφλεχθείην· ἀλλὰ δέξαι με ὥσπερ ἐκείνας, καὶ ῥώτισόν μου τὰ τῆς ψυχῆς αἰσθητήρια, καταφλέγων μου τὰ τῆς ἁμαρτίας ἐγκλήματα, πρεσβείαις τῆς ἀσπόρως Τεκούσης σε, καὶ τῶν ἐπουρανίων Δυνάμεων· ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΥΧΗ

ΕΥΧΗ ΕΤΕΡΑ

Τοῦ Χρυσοστόμου.

Πιστεύω Κύριε, καὶ ὁμολογῶ, ὅτι σὺ εἶ ἀληθῶς ὁ Χριστὸς, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, ὁ ἐλθὼν εἰς τὸν Κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτος εἰμὶ ἐγώ. Ἔτι πιστεύω, ὅτι τοῦτο αὐτό ἐστι τὸ ἄχραντον Σῶμά σου, καὶ τοῦτο ἐστὶ τὸ τίμιον Αἷμά σου. Δέομαι οὖν σου, ἐλέησόν με, καὶ συγχώρησόν μοι τὰ παραπτώματά μου, τὰ ἑκούσια, καὶ τὰ ἀκούσια, τὰ ἐν λόγῳ, τὰ ἐν ἔργῳ, τὰ ἐν γνώσει καὶ ἀγνοίᾳ· καὶ ἀξίωσόν με ἀκατακρίτως μετασχεῖν τῶν ἀχράντων σου Μυστηρίων, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον. Ἀμήν.

Ἀπερχόμενος δὲ μεταλαβεῖν, λέγε τοὺς παρόντας Στίχους τοῦ Μεταφραστοῦ.

Ἰδοὺ βαδίζω πρὸς Θείαν Κοινωνίαν,
Πλαστουργέ, μὴ φλέξῃς με τῇ μετουσίᾳ.
Πῦρ γὰρ ὑπάρχεις, τοὺς ἀναξίους φλέγον.
Ἀλλ' οὖν κάθαρον ἐκ πάσης με κηλῖδος.

Εἶτα λέγε.

Τοῦ Δείπνου σου τοῦ Μυστικοῦ σήμερον Υἱὲ Θεοῦ, κοινωνόν με παράλαβε· οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου τὸ Μυστήριον εἴπω, οὐ φίλημά σοι δώσω, καθάπερ ὁ Ἰούδας· ἀλλ' ὡς ὁ Λῃστὴς ὁμολογῶ σοι. Μνήσθητί μου Κύριε, ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου.

Εἶτα πάλιν τοὺς Στίχους τούτους.

Θεουργὸν Αἷμα φρίξον ἀνθρωπε βλέπων.
Ἄνθρακ γάρ ἐστι τοὺς ἀναξίους φλέγων.
Θεοῦ τὸ Σῶμα, καὶ θεοί με καὶ τρέφει.
Θεοῖ τὸ πνεῦμα, τὸν δὲ νοῦν τρέφει ξένως.

Εἶτα τὰ Τροπάρια.

Ἐθελξας πόθῳ με Χριστὲ, καὶ ἠλλοίωσας τῷ θείῳ σου ἔρωτι· ἀλλὰ κατάφλεξον πυρὶ αὐλῷ τὰς ἁμαρτίας μου, καὶ ἐμπλήσθῆναι τῆς ἐν σοὶ, τρυφῆς καταξίωσον, ἵνα τὰς δύο σ. ἐντῶν, μεγαλύνω ἀγαθὲ παρουσίας σου.

Ἐν ταῖς λαμπρότησι τῶν Ἁγίων σου, πῶς εἰσελεύσομαι ὁ ἀνάξιος; ἐὰν γὰρ τολμήσω συνεισελθεῖν εἰς τὸν νυμφῶνα, ὁ χιτών με ἐλέγχει, ὅτι οὐκ ἔστι τοῦ γάμου, καὶ δέσμιος ἐκβαλοῦμαι ὑπὸ τῶν Ἀγγέλων· καθάρισον, Κύριε, τὸν ῥύπον τῆς ψυχῆς μου, καὶ σῶσον με ὡς φιλάνθρωπος.

Εἶτα τὴν Εὐχήν.

Δέσποτα φιλάνθρωπε, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός μου, μὴ εἰς κρῖμά μοι γένοιτο τὰ Ἅγια ταῦτα, διὰ τὸ ἀνάξιον εἶναι με, ἀλλ' εἰς κάθαρσιν καὶ ἁγιασμὸν ψυχῆς τε καὶ σώματος, καὶ εἰς ἀρραβῶνα τῆς μελλούσης Ζωῆς καὶ Βασιλείας. Ἐμοὶ δὲ τὸ προσκολλᾶσθαι τῷ Θεῷ ἀγαθὸν ἐστὶ, τίθεσθαι ἐν τῷ Κυρίῳ τὴν ἐλπίδα τῆς σωτηρί-

ρίας μου. Καὶ πάλιν.
Τοῦ Δείπνου σου τοῦ Μυστικοῦ.
ὡς ἄνω.

Ἐπὰν δὲ τύχῃς τῆς καλῆς μετουσίας τῶν ζωοποιῶν μυστικῶν Δωρημάτων. Ὕμνησον εὐθὺς, εὐχαρίστησον μέγα. Καὶ τὰ δὲ θερμῶς ἐκ ψυχῆς Θεῷ λέγε.

Δόξασοι ὁ Θεός, Δόξα σοι ὁ Θεὸς, Δόξα σοι ὁ Θεός.

Καὶ μεταλαμβάνουν.

Εἶτα τῆς Μεταλήψεως τελειωθείσης, ἐπεύχεται

Ὁ Ἱερεὺς μυστικῶς.

Εὐχαριστοῦμέν σοι, Δέσποτα φιλάνθρωπε, εὐεργέτα τῶν ψυχῶν ἡμῶν, ὅτι καὶ τῇ παρούσῃ ἡμέρᾳ κατηξίωσας ἡμᾶς τῶν ἐπουρανίων σου, καὶ ἀθανάτων Μυστηρίων. Ὀρθοτόμησον ἡμῶν τὴν ὁδὸν, στήριξον ἡμᾶς ἐν τῷ φόβῳ σου τοὺς πάντας, φρούρησον ἡμῶν τὴν ζωὴν, ἀσφάλισαι ἡμῶν τὰ διαβήματα. εὐχαῖς καὶ ἱκεσίαις τῆς ἐνδόξου Θεοτόκου, καὶ Ἀειπαρθένου Μαρίας, καὶ πάντων τῶν Ἁγίων σου.

Ὁ Διάκονος, Μετὰ φόβου Θεοῦ, Πίστεως, καὶ ἀγάπης, προσέλθετε. Ὁ Ἱερεὺς, Σῶσον ὁ Θεὸς τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου. Ὁ Ἱερεὺς μυστικῶς, Εὐλογητὸς ὁ Θεὸς ἡμῶν. Καὶ ἐκφώνως, Πάντοτε, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Διάκονος.

Ὀρθοὶ μεταλαβόντες τῶν Θείων, Ἁγίων, ἀχράντων, ἀθανάτων, ἐπουρανίων καὶ ζωοποιῶν, φρικτῶν τοῦ Χριστοῦ Μυστηρίων, ἀξίως εὐχαριστήσωμεν τῷ Κυρίῳ.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεὸς, τῇ σῇ χάριτι.

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον αἰτησάμενοι ἑαυτοὺς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Ἱερεὺς ἐκφώνως.

Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Ἱερεύς. Ἐν Εἰρήνῃ προέλθωμεν. Ὁ Διάκονος. Τοῦ Κυρίου δεηθῶμεν.

ΕΥΧΗ ΟΠΙΣΘΑΜΒΩΝΟΣ.

Ἣν λέγει ὁ Ἱερεὺς ἐκφώνως.

Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς σε Κύριε, καὶ ἁγιάζων τοὺς ἐπὶ σοὶ πεποιθότας, σῶσον τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου. Τὸ πλήρωμα τῆς ἐκκλησίας σου φύλαξον. Ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ Οἴκου σου. Σὺ αὐτοὺς ἀντιδόξασον τῇ Θείᾳ σου δυνάμει, καὶ μὴ ἐγκαταλείπῃς

πῆς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ. Εἰρήνην τῷ Κόσμῳ σου δώρησαι, ταῖς Ἐκκλησίαις σου, τοῖς Ἱερεῦσι τοῖς Βασιλεῦσιν ἡμῶν, τῷ Στρατῷ καὶ παντὶ τῷ Λαῷ σου. Ὅτι πᾶσα δόσις ἀγαθὴ, καὶ πᾶν δώρημα τέλειον, ἄνωθέν ἐστι καταβαῖνον ἐκ σοῦ τοῦ Πατρὸς τῶν Φώτων, καὶ σοὶ τὴν δόξαν, καὶ εὐχαριστείαν, καὶ προσκύνησιν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ταύτης δὲ τελεσθείσης, ὁ μὲν Ἱερεὺς εἰσέρχεται διὰ τῶν Ἁγίων Θυρῶν, καὶ ἀπελθὼν ἐν τῇ Προθέσει, λέγει τὴν παροῦσαν εὐχήν.

Εὐχὴ λεγομένη ἐν τῷ συστέλλαι τὰ Ἅγια μυστικῶς.

Τὸ πλήρωμα τοῦ Νόμου, καὶ τῶν Προφητῶν, αὐτὸς ὑπάρχων Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πληρώσας πᾶσαν τὴν Πατρικὴν οἰκονομίαν, πλήρωσον χαρᾶς καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Ἱερεύς. Εὐλογία Κυρίου ἐφ' ὑμᾶς.

Εἶτα. Δόξα σοι ὁ Θεός.

Ὁ Λαός· Δόξα καὶ νῦν. Καὶ γίνεται Ἀπόλυσις.

Ὁ δὲ Διάκονος εἰσελθὼν καὶ αὐτὸς διὰ τοῦ βορείου μέρους, συστέλλει τὰ Ἅγια μετὰ φόβου καὶ πάσης ἀσφαλείας, ὥστε μηδέντι τῶν ἁγίων λεπτοτάτων ἐκπεσεῖν, ἢ καταλειφθῆναι, καὶ ἀπονίπτεται τὰς χεῖρας ἐν τῷ συνήθει τόπῳ. Ὁ δὲ Ἱερεὺς ἐξελθὼν, δίδωσι τῷ Λαῷ τὸ Ἀντίδωρον. Εἶτα εἰσελθὼν ἐν τῷ Ἁγίῳ Βήματι, ἀποδύεται τὴν ἱερατικὴν στολὴν, λέγων.

Νῦν Ἀπολύεις, Τὸ Τρισάγιον. Καὶ τὰ λοιπά. Εἶτα τὸ Ἀπολυτίκιον, καὶ Κοντάκιον τῆς ἡμέρας.

Εἶτα τὸ Τροπάριον τοῦ Χρυσοστόμου.

Ἐκ τοῦ στόματός σου καθάπερ πυρσὸς ἐκλάμψασα χάρις, τὴν Οἰκουμένην ἐφώτισεν, ἀφιλαργυρίας τῷ Κόσμῳ θησαυροὺς ἐναπέθετο, τὸ ὕψος ἡμῖν τῆς ταπεινοφροσύνης ὑπέδειξεν· ἀλλὰ σοῖς λόγοις παιδεύων, Πάτερ Ἰωάννη Χρυσόστομε, πρέσβευε τῷ Λόγῳ, Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τὸ. Κύριε ἐλέησον. ιβ'.

Δόξα. Καὶ νῦν. Τὴν τιμιωτέραν. Καὶ ποιεῖ Ἀπόλυσιν. Καὶ προσκυνήσας καὶ εὐχαριστήσας τῷ Θεῷ ἐπὶ πᾶσιν, ἐξέρχεται.

—

Εἶτα τὴν Εὐχαριστήριον ταύτην Εὐχήν.

Εὐχαριστῶ σοι Κύριε ὁ Θεός μου, ὅτι οὐκ ἀπώσω με τὸν ἁμαρτωλὸν ἀλλὰ κοινωνόν με γενέσθαι τῶν Ἁγιασμάτων σου κατηξίωσας· εὐχαριστῶ σοι, ὅτι με τὸν ἀνάξιον μεταλαβεῖν τῶν ἀχράντων σου καὶ ἐπουρανίων Δωρεῶν κατηξίωσας. Ἀλ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀλλὰ Δέσποτα φιλάνθρωπε, ὁ ὑπὲρ ἡμῶν ἀποθανών τε καὶ ἀναστάς, καὶ χαρισάμενος ἡμῖν τὰ φρικτὰ ταῦτα καὶ ζωοποιά σου Μυστήρια, ἐπ' εὐεργεσίᾳ καὶ ἁγιασμῷ τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, δὸς γενέσθαι ταῦτα καὶμοὶ εἰς ἴασιν ψυχῆς τε καὶ σώματος, εἰς ἀποτροπὴν παντὸς ἐναντίου, εἰς φωτισμὸν τῶν ὀφθαλμῶν τῆς καρδίας μου, εἰς εἰρήνην τῶν ψυχικῶν μου δυνάμεων, εἰς πίστιν ἀκαταίσχυντον, εἰς ἀγάπην ἀνυπόκριτον, εἰς πλησμονὴν σοφίας, εἰς περιποίησιν τῶν ἐντολῶν σου, εἰς προσθήκην τῆς θείας σου χάριτος, καὶ τῆς σῆς Βασιλείας οἰκείωσιν· Ἵνα ἐν τῷ ἁγιασμῷ σου διαὐτῶν φυλαττόμενος, τῆς σῆς χάριτος μνημονεύω διὰ παντὸς, καὶ μηκέτι ἐμαυτῷ ζῶ, ἀλλὰ σοὶ τῷ ἡμετέρῳ Δεσπότῃ καὶ εὐεργέτῃ· καὶ οὕτω τοῦ τῆ δε θίου ἀπάρας, ἐπ' ἐλπίδι ζωῆς αἰωνίου, εἰς τὴν ἀΐδιον καταντήσω ἀνάπαυσιν, ἔνθα ὁ τῶν ἑορταζόντων ἦχος ὁ ἀκατάπαυστος, καὶ ἡ ἀπέραντος ἡδονὴ τῶν καθορώντων τοῦ σοῦ προσώπου τὸ κάλλος τὸ ἄῤῥητον. Σὺ γὰρ εἶ τὸ ὄντως ἐφετὸν, καὶ ἡ ἀνέκφραστος εὐφροσύνη τῶν ἀγαπώντων σε, Χριστὲ, ὁ Θεὸς ἡμῶν, καὶ σὲ ὑμνεῖ πᾶσα ἡ Κτίσις εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΕΥΧΗ
Τοῦ Μεγάλου Βασιλείου.

Δέσποτα Χριστὲ ὁ Θεός, Βασιλεῦ τῶν αἰώνων, καὶ Δημιουργὲ τῶν ἁπάντων, εὐχαριστῶ σοι ἐπὶ πᾶσιν οἷς παρέσχου μοι ἀγαθοῖς, καὶ ἐπὶ τῇ μεταλείψει τῶν ἀχράντων καὶ ζωοποιῶν σου Μυστηρίων. Δέομαι οὖν σου ἀγαθὲ καὶ φιλάνθρωπε, φύλαξον με ὑπὸ τὴν σκέπην σου, καὶ ἐν τῇ τῶν πτερύγων σου σκιᾷ· καὶ δώρησαί μοι ἐν καθαρῷ συνειδότι, μέχρις ἐσχάτης μου ἀναπνοῆς, ἐπαξίως μετέχειν τῶν Ἁγιασμάτων σου, εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον. Σὺ γὰρ εἶ ὁ Ἄρτος τῆς ζωῆς, ἡ πηγὴ τοῦ ἁγιασμοῦ, ὁ δοτὴρ τῶν ἀγαθῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΥΧΗ ΕΤΕΡΑ.

Τὸ Σῶμά σου τὸ Ἅγιον, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, γένοιτό μοι εἰς ζωὴν αἰώνιον, καὶ τὸ Αἷμά σου τὸ τίμιον εἰς ἄφεσιν ἁμαρτιῶν. Γένοιτο δέ μοι ἡ Εὐχαριστία αὕτη εἰς χαράν, ὑγείαν, καὶ εὐφροσύνην, καὶ ἐν τῇ φοβερᾷ καὶ δευτέρᾳ ἐλεύσει σου, ἀξίωσόν με τὸν ἁμαρτωλὸν στῆναι ἐκ δεξιῶν τῆς σῆς Δόξης. Πρεσβείαις τῆς Παναχράντου σου Μητρὸς, καὶ πάντων σου τῶν Ἁγίων. Ἀμήν.

Η ΠΑΝΑΓΙΑ ΤΡΙΑΣ.



Ἑπτάκις τῆς ἡμέρας ἤνεσά σε, ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου. Ψαλμ. ριή. 118.

ΠΑΡΑΚΛΗΤΙΚΗ

ΗΤΟΙ

ΟΚΤΩΗΧΟΣ.

ΠΕΡΙΕΧΟΥΣΑ

ΤΗΝ ΚΑΘΗΜΕΡΙΝΗΝ ΑΚΟΛΟΥΘΙΑΝ.

Σημείωσις. Ἡ Ὀκτώηχος ψάλλεται εἰς τὸς Κυριακὰς ὁλόκληρος, ἑσπέρας καὶ πρωΐ, καθὼς εἶναι εἰς τὴν Παρακλητικὴν τῶν Κυριακῶν.

Τὰ δὲ ἑσπέρια Τροπάρια τῶν ἄλλων ἡμερῶν ψάλλονται τρία τοῦ τυχόντος ἤχου, καὶ τρία τροπάρια τοῦ Μηναίου. Δόξα, Καὶ νῦν, τῆς ἡμέρας. Ὁμοίως ψάλλονται καὶ τέσσαρα τροπάρια εἰς τὰ ἀπόστιχα.

Τὸ πρωΐ τῇ Δευτέρᾳ, τῇ Τρίτῃ καὶ τὰς λοιπὰς ἡμέρας, μετὰ τὰ Καθίσματα τοῦ Ψαλτηρίου, ἅτινα εὑρίσκονται εἰς τὸ τέλος τῆς Παρακλητικῆς, ψάλλονται τὰ ἓξ τροπάρια Καθίσματα καὶ τοῦ ἁγίου.

Εἰς τὰ ἀπόστιχα ψάλλονται τὰ τρία ἑσπέρια τροπάρια, ἢ τὰ ἀπόστιχα αὐτῶν· καὶ οὕτω ψάλλεται ὁ κανὼν τῆς ἡμέρας κατ' ἦχον.

Τῇ Δευτέρᾳ τὸ πρωΐ ψάλλεται ὁ Κανὼν τῶν Ἀρχαγγέλων εἰς ἦχον δεύτερον, ὁλόκληρος, καὶ οἱ Μακαρισμοὶ αὐτοῦ, καὶ τὸ Χερουβικόν.

Οἱ τὰ Χερουβὶμ μυστικῶς εἰκονίζοντες, καὶ τῇ ζωοποιῷ Τριάδι τὸν Τρισάγιον ὕμνον προσᾴδοντες· πᾶσαν τὴν βιωτικὴν ἀποθώμεθα μέριμναν. Ὡς τὸν Βασιλέα τῶν ὅλων ὑποδεξόμενοι, ταῖς ἀγγελικαῖς ἀοράτως δορυφορούμενον τάξεσιν. Ἀλληλούϊα. Καὶ τὸ Κοινωνικόν.

Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ Πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. Ἀλληλούϊα.

Τῇ Τρίτῃ τὸ πρωΐ ψάλλεται ὁ Κανὼν τοῦ Προδρόμου εἰς ἦχον γ'. καὶ οἱ Μακαρισμοὶ αὐτοῦ. Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

Τῇ Τετάρτῃ ψάλλεται ὁ Κανὼν τῆς Θεοτόκου καὶ τοῦ Σταυροῦ εἰς ἦχον δ'. οἱ Μακαρισμοὶ, καὶ τὸ Κοινωνικόν.

Ποτήριον σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι. Ἀλληλ.

Τῇ Πέμπτῃ τὸ πρωΐ ψάλλεται ὁ Κανὼν τῶν ἁγίων Ἀποστόλων καὶ τοῦ ἁγίου Νικολάου εἰς ἦχον πλ. ά. οἱ Μακαρισμοὶ, καὶ τὸ Κοινωνικόν.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. Ἀλληλούϊα.

Τῇ

Δημόσια Κεντρική Βιβλιοθήκη Θεραπνού

Τῇ Παρασκευῇ τὸ πρωΐ ψάλλεται ὁ Κανὼν τοῦ Σταυροῦ εἰς ἦχον πλ. β'. οἱ Μακαρισμοί, καὶ τὸ Κοινωνικόν.

Σωτηρίαν εἰργάσω ἐν μέσῳ τῆς γῆς Χριστὲ ὁ Θεός. Ἀλληλούϊα.

Τῷ Σαββάτῳ πρωΐ ψάλλεται ὁ Κανὼν τῶν κεκοιμημένων εἰς ἦχον πλ. δ'. οἱ Μακαρισμοί, καὶ τὸ Κοινωνικόν.

Μακάριοι οὓς ἐξελέξω καὶ προσελάβου Κύριε, καὶ μνημόνευσον αὐτοὺς εἰς γενεὰν καὶ γενεάν. Ἀλληλούϊα.

Καὶ οὕτως ἀναγινώσκονται οἱ Κανόνες ὅλοι κατ' ἦχον εἰς ἓξ ἡμέρας. Οἱ Κανόνες οὗτοι κεῖνται εἰς τὸ τέλος τοῦ παφόντος πρώτου τόμου, καὶ ὅρα εἰς τὸ τέλος αὐτοῦ.

Τῷ Σαββάτῳ Ἑσπέρας, μετὰ τὸν Εὐλογητόν, ὁ Πρεσβυτιακός. Τὸ ά. Κάθισμα τοῦ Ψαλτηρίου. Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στιχ. ι. καὶ ψάλλομεν τὰ στιχηρὰ τῆς Ὀκτωήχου, ζ'. Καὶ τοῦ Μηναίου, γ'. Εἶδε ἑορτάζεται ὁ Ἅγιος, τέσσαρα τῆς Ὀκτωήχου, καὶ ς'. τοῦ Μηναίου, Δόξα. τοῦ Μηναίου. Καὶ νῦν, τὸ ά. τοῦ ἤχου.

ΣΤΙΧΗΡΑ ΑΝΑΣΤΑΣΙΜΑ, ἦχος Α'.

ΤΑΣ ἑσπερινὰς ἡμῶν εὐχάς, πρόσδεξαι ἅγιε Κύριε, καὶ παράσχου ἡμῖν, ἄφεσιν ἁμαρτιῶν· ὅτι μόνος εἶ ὁ δείξας ἐν κόσμῳ τὴν ἀνάστασιν.

Κυκλώσατε Λαοὶ Σιὼν, καὶ περιλάβετε αὐτὴν, καὶ δότε δόξαν ἐν αὐτῇ, τῷ ἀναστάντι ἐκ νεκρῶν· ὅτι αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν, ὁ λυτρωσάμενος ἡμᾶς, ἐκ τῶν ἀνομιῶν ἡμῶν.

Δεῦτε λαοὶ ὑμνήσωμεν, καὶ προσκυνήσωμεν Χριστὸν, δοξάζοντες αὐτοῦ τὴν ἐκ νεκρῶν Ἀνάστασιν· ὅτι αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν, ὁ ἐκ τῆς πλάνης τοῦ ἐχθροῦ, τὸν Κόσμον λυτρωσάμενος.

Ἕτερα, Ἀνατολίου Πατριάρχου.

Εὐφράνθητε οὐρανοὶ, σαλπίσατε τὰ θεμέλια τῆς γῆς, βοήσατε τὰ ὄρη εὐφροσύνην. Ἰδοὺ γὰρ ὁ Ἐμμανουὴλ τὰς ἁμαρτίας ἡμῶν, τῷ σταυρῷ προσήλωσε, καὶ ζωὴν ὁ διδοὺς, θανατον ἐνέκρωσε, τὸν Ἀδὰμ ἀνεστήσας ὡς φιλάνθρωπος·

Τὸν σαρκὶ ἑκουσίως σταυρωθέντα δι' ἡμᾶς, παθόντα καὶ ταφέντα, καὶ ἀναστάντα ἐκ νεκρῶν, ὑμνήσωμεν λέγοντες· Στήριξον ὀρθοδοξίᾳ τὴν Ἐκκλησίαν σου Χριστὲ, καὶ εἰρήνευσον τὴν ζωὴν ἡμῶν, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Τῷ ζωοδόχῳ σου τάφῳ, παρεστῶτες οἱ ἀνάξιοι, δοξολογίαν προσφέρομεν, τῇ ἀφάτῳ σου εὐσπλαγχνίᾳ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὅτι σταυρὸν κατεδέξω, καὶ θάνατον ἀνεμάρτητε, ἵνα τῷ Κόσμῳ δωρήσῃ τὴν Ἀνάστασιν, ὡς φιλάνθρωπος.

Τὸν τῷ Πατρὶ συνάναρχον, καὶ συναΐδιον Λόγον, τὸν ἐκ παρθενικῆς νηδύος, προελθόντα ἀφράστως, καὶ σταυρὸν καὶ θάνατον δι' ἡμᾶς ἑκουσίως καταδεξάμενον· καὶ ἀναστάντα ἐν δόξῃ ὑμνήσωμεν λέγοντες·

Δημόσιο Κεντρική Βιβλιοθήκη Βόλος

γοντες: Ζωοδότα Κύριε δόξα σοι, ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Τὴν παγκόσμιον δόξαν, τὴν ἐξ ἀνθρώπων σπαρεῖσαν, καὶ τὸν Δεσπότην τεκοῦσαν, τὴν ἐπουράνιον πύλην, ὑμνήσωμεν Μαρίαν τὴν Παρθένον, τῶν Ἀσωμάτων τὸ ἅγιον, καὶ τῶν πιστῶν τὸ ἐγκαλλώπισμα. Αὐτὴ γὰρ ἀνεδείχθη οὐρανός, καὶ Ναὸς τῆς Θεότητος· αὐτὴ τὸ μεσότοιχον τῆς ἔχθρας καθελοῦσα, εἰρήνην ἀντισεῖξε, καὶ τὸ Βασίλειον ἠνέῳξε. Ταύτην οὖν κατέχοντες, τῆς Πίστεως τὴν ἄγκυραν, ὑπέρμαχον ἔχομεν, τὸν ἐξ αὐτῆς τεχθέντα Κύριον. Θαρσείτω τοίνυν, θαρσείτω Λαὸς τοῦ Θεοῦ· καὶ γὰρ αὐτὸς πολεμήσει τοὺς ἐχθροὺς, ὡς παντοδύναμος.

Εἰσοδικὸν. Φῶς ἱλαρόν. Ἐσπέρας προκείμενον. Ὁ Κύριος ἐβασίλευσεν. Ἡ ἐκτενὴς, τὸ, Καταξίωσον. Πληρώσωμεν, καὶ τὰ λοιπὰ, καὶ μετὰ τὴν Ἐκφώνησιν, Ὅτι ἁγαθὸς, ψάλλομεν τὸ ἰδιόμ. στιχηρὸν τοῦ κατὰ τὴν Μονὴ Ἁγίου, λιτανεύοντες ἐν τῷ νάρθηκι. Μετὰ δὲ τὰς εὐχὰς, εἰσερχόμεθα ἐν τῷ Ναῷ· ψάλλοντες τοῦ στίχου τὰ στιχηρὰ ταῦτα.

Τῷ πάθει σου Χριστὲ, παθῶν ἠλευθερώθημεν, καὶ τῇ ἀναστάσει σου, ἐκ φθορᾶς ἐλυτρώθημεν, Κύριε δόξασοι.

Ἕτερα στιχηρὰ κατ' Ἀλφάβητον.

Ἀγαλλιάσθω ἡ κτίσις, οὐρανοὶ εὐφραινέσθωσαν· χεῖρας κροτείτωτὰ ἔθνη μετ' εὐφροσύνης. Χριστὸς γὰρ ὁ Σωτὴρ ἡμῶν, τῷ σταυρῷ προσήλωσε τὰς ἁμαρτίας ἡμῶν, καὶ τὸν θάνατον νεκρώσας, ζωὴν ἡμῖν ἐδωρήσατο. πεπτωκότα τὸν Ἀδὰμ, παγγενῆ ἀναστήσας ὡς φιλάνθρωπος.

Βασιλεὺς ὑπάρχων οὐρανοῦ καὶ γῆς, ἀκοτάλυπτε, ἑκὼν ἐσταυρώσαι διὰ φιλανθρωπίαν· ὃν ὁ ἅδης συναντήσας κάτωθεν ἐπικράνθη, καὶ δικαίων ψυχαὶ δεξάμεναι ἠγαλλιασαντο. Ἀδὰμ δὲ ἰδών σε τὸν Κτίστην, ἐν τοῖς καταχθονίοις; ἀνέστη. Ὢ τοῦ θαύματος! πῶς θανάτου ἐγεύσατο ἡ τῶν ἁπάντων ζωή; Ἀλλ' ἡ ὡς ἠβουλήθη, Κόσμον φωτίσαι, κραυγάζοντα καὶ λέγοντα· Ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν, Κύριε δόξασοι.

Γυναῖκες μυροφόροι μῦρα φέρουσαι, μετὰ σπουδῆς καὶ ὀδυρμοῦ τὸν τάφον σου κατέλαβον· καὶ μὴ εὑροῦσαι τὸ ἀχραντόν Σῶμά σου, παρὰ δὲ τοῦ Ἀγγέλου μαθοῦσαι, τὸ καινὸν καὶ παράδοξον θαῦμα, τοῖς Ἀποστόλοις ἔλεγον· Ἀνέστη ὁ Κύριος παρέχων τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν, Θεοτοκίον.

Ἰδοὺ πεπλήρωται ἡ τοῦ Ἡσαΐου προῤῥησις. Παρθένος γὰρ ἐγέννησας, καὶ μετὰ τόκον ὡς πρὸ τόκου διέμεινας· Θεὸς γὰρ ἦν ὁ τεχθείς, ὃν ὁ καὶ φύσεις ἐκαινοτόμησεν· ἀλλ' ὦ Θεομῆτορ, ἱκεσίας σῶν δούλων σῷ τεμένει προσφερομένας σοι μὴ παρίδῃς· ἀλλ' ὡς τὸν Εὔσπλαγχνον σαῖς ἀγκάλαις φέρουσα

ρουσα, τοῖς ἱκέταις σπλαγχνίσθητι· καὶ πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν. Ἀπολυτίκιον.

Τοῦ λίθου σφραγισθέντος ὑπὸ τῶν Ἰουδαίων, καὶ στρατιωτῶν φυλασσόντων τὸ ἄχραντόν σου σῶμα, ἀνέστης τριήμερος Σωτὴρ, δωρούμενος τῷ Κόσμῳ τὴν ζωήν. Διὰ τοῦτο αἱ δυνάμεις τῶν οὐρανῶν ἐβόων σοι ζωοδότα· Δόξα τῇ ἀναστάσει σου Χριστέ. Δόξα τῇ βασιλείᾳ σου. Δόξα τῇ οἰκονομίᾳ σου, μόνε φιλάνθρωπε.

Θεοτοκίον.

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ Χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης· ἐν σοὶ τῇ ἁγίᾳ Κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαβὶδ, ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν κτίσην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί. Δόξα τῷ προελθόντι ἐκ σοῦ. Δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς διὰ τοῦ τόκου σου.

Τὰ αὐτὰ καὶ εἰς τὸ, Θεὸς Κύριος.

ΤΗ ΚΥΡΙΑΚΗ
Ἐν τῷ μεσονυκτικῷ.
ΚΑΝΩΝ ΤΡΙΑΔΙΚΟΣ.
(Ποίημα Μητροφάνους).

Οὗ ἡ Ἀκροστιχίς.

Μίαν σε μέλπω τὴν τρισήλιον φύσιν.

Ὠδὴ Α'.

Σοῦ ἡ τροπαιοῦχος.

Μίαν τρισυπόστατον ἀρχὴν, τὸ Σεραφὶμ ἀσιγήτως δοξάζουσιν, ἄναρχον ἀΐδιον, ποιητικὴν ἁπάντων ἀκατάληπτον· ἣν καὶ πᾶσα γλῶσσα, πιστῶς γεραίρει τοῖς ἄσμασιν.

Ἵνα τοῖς ἀνθρώποις ἐνικὴν, τὴν τριλαμπῆ σου δηλώσῃς Θεότητα, πλάσας πρὶν τὸν ἄνθρωπον, κατὰ τὴν σὴν εἰκόνα διεμόρφωσας· νοῦν αὐτῷ καὶ λόγον, καὶ πνεῦμα δοὺς ὡς φιλάνθρωπος.

Ἄνωθεν δεικνὺς μοναδικὸν, Θεαρχικαῖς ἐν τρισὶν ὑποςάσεσι, κράτος Πάτερ ἔργασας, τῷ ἰσουργῷ Υἱῷ σου, καὶ τῷ Πνεύματι· δεῦτε καταβάντες, αὐτῶν τὰς γλώσσας συγχέωμεν. Θεοτοκίον.

Νοῦς μὲν ὁ ἀγέννητος Πατὴρ, εἰκονικῶς τοῖς σοφοῖς προηγόρευται. Λόγος δὲ συνάναρχος, ὁ συμφυὴς Υἱὸς, καὶ Πνεῦμα ἅγιον· τὸ ἐν τῇ Παρθένῳ, τοῦ Λόγου κτίσαν τὴν σάρκωσιν.

Ὠδὴ Γ'.

Ὁ μόνος εἰδώς.

Σὺ πάλαι σαφῶς τῷ Ἀβραὰμ, ὡς ὤφθης τρισυπόστατος, μοναδικός τε φύσει Θεότητος, Θεολογίας τὸ ἀκραιφνέστατον, τυπικῶς ἐνέφηνας· καὶ πιστῶς ὑμνοῦμέν σε, τὸν μονάρχην Θεὸν, καὶ τρισήλιον.

Ἐξ οὗ γεννηθεὶς θεοπρεπῶς, ἀῤῥεύστως Πάτερ ἔλαμψε, φῶς ἐκ φωτὸς, Υἱὸς ἀπαράλλακτος, καὶ Πνεῦμα θεῖον φῶς ἐκπορεύεται· καὶ μιᾶς Θεότητος αἴγλην τρισυπόστατον, προσκυνοῦμεν πιστῶς καὶ δοξάζομεν.

Μονὰς ἡ Τριὰς ὑπερφυῶς, ἀῤῥήτως ὑπὲρ ἔννοιαν, ταῖς νοεραῖς οὐσίαις δοξάζεται· ταῖς τρισαγίαις φωναῖς, ἀσίγητον ἐκβοώσαις αἶνεσιν· αἷς συμφώνως ὑμνεῖται καὶ ἡμῖν τρισυπόστατος Κύριος.

Θεο-

Θεοτοκίον.

Ἐκ σοῦ χρονικῶς ἄνευ σπορᾶς προῆλθεν ὁ ὑπέρχρονος, ὁμοιωθεὶς ἡμῖν ὁ ἀνείδεος, καὶ μίαν φύσιν καὶ κυριότητα, τοῦ Πατρὸς ἐδίδαξε, καὶ Υἱοῦ καὶ Πνεύματος, Θεοτόκε, διό σε δοξάζομεν.

Κάθισμα.

Τὸν τάφον σου Σωτήρ.

Πατέρα καὶ Υἱὸν προσκυνήσωμεν πάντες· καὶ Πνεῦμα τὸ εὐθὲς καὶ ἰσότιμον δοξῇ· Τριάδα τὴν ἄκτιστον καὶ ὑπέρθεον δύναμιν· ἣν δοξάζουσι, τῶν Ἀσωμάτων αἱ τάξεις ταύτην σήμερον, καὶ γγγενεῖς μετὰ φόβου, πιστῶς εὐφημήσωμεν.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ὁδήγησον ἡμᾶς, ἐν ὁδῷ μετανοίας, ἐκκλίνοντας ἀεὶ πρὸς κακῶν ἀνοδίας, καὶ τὸν ὑπεραγαθον, παροργίζοντας Κύριον, Ἀπειρόγαμε, εὐλογημένη Μαρία, καταφύγιον, ἀπεγνωσμένων ἀνθρώπων, Θεοῦ ἐνδιαίτημα.

Ὠδὴ δ΄. Ὅρος σε τῇ χάριτι.

Λάμψον μοι Θεαρχία Τριήλιε λάμψεσι, σῶν θεουργῶν μαρμαρυγῶν, τοῖς τῆς καρδίας ὀφθαλμοῖς, τὸ κάλλος φανταζεσθαι, τῆς ὑπὲρ νοῦν Θεαρχικῆς σου λαμπρότητος, καὶ φωτουργοῦ καὶ γλυκείας μεθέξεως.

Πρότερον οὐρανοὺς ἐστερέωσας Κύριε, καὶ πᾶσαν δύναμιν αὐτῶν, τῷ Λόγῳ σου τῷ παντουργῷ, καὶ Πνεύματι στόματος τῷ συμφυεῖ· μεθ' ὧν δεσπόζεις τοῦ σύμπαντος, ἐν τριλαμπεῖ μοναρχίᾳ Θεότητος.

Ὡς ἔπλασας κατ' εἰκόνα με σὴν καὶ ὁμοίωσιν, Θεαρχικὴ παντουργικὴ, Τριὰς ἀσύγχυτε Μονάς, συνέτισον, φώτισον, πρὸς τὸ ποιεῖν τὸ θελημά σου τὸ Ἅγιον, τὸ ἀγαθὸν ἐν ἰσχύϊ καὶ τέλειον.

Θεοτοκίον.

Τέτοκας τῆς Τριάδος τὸν ἕνα πανάχραντε, Θεαρχικώτατον Υἱόν, σωματωθέντα δι' ἡμᾶς· ἐκ σοῦ καταυγάσαντα, τοὺς γηγενεῖς, τῆς τρισηλίου Θεότητος· τῷ ἀνεσπέρῳ φωτί, καὶ ταῖς λάμψεσιν.

Ὠδὴ ε΄. Ὁ φωτίσας τῇ ἐλλάμψει.

Ἡ τὸν πρῶτον τῶν Ἀγγέλων ἀμέσως διάκοσμον, ἀπροσίτοις τοῦ σοῦ κάλλους ἀκτῖσιν ἐλλάμπουσα, ταῖς σαῖς αἴγλαις φώτισον, Τριὰς ἡ μοναρχικωτάτη, τοὺς ὀρθοδόξως σε μέλποντας.

Νῦν ἡ φύσις, ἑνικὴ Θεαρχία τριήλιε, ἀνυμνεῖ σε, ἣν οὐσίωσας δεῖ ἀγαθότητα· τῶν πταισμάτων λύτρωσιν, καὶ πειρασμῶν ἐξαιτουμένη, καὶ τῶν δεινῶν καὶ τῶν θλίψεων.

Τὸν Πατέρα, καὶ Υἱὸν, καὶ τὸ Πνεῦμα τὸ Ἅγιον, μίαν φύσιν, καὶ Θεότητα πίστει δοξάζομεν, μεριστὴν ἀμέριστον, ἕνα Θεὸν τῆς ἀοράτου, καὶ ὁρωμένης τε κτίσεως.

Θεοτοκίον.

Ῥήσεις πᾶσαι Προφητῶν, προδιέγραψαν Ἄχραντε, τὸν σὸν τόκον τὸν ἀπόῤῥητον, καὶ ἀνερμήνευτον· ὃν ἡμεῖς ἐγνώκαμεν, μυσταγωγὸν τῆς ἑνιαίας, καὶ τρισηλίου Θεότητος.

Ὠδὴ ς'. Ἐκύκλωσεν ἡμᾶς.

Ἰσόρροπον τὴν δύναμιν ὡς ἔχουσα, Τριὰς ἡ ὑπερούσιος, ἐν ταυτότητι βουλήσεως Μονὰς, πέφυκας ἁπλῇ καὶ ἀδιαίρετος. Σὺ οὖν ἡμᾶς, ἐν τῇ δυνάμει σου περιφρούρησον. Δίς

Σὺ πάντας τοὺς αἰῶνας τῇ βουλήσει σου, ὡς ἀγαθὴ ὑπέστησας, ἐξ οὐκ ὄντων, ἀκατάληπτε Τριάς· εἶτα καὶ τὸν ἄνθρωπον διέπλασας. Ἀλλὰ καὶ νῦν ἐκ πάσης, ῥῦσαί με περιστάσεως. Θεοτοκίον.

Ἡλίου τοῦ ἀδύτου οἶκος γέγονας, τοῦ κτίσαντος καὶ τάξαντος, τοὺς φωστῆρας τοὺς μεγάλους πανσθενῶς, ἄχραντε παρθένε θεονύμφευτε· ἀλλὰ καὶ νῦν, τῆς τῶν παθῶν με ῥῦσαι ζοφώσεως. Καθίσματα. Τὸν τάφον σου Σωτήρ.

Τριάδα τὴν σεπτὴν, καὶ ἀμέριστον φύσιν, προσώποις ἐν Τρισὶ τεμνομένην ἀτμήτως, καὶ μένουσαν ἀμέριστον, κατ' οὐσίαν Θεότητος, προσκυνήσωμεν, οἱ γηγενεῖς μετὰ φόβου, καὶ δοξάσωμεν, ὡς Ποιητὴν καὶ δεσπότην, Θεὸν ὑπεράγαθον·

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Κυβέρνησον ἀγνὴ, τὴν ἀθλίαν ψυχήν μου, καὶ οἰκτιρον αὐτὴν, ὑπὸ πλήθους πταισμάτων, δυθῷ ὀλισθαίνουσαν, ἀπολείας, πανάμωμε, καὶ ἐν ὥρᾳ με, τῇ φοβερᾷ τοῦ θανάτου, σὺ ἐξάρπασον, κατηγορούντων δαιμόνων, καὶ πάσης κολάσεως.

Ὠδὴ ζ'. Σὲ νοητὴν Θεοτόκε.

Λόγε Θεοῦ συμφυὲς ἀπαύγασμα, τοῦ παντοκράτορος Θεοῦ, ὡς ὑπέσχου τὴν παρὰ σοῦ θεουργὸν ἐνοίκησιν, ποίησον, ὡς εὔσπλαγχνος, σὺν τῷ Πατρί σου καὶ τῷ Πνεύματι· καὶ φοβερὸν, τοῖς δαίμοσί με δεῖξον, καὶ πάθεσιν. Δίς.

Ἵνα τῆς σῆς εὐσπλαγχνίας, Δέσποτα, δείξῃς τὸ πέλαγος ἡμῖν, τὸν Υἱόν σου πρὸς τὴν ἡμῶν πέμψας ταπεινότητα, αὖθις ἀνεμόρφωσας, πρὸς τὴν ἀρχαίαν λαμπρότητα. Ἀλλὰ καὶ νῦν, τῷ θείῳ με συνέτισον Πνεύματι.

Θεοτοκίον.

Ὁ Χερουβὶμ θρόνῳ ἐποχούμενος, καὶ τῶν ἁπάντων Βασιλεὺς, ἐν γαστρί σου παρθενικῇ ᾠκησε πανάχραντε, πάντας ἐκλυτρούμενος, ἐκ τῆς φθορᾶς ὡς φιλάνθρωπος. Ἀλλὰ καὶ νῦν, ταῖς σαῖς πρεσβείαις με περιφρούρησον.

Ὠδὴ ἡ. Θαύματος ὑπερφυοῦς.

Νεύματι θεουργικῷ Κύριε πάντων, Τρισυπόστατε καὶ Παντοκράτορ, οὐρανοὺς ἐξέτεινας ὡσεὶ δέρριν· εἶτα καὶ γῆς ἁπηώρησας τὸ βάθος, παγσθενεῖ σου δρακί. Διὸ καὶ τοὺς βουλους σου κραταίωσον, τῇ ἀγάπῃ καὶ πίσει τῇ σῇ φιλάνθρωπε, ἵνασε δοξάζωμεν πόθῳ εἰς αἰῶνας. Δίς.

Φώτισον θεαρχικὸν φῶς τοὺς ὑμνοῦντας, τὸ τρισήλιον φῶς τοῖς προσώποις, ἐνιαῖον αὖθις δὲ τῇ οὐσίᾳ καὶ πρὸς τὰς σὰς, φωτοδότιδας ἀκτῖνας ἐπιβλέπειν ἀεί. Δι' ὧν χορτασθήσομαι τὴν δόξαν σου, τὴν γλυκεῖαν, καὶ φωτουργὸν καὶ πανόλβιον, καὶ ὑπερυψῶσε, πιστῶς

φῶς εἰς τοὺς αἰῶνας Θεοτοκίον.

Ὕψωσεν εἰς οὐρανοὺς τὴν τῶν ἀνθρώπων προσλαβόμενος φύσιν ἀτρέπτως, ὁ Υἱός σου πάναγνε Θεοτόκε, ὑπερβολῇ ἀγαθότητος, ῥυσάμενος τῆς πάλαι φθορᾶς· ᾧ καὶ εὐχαρίστως ἀναμέλπομεν, Εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Τύπον τῆς ἁγνῆς.

Σῶσον ὁ Σωτὴρ τῆς κτίσεως, τῆς αἰσθητῆς καὶ νοουμένης τοὺς δούλους σου, τῆς τῶν δυσμενῶν ἐπιβουλῆς καὶ κακώσεως, Παναγία Τριὰς ὁμοούσιε, καὶ φρούρει τὴν σὴν ποίμνην, διὰ παντὸς ἀνεπιβούλευτον. Δίς.

Ἵνα τὸν βυθὸν τὸν ἄπειρον τῆς οὐσιώδους δείξῃς σου ἀγαθότητος, δέδωκας ἡμῖν ἐπαγγελίας Τρισήλιε, καὶ Μονάρχα Θεὲ παντοδύναμε, σωζικὰς τοῖς σοῖς δούλοις, ἃς ἐκπληρῶσαι καταξίωσον Θεοτοκίον.

Νεῦσον ταῖς ἡμῶν δεήσεσιν, ὁ ἐν τρισὶ θεαρχικαῖς ὑποστάσεσι, μόνος εἷς Θεὸς ἀληθινὸς πιστευόμενος· καὶ παράσχου σοῖς δούλοις παράκλησιν, πρεσβείαις τῆς ἀχράντου, καὶ πανυμνήτου Θεομήτορος.

Τὰ λοιπὰ, καὶ τὴν ἀπόλυσιν ὅρα εἰς σελ. 37. Εἰς τὸν ὄρθρον μετὰ τὸν ἑξάψαλμον τό, Θεὸς Κύριος· τὸ ἀπολυτίκιον, ἦχοι Τροπάριον δίς, τὸ Θεοτοκίον ἅπαξ τὸ Ψαλτήριον, καὶ μετὰ τὴν ἀὐτοῦ στιχολογίαν, Καθίσματα.

Τὸν τάφον σου Σωτὴρ, στρατιῶται τηροῦντες, νεκροὶ τῇ ἀστραπῇ, τοῦ ὀρθέντος Ἀγγέλου, ἐγένοντο κηρύττοντος, γυναιξὶ τὴν ἀνάστασιν, σὲ δοξάζομεν, τὸν τῆς φθορᾶς καθαιρέτην, σοὶ προσπίπτομεν, τῷ ἀναστάντι ἐκ τάφου, καὶ μόνῳ Θεῷ ἡμῶν.

Σταυρῷ προσηλωθείς, ἑκουσίως οἰκτίρμων, ἐν μνήματι τεθείς, ὡς θνητὸς Ζωοδότα, τὸ κράτος συνέτριψας, δυνατὲ τῷ θανάτῳ σου. Σὲ γὰρ ἔφριξαν, οἱ πυλωροὶ οἱ τοῦ ᾅδου· σὺ συνήγειρας, τοὺς ἀπ᾽ αἰῶνος θανέντας, ὡς μόνος φιλάνθρωπος.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Μητέρα σε Θεοῦ, ἐπιστάμεθα πάντες, παρθένον ἀληθῶς, καὶ μετὰ τόκον φανεῖσαν, οἱ πόθῳ καταφεύγοντες, πρὸς τὴν σὴν ἀγαθότητα· σὲ γὰρ ἔχομεν, ἁμαρτωλοὶ προστασίαν, σὲ κεκτήμεθα, ἐν πειρασμοῖς σωτηρίαν, τὴν μόνην πανάμωμον.

Μετὰ τὴν β΄. στιχολ. καθίσματα.

Τοῦ λίθου σφραγισθέντος.

Γυναῖκες πρὸς τὸ μνῆμα παρεγένοντο ὄρθριαι, καὶ Ἀγγελικὴν ὀπτασίαν θεασάμεναι ἔτρεμον. Ὁ τάφος ἐξήστραπτε ζωήν· τὸ θαῦμα κατέπληττεν αὐτάς. Διὰ τοῦτο ἀπελθοῦσαι, τοῖς μαθηταῖς ἐκήρυττον τὴν ἔγερσιν. Τὸν ᾅδην ἐσκύλευσε Χριστὸς, ὡς μόνος κραταιὸς καὶ δυνατός· καὶ φθαρέντας συνήγειρε πάντας, τὸν τῆς κατακρίσεως φόβον, λύσας δυνάμει Σταυροῦ. Δόξα.

Ἐν τῷ σταυρῷ προσηλωθεὶς ἡ ζωὴ τῶν ἁπάντων, καὶ ἐν νεκροῖς λογισθεὶς ὁ ἀθάνατος Κύριος, ἀ-

νέσης τριήμερος Σωτὴρ, καὶ ἤγειρας Ἀδὰμ ἐκ τῆς φθορᾶς. Διὰ τοῦτο αἱ Δυνάμεις τῶν οὐρανῶν ἐβόων σοι Ζωοδότα: Δόξα τοῖς σοῖς παθήμασι Χριστέ. Δόξα τῇ ἀναστάσει σου. Δόξα τῇ συγκαταβάσει σου, μόνε φιλάνθρωπε.

Καὶ νῦν. Θεοτοκ.

Τὸν τάφον σου Σωτήρ.

Μαρία τὸ σεπτὸν, τοῦ Δεσπότου δοχεῖον, ἀνάστησον ἡμᾶς, πεπτωκότας εἰς χάος, δεινῆς ἀπογνώσεως, καὶ πταισμάτων καὶ θλίψεων. Σὺ γὰρ πέφυκας ἁμαρτωλῶν σωτηρία, καὶ βοήθεια, καὶ κραταιὰ προστασία, καὶ σώζεις τοὺς δούλους σου.

Μετὰ τὸν Ἄμωμον (ὅρα σελ. 22), τὰ Εὐλογητάρια, ἡ Αἴτησις καὶ ἡ Ὑπακοή.

Ἡ τοῦ Ληστοῦ μετάνοια, τὸν Παράδεισον ἐσύλησεν, ὁ δὲ θρῆνος τῶν Μυροφόρων τὴν χαρὰν ἐμήνυσεν· ὅτι ἀνέστης Χριστὲ ὁ Θεὸς, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

ΟΙ ΑΝΑΒΑΘΜΟΙ.

Ἀντίφωνον ά.

Ἐν τῷ θλίβεσθαί με, εἰσάκουσόν μου τῶν δδυνῶν, Κύριε σοὶ κράζω.

Τοῖς ἐρημικοῖς, ἄπαυστος ὁ θεῖος πόθος ἐγγίνεται, κόσμου οὖσι τοῦ ματαίου ἐκτός.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι, τιμὴ καὶ δόξα, ὥσπερ Πατρὶ, πρέπει ἅμα καὶ Υἱῷ· διὰ τοῦτο ᾄσωμεν τῇ Τριάδι, μονοκρατορία.

Ἀντίφωνον β΄.

Εἰς τὰ ὄρη τῶν σῶν ὕψωσάς με νόμων, ἀρεταῖς ἐκλάμπρυνον ὁ Θεὸς, ἵνα ὑμνῶ σε,

Δεξιᾷ σου χειρὶ λαβὼν σὺ λόγε, φύλαξόν με φρούρησον. μὴ πῦρ με φλέξῃ τῆς ἁμαρτίας.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι, πᾶσα ἡ κτίσις καινουργεῖται, παλινδρομοῦσα εἰς τὸ πρωτον· ἰσοσθενὲς γὰρ ἐστι Πατρὶ καὶ Λόγῳ.

Ἀντίφωνον γ΄.

Ἐπὶ τοῖς εἰρηκόσι μοι: Ὁδεύσωμεν εἰς τας αὐλὰς τοῦ Κυρίου, εὐφράνθη μου τὸ πνεῦμα, συγχαίρει ἡ καρδία.

Ἐπὶ οἶκον Δαβὶδ, φόβος μέγας· ἐκεῖ γαρ θρόνων ἐκτεθέντων, κριθήσονται ἅπασαι αἱ φυλαι τῆς γῆς καὶ γλῶσσαι.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι, τιμὴν προσκύνησιν, δόξαν καὶ κράτος, ὡς Πατρί τε ἄξιον, καὶ τῷ Υἱῷ δεῖ προσφέρειν. Μονὰς γάρ ἐστιν ἡ Τριὰς τῇ φύσει, ἀλλ' οὐ προσώποις.

Προκείμενον. Νῦν ἀναστήσομαι, λέγει Κύριος, θύσομαι ἐν σωτηρίῳ παῤῥησιάσομαι ἐν αὐτῷ.

Στίχος. Τὰ λόγια Κυρίου, λόγια ἁγνά. Πᾶσα πνοή. Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι. Εὐαγγέλιον ἐωθινόν. Ἀνάστασιν Χριστοῦ καὶ ὁ Ν΄. Δόξα. Ταῖς τῶν Ἀποστόλων. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Στίχος. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλει-

ἀναμέλπω, χαριστήριον ᾠδὴν, ὅτι δεδόξασται.

Χριστὸς ὑψοῖ με σταυρούμενος· Χριστὸς συνεγείρει με νεκρούμενος· Χριστός μοι ζωὴν χαρίζεται. Ὅθεν ἐν εὐφροσύνῃ, χεῖρας κροτῶν, ἄδω τῷ Σωτῆρι, ἐπινίκιον ᾠδὴν ὅτι δεδόξασται.

Ἕτερος τῆς Θεοτόκου.

Σοῦ ἡ τροπαιοῦχος.

Ποίαν σοι ἐπάξιον ᾠδὴν, ἡ ἡμετέρα προσοίσει ἀσθένεια; εἰμὴ τὴν χαρμόσυνον, ἣν Γαβριὴλ ἡμᾶς ἐμυσταγώγησε: Χαῖρε Θεοτόκε Παρθένε, Μῆτερ ἀνύμφευτε.

Τῇ Ἀειπαρθένῳ καὶ Μητρὶ, τοῦ Βασιλέως τῶν ἄνω Δυνάμεων, ἐκ καθαρωτάτης καρδίας πιστοὶ, πνευματικῶς βοησωμεν: Χαῖρε Θεοτόκε Παρθένε, Μῆτερ ἀνύμφευτε.

Ὠδὴ Γ'. Ὁ Εἱρμός

» Ὁ μόνος εἰδὼς τῆς τῶν βρο-
» τῶν οὐσίας τὴν ἀσθένειαν, καὶ
» συμπαθῶς αὐτὴν μορφωσάμενος,
» περίζωσόν με ἐξ ὕψους δύναμιν,
» τοῦ βοᾶν σοι: Ἅγιος ὁ ναὸς ὁ
» ἔμψυχος, τῆς ἀφράστου σου δό-
» ξης φιλάνθρωπε.

Θεός μου ὑπάρχων ἀγαθὲ, πετόντα κατωκτείρησας, καὶ καταβῆναι πρός με ηὐδόκησας· ἀνύψωτάς με διὰ σαυρώσεως, τοῦ βοᾶν σοι: Ἅγιος ὁ τῆς δόξης Κύριος, ὁ ἀνείκαστος ἐν ἀγαθότητι.

Ζωὴ ἐνυπόστατος Χριστὲ ὑπάρχων, καὶ φθαρέντα με, ὡς συμπαθὴς Θεὸς ἐνδυσάμενος, εἰς χοῦν θανάτου καταβὰς Δέσποτα, τὸ ἄψηκτον διέῤῥηξας, καὶ νεκροὺς τριή-

μερος

μερος, ἀναστὰς ἀφθαρσίαν ἡμφίασας. Θεοτοκίον.

Θεὸν συλλαβοῦσα ἐν γαστρί, Παρθένε διὰ Πνεύματος τοῦ παναγίου, ἔμεινας ἄφλεκτος· ἐπεὶ σὲ βάτος, τῷ νομοθέτῃ Μωσῇ, φλεγομένην ἄκαυστα, σαφῶς προεμήνυσε, τὴν τὸ πῦρ δεξαμένην τὸ ἄσεκτον.

Τῷ πρὸ τῶν αἰώνων.

Τῷ ἐπὶ τῶν ὤμων, τὸ πλανώμενον πρόβατον ἄραντι, καὶ καθελόντι διὰ ξύλου, τὴν αὐτοῦ ἁμαρτίαν, Χριστῷ τῷ Θεῷ βοήσωμεν: Ὁ ἀνυψώσας τὸ κέρας ἡμῶν, ἅγιος εἶ Κύριε.

Τῷ ἀναγαγόντι, τὸν ποιμένα τὸν μέγαν ἐξ ᾅδου Χριστόν, καὶ τῇ αὐτοῦ ἱεραρχίᾳ διὰ τῶν Ἀποστόλων, σαφῶς τὰ ἔθνη πορμάναντι. ἐν ἀληθείᾳ καὶ θείῳ πιστοί, Πνεύματι λατρεύσωμεν.

Ὁ μόνος εἰδώς.

Νεφέλην σε κούφην ἀψευδῶς, Παρθένε ὀνομάζομεν, προφητικαῖς ἑπόμενοι ῥήσεσιν· Ἐλήλυθε γάρ, ἐπί σοί Κύριος, καθελεῖν Αἰγύπτια, πλάνης χειροποίητα, καὶ φωτίσαι τοὺς ταῦτα λατρεύοντας.

Σὲ ἐσφραγισμένην ἀληθῶς, χορός προφητικός, πηγήν τε κεκλεισμένην πύλην ὠνόμασε, τῆς παρθενίας τῆς σῆς πανύμνητε, τηλαυγῶς τὰ σύμβολα, ἡμῖν διαγράφοντα, ἣν ἐφύλαξας καὶ μετὰ γέννησιν. Ὠδὴ δ΄. Ὁ Εἱρμός.

» Ὄρος σε τῇ χάριτι τῇ θείᾳ κατάσκιον, προβλεπτικοῖς ὁ Ἀββακοὺμ, κατανοήσας ὀφθαλμοῖς, » ἐκ σοῦ ἐξελεύσεσθαι, τοῦ Ἰσραὴλ » προανεφώνει τὸν ἅγιον, εἰς σωτηρίαν ἡμῶν καὶ ἀνάπλασιν.

Τίς οὗτος Σωτὴρ ὁ ἐξ Ἐδὼμ ἀφικόμενος, σεφηφορῶν ἐξ ἀκανθῶν, πεφοινιγμένος τὴν στολὴν, ἐν ξύλῳ κρεμάμενος; Τοῦ Ἰσραὴλ ὑπάρχει οὗτος ἅγιος, εἰς σωτηρίαν ἡμῶν καὶ ἀνάπλασιν.

Ἴδετε λαός τῶν ἀπειθῶν, καὶ αἰσχύνθητε· ὃν ὡς κακοῦργον γὰρ ὑμεῖς, ἀναρτηθῆναι ἐν σταυρῷ, Πιλάτῳ ἠτήσασθε φρενοβλαβῶς. θανάτου λύσας τὴν δύναμιν, θεοπρεπῶς ἐξανέστη τοῦ μνήματος.

Θεοτοκίον.

Ξύλον σε Παρθένε τῆς ζωῆς ἐπισάμεθα· οὐ γὰρ τῆς θρώσεως καρπὸς, θανατηφόρος τοῖς βροτοῖς, ἐκ σοῦ ἀνεβλάστησεν, ἀλλὰ ζωῆς τοὺς ἀϊδίου ἀπόλαυσις, εἰς σωτηρίαν ἡμῶν τῶν ὑμνούντων σε. Ῥάβδος ἐκ τῆς ῥίζης.

Τίς οὗτος ὡραῖος ἐξ Ἐδὼμ, καὶ τούτου τὸ ἐρύθημα, τῶν ἱματίων ἐξ ἀμπέλου Βοσόρ; Ὡραῖος ὅτι Θεός, ὡς βροτὸς δὲ αἵματι σαρκὸς, τὴν στολὴν πεφοινίγμένος. Ὦ μελῳδοῦμεν πιστοί: Δόξα τῇ δυνάμει σου Κύριε.

Χριστὸς τῶν μελλόντων ἀγαθῶν, φανεὶς ἀρχιερεὺς ἡμῶν, τὴν ἁμαρτίαν διεσκέδασε· καὶ δείξας ξένην ὁδὸν, τῷ ἰδίῳ αἵματι, εἰς κρείττονα καὶ τελειοτέραν, εἰσέδραμε δὲ σκηνὴν, πρόδρομος ἡμῶν εἰς τὰ Ἅγια.

Ὄρος σὲ τῇ χάριτι.

Ἄκουε θαυμάτων οὐρανέ, ἐνωτίζου δὲ ἡ γῆ, ὅτι θυγάτηρ χοϊκοῦ, τοῦ πεπτωκότος μὲν Ἀδὰμ

Θε-

Θεοῦ ἐχρημάτισε, τοῦ ἑαυτῆς δημιουργοῦντε λοχεύτρια, εἰς σωτηρίαν ἡμῶν καὶ ἀνάπλασιν.

Ὑμνοῦμεν τὸ μέγα, καὶ φρικτόν σου μυστήριον· ὑπερκοσμίους γὰρ λαθὼν, ταξιαρχίας ἐπὶ σὲ, ὁ ὢν καταβέβηκεν, ὡς ὑετὸς, ὁ ἐπὶ πόκον πανύμνητε. εἰς σωτηρίαν ἡμῶν καὶ ἀνάπλασιν.

Ὠδὴ ἑ. ὁ Εἱρμός.

» Ὁ φωτίσας τῇ ἐλλάμψει τῆς » σῆς παρουσίας Χριστὲ, καὶ φαι» δρύνας τῷ Σταυρῷ σου τοῦ » κόσμου τὰ πέρατα, τὰς καρ» δίας φώτισον φωτὶ, τῆς σῆς θεο» γνωσίας, τῶν ὀρθοδόξως ὑμ» νούντων σε.

Τὸν ποιμένα τῶν προβάτων τὸν μέγαν καὶ Κύριον, Ἰουδαῖοι διὰ ξύλου σαυροῦ ἐθανάτωσαν· ἀλλ' αὐτὸς ὡς πρόβατα νεκροὺς, ἐν ᾅδῃ τεθαμμένους, κράτους θανάτου ἐρρύσατο.

Τῷ σαυρῷ σου, τὴν εἰρήνην εὐαγγελισάμενος, καὶ κηρύξας αἰχμαλώτοις. Σωτήρ μου τὴν ἄφεσιν, τὸν κρατοῦντα ἰσχυνας Χριστὲ, γυμνὸν ἡπορημένον, δείξας τῇ θείᾳ ἐγέρσει σου. Θεοτοκίον.

Τὰς αἰτήσεις τῶν πιστῶς αἰτουμένων, πανύμνητε. μὴ παρίδῃς, ἀλλὰ δέχου, καὶ ταύτας προσάγαγε τῷ Υἱῷ σου ἄχραντε Θεῷ, τῷ μόνῳ εὐεργέτῃ· σὲ γὰρ προστάτην κεκτήμεθα.

Θεὸς ὢν Εἰρήνης.

Ὦ πλοῦτος καὶ βάθος σοφίας Θεοῦ! τοὺς σοφοὺς ὁ δρασσόμενος Κύριος, τῆς τούτων πανουργίας, ἐλυτρώσατο ἡμᾶς· παθὼν γὰρ ἑκουσίως σαρκὸς ἐξ ἀσθενείας, ἐξ ἰδίας ἰσχύος, ζωοποιὸς νεκρὸς ἐγήγερται.

Θεὸς ὢν ἐνοῦται σαρκὶ δι' ἡμᾶς, καὶ σταυροῦται, καὶ θνήσκει καὶ θάπτεται, καὶ αὖθις ἐξανίσταται, καὶ ἄνεισι φαιδρῶς, σαρκὶ σὺν τῇ ἰδίᾳ, Χριστὸς πρὸς τὸν Πατέρα· μεθ' ἧς ἥξει καὶ σώσει, τοὺς εὐσεβῶς αὐτῷ λατρεύοντας.

Ὁ φωτίσας τῇ ἐλλάμψει.

Εὐφραίνονται οὐρανῶν αἱ δυνάμεις ὁρῶσαί σε· ἀγάλλονται σὺν αὐταῖς, τῶν βροτῶν τὰ συστήματα· τῷ γὰρ τόκῳ ἥνωνται τῷ σῷ, παρθένε Θεοτόκε· ὃν ἐπαξίως δοξάζομεν.

Κινείσθωσαν πᾶσαι γλῶσσαι βροτεῖαι καὶ ἔννοιαι, πρὸς ἔπαινον τοῦ βροτῶν ἀληθῶς καλλωπίσματος· ἡ παρθένος πάρεστι σαφῶς, δοξάζουσα τοὺς πίστει ταύτης ὑμνοῦντας τὰ θαύματα.

Ὠδὴ ς'. Ὁ Εἱρμός.

» Ἐκύκλωσεν ὑμᾶς ἰσχάτη ἄ» βυσσος, οὐκ ἔστιν ὁ ῥυόμενος· » ἐλογίσθημεν ὡς πρόβατα σφα» γῆς, σῶσον τὸν λαόν σου ὁ Θεὸς » ἡμῶν, Σὺ γὰρ ἰσχὺς τῶν ἀσθε» νούντων, καὶ ἐπανόρθωσις.

Τῷ πταίσματι τοῦ Πρωτοπλάστου Κύριε, δεινῶς ἐτραυματίσθημεν· τῷ δὲ μώλωπι ἰάθημεν τῷ σῷ, ᾧ ὑπὲρ ἡμῶν ἐτραυματίσθης Χριστέ. Σὺ γὰρ ἰσχὺς τῶν ἀσθενούντων, καὶ ἐπανόρθωσις.

Ἀνήγαγες ἡμᾶς ἐξ ᾅδου Κύριε, τὸ κῆτος χειρωσάμενος, τὸ παμφάγον παντοδύναμε, τῷ σῷ κράτει καθελὼν αὐτοῦ τὴν δύναμιν·

μεν· σὺ γὰρ ζωὴ, καὶ φῶς ὑπάρχεις καὶ ἡ ἀνάστασις.

Θεοτοκίον.

Εὐφραίνονται ἐν σοὶ Παρθένε ἄχραντε, τοῦ γένους οἱ Προπάτορες, τὴν Ἐδὲμ ἀπολαβόντες διὰ σοῦ, ἣν ἐκ παραβάσεως ἀπώλεσαν· σὺ γὰρ ἁγνὴ, καὶ πρὸ τοῦ τόκου, καὶ μετὰ γέννησιν.

Σπλάγχνων Ἰωνᾶν.

Νοῦν ὢν ἀπαθὴς, καὶ ἄϋλος μίγνυται, Χριστὸς ὁ Θεὸς, τῷ ἀνθρωπίνῳ νοΐ, μεσιτεύοντι θείᾳ φύσει, σαρκός τε παχύτητι· καὶ ὅλῳ μοι ἀρέπτως, ὅλως ἥνωται. ἵνα σωτηραίαν ὅλῳ μοι, τῷ πεσόντι ὀρέξῃ σερούμενος.

Πίπτει πτερνισθείς, Ἀδὰμ καὶ συντρίβεται, ἐλπίδι ψευσθείς πάλαι θεώσεως· ἀλλ' ἀνίσταται, τῇ ἑνώσει τοῦ Λόγου θεούμενος, καὶ πάθει τὴν ἀπάθειαν κομίζεται, Θρόνῳ ὡς Υἱὸς δοξάζεται, συνεδρεύων Πατρί τε καὶ Πνεύματι.

Ἐκύκλωσεν ἡμᾶς.

Παρίστανται δουλοπρεπῶς τῷ τόκῳ σου αἱ Τάξεις αἱ οὐράνιαι, ἐκπληττόμεναι ἀξίως τὸ τῆς σῆς, ἀσπόρου λοχείας ἀειπάρθενε· σὺ γὰρ ἁγνὴ, καὶ πρὸ τοῦ τόκου, καὶ μετὰ γέννησιν.

Σεσάρκωται ὁ πρὶν ὑπάρχων ἄσαρκος, ὁ Λόγος ἐκ σοῦ Πάναγνε· ὁ τὰ σύμπαντα βουλήματι ποιῶν, ὁ τῶν Ἀσωμάτων τὰ στρατεύματα, παραγαγὼν ἐκ τοῦ μὴ ὄντος, ὡς παντοδύναμος.

Κοντάκιον. Ὅταν ἐλθῇς.

Ἐξανέστης ὡς θεὸς ἐκ τοῦ τάφου ἐν δόξῃ, καὶ κόσμον συνανέστησας, καὶ ἡ φύσις τῶν βροτῶν, ὡς Θεόν σε ἀνύμνησε, καὶ θάνατος ἠφάνισαι. καὶ ὁ Ἀδὰμ χορεύει Δέσποτα, καὶ ἡ Εὔα νῦν ἐκ τῶν δεσμῶν λυτρουμένη, χαίρει κράζουσα· Σὺ εἶ ὁ πᾶσι παρέχων, Χριστὲ, τὴν ἀνάστασιν.

Ὁ Οἶκος.

Τὸν ἀναστάντα τριήμερον ἀνυμνήσωμεν, ὡς Θεὸν παντοδύναμον· καὶ πύλας τοῦ ᾅδου συντρίψαντα, καὶ τοὺς ἀπ' αἰῶνας ἐκ τάφου ἐγείραντα· μυροφόροις ὀφθέντα, καθὼς ηὐδόκησε, πρώταις ταύταις τὸ Χαίρετε φήσας· καὶ Ἀποστόλοις χαρὰν μηνύων, ὡς μόνος Ζωοδότης. Ὅθεν πίστει αἱ γυναῖκες, μαθηταῖς σύμβολα νίκης εὐαγγελίζονται, καὶ ᾅδης σενάζει, καὶ θάνατος ὀδύρεται, καὶ κόσμος ἀγάλλεται, καὶ πάντες συγχαίρουσι· σὺ γὰρ παρέσχες πᾶσι, Χριστὲ, τὴν ἀνάστασιν.

Ὠδὴ ζ'. Ὁ Εἱρμός.

» Σὲ νοητὴν Θεοτόκε κάμινον, » κατανοοῦμεν οἱ πιστοί· ὡς γὰρ » Παῖδας ἔσωσε τρεῖς, ὁ ὑπερυ- » ψούμενος, ὅλον με τὸν ἄνθρωπον, » ἐν τῇ γαστρί σου ἀνέπλασεν, ὁ » αἰνετὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Ἔρριξε γῆ, ἀπεσκάφη ἥλιος, καὶ συνεσκότασε τὸ φῶς, διερράγη τὸ τοῦ ναοῦ θεῖον καταπέτασμα, πέτραι δὲ ἐσχίσθησαν· διὰ σταυροῦ γὰρ ἦρται ὁ δίκαιος, ὁ αἰνετὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Σὺ γεγονὼς, ὡσεὶ ἀβοήθητος, καὶ τραυματίας ἐν νεκροῖς, ἐκουσίως

σὼς τὸ καθ' ἡμᾶς, ὁ ὑπερυψούμενος, πάντας ἠλευθέρωσας, καὶ κραταιᾷ χειρὶ συνανέστησας, ὁ αἰνετὸς τῶν Πατέρων Θεός, καὶ ὑπερένδοξος. Θεοτοκίον.

Χαῖρε πηγὴ, ἀειζώου νάματος· χαῖρε Παράδεισε τρυφῆς· χαῖρε τεῖχος τὸ τῶν πιστῶν χαῖρε ἀπειρόγαμε· χαῖρε ἡ παγκόσμιος χαρὰ, ὁ ἐξ ἧς ἡμῖν ἐξανέτειλεν, ὁ αἰνετὸς τῶν Πατέρων Θεός, καὶ ὑπερένδοξος.

Οἱ παῖδες εὐσεβείᾳ.

Πάλαι μὲν κατηράθη, τῷ τοῦ Ἄβελ, φοινιχθεῖσα αἵματι, ἀδελφοκτόνῳ γῇ χειρί. Θεορρύτῳ δέ σου αἵματι, εὐλογείτω ῥαντισθεῖσα, καὶ σκιρτῶσα βοάτω· Ὁ τῶν Πατέρων, Θεὸς εὐλογητὸς εἶ.

Θρηνείτω Ἰουδαίων, ὁ ἀντίθεος λαὸς, τὸ τόλμημα τῆς ἀναιρέσεως Χριστοῦ, τὰ δὲ ἔθνη εὐφραινέσθωσαν, καὶ κροτείτωσαν τὰς χεῖρας, καὶ βοάτωσαν· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Σὲ νοητήν.

Σὲ Ἰακὼβ, Θεοτόκε κλίμακα, προφητικῶς κατανοεῖ· διὰ σοῦ γὰρ ἐπὶ τῆς γῆς, ὁ ὑπερυψούμενος, ὤφθη τοῖς ἀνθρώποις τε, συνανεστράφη ὡς ηὐδόκησεν, ὁ αἰνετὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος. Θεοτοκίον.

Χαῖρε σεμνὴ, τοῦ Ἀδὰμ τὸ κώλιον, ἐκ σοῦ προῆλθεν ὁ ποιμὴν ἐνδυσάμενος ἀληθῶς, ὁ ὑπερυψούμενος, ὅλον με τὸν ἄνθρωπον, δι' εὐσπλαγχνίαν ἀκατάληπτον· ὁ αἰνετὸς τῶν Πατέρων Θεὸς καὶ ὑπερένδοξος.

Ὠδὴ ἡ. Ὁ Εἱρμός.

Ἐν καμίνῳ παῖδες Ἰσραὴλ, ὡς ἐν χωνευτηρίῳ, τῷ κάλλει τῆς εὐσεβείας, καθαρώτερον χρυσοῦ, ἀπεστίλβον λέγοντες· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὁ βουλήσει πάντα ποιῶν, ὁ καὶ μετασκευάζων, ἐκτρέπων σκιὰν θανάτου εἰς αἰώνιον ζωήν, τῷ πάθει σου, Λόγε Θεοῦ Σὲ ἀπαύστως, πάντα τὰ ἔργα, ὡς Κύριον ὑμνοῦμεν, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Σὺ καθεῖλες σύντριμμα Χριστὲ, καὶ τὴν παλαιπωρίαν ἐν πύλαις καὶ ὀχυρώμασι τοῦ ᾅδου, ἀναστὰς ἐκ τάφου τριήμερος· σὲ ἀπαύστως, πάντα τὰ ἔργα, ὡς Κύριον ὑμνοῦσι, καὶ ὑπερυψοῦσιν εἰς πάντας τοὺς αἰῶνας. Θεοτοκίον.

Τὴν ἀσπόρως καὶ ὑπερφυῶς, ἐξ ἀσπαρῆς τῆς θείας τεκοῦσαν τὸν Μαργαρίτην, τὸν πολύτιμον Χριστόν, ὑμνήσωμεν λέγοντες· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Θαύματος ὑπερφυῶς.

Δεῦτε λαοὶ προσκυνήσωμεν τὸν τόπον, ἐν ᾧ ἔστησαν ἀχράντοι πόδες· καὶ ἐν ξύλῳ θείαι Χριστοῦ παλάμαι ζωοποιαὶ, ἐξετάθησαν εἰς πάντων σωτηρίαν βροτῶν· καὶ τάφον ζωῆς κυκλοῦντες μέλψωμεν· Εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Τὴ

Ἐν καμίνῳ παῖδες Ἰσραήλ.

Τὴν πασάδα τὴν φωτοειδῆ, ἐξ ἧς ὁ τῶν ἁπάντων Δεσπότης, ὥσπερ Νυμφίος, προελήλυθε Χριστός, ὑμνήσωμεν ἅπαντες ἐκβοῶντες: Πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Χαῖρε θρόνε ἐνδοξε Θεοῦ, πιςῶν χαῖρε τὸ τεῖχος. δι' ἧς φῶς τοῖς ἐν σκότει, ἐξανέτειλε Χριστός, τοῖς σὲ μακαρίζουσι, καὶ βοῶσι: Πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. ὁ Εἱρμός

» Τύπον τῆς ἀγνῆς λοχείας σου, » πυρπολουμένη βάτος ἐδείξεν ἄφ» λεκτος· καὶ νῦν καθ' ἡμῶν τῶν » πειρασμῶν ἀγριαίνουσαν, κατα» σβέσαι αἰτοῦμεν τὴν κάμινον· » ἵνα σε Θεοτόκε, ἀκαταπαύστως » μεγαλύνωμεν.

Ὢ πῶς ὁ Λαὸς ὁ ἄνομος, ὁ ἀπειθὴς καὶ πονηρὰ βουλευσάμενος, τὸν ἀλάςορα, καὶ ἀσεβῆ ἐδικαίωσε, τὸν δὲ δίκαιον ξύλῳ κατέκρινε, τὸν Κύριον τῆς δόξης, ὃν ἐπαξίως μεγαλύνομεν.

Σῶτερ ὁ Ἀμνὸς ὁ ἄμωμος, ὁ τὴν τοῦ κόσμου ἁμαρτίαν ἀράμενος, σὲ δοξάζομεν τὸν ἀναςάντα τριήμερον, σὺν Πατρί τε, καὶ τῷ θείῳ σου Πνεύματι· καὶ Κύριον τῆς δόξης, θεολογοῦντες μεγαλύναμεν. Θεοτοκίον.

Σῶσον τὸν Λαόν σου, Κύριε, ὃν περ ἐκτήσω τῷ τιμίῳ σου αἵματι· κατ' ἐχθρῶν ἰσχὺν τῷ βασιλεῖ χαριζόμενος, καὶ ταῖς σαῖς Ἐκκλησίαις φιλάνθρωπε, βραβεύων τὴν εἰρήνην, τῆς Θεοτόκου ταῖς ἐντεύξεσι. Μυςήριον ξένον.

Δεδόξασαι, τῇ ἀπορρήτῳ δυνάμει σου, ὁ ςαυρός σου, Κύριε. Σοῦ γὰρ τὸ ἀσθενὲς, ὑπὲρ δύναμιν πᾶσιν ἐδείχθη. δι' οὗ δυνατοὶ μὲν καταβέβληνται εἰς γῆν, καὶ πτωχοὶ πρὸς οὐρανὸν ἀνακομίζονται.

Νενέκρωται ὁ ἀμειδὴς ἡμῶν θάνατος· ἐκ νεκρῶν Ἀνάςασιν, σὺ γὰρ ἐπιφανεὶς τοῖς ἐν ᾅδῃ, Χριστὲ, ἐδωρήσω. Διὸ ὡς ζωὴν σε καὶ Ἀνάςασιν, καὶ φῶς τὸ ἐνυπόςατον, ὑμνοῦντες μεγαλύνομεν.

Τύπον τῆς ἁγνῆς.

Ῥίζης ἐκ Δαβὶδ ἐβλάςησας, προφητικῶς Παρθένε τοῦ Θεοπάτορος. Ἀλλὰ καὶ Δαβὶδ ὡς ἀληθῶς σὺ ἐδόξασας, ὡς τεκοῦσα τὸν προφητευόμενον, τὸν Κύριον τῆς δόξης, ὃν ἐπαξίως μεγαλύνομεν.

Ἅπας ἐγκωμίων Πάναγνε, νόμος ἡττᾶται τῷ μεγέθει τῆς δόξης σου. Ἀλλὰ, Δέσποινα, παρ' ἱκετῶν ἀναξίων σου, ἐξ εὐνοίας δέσοι προσφερόμενον, προσδέχου, Θεοτόκε, μετ' εὐμενείας τὸ ἐφύμνιον.

Μετὰ τὴν Τιμιωτέραν, Ἐκφώνησις: Ὅτι σὲ αἰνοῦσι. Εἶτα, Ἅγιος Κύριος ὁ Θεός ἡμῶν, ἐκ γ'. τὰ Ἐξαποστειλάρια, καὶ

ΟΙ ΑΙΝΟΙ.

Ὑμνοῦμέν σου Χριστὲ, τὸ σωτήριον Πάθος, καὶ δοξάζομέν σου τὴν Ἀνάςασιν.

Ὁ ςαυρὸν ὑπομείνας, καὶ τὸν θάνατον καταργήσας, καὶ ἀναςὰς ἐκ

ἐκ τῶν νεκρῶν, εἰρήνευσον ἡμῶν τὴν ζωὴν Κύριε, ὡς μόνος παντοδύναμος.

Ὁ τὸν ᾅδην σκυλεύσας, καὶ τὸν ἄνθρωπον ἀναστήσας, τῇ Ἀναστάσει σου Χριστέ, ἀξίωσον ἡμᾶς, ἐν καθαρᾷ καρδίᾳ, ὑμνεῖν καὶ δοξάζειν σε.

Τὴν θεοπρεπῆ σου συγχατάβασιν δοξάζοντες, ὑμνοῦμέν σε Χριστέ. Ἐτέχθης ἐκ Παρθένου, καὶ ἀχώριστος ὑπῆρχες τῷ Πατρὶ ἔπαθες ὡς ἄνθρωπος, καὶ ἑκουσίως ὑπέμεινας σταυρόν· ἀνέστης ἐκ τοῦ τάφου, ὡς ἐκ παστάδος προελθών· ἵνα σώσῃς τὸν κόσμον, Κύριε δόξα σοι.

Ὅτε προσηλώθης τῷ ξύλῳ τοῦ σταυροῦ, τότε ἐνεκρώθη τὸ κράτος τοῦ ἐχθροῦ· ἡ κτίσις ἐσαλεύθη τῷ φόβῳ σου, καὶ ὁ ᾅδης ἐσκυλεύθη τῷ κράτει σου. Τοὺς νεκροὺς ἐκ τῶν τάφων ἀνέστησας, καὶ τῷ Ληστῇ τὸν παράδεισον ἤνοιξας, Χριστὲ ὁ Θεὸς ἡμῶν δόξα σοι.

Ὀδυρόμεναι μετὰ σπουδῆς, τὸ μνῆμά σου κατέλαβον αἱ τίμιαι γυναῖκες εὑροῦσαι δὲ τὸν τάφον ἀνεῳγμένον, καὶ μαθοῦσαι παρὰ τοῦ Ἀγγέλου τὸ καινὸν καὶ παράδοξον θαῦμα, ἀπήγγειλαν τοῖς Ἀποστόλοις, ὅτι ἀνέστη ὁ Κύριος, δωρούμενος τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Τὴν τῶν παθῶν θείαν μωλώπωσιν, σοῦ προσκυνοῦμεν Χριστὲ ὁ Θεός, καὶ τὴν ἐν τῇ Σιὼν δεσποτικὴν ἱερουργίαν, τὴν ἐν τέλει τῶν αἰώνων, θεοφανῶς γεγενημένην· τοὺς γὰρ ἐν σκότει καθεύδοντας, ὁ Ἥλιος ἐφώτισας τῆς δικαιοσύνης, πρὸς ἀνέσπερον χειραγωγῶν ἕλλαμψιν, Κύριε δόξα σοι.

Τὸ φιλοτάραχον γένος τῶν Ἰουδαίων ἐνωτίσασθε. Ποῦ εἰσὶν οἱ Πιλάτῳ προσελθόντες; Εἰπάτωσαν οἱ φυλάσσοντες στρατιῶται, ποῦ εἰσὶν αἱ σφραγῖδες τοῦ μνήματος; ποῦ μετετέθη ὁ ταφεύς; ποῦ ἐπράθη ὁ ἄπρατος; πῶς ἐσυλήθη ὁ θησαυρός; τί συκοφαντεῖτε τὴν ἔγερσιν τοῦ σταυρωθέντος, παράνομοι Ἰουδαῖοι; Ἀνέστη ὁ ἐν νεκροῖς ἐλεύθερος, καὶ παρέχει τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Εἰς τὸ Δόξα, τὸ Ἑωθινόν.

Καὶ νῦν. Ὑπερευλογημένη ὑπάρχεις· καὶ ἡ μεγάλη Δοξολογία. (ὅρα σελ. 61). Μετὰ τὸ Ἅγιος ὁ Θεός, εἰς μὲν τὸν α'. β'. γ'. καὶ δ'. ἦχον, λέγε.

Σήμερον σωτηρία τῷ κόσμῳ γέγονεν· ἄσωμεν τῷ ἀναστάντι ἐκ τάφου, καὶ ἀρχηγῷ τῆς ζωῆς ἡμῶν· καθελὼν γὰρ τῷ θανάτῳ τὸν θάνατον, τὸ νῖκος ἔδωκεν ἡμῖν, καὶ τὸ μέγα ἔλεος.

Εἰς δὲ τοὺς λοιποὺς ἤχους.

Ἀναστὰς ἐκ τοῦ μνήματος (ὅρα σελ. 62). Καὶ ἄρχεται ἡ Λειτουργία. Εἰ δὲ οὐ γίνεται εὐθὺς ἡ Λειτουργία, λέγεται ἡ Ἐκτενής· τό, Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν· μετὰ τῶν λοιπῶν, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν, ΟΙ ΜΑΚΑΡΙΣΜΟΙ.

Διὰ βρώσεως ἐξήγαγε, τοῦ Παραδείσου ὁ ἐχθρὸς τὸν Ἀδάμ· διὰ σταυροῦ δὲ τὸν Ληστήν, ἀντεισήγαγε

γαγε Χριστός ἐν αὐτῷ: Μνήσθητί μου κράζοντα, ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου.

Προσκυνῶ σου τὰ παθήματα, δοξολογῶ καὶ τὴν Ἀνάστασιν· σὺν τῷ Ἀδὰμ καὶ τῷ Λῃστῇ, μετὰ φωνῆς ἀναβοῶ σοι λαμπρᾶς: Μνήσθητί μου Κύριε, ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου.

Ἐσταυρώθης ἀναμάρτητε, καὶ ἐν μνημείῳ κατετέθης ἐκών· ἀλλ' ἐξανέστης ὡς Θεός, συνεγείρας ἑαυτῷ τὸν Ἀδάμ: Μνήσθητί μου κράζοντα, ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου.

Τὸν Ναόν σου τὸν τοῦ σώματος, τῇ τριημέρῳ ἀναστάσας ταφῇ σὺν τῷ Ἀδαμ τοὺς ἐξ Ἀδάμ, ἐξανέστησας Χριστὲ ὁ Θεός: Μνήσθητί μου κράζοντας, ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου.

Μυροφόροι ἦλθον κλαίουσαι, ἐπὶ τὸ μνῆμά σου Χριστὲ ὁ Θεός, λίαν πρωὶ καὶ ἐν λευκοῖς, εὗρον Ἄγγελον καθήμενον: Τί ζητεῖτε, κράζοντα; ἐξανέστη Χριστός, μὴ θρηνεῖτε λοιπόν.

Οἱ Ἀπόστολοί σου Κύριε, ἐπὶ τὸ ὄρος οὗ ἐτάξω αὐτοῖς, παραγενόμενοι Σωτήρ, σὲ ἰδόντες προσεκύνησαν· οὓς καὶ ἐξαπέστειλας εἰς τὰ Ἔθνη, διδάσκειν, καὶ βαπτίζειν αὐτούς. Δόξα.

Τὸν Πατέρα προσκυνήσωμεν, καὶ τὸν Υἱὸν δοξολογήσωμεν, καὶ τὸ Πανάγιον ὁμοῦ, πάντες Πνεῦμα ἀνυμνήσωμεν· κράζοντες καὶ λέγοντες: Παναγία Τριάς, σῶσον πάντας ἡμᾶς. Καὶ νῦν.

Τὴν Μητέρα σου προσάγοισοι, εἰς ἱκεσίαν ὁ λαός σου Χριστὲ ταῖς παρακλήσεσιν αὐτῆς, τοὺς οἰκτιρμούς σου δὸς ἡμῖν Ἀγαθεῖνα σε δοξάζωμεν, τὸν ἐκ τάφου ἡμῖν ἀνατείλαντα.

Τῇ Κυριακῇ ἑσπέρας, εἰς τὸ, Κύριε ἐκέκραξα, ψάλλομεν Κατανυκτικά.

Πανεύφημοι Μάρτυρες ὑμᾶς.

Τὰ πάντα παρήγαγες τῷ σῷ, Λόγῳ καὶ τῷ Πνεύματι, δι' ἀγαθότητα Κύριε, εἶτα πεποίηκας, λογικὸν μὲ ζῶον, ἵνα σου τὸ ἅγιον, δοξάζω Παντοδύναμε ὄνομα, ἐγὼ δὲ μάλιστα τοῖς αἰσχροῖς μου ἔργοις πάντοτε, ἀτιμάζω, ἀλλὰ φείσαι δέομαι.

Γνωθί σου ταλαίπωρε ψυχή, τὴν θείαν εὐγένειαν, καὶ τὴν Πατρίδα τὴν ἄφθαρτον, καὶ σπεῦδε πάντοτε, ἀγαθοεργίαις, ταύτην καταλήψεσθαι. Μηδέν σοι τῶν φθαρτῶν προσηλώσεις· τῆς ἄνω μοίρας εἶ· τὸ δὲ σῶμα γῆ καὶ ῥοὴ ἔρειται, μὴ νικήσῃ τὸ χεῖρον τὴν κρείττονα.

Ἀσώματοι Ἄγγελοι Θεοῦ, ὁρόνῳ παριστάμενοι, καὶ τοῖς ἐκεῖθεν ἐλλάμψεσι καταστραπτόμενοι, καὶ ῥωτοχυσίαις, αἰωνίως λάμποντες, καὶ φῶτα χρηματίζοντες δεύτερα, Χριστῷ πρεσβεύσατε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Καὶ τοῦ Μηναίου γ' Δόξα, καὶ νῦν. αὐτόθι, τὸ, Φῶς ἱλαρόν. Ἑσπέρας προκείμενον. Ἰδοὺ δὴ εὐλογεῖτε τὸν Κύριον· τὸ, Καταξίωσον. Πληρώσωμεν τὴν

τὴν ἑσπερινὴν δέησιν ἡμῶν· καὶ τὰ ἑξῆς· εἶτα εἰς τὸν στίχον ταῦτα τὰ Κατανυκτικά.

Ὅτι τὸ πέλαγος πολὺ, τῶν παραπτωμάτων μου Σωτὴρ, καὶ δεινῶς βεβύθισμαι ταῖς πλημμελείαις μου· δός μοι χεῖρα σῶσόν με, ὡς τῷ Πέτρῳ ὁ Θεός, καὶ ἐλέησόν με.

Στιχ. Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου.

Ὅτι ἐννοίαις πονηραῖς, καὶ ἔργοις καταδεδίκασμαι Σωτὴρ. λογισμόν μοι δώρησαι ἐπιστροφῆς ὁ Θεός, ἵνα κράζω σῶσόν με, εὐεργέτα ἀγαθὲ, καὶ ἐλέησόν με.

Στιχ. Ἐλέησον ἡμᾶς Κύριε.

Μαρτυρικόν.

Τῇ πρεσβείᾳ Κύριε, πάντων τῶν Ἁγίων, καὶ τῆς Θεοτόκου, τὴν σὴν εἰρήνην δὸς ἡμῖν, καὶ ἐλέησον ἡμᾶς, ὡς μόνος οἰκτίρμων. Δόξα. καὶ νῦν.

Τῶν οὐρανίων ταγμάτων τὸ ἀγαλλίαμα, τῶν ἐπὶ γῆς ἀνθρώπων, κραταιὰ προσασία, ἄχραντε Παρθένε, σῶσον ἡμᾶς, τοὺς εἰς σὲ καταφεύγοντας, ὅτι ἐν σοὶ τὰς ἐλπίδας μετὰ Θεὸν, Θεοτόκε ἀνεθέμεθα.

Νῦν ἀπολύεις Τρισάγιον. Ἀπολυτίκιον τοῦ ἁγίου τῆς ἡμέρας. Δόξα, καὶ νῦν Θεοτοκίον. Ἐλέησον ἡμᾶς ὁ Θεὸς, μετὰ τῶν λοιπῶν καὶ Ἀπόλυσις· οὕτω ποιητέον εἰς τὰς καθημερινὰς πάντοτε.

Τῇ β'. εἰς τὸν Ὄρθρον, μετὰ τὴν ά. Στίχ. Καθίσματα.

Τὸν τάφον σου Σωτήρ.

Ἀγκάλας πατρικὰς, διανοῖξαί μοι σπεῦδον, ἀσώτως τὸν ἐμὸν, κατηνάλωσα βίον, εἰς πλοῦτον ἀδαπάνητον, ἀφορῶν τῶν οἰκτιρμῶν σου Σωτὴρ· νῦν πτωχεύουσαν, μὴ ὑπερίδῃς καρδίαν. Σοὶ γὰρ Κύριε, ἐν κατανύξει κραυγάζω· Ἥμαρτόν σοι σῶσόν με.

Τὸ βῆμά σου φρικτὸν, καὶ ἡ κρίσις δικαία, τὰ ἔργα μου δεινὰ, ἀλλ' αὐτὸς ἐλεήμων, προφθάσας με διάσωσον, καὶ κολάσεως λύτρωσαι· ῥῦσαι Δέσποτα, τῆς τῶν ἐρίφων μερίδος, καὶ ἀξίωσον, ἐκ δεξιῶν σοῦ με ζῆναι, κριτὰ δικαιότατε. Δόξα, καὶ νῦν.

Κυβέρνησον Ἁγνὴ, τὴν ἀθλίαν ψυχήν μου, καὶ οἰκτειρον αὐτὴν, ὑπὸ πλήθους πταισμάτων, βυθῷ ὀλισθαίνουσαν, ἀπωλείας πανάμωμε, καὶ ἐν ὥρᾳ με, τῇ φοβερᾷ τοῦ θανάτου, ἐλευθέρωσον, κατηγορούντων Δαιμόνων, φρικτῆς ἀποφάσεως.

Μετὰ τὴν β'. στιχολογίαν. Καθίσμ.

Τὸν τάφον σου Σωτήρ.

Ἀφρόνως ἀπὸ σοῦ, μακρυνθεὶς πανοικτίρμων, ἀσώτως τὸν ἐμὸν, ἐδαπάνησα βίον, δουλεύων τοῖς πάθεσι, τοῖς ἀλόγοις ἑκάστοτε· ἀλλὰ δέξαι με, ταῖς τῶν Ἀγγέλων πρεσβείαις, Πάτερ εὔσπλαγχνε, ὥσπερ τὸν ἄσωτον παῖδα, καὶ σῶσόν με δέομαι.

Ἀθλήσεως καύχημα, καὶ Στεφάνων ἀξίωμα, οἱ Ἔνδοξοι Ἀθλοφόροι, περιβέβληνται σε Κύριε· καρτερίᾳ γὰρ αἰκισμῶν, τοὺς ἀνόμους ἐτροπώσαντο, καὶ δυνάμει θείᾳ ἐξ οὐρανοῦ τὴν νίκην ἐδέξαντο. Αὐτῶν ταῖς ἱκεσίαις, ἐλευθέρωσον τοῦ ἀοράτου ἐχθροῦ, Σωτὴρ καὶ σῶσόν με.

Στα-

Δόξα, καὶ νῦν.

Ἀύλων στρατιῶν, ὑπερέχουσα Κόρη, καὶ τάξεις οὐρανῶν, ὑπερβαίνουσα μόνη, ἐπάξιον τὴν αἴνεσιν, παρ' αὐτῶν δέχῃ πάναγνε. Ἀλλὰ πρέσβευε, τῷ σῷ Υἱῷ σὺν Ἀγγέλοις, τοῦ ῥυσθῆναί με, τῆς τῶν παθῶν τυραννίδος, τὸν μόνον κατάκριτον. (*)

Εἰς τὸν στίχον τῶν Αἴνων,
Στιχ. Κατανυκτικά.

Ἄλλος σε κόσμος ψυχὴ ἀναμένει καὶ Κριτής, τὰ σὰ μέλλων δημοσιεύειν κρυπτὰ καὶ δεινά. Μὴ οὖν ἐμμείνῃς τοῖς ὧδε, ἀλλὰ πρόφθασον βοῶσα τῷ Κριτῇ: Ὁ Θεός ἱλάσθητί μοι καὶ σῶσόν με.

Μὴ ἀποδοκιμάσῃς με Σωτήρ μου, τῇ ῥαθυμίᾳ τῆς ἁμαρτίας συνεχόμενον. Διέγειρόν μου τὸν λογισμὸν πρὸς μετάνοιαν, καὶ τοῦ σοῦ ἀμπελῶνος ἐργάτην δόκιμον ἀνάδειξόν με δωρούμενός μοι τῆς ἑνδεκάτης ὥρας τὸν μισθόν, καὶ τὸ μέγα ἔλεος. Μαρτυρικόν.

Τοὺς ἀθλοφόρους τοῦ Χριστοῦ, δεῦτε λαοὶ ἅπαντες τιμήσωμεν, ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς, τοὺς φωστῆρας τοῦ κόσμου, καὶ κήρυκας τῆς πίστεως, τὴν πηγὴν τὴν ἀένναον, ἐξ ἧς ἀναβλύζει τοῖς πιστοῖς τὰ ἰάματα. Αὐτῶν ταῖς Ἱκεσίαις Χριστὲ ὁ Θεὸς ἡμῶν, τὴν εἰρήνην δώρησαι τῷ κόσμῳ σου,

(*) Τοὺς κανόνας τῆς Παρακλητικῆς καὶ τὸ Ψαλτήριον, ὅλων τῶν ἡμερῶν τῆς ἑβδομάδος, ἐν γένει ὅλων τῶν ἤχων, θέτομεν εἰς τὸ τέλος τοῦ πρώτου Τόμου, καὶ ἰδὲ ἐκεῖ.

Εἰς τὸν στίχ. Στιχηρὰ Κατανυκτ.

Ὅτι τὸ πέλαγος πολὺ τῶν παραπτωμάτων μου Σωτὴρ, καὶ δεινῶς βεβύθισμαι ταῖς πλημμελείαις μου, δός μοι χεῖρα σῶσόν με, ὡς τῷ Πέτρῳ, ὁ Θεὸς, καὶ ἐλέησόν με.

Ὅτι ἐννοίαις πονηραῖς, καὶ ἔργοις καταδεδίκασμαι Σωτὴρ, λογισμόν μοι δώρησαι ἐπιστροφῆς ὁ Θεὸς, ἵνα κράζω σῶσόν με, εὐεργέτα ἀγαθὲ, καὶ ἐλέησόν με.

Ἡ ἐν σαβὶω ὑμῶν ὁμολογία ἅγιοι, τῶν δαιμόνων κατέπτηξε τὴν δύναμιν, καὶ τῆς πλάνης τοὺς ἀνθρώπους ἠλευθέρωσε. Διὸ καὶ τὰς κεφαλὰς ἀποτεμνόμενοι ἐκράζετε: Γενέσθω, Κύριε, ἡ θυσία τῶν ψυχῶν ἡμῶν εὐπρόσδεκτος ἐνώπιόν σου, ὅτι σὲ ποθήσαντες, κατεφρονήσαμεν τῆς προσκαίρου ζωῆς φιλάνθρωπε. Δόξα, καὶ νῦν.

Ἁμαρτωλῶν τὰς δεήσεις προσδεχομένη, θλιβομένων ξεναγμὸν μὴ παρορῶσα, πρέσβευε τῷ ἐξ ἁγνῶν λαγόνων σου, σωθῆναι ἡμᾶς, Παναγία Παρθένε.

Τῇ γ'. εἰς τὸν Ὄρθρον.

Μετὰ τὴν ά. Στιχολογίαν.

Καθίσματα Κατανυκτικά.

Ἐν ἀνομίαις συλληφθεὶς ἐγὼ ὁ ἄσωτος, οὐ τολμῶ ἀτενίσαι εἰς τὸ ὕψος τοῦ οὐρανοῦ, ἀλλὰ θαῤῥῶν εἰς τὴν φιλανθρωπίαν σου κράζω: Ὁ Θεὸς ἱλάσθητί μοι καὶ σῶσόν με.

Εἰ ὁ δίκαιος μόλις σώζεται, ἐγὼ ποῦ φανοῦμαι ὁ ἁμαρτωλός; τὸ βάρος καὶ τὸν καύσωνα τῆς ἡμέρας οὐκ ἐβάστασα τοῖς περὶ τὴν ἑνδεκάτην ὥραν συναρθμησόν μοι ὁ Θεὸς, καὶ σῶσόν με.

Δόξα, καὶ νῦν.

Ἄῤῥηκτον τεῖχος κεκτημένοι, πιστοὶ τὴν Θεοτόκον Μαρίαν, δεῦτε προσπέσωμεν αὐτῇ· παῤῥησίαν γὰρ ἔχει πρὸς τὸν τεχθέντα ἐξ αὐτῆς, τοῦ πρεσβεύειν καὶ σώζειν ἀπὸ ὀργῆς, καὶ θανάτου τὰς ψυχὰς ἡμῶν.

Μετὰ τὴν β'. στιχολ. Καθίσματα.

Τὸν τάφον σου Σωτὴρ.

Ὁ πάλαι ταῖς ῥοαῖς, Ἰορδάνου βαπτίσας τὴν κάθαρσιν παντὸς, Ἰωάννῃ τοῦ Κόσμου, πολλοῖς μὲ βυθιζόμενον, πλημμελήμασιν ἔλκυσον, καὶ ἀπόπλυνον, ἀπὸ παντοίας κηλίδος, τὸν φιλάνθρωπον, διὰ παντὸς ἱκετεύων, ὡς πρέσβις εὐπρόσδεκτος.

Τοῦ λίθου σφραγισθέντος,

Ὡς καλοὶ στρατιῶται, ὁμοφρόνως πιστεύσαντες, τὰς ἀπειλὰς τῶν τυράννων, μὴ πτοούμενοι ἅγιοι προσήλθετε προθύμως τῷ Ἀρίστῳ, ἁράμενοι τὸν τίμιον Σταυρὸν, καὶ τελέσαντες τὸν δρόμον, ἐξ Οὐρανοῦ τὴν νίκην ἐδέξασθε. Δόξα τῷ ἐνισχύσαντι ὑμᾶς, δόξα τῷ στεφανώσαντι, δόξα τῷ δωρουμένῳ δι' ὑμῶν πᾶσιν ἰάματα.

Δόξα, καὶ νῦν. Τὸν τάφον σου.

Νηδύι μητρικῇ, Ἰωάννης σκιρτήσας, φερόμενον Ἁγνὴ, τὸν Θεὸν ἐν γαστρί σου, ἐπέγνω θείᾳ χάριτι, καὶ πιστῶς προσεκύνησεν. Ἀλλὰ δέομαι, σὺν τῷ Πρόδρόμῳ Παρθένε, καθικέτευσον, ὃν ἐσωμάτωσας Λόγον, σωθῆναι τὸν δοῦλόν σου.

Εἰς

Εἰς τῶν Στίχ: τῶν αἴνων.

Στιχηρὰ Κατανυκτικά.

Ἄλλος σε Κόσμος ψυχή, (ὅρα σελ. 142).

Μὴ ἀποδοκιμάσῃς με Σωτήρ μου (ὅρα σελ. 142).

Οὗτοι οἱ στρατιῶται τοῦ Βασιλέως τοῦ μεγάλου, ἀντέστησαν τοῖς δόγμασι τῶν τυράννων· γενναίως κατεφρόνησαν τῶν βασάνων, καὶ τὴν πλάνην πᾶσαν πατήσαντες, ἀξίως στεφανωθέντες, αἰτοῦνται παρὰ τοῦ Σωτῆρος εἰρήνην, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος. Δόξα, καὶ νῦν.

Πανεύφημοι Μάρτυρες.

Παρθένε πανύμνητε Μωσῆς, τὸ ἐν σοὶ μυστήριον, Προφητικοῖς εἶδεν ὄμμασι Βάτον τὴν ἄφλεκτον, εἴπερ καιομένην· πῦρ γὰρ τῆς Θεότητος, τὴν μήτραν σου Ἀγνὴ οὐ κατέφλεξε. Διὸ αἰτοῦμέν σε, ὡς Μητέρα τοῦ Θεοῦ ἡμῶν, τὴν εἰρήνην τῷ Κόσμῳ βραβεῦσαι.

Τῇ γ'. ἐσπέρας· εἰς τὸ, Κύριε ἐκέκραξα Στιχηρὰ Σταυρώσιμα.

Πανεύφημοι Μάρτυρες ὑμᾶς.

Παλαμας ἀχράντου σου Χριστὲ ἐπὶ ξύλου ἥπλωσας, καὶ τοὺς δακτύλους αἱμάτωσας, θέλων λυτρώσασθαι, τῶν θείων χειρῶν σου, τὸ ἔργον φιλάνθρωπε, Ἀδαμ τὸν παραβάσει κρατούμενον, εἰς τὰ βασίλεια, τοῦ θανάτου δν καὶ ἤγειρας, ἐξουσίᾳ τῇ παντοδυνάμῳ σου.

Σταυρῷ προσηλούμενος Χριστὲ, ὁ Θεὸς ὡς ἄνθρωπος, ἀνθρώ-

ὡς ἔβλεψε, Χριστὸν κρεμάμενος, τὴν ἐμὴν καρδίαν, καὶ σπαράττει Δέσποτα, ὡς πάλαι Συμεών μοι προέφησεν, ἀλλὰ ἀνάστηθι, καὶ συνδόξασον ἀθάνατε, τὴν Μητέρα καὶ δούλην σου δέομαι.

Τῇ δ'. εἰς τὸν ὄρθρον μετὰ τὴν ά. στιχολογίαν Καθίσματα Σταυρώσιμα.

Σῶσον Κύριε τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς Βασιλεῦσι κατὰ βαρβάρων δωρούμενος, καὶ τὸ σὸν φυλάττων διὰ τοῦ Σταυροῦ σου πολίτευμα.

Σταυρωθέντος σου Χριστὲ, ἀνηρέθη ἡ τυραννὶς, ἐπατήθη ἡ δύναμις τοῦ ἐχθροῦ· οὔτε γὰρ Ἄγγελος, οὐκ ἄνθρωπος, ἀλλ' αὐτὸς ὁ Κύριος ἔσωσας ἡμᾶς, δόξα σοι.

Δόξα καὶ νῦν.

Σταυροθεοτοκίον

Οἱ τὴν σὴν προστασίαν κεκτημένοι Ἄχραντε, καὶ ταῖς σαῖς ἱκεσίαις τῶν δεινῶν ἐκλυτρούμενοι, τῷ Σταυρῷ τοῦ Υἱοῦ σου ἐν νυκτὶ φρουρούμενοι, κατὰ χρέος σε πάντες εὐσεβῶς μεγαλύνομεν.

Μετὰ τὴν Β'. Στιχολογίαν Καθίσματα.

Τὸν τάφον σου Σωτήρ.

Ἁπλώσας ἐν Σταυρῷ, τὰς παλάμας οἰκτίρμων, τὰ Ἔθνη τὰ μακρὰν, ἀπὸ σοῦ γεγονότα, συνήγαγες δοξάζειν σου, τὴν πολλὴν ἀγαθότητα· ἀλλ' ἐπίβλεψον, ἐπὶ τὴν σὴν κληρουχίαν, καὶ κατάβαλε, τοὺς καθ' ἡμῶν πολεμίους, Σταυρῷ τῷ Τιμίῳ σου.

Τὰς ἀληθόνας τῶν Ἁγίων, ἃς ὑπὲρ σοῦ ἔπαθον, δυσωπήθητι Κύριε, καὶ πάσας ἡμῶν τὰς ὀδύνας, ἴασαι φιλάνθρωπε δέομαι.

Δόξα καὶ νῦν.

Τὸν τάφον σου Σωτήρ.

Ἡ ἄσπιλος ἀμνὰς, τὸν ἀμνὸν καὶ ποιμένα, κρεμάμενον νεκρὸν, ἐπὶ ξύλου ὁρῶσα, ἐν δάκρυσιν ἐκραύγαζε, μητρικῶς ἀλαλάζουσα· πῶς ὑμνήσω σου τὴν ὑπὲρ λόγον Υἱέ μου, συγκατάβασιν, καὶ τὰ ἑκούσια πάθη, Θεὲ ὑπεράγαθε.

Τὸ π.ωὶ Ἀπόστιχα Τοῦ ἑσπερινοῦ.

Τῇ Δ'. ἑσπέρας εἰς τὸ, Κύριε ἐκέκραξα. Στιχηρὰ Προσόμοια τῶν Ἀποστόλων

Πανεύφημοι Μάρτυρες.

Ἀπόστολοι Ἔνδοξοι Χριστοῦ, Μαθηταὶ θεόκλητοι, τῆς Οἰκουμένης Διδάσκαλοι, εὑρόντες Κύριον, τὸν Θεοῦ μεσίτην, καὶ ἀνθρώπων πέλοντα, αὐτῷ θεοπρεπῶς ἐκολλήθητε, καὶ ὡς Θεὸν αὐτὸν, καὶ ὡς ἄνθρωπον παντέλειον, ἐν τῷ Κόσμῳ σαφῶς ἐκηρύξατε.

Ἀπόστολοι Πάνσοφοι ψυχῆς, τῆς ἐμῆς τὴν ἄνοιαν, ἀποτινάξαι πρεσβεύσατε, ὡς χρηματίσαντες,

τῆς σοφίας ὄντως, μύσται καὶ ἐκφάντορες, τὸ φῶς τοῦ Παρακλήτου ἀνάψαντες, καὶ καταπρήσαντες, τὸ σαθρὸν τῆς διανοίας μου, μακαρίζειν ὑμᾶς ἀξιώσατε.

Τοῦ Ἁγίου Νικολάου.

Τῶν οὐρανίων ταγμάτων.

Τῆς ἐκκλησίας τὰ ἄνθη περιπτάμενος, ὡς νεοσσὸς τῆς ἄνω καλιᾶς τῶν Ἀγγέλων, Νικόλαε τρισμάκαρ, κράζεις ἀεὶ πρὸς τὸν Θεὸν ὑπὲρ πάντων ἡμῶν, τῶν ἐν ἀνάγκαις κινδύνων καὶ πειρασμῶν, καὶ λυτροῦσαι ταῖς πρεσβείαις σου.

Εἰς τὸν στίχον.

Στιχηρὰ Ἀποστολικά.

Ἡ τῶν Ἀποστόλων παναρμόνιος λύρα, ἐξ Ἁγίου Πνεύματος κινουμένη, τὰς τῶν στυγνῶν δαιμόνων τελετὰς κατήργησε, καὶ τὸν ἕνα Κύριον κηρύξασα, Ἔθνη ἐλυτρώσατο τῆς πλάνης τῶν εἰδώλων, καὶ προσκυνεῖν ἐδίδαξε Τριάδα ὁμοούσιον.

Τῶν οὐρανίων ταγμάτων.

Πέτρον καὶ Παῦλον συμφώνως, ἀνευφημήσωμεν, Λουκᾶν, Ματθαῖον, Μάρκον, Ἰωάννην, Ἀνδρέαν, Θωμᾶν, Βαρθολομαῖον Σίμωνα τὸν Κανανίτην, Ἰάκωβον Φίλιππον, καὶ τὴν ὁμήγυριν πᾶσαν τῶν μαθητῶν, ἐπαξίως εὐφημήσωμεν.

Πανεύφημοι Μάρτυρες ὑμᾶς, οὐχ ἡ γῆ κατέκρυψεν, ἀλλ' Οὐρανὸς ὑπεδέξατο· ἠνοίγησαν ὑμῖν, παραδείσου πύλαι καὶ ἐντὸς γενόμενοι, τοῦ ξύλου τῆς ζωῆς ἀπολαύετε, Χριστῷ πρεσβεύοντες, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος. Δόξα, καὶ νῦν.

Παρθένε πανύμνητε Μωσῆς, τὸ ἐν σοὶ μυστήριον, προφητικοῖς εἶδεν ὄμμασι, βάτον μὴ φλέγεσθαι εἴπερ καιομένην· πῦρ γὰρ τῆς Θεότητος, τὴν μήτραν σου Ἁγνὴ οὐ κατέφλεξε· διὸ αἰτοῦμέν σε, ὡς Μητέρα τοῦ Θεοῦ ἡμῶν, τὴν εἰρήνην τῷ Κόσμῳ σου δώρησαι.

Τῇ ε'. εἰς τὸν Ὄρθρον, μετὰ τὴν α'. Στιχολογίαν καθίσματα.

Οἱ σοφοὶ τῆς Οἰκουμένης ἁλιεῖς, ἐκ Θεοῦ λαβόντες τὸ συμπαθές, πρεσβεύσατε καὶ νῦν ὑπὲρ ἡμῶν τῶν βοώντων, Κύριε σῶσον τὸν Λαόν σου καὶ τὴν Πόλιν σου, καὶ τῶν συνεχόντων δεινῶν ἐλευθέρωσον, διὰ τῶν Ἀποστόλων σου τὰς ψυχὰς ἡμῶν.

Τοῦ λίθου σφραγισθέντος.

Τῇ σαγήνῃ τοῦ λόγου, τὰς πνοὰς τῶν ῥητόρων, οἱ Ἁλιεῖς τῷ καλάμῳ τοῦ Σταυροῦ ἀνατρέψαντες, ἐφώτισαν τὰ Ἔθνη εὐσεβῶς, δοξάζειν σε Θεὸν ἀληθινόν· διό σοι τῷ ἐνδυναμώσαντι αὐτοὺς βοῶμεν· δόξα τῷ Πατρὶ καὶ τῷ Υἱῷ, δόξα τῷ ὁμοουσίῳ Πνεύματι, δόξα τῷ δι' αὐτὸν φωτίσαντι τὸν Κόσμον.

Δόξα

Δόξα, καὶ νῦν.

Συλλαβοῦσα ἀφλέκτως τὸ πῦρ τῆς θεότητος, καὶ τεκοῦσα ἀσπόρως πηγὴν ζωῆς τὸν Κύριον, κεχαριτωμένη Θεοτόκε, περίσωζε τοὺς σὲ μεγαλύνοντας.

Μετὰ τὴν β΄. Στιχολογίαν. Καθίσματα.

Τὸν τάφον σου Σωτῆρ.

Τοῖς Μύροις παροικῶν, αἰσθητῶς Ἱεράρχα, ὡς μύρῳ νοητῶς, τῷ τοῦ Πνεύματος ὤφθης· χρισθεὶς Πάτερ Νικόλαε, καὶ τοῖς μύροις θαυμάτων σου, κατεμύρισας, μύρον ἀένναον χέων, τοῖς μυρίσαι σου, μεμερισμένοις ἐν ὕμνοις, τὴν μνήμην ἐθέλουσιν.

Μαρτυρικόν.

Τοὺς Μάρτυρας Χριστοῦ, ἱκετεύσωμεν πάντες, αὐτοὶ γὰρ τὴν ἡμῶν, σωτηρίαν αἰτοῦνται· καὶ πόθῳ προσέλθωμεν, πρὸς αὐτοὺς μετὰ πίστεως· οὗτοι γέμουσι, τῶν ἰαμάτων τὴν χάριν· οὗτοι φάλαγγας, ἀποσοβοῦσι δαιμόνων, ὡς φύλακες τῆς πίστεως.

Δόξα, καὶ νῦν.

Οἱ θεῖοι Μαθηταί, καὶ Ἀπόστολοι Κύριε, ἐνθέοις διδαχαῖς, ἀνεκήρυξαν πᾶσι, τὴν ἄφραστόν σου Γέννησιν, Θεοτόκε πανάχραντε, σὲ διδάξαντες, τοῦ προσκυνεῖσθαι ἀξίως, ἀλλ΄ αἰτοῦμέν σε, σὺν τούτοις αἴτει σωθῆναι, τοὺς πίστει τιμῶντάς σε.

Τὸ πρωὶ ἀπόστιχα τοῦ Ἐσπερινοῦ.

Τῇ ε΄ ἑσπέρας εἰς τὸ, Κύριε ἐκέκραξα. Στιχηρὰ Σταυρώσιμα.

Τῶν οὐρανίων ταγμάτων

Ξύλῳ τὸ πρὶν ὁ προπάτωρ, θανάτου γεύεται, ξύλῳ δὲ νῦν τιμίῳ, πᾶς πιστὸς ἐκλυτροῦται, θανάτου καταδίκης· πᾶσα πνοή, ἀνυμνοῦντες δοξάσωμεν, τὸν Σταυρωθέντα βουλήσει ὑπὲρ ἡμῶν, καὶ φωτίσαντα τὰ πέρατα.

Πεπωρωμένος καρδίαν, καὶ λογισμοῖς πονηροῖς, ἀπεγνωσμένος ὅλος, καὶ κατακεκριμένος, ὑπάρχων ἐκβοῶ σοι. Λόγε Θεοῦ, τὰ κρυφῆ μοι ἐγκλήματα, καὶ τὰς ἀτάκτους κινήσεις τῶν λογισμῶν, καταπράϋνον ὡς εὔσπλαγχνος,

Σὲ σωτηρίαν μου πάντοτε ἐπιγράφομαι, ἐν σοὶ θαῤῥῶ σωθῆναι, Παναγία Παρθένε. Ἐκ πάσης οὖν με βλάβης, φθορᾶς καὶ παθῶν, ἀνελπίστου κακίας τε, καὶ ἐξαιρέτως ἐκ γνώμης ἀνηλεοῦς, φιλαργύρου τε ἐξάρπασον,

Εἰς τὸν στίχον Στιχηρά. Σταυρώσιμα.

Σταυρὸς κατεπάγη ἐν κρανίῳ, καὶ ἤνθησεν ἡμῖν ἀθανασίαν, ἐκ πηγῆς ἀεννάου, τῆς πλευρᾶς τοῦ Σωτῆρος.

Ἄῤῥητον τεῖχος ἡμῖν ἐστιν, ὁ τίμιος Σταυρὸς ὁ τοῦ Σωτῆρος· ἐν αὐτῷ γὰρ πεποιθότες, σωζόμεθα πάντες.

Τῇ πρεσβείᾳ Κύριε, πάντων τῶν ἁγίων, καὶ τῆς Θεοτόκου, τὴν σὴν εἰρήνην δὸς ἡμῖν, καὶ ἐλέησον ἡμᾶς, ὡς μόνος οἰκτίρμων.

Δόξα

Δόξα, καὶ νῦν Σταυροθεοτοκίον.

Πανεύφημοι Μάρτυρες.

Τὴν γεῦσιν τὴν πάλαι τοῦ Ἀδὰμ, τὴν πικρὰν ἐγλύκανας, χολὴν καὶ ὄξος γευσάμενος, Τέκνον γλυκύτατον, ὑψωθεὶς ἐν ξύλῳ, ὡς κριτὰς ὁ δίκαιος· διό με φαρμαχθεῖσαν τῷ πάθει σου γλύκανον Δέσποτα, ἀναξὰς ὡς παντοδύναμος, ἡ Παρθένος ἔλεγε δακρύουσα.

Τῇ Παρασκ. εἰς τὸν Ὄρθρον, μετὰ τὴν ά. Στιχολογ. Καθίσμ.

Τοῦ λίθου σφραγισθέντος.

Τοῦ Σταυροῦ σου τὸ ξύλον προσκυνοῦμεν φιλάνθρωπε· ὅτι ἐν αὐτῷ προσηλώθης ἡ ζωὴ τῶν ἁπάντων. Παράδεισον ἠνέῳξας Σωτὴρ, τῷ πίστει προσελθόντι σοι Ληστῇ, καὶ τροφῆς κατηξιώθη ὁμολογῶν σοι, μνήσθητί μου Κύριε· δέξαι λοιπὸν ὥσπερ ἐκεῖνον, καὶ ἡμᾶς κραυγάζοντας, ἡμάρτομεν πάντες τῇ εὐσπλαγχνίᾳ σου, μὴ ὑπερίδῃς ἡμᾶς.

Τὸν τάφον σου Σωτήρ.

Τὸ ὅπλον τοῦ Σταυροῦ, ἐν πολέμοις ἐδείχθη, ποτὲ τῷ εὐσεβεῖ Βασιλεῖ Κωνσταντίνῳ ἀήττητον τρόπαιον, κατ' ἐχθρῶν διὰ πίστεως· τοῦτο τρέμουσιν αἱ ἐναντίαι δυνάμεις· τοῦτο γέγονε καὶ τῶν πιστῶν σωτηρία, καὶ Παύλου τὸ καύχημα.

Δόξα, καὶ νῦν.

Ὁρῶσά σε νεκρὸν, καὶ γυμνὸν ἐπὶ ξύλου, τιτρώσκομαι δεινῶς, καὶ δονοῦμαι τὰ σπλάγχνα, Υἱέ μου ὑπεράγαθε, καὶ Θεὲ παντοδύναμε, ἡ Πανάμωμος, ἐν σεναγμοῖς ἀνεβόα· ἣν ὑμνήσωμεν, ὡς τοῦ Κυρίου Μητέρα, καὶ πίστει δοξάσωμεν.

Μετὰ τὴν β'. Στιχολ. Καθίσματα.

Τὸν τάφον σου Σωτήρ.

Σταυρῷ προσηλωθείς, ἑκουσίως οἰκτίρμων, ἐθέωσας ἡμῶν, τὴν φθαρεῖσαν οὐσίαν, καὶ τὸν ἀνθρωποκτόνον, ἐθανάτωσας δράκοντα· ἀλλὰ στήριξον ὀρθοδοξίᾳ τὸν Κόσμον, καὶ κατάβαλε, αἱρετικῶν τὰς ἐπάρσεις, Σταυρῷ τῷ τιμίῳ σου.

Ἀθλήσεως καύχημα, καὶ στεφάνων ἄξιωμα, οἱ ἔνδοξοι Ἀθλοφόροι, περιβεβλήνται σε Κύριε· καρτερίᾳ γὰρ αἰκισμῶν τοὺς ἀνόμους ἐτροπώσαντο, καὶ δυνάμει θείᾳ ἐξ Οὐρανοῦ τὴν νίκην ἐδέξαντο· αὐτῶν ταῖς ἱκεσίαις, δώρησαι ἡμῖν ὁ Θεὸς τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. Τὸν τάφον σου Σωτήρ.

Ἡ Ἄσπιλος ἀμνὰς τὸν ἀμνὸν καὶ ποιμένα, ὁρῶσα ἐν Σταυρῷ, ὡς ἐσφαγμένον, τας ὄψεις διεσπάραττε, καὶ θρηνοῦσα ἐφθέγγετο· ὢ τολμήματος, τῶν μιαφόνων Ἑβραίων καὶ τῆς θείας σου, μακροθυμίας Υἱέ μου, καὶ γὰρ θέλων πέπονθας.

Τὸ πρωΐ ἀπόστιχα τοῦ ἑσπερινοῦ.

Τῇ Παρασκευῇ ἑσπέρας. τὸ μηναῖον, καὶ τοῦ ἁγίου τῆς μονῆς· εἰδὲ οὐδὲν ἕνι μηναῖον, ταῦτα.

Πανεύφημοι Μάρτυρες.

Ξύλου βρώσει τέθνηκα ποτὲ, συμβουλίᾳ ὄφεως, συνεπαρθεὶς καὶ ἐξόριστος, τῆς θείας δόξης σου, γεγονὼς ὁ τάλας, διὸ τεθανάτωμαι, ὑπὸ τῆς ἁμαρτίας ὁ δείλαιος· λοιπὸν φιλάνθρωπε, σὺ ὡς μόνος εὐδι-

μιάλλακτος, Παραδείσου οἰκήτορα ποίησον.

Πάντα καταλείψασα ψυχή, ἐννοοῦ τὴν ὥραν σου, τὴν τελευταίαν καὶ πρόσεχε, σαυτῇ πρὸς ἔξοδον, ἑτοιμαζομένη, ὅπως μὴ αἰφνίδιον ἔλθῶν σε καταλάβῃ ὁ θάνατος, εὑρὼν ἀνέτοιμον. τῷ Κυρίῳ οὖν ἀείποτε, γρηγοροῦσα, προσεύχου καὶ δάκρυε.

Ἁγία θεόνυμφε ἁγνόν, σεμνόν με καὶ σώφρονα, πρᾶον ἡσύχιον κόσμιον, εὐθῆ καὶ ὅσιον, ἀληθῆ ἀνδρεῖον, φρόνιμον μακρόθυμον, χρηστὸν ἐπιεικῆ τε καὶ μέτριον, ἀμεμπτον ἄμωμον, ἀνεπίληπτόν τε ποίησον, καὶ πρὸς τούτοις, Παραδείσου μέτοχον.

Δόξα, καὶ νῦν. Τὴν παγκόσμιον δόξαν. (ὁρα σελ 127).

Εἰς τὸν Στίχ. Στιχηρὰ Μαρτυρικά.

Ἡ ἐν σταδίῳ ὑμῶν ὁμολογία Ἅγιοι, τῶν δαιμόνων κατεπτηξε τὴν δύναμιν, καὶ τῆς πλάνης τοὺς ἀνθρώπους ἠλευθέρωσε· διὸ καὶ τὰς κεφαλὰς ἀποτεμνόμενοι ἐκράζετε, γενέσθω Κύριε ἡ θυσία τῶν ψυχῶν ἡμῶν εὐπρόσδεκτος ἐνώπιόν σου, ὅτι σὲ ποθήσαντες, κατεφρονήσαμεν τῆς προσκαίρου ζωῆς φιλάνθρωπε.

Ὦ τῆς καλῆς ὑμῶν πραγματείας Ἅγιοι, ὅτι αἵματα ἐδώκατε, καὶ Οὐρανοὺς ἐκληρονομήσατε, καὶ πρὸς καιρὸν πειρασθέντες, αἰωνίως ἀγάλλεσθε. Οὕτως καλὸν ὑμῶν τὸ ἐμπόρευμα· φθαρτὰ γὰρ καταλιπόντες, τὰ ἄφθαρτα ἀπελάβετε, καὶ σὺν Ἀγγέλοις χορεύοντες, ὑμνεῖτε ἀπαύστως Τριάδα ὁμοούσιον.

Πανεύφημοι Μάρτυρες ὑμᾶς, οὐχ ἡ γῆ κατέκρυψεν, ἀλλ' οὐρανὸς ὑπεδέξατο. Ἠνοίγησαν ἡμῖν, Παραδείσου πύλαι, καὶ ἐντὸς γενόμενοι, τοῦ ξύλου τῆς ζωῆς ἀπελαύετε, Χριστῷ πρεσβεύσατε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Στίχ. Μακάριοι οὓς ἐξελέξω.

Ποία τοῦ βίου τρυφὴ διαμένει λύπης ἀμέτοχος; ποία δόξα ἔστηκεν ἐπὶ τῆς γῆς ἀμετάθετος; πάντα σκιᾶς ἀσθενέστερα· πάντα ὀνείρων ἀπατηλότερα· μία ῥοπή, καὶ ταῦτα πάντα θάνατος διαδέχεται. Ἀλλ' ἐν τῷ φωτὶ Χριστὲ τοῦ προσώπου σου, καὶ τῷ γλυκασμῷ τῆς σῆς ὡραιότητος, οὓς ἐξελέξω ἀνάπαυσον ὡς φιλάνθρωπος Δόξα, καὶ νῦν.

Χαίροις παρ' ἡμῶν Ἁγία Θεοτόκε Παρθένε, τὸ σεπτὸν κειμήλιον ἁπάσης τῆς Οἰκουμένης, ἡ λαμπὰς ἡ ἄσβεστος, τὸ χωρίον τοῦ ἀχωρήτου, ὁ Ναὸς ὁ ἀκατάλυτος. Χαίροις ἐξ ἧς Ἀμνὸς ἐτέχθη, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου.

Μαρτυρικὰ, ὅτε ἐνι Ἀλληλούϊα, εἰς ὃ, Κύριε ἐκέκραξα, ψάλλονται. Εἰς δὲ τὸν Στίχον λέγομεν τὸ ά. Μαρτυρικὸν, καὶ τὰ δύω Νεκρώσιμα.

Τῷ Σαββάτῳ, εἰς τὸν Ὄρθρον, μετὰ τὴν ά. Στιχολογ. Καθισ. Μ ρτυρ.

Ὡς καλοὶ στρατιῶται ὁμοφρόνως πιστεύσαντες, τὰς ἀπειλὰς τῶν τυράννων μὴ πτοούμενοι Ἅγιοι, προσήλθετε προθύμως τῷ Χρι-

Χριστῷ, ἀράμενοι τὸν τίμιον Σταυρὸν, καὶ τελέσαντες τὸν δρόμον, ἐξ Οὐρανοῦ τὴν νίκην ἐλάβετε. Δόξα τῷ ἐνισχύσαντι ὑμᾶς, δόξα τῷ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι δι' ὑμῶν πᾶσιν ἰάματα.

Στίχ. Θαυμαστὸς ὁ Θεός.

Τὰς ἀλιγηδόνας τῶν Ἁγίων, ἃς ὑπὲρ σοῦ ἔπαθον, δυσωπήθητι Κύριε, καὶ πάσας ἡμῶν τὰς ὀδύνας, ἴασαι φιλάνθρωπε δεόμεθα.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ.

Τὸν τάφον σου Σωτήρ

Τοὺς Μάρτυρας Χριστοῦ, ἱκετεύσωμεν πάντες· αὐτοὶ γὰρ τὴν ἡμῶν, σωτηρίαν αἰτοῦνται, καὶ πόθῳ προσέλθωμεν, πρὸς αὐτοὺς μετὰ πίστεως. Οὗτοι βρύουσι τῶν ἰαμάτων τὴν χάριν, οὗτοι φάλαγγας ἀποσοβοῦσι δαιμόνων, ὡς φύλακες τῆς πίστεως.

Δόξα, καὶ νῦν.

Τοῦ Γαβριὴλ εὐθεγξαμένου σοι Παρθένε τὸ χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ Ἁγίᾳ Κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαβὶδ, εὐδείχθης πλατυτέρα τῶν οὐρανῶν βαστάσασα τὸν κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοὶ· δόξα τῷ προελθόντι ἐκ σοῦ· δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς διὰ τοῦ τόκου σου.

Μετὰ τὴν ϛ΄. στιχολογίαν, Καθίσματα Μαρτυρικά.

Ἄθλήσεως καύχημα, καὶ σεβάσμων ἀξίωμα, οἱ Ἔνδοξοι Ἀθλοφόροι, περιεβλήνται σε Κύριε, καρτερίᾳ τῶν αἰκισμῶν τοὺς ἀνόμους ἐτροπώσαντο, καὶ δυνάμει Θείᾳ, ἐξ Οὐρανοῦ τὴν νίκην ἐδέξαντο. Αὐτῶν ταῖς ἱκεσίαις δώρησαι ἡμῖν τὸ μέγα ἔλεος.

Στίχ. Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς.

Τὸ τοῦ θανάτου κράτος, Χριστὲ κατήργησας, καὶ ἀφθαρσίαν τοῖς ἐπὶ γῆς ἐπήγασας, καὶ οἱ εἰς σὲ πιστεύοντες οὐ θνήσκουσιν, ἀλλὰ ζῶσιν ἐν σοί. Ἀνάπαυσον οὖν, Κύριε, τὰς ψυχὰς τῶν δούλων σου, καὶ κατάταξον αὐτοὺς μετὰ τῶν ἁγίων σου· πρεσβείαις τῆς Θεοτόκου, χαριζόμενος αὐτοῖς τὰ ἐλέη σου.

Στίχ. Μακάριοι οὓς ἐξελέξω.

Τὸν τάφον σου Σωτήρ.

Ἐν τόπῳ φωτεινῷ, ἐν χορῷ τῶν δικαίων, ἀνάπαυσον Σωτήρ, τοὺς πρὸς σὲ μεταστάντας· εἰς σὲ γὰρ φιλάνθρωπε, τὰς ἐλπίδας ἀνέθεντο. Δέξαι δέησιν ὑπὲρ πατέρων καὶ τέκνων, καὶ δικαίωσον, ὧν ἐκτελοῦμεν τὴν μνήμην, ὡς ὢν πολυέλεος. Δόξα, καὶ νῦν.

Θαῦμα θαυμάτων, Κεχαριτωμένη, ἐν σοὶ θεωροῦσα ἡ κτίσις ἀγάλλεται. Συνέλαβες γὰρ ἀσπόρως, καὶ ἔτεκες ἀρρήτως, ὃν ταξιαρχίαι Ἀγγέλων ὁρᾷν οὐ δεδύνηνται. Αὐτὸν Θεοτόκε, ἱκέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Τὸ πρωΐ ἀπόστιχα τοῦ ἑσπερινοῦ.

Τῷ Σαββάτῳ ἑσπέρ. ὡς διετάχθη ἐν τῷ ἀ. ἤχ. φύλλ. 126. εἰς τὸ, Κύριε ἐκέκραξα, Στιχηρὰ Ἀναστάσιμα,

Ἦχος β΄.

Τὸν πρὸ αἰώνων ἐκ Πατρὸς γεννηθέντα, τὸν Θεὸν Λόγον σαρκω-

κωθέντα, ἐκ Παρθένου Μαρίας, δεῦτε προσκυνήσωμεν· σαυρὸν γὰρ ὑπομείνας, τῇ ταφῇ παρεδόθη, ὡς αὐτὸς ἠθέλησε, καὶ ἀναστὰς ἐκ νεκρῶν, ἔσωσέ με τὸν πλανώμενον ἄνθρωπον.

Χριστὸς ὁ σωτὴρ ἡμῶν, τὸ καθ' ἡμῶν χειρόγραφον προσηλώσας τῷ σαυρῷ ἐξήλειψε· καὶ τοῦ θανάτου τὸ κράτος κατήργησε· προσκυνοῦμεν αὐτοῦ τὴν τριήμερον ἔγερσιν.

Σὺν Ἀρχαγγέλοις ὑμνήσωμεν, Χριστοῦ τὴν ἀνάστασιν· αὐτὸς γὰρ λυτρωτής ἐστι, καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν· καὶ ἐν δόξῃ φοβερᾷ, καὶ κραταιᾷ δυνάμει, πάλιν ἔρχεται, κρῖναι κόσμον, ὃν ἔπλασε.

Σὲ τὸν σαυρωθέντα καὶ ταφέντα, Ἄγγελος ἐκήρυξε δεσπότην, καὶ ἔλεγε ταῖς γυναιξί, Δεῦτε ἴδετε, ὅπου ἔκειτο ὁ Κύριος· ἀνέστη γὰρ καθὼς εἶπεν, ὡς παντοδύναμος. Διό σε προσκυνοῦμεν τὸν μόνον ἀθάνατον. Ζωοδότα Χριστὲ, ἐλέησον ἡμᾶς.

Ἐν τῷ σαυρῷ σου κατήργησας, τὴν τοῦ ξύλου κατάραν· ἐν τῇ ταφῇ σου ἐνέκρωσας, τοῦ θανάτου τὸ κράτος· ἐν δὲ τῇ ἐγέρσει σου, ἐρώτισας τὸ γένος τῶν ἀνθρώπων. Διά τοῦτό σοι βοῶμεν, Εὐεργέτα Χριστὲ ὁ Θεὸς ἡμῶν δόξα σοι.

Ἠνοίγησάν σοι Κύριε, φόβῳ πύλαι θανάτου· πυλωροὶ δὲ ᾅδου, ἰδόντες σε ἔπτηξαν· πύλας γὰρ χαλκᾶς συνέτριψας, καὶ μοχλοὺς σιδηροῦς συνέθλασας, καὶ ἐξήγαγες ἡμᾶς ἐκ σκότους, καὶ σκιᾶς θανάτου, καὶ τοὺς δεσμοὺς ἡμῶν διέρρηξας.

Τὸν σωτήριον ὕμνον ᾄδοντες, ἐκ σωμάτων ἀναμέλψωμεν. Δεῦτε πάντες ἐν οἴκῳ Κυρίου, προσπέσωμεν λέγοντες: Ὁ ἐπὶ ξύλου σαυρωθείς, καὶ ἐκ νεκρῶν ἀναστάς, καὶ ὢν ἐν κόλποις τοῦ Πατρός· ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Παρῆλθεν ἡ σκιὰ τοῦ Νόμου τῆς χάριτος ἐλθούσης· ὡς γὰρ ἡ βάτος οὐκ ἐκαίετο καταφλεγομένη· οὕτω Παρθένος ἔτεκες, καὶ Παρθένος ἔμεινας· ἀντὶ ξύλου πυρὸς, δικαιοσύνης ἀνέτειλεν Ἥλιος, ἀντὶ Μωϋσέως Χριστὸς, ἡ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Εἴσοδος, ᾠδὴ ἥλαρον, καὶ τὰ λοιπὰ ὡς εἰς τὸν ἀ. ἦχον Φύλλ 127

Εἰς τὸν στίχον στιχηρά.

Ἡ Ἀνάστασίς σου Χριστὲ Σωτὴρ, ἅπασαν ἐφώτισε τὴν Οἰκουμένην, καὶ ἀνεκαλέσω τὸ ἴδιον πλάσμα, παντοδύναμε Κύριε δόξα σοι.

Τὰ κατὰ ἀλφάβητον.

Διὰ ξύλου Σῶτερ κατήργησας, τὴν τοῦ ξύλου κατάραν· κράτος θανάτου τῇ ταφῇ σου ἐνέκρωσας· ἐρώτισας δὲ τὸ γένος ἡμῶν τῇ ἐγέρσει σου· διὸ βοῶμέν σοι, Ζωοδότα Χριστὲ ὁ Θεὸς ἡμῶν δόξα σοι.

Ἐν τῷ Σταυρῷ Χριστὲ φανεὶς καθηλωμένος, ἠλλοίωσας κάλλος κτισμάτων, καὶ τὸ μὲν ἀπάνθρωπον στρατιῶται δεικνύμενοι, λόγχῃ πλευράν σου ἐκέντησαν· Ἑβραῖοι δὲ σφραγίσαι τάφον ἠτήσαντο, τὴν σὴν ἐξουσίαν οὐκ ἐπιστάμενοι. Ἀλλ' ὁ δι' οἴκτον σπλάγχνων σου καταδεξάμενος ταφὴν, καὶ τριήμερος ἀναστὰς, Κύριε δόξα σοι.

Ζωοδότα Χριστὲ, ἑκουσίως πά-

θος

θος ὑποζὰς διὰ θνητούς· ἐν Ἅιδῃ δὲ κατελθὼν ὡς δυνατός, τοὺς ἐκεῖ τὴν ἔλευσιν μένοντας τὴν σήν, ἁρπάσας ὡς ἐκ χειρὸς κρατεροῦ, Παράδεισον ἀνθ' ἁδοῦ, οἰκεῖν δεδώρησαι· διὸ καὶ ἡμῖν τοῖς δοξάζουσι, τὴν σὴν τριήμερον ἔγερσιν, δώρησαι ἱλασμὸν ἁμαρτιῶν, καὶ τὸ μέγα ἔλεος. Δόξα. καὶ νῦν. Θεοτοκίον

Ὦ θαύματος καινοῦ, πάντων τῶν πάλαι θαυμάτων· τίς γάρ ἔγνω Μητέρα, ἄνευ ἀνδρὸς τεκοῦσαν; καὶ ἐν ἀγκάλαις φέρουσαν, τὸν ἅπασαν τὴν Κτίσιν περιέχοντα; Θεοῦ ἐστι βουλὴ τὸ κυηθέν· ὃν ὡς βρέφος πάναγνε, σαῖς ὠλέναις βαστάσασα, καὶ μητρικὴν παῤῥησίαν πρὸς αὐτὸν κεκτημένη, μὴ παύσῃ δυσωποῦσα, ὑπὲρ τῶν σὲ τιμώντων, τοῦ οἰκτειρῆσαι, καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν. Ἀπολυτίκιον.

Ὅτε κατῆλθες πρὸς τὸν θάνατον, ἡ ζωὴ ἡ ἀθάνατος, τότε τὸν ᾅδην ἐνέκρωσας τῇ ἀστραπῇ τῆς Θεότητος· ὅτε δὲ καὶ τοὺς τεθνεῶτας ἐκ τῶν καταχθονίων ἀνέστησας, πᾶσαι αἱ Δυνάμεις τῶν ἐπουρανίων ἐκραύγαζον, Ζωοδότα Χριστὲ ὁ Θεός ἡμῶν δόξασόν σε. Θεοτοκίον.

Πάντα ὑπὲρ ἔννοιαν, πάντα ὑπερένδοξα, τὰ σὰ Θεοτόκε μυστήρια τῇ ἀγνοίᾳ ἐσφραγισμένη καὶ παρθενίᾳ φυλαττομένη. Μήτηρ ἐγνώσθης ἀψευδής, Θεὸν τεκοῦσα ἀληθινόν. Αὐτὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τῇ Κυριακῇ εἰς τὸ Μεσονυκτικὸν Καὶ ὠν Τριαδ. Μητροφόνους οὐ ἡ ἀρετή. Τὸ τριπλοῦν ὑμνῶ τῆς Θεαρχίας σέβας, ἑνὶ ἀ. Ἐν βυθῷ κατέζρωσε ποτέ

Τὴν τριττὴν καὶ μίαν ἀρχικὴν, φύσιν τῆς Θεότητος, ἀσματικῶς ἀνυμνήσωμεν λέγοντες: Τοῦ ἐλέους πέλαγος ἀνεξάντλητον, οὐσιῶδες ὡς ἔχουσα, σὲ τοὺς προσκυνοῦντας ῥοῦρησον, καὶ σῶσον ὡς φιλάνθρωπος.

Ὁ πηγὴ καὶ ῥίζα πεφυκὼς, ὁ Πατὴρ ὡς αἴτιος, τῆς ἐν Υἱῷ καὶ ἁγίῳ σου Πνεύματι, συμφυοῦς Θεότητος, τὸ τρισήλιον τῇ καρδίᾳ μου πήγασον σέλας, καὶ μεθέξει λάμπρυνον, τῆς θεουργοῦ ἐλλάμψεως.

Τριφεγγὴς Μονὰς Θεαρχική, πᾶσαν διασκέδασον, ἁμαρτιῶν καὶ παθῶν μου τὴν ζόφωσιν, φωτεινῶν ἀκτίνων σου, γλυκυτάταις ἐν μετουσίαις, καὶ ποίησον, σοῦ τῆς ἀπροσίτου δόξης μεναόν, καὶ σκηνὴν ἄχραντον.

Ῥοῦν τὸν πρὶν τῆς φύσεως ἡμῶν, πεπονθυίας ἄτοπον, καὶ πρὸς φθορὰν ὀλισθησάσης Ἄχραντε, σαρκωθεὶς ἐν Μητρᾳ σου, ὁ Θεὸς Λόγος φιλανθρώπως ἀνέστειλε, καὶ τὴν θεαρχίαν, τρίφωτον ἡμᾶς ἐμυσταγώγησεν.

Ὠδὴ Γ'. Ἐν πέτρᾳ με τῆς πίστεως.

Ἰσότητι τῆς φύσεως θεαρχία, ὁμότιμον δοξάζωσε τοῖς προσώποις, ζωὴ γὰρ ἐκ ζωῆς σὺ προελθοῦσα, ἀῤῥεύστως πέφυκας, εἷς ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἅγιος πλὴν σοῦ Κύριε.

Σὺ τάξεις τὰς ἀΰλους, καὶ οὐρανίους, ὑπέστησας ὡς ἔσωπτρα τοῦ σοῦ κάλλους, Τριὰς ἡ ἀδιαίρετος μοναρχία, ὑμνεῖν ἀπαύστως σε

σέ, Ἀλλὰ καὶ νῦν ἡμῶν, ἐκ πηλίνου στόματος, δέξαι τὴν αἴνεσιν.

Στερέωσον τῆς πίστεως ἐν τῇ πέτρᾳ, καὶ πλάτυνον τῆς ἀγάπης σου τῷ πελάγει, καρδίαν καὶ διάνοιαν τῶν σῶν δούλων, Μονὰς Τρισήλιε· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἐφ' ὥπερ ἐλπίζοντες, μὴ αἰσχυνθείημεν. Θεοτοκίον.

Ὃ πᾶσαν πρὶν ὑπόστασιν οὐσιώσας, τῆς Κτίσεως ἐν μήτρᾳ σου οὐσιώθη, ἀπείρῳ ἀγαθότητι, Θεοτόκε, καὶ φῶς τρισήλιον, πᾶσιν ἀνέτειλε, τῆς μιᾶς Θεότητος, καὶ Κυριότητος.

Κάθισμα.

Ὅτε κατ' ἀρχὰς τὸν Ἀδὰμ διέπλασας Κύριε, τότε τῷ λόγῳ σου τῷ ἀνυποστάτῳ ἐδόκησας εὐσπλαγχνε, Ποιήσωμεν κατὰ τὴν ἡμετέραν ὁμοίωσιν. Τὸ δὲ Πνεῦμα τὸ Ἅγιον συμπαρῆν δημιουργόν. Διὸ βοῶμέν σοι, Ποιητὰ ὁ Θεὸς ἡμῶν δόξα σοι. Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ὅτε πρὸς ἡμᾶς ὁ Θεὸς ἐλθεῖν κατηξίωσε, τότε σου πάναγνε, τὴν καθαρωτάτην νηδὺν ἐγκατῴκησε· καὶ ἔσωσε διὰ σοῦ τῶν ἀνθρώπων τὸ φύραμα, χαρισαμενος ἅπασι Βασιλείαν οὐρανῶν. Διὸ βοῶμέν σοι, Θεοτόκε Ἀγνὴ χαῖρε Δέσποινα.

Ὠδὴ Δ'. Ὑμνῶ σε, ἀκοήν.

Νοεῖν σε, οὐδὲ τάξεις ἄϋλοι, ἐξισχύουσι τῶν Ἀγγέλων, Τριὰς Μονὰς ἄναρχε· ἀλλ' οὖν ἡμεῖς πηλίνῃ γλώττῃ, τὴν σὴν οὐσιώδη ἀγαθότητα, καὶ ἀνυμνοῦμεν πίστει καὶ δοξάζομεν.

Ὑπάρχων πλαστουργὸς τῆς φύσεως παντοκράτωρ, τῆς τῶν ἀνθρώπων, πᾶσαν ἐμὴν βλέπεις, νῦν ὡς πανδερκὴς ἀδυναμίαν. Διὸ κατοικτείρησον τὸν δοῦλόν σου, καὶ πρὸς ζωὴν βελτίστην ἐπανάγαγε.

Μονάδος ἀρχικῆς ἀσύγχυτα, τρία Πρόσωπα ἀνυμνοῦμεν, ὡς ἰδικῶς ἔχοντα, καὶ μεριστῶς τὰς ὑποστάσεις· ἀλλ' οὖν ἡνωμένα καὶ ἀμέριστα, ἔντε βουλῇ καὶ δόξῃ καὶ Θεότητι. Θεοτοκίον.

Ναόν σε, καθαρὸν καὶ ἄχραντον, ἀειπάρθενε Θεοτόκε, ὁ παντουργὸς εὗρηκε, μόνη σαφῶς ἐκ τοῦ αἰῶνος· ἐν ᾧ κατοικήσας ἀνεμόρφωσε, τὴν τῶν ἀνθρώπων φύσιν ὡς φιλάνθρωπος.

Ὠδὴ Ε'. Ὁ φωτισμός.

Ὡς ὁλικῶς ἐπὶ πάντα τὰ ὄντα τῆς σῆς προνοίας, τὰς εἰρηναδώρους ἁπλῶν ἀκτῖνας, καὶ σωτηρίους Βασιλεῦ τῆς εἰρήνης, φρούρησόν με ἐν τῇ εἰρήνῃ σου. Σὺ γὰρ εἶ ζωὴ καὶ εἰρήνη τοῦ σύμπαντος.

Τῷ Μωϋσῇ, ἐν τῇ βάτῳ ὡς ὥρθης πυρὸς ἐν εἴδει, Ἄγγελος ἐκλήθης Πατρὸς ὁ Λόγος, τὴν πρός ἡμᾶς σου προδήλων παρουσίαν. δι' ἧς πᾶσι σαρῶς ἀνήγγειλας, κράτος Θεαρχίας μιᾶς τ ισυπόστατον.

Ἡ φυσικὴν, συναίδιον δόξαν προβαλλομένη, μοναρχικωτάτη Τριὰς ἁγία, τοὺς ἀνυμνοῦντας ὀρθοδόξῳ σε πίστει, τῆς σῆς δόξης ἰδεῖν ἀξίωσον, ἄναρχον καὶ μίαν αὐγὴν τὴν τρισήλιον. Θεοτοκίον.

Συνεκτικὸς κατ' οὐσίαν ὑπάρχων ὁ Θεὸς Λόγος, πάντων τῶν αἰώνων ἐν τῇ γαστρί σου, παρθενομήτορ συνεσχέθη ἀφράστως, τοὺς ἀν-

ἀνθρώπους ἀνακαλούμενος, πρὸς τὸ ἐνικὸν τῆς μιᾶς Κυριότητος.

Ὠδὴ ς'. Ἐν Ἁβύσσῳ.

Θελητὰ τοῦ ἐλέους ἐλέητον, τοὺς εἰς σὲ πιστεύοντας Θεὲ τρισήλιε, καὶ τῶν πταισμάτων λύτρωσαι, καὶ παθῶν καὶ κινδύνων τοὺς δούλους σου. Δίς.

Ἐν ἀφάτῳ πελάγει χρηστότητος, τὴν ἀπερινόητον τῆς σῆς ἐλλάμψεως, καὶ τριλαμποῦς Θεότητος, φωτοδότιδα αἴγλην μοι βράβευσον. Θεοτοκίον.

Ἀπορρήτως Παρθένε ὁ Ὕψιστος, ἄνθρωπος ἐγένετο ἐκ σοῦ τὸν ἄνθρωπον, ὁλικῶς ἐνδυσάμενος· καὶ φωτὶ τριλαμπεῖ με κατηύγασε.

Κάθισμα. Εὐσπλαγχνίας

Εὐσπλαγχνίας τὸ πέλαγος ἡμῖν ὑφαπλώσας, ὑπόδεξαι ἡμᾶς ἐλεῆμον· βλέψον εἰς Λαὸν τὸν σὲ δοξάζοντα· δέξαι τὰς ᾠδὰς τῶν αἰτουμένων σε. Τριὰς μονὰς ἄναρχε εἰς σὲ γὰρ ἐλπίζομεν, τὸν τῶν ὅλων Θεόν, τῶν πταισμάτων δοῦναι τὴν συγχώρησιν.

Δόξα, καὶ νῦν Θεοτοκίον.

Εὐσπλαγχνίας κυήσασα πηγήν, συμπαθὴς σὺ ὑπάρχεις ἀγαθὴ Θεοτόκε· σὺ γὰρ τῶν πιστῶν μόνη ἀντίληψις, σὺ τῶν λυπουμένων ἡ παράκλησις. Διό σοι νῦν ἅπαντες, ἐν πίστει προσπίπτομεν, εὑρεῖν λύσιν δεινῶν, οἱ πλουτοῦντες μόνην σε βοήθειαν.

Ὠδὴ ζ'. Εἰκόνος χρυσῆς.

Ῥυθμίζεις ἀεί, τῶν Ἀγγέλων στρατιὰς πρὸς ἀτρεψίαν, μόνος ὑπάρχων ἀναλλοίωτος, ὁ τρισυπόστατος Κύριος. Δεῖξον οὖν κἀμοῦ τὴν καρδίαν, ἀπερίτρεπτον πάντοτε, πρὸς τὸ δοξάζειν σε θερμῶς, καὶ ὑμνεῖν εὐσεβῶς. Δίς.

Χοροὶ νοεροὶ, τῶν ἀΰλων οὐσιῶν ταῖς σαῖς ἀκτῖσι, Θεὲ μονάρχα, καὶ τρισήλιε, καταυγαζόμενοι γίνονται, θέσει δευτερεύοντα φῶτα· ὧν κἀμὲ ταῖς ἐλλάμψεσι, καὶ μετουσίαις δεῖξον φῶς, ὡς φωτουργὸς τριλαμπής.

Ἰσθένειν ἡμᾶς, καὶ ὑψοῦν πρὸς οὐρανὸν μὴ διαλείπῃς τοὺς σὲ φιλοῦντας, ὁδὶ ἄφατον φιλανθρωπίαν γενόμενος ἄνθρωπος, ἐν μήτρᾳ Παρθένου, καὶ θεώσας τὸν ἄνθρωπον, καὶ θρόνῳ δόξης τῷ Πατρὶ συγκαθεζόμενος.

Ὠδὴ Η'. Ἐνδάλματος χρυσοῦ.

Ἀπρόσιτε Τριὰς, συναΐδιε συνάναρχε Θεαρχία, ἡ ἀπαράλλακτος ἐν πᾶσι, πλὴν τῶν φωσφόρων ἰδιοτήτων, πᾶσαν πονηρὰν κατάργησον, τῶν ἀντικειμένων βουλὴν, καὶ ἐνόχλησιν τῶν δαιμόνων, ἀβλαβῆ τηρῶν με ἀεί, Κύριε πάντων.

Δίς.

Σοφῶς καὶ παναρέτως, ἀπερίγραπτε Τρισήλιε Μοναρχία, ἡ ὑποστήσασα τὸν κόσμον, καὶ συντηροῦσα ἐν ἀλωβήτῳ τάξει παντελεῖ, ἐνοίκησον τῇ ἐμῇ καρδίᾳ, ὑμνεῖν καὶ δοξάζειν σε ἀσιγήτως, σὺν χοροῖς Ἀγγέλων, εἰς πάντας τοὺς αἰῶνας.

Σοφία τοῦ Πατρὸς, ἀκατάληπτε, ἀνέκφραστε Θεοῦ Λόγε, τὴν ἀμετάβλητόν σου φύσιν οὐκ ἀλλοιώσας, τὴν τῶν ἀνθρώπων φύσιν συμπαθῶς ἀνέλαβες· καὶ τὴν ἐναίαν

Τρι-

Τριάδα, ἐδίδαξας πάντας σέβειν, ὡς Κυριαρχίαν, ἁπάντων τῶν αἰώνων.

Ὠδὴ Θ'. Ἡ τὸν πρὸ Ἡλίου.

Ἐκ φωτὸς ἀνάρχου, συνάναρχος Υἱός, φῶς ἐξανέτειλε, καὶ συμφυὲς φῶς Πνεῦμα ἐκπεπόρευται, ἀπορρήτως, θεοπρεπῶς, ἀῤῥεύστου τῆς γεννήσεως, πιστευομένης ἅμα δέ, καὶ τῆς ἀῤῥάστου ἐκπορεύσεως.

Λάμψον ταῖς καρδίαις, τρισήλιε Θεότης τῶν ὑμνούντων σε, τῷ τριλαμπεῖ φωτί σου, καὶ δὸς σύνεσιν, τοῦ ἐν πᾶσι κατανοεῖν, καὶ πράττειν τὸ σὸν θέλημα, τὸ ἀγαθὸν καὶ τέλειον, καὶ μεγαλύνειν καὶ δοξάζειν σε.

Ἄπειρος τῇ φύσει, ὑπάρχων ὡς Θεός, ἄπειρον πέλαγος τῶν οἰκτιρμῶν, ὡς ἔχων κατῳκτείρησας, Τριὰς πρώην· οὕτω καὶ νῦν οἰκτείρησον τοὺς δούλους σου, καὶ τῶν πταισμάτων λύτρωσαι, καὶ πειρασμῶν καὶ περιστάσεων.

Θεοτοκίον.

Σῶσόν με Θεέ μου, παντοίας ἐπηρείας καὶ κακώσεως, ὁ ἐν Τρισὶ Προσώποις ἀνυμνούμενος, ἀνεκφράστως, μοναδικῶς, Θεὸς καὶ Παντοδύναμος· καὶ τὴν σὴν ποίμνην φύλαττε, τῆς Θεοτόκου ταῖς ἐντεύξεσι.

Τὰ λοιπὰ καὶ τὴν ἀπόλυσιν ζήτει εἰς φύλλ. (37).

Εἰς τὸν Ὄρθρον, μετὰ τὸν ἐξάψαλμον, τὸ, Θεὸς Κύριος. Τὸ Ἀπολυτίκιον δίς. τὸ Θεοτοκίον ἅπαξ· τὸ Ψαλτήριον, καὶ τὴν ἀ αὐτοῦ στιχολογίαν.

Καθίσματα.

Ὁ εὐσχήμων Ἰωσὴφ, ἀπὸ τοῦ ξύλου καθελὼν τὸ ἄχραντόν σου Σῶμα· σινδόνι καθαρᾷ εἱλίσας καὶ ἀρώμασιν, ἐν μνήματι καινῷ κηδεύσας ἀπέθετο. Ἀλλὰ τριήμερος ἀνέστης Κύριε, παρέχων τῷ Κόσμῳ τὸ μέγα ἔλεος. Δόξα.

Ταῖς Μυροφόροις Γυναιξὶ, παρὰ τὸ μνῆμα ἐπισὰς, ὁ Ἄγγελος ἔβόα· Τὰ μὲν τοῖς θνητοῖς ὑπάρχει ἁρμόδια. Χριστὸς δὲ διαφθορᾶς ἐδείχθη ἀλλότριος. Ἀλλὰ κραυγάσατε· Ἀνέστη ὁ Κύριος, παρέχων τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Ὑπερδεδοξασμένη ὑπάρχεις, Θεοτόκε Παρθένε ὑμνουμένη σε· διὰ γὰρ τοῦ σταυροῦ τοῦ Υἱοῦ σου, κατεβλήθη ὁ ᾅδης, καὶ ὁ θάνατος τέθνηκε· νεκρωθέντες ἀνέστημεν, καὶ ζωῆς ἠξιώθημεν· τὸν Παράδεισον ἐλάβομεν, τὴν ἀρχαίαν ἀπόλαυσιν. Διὸ εὐχαριστοῦντες δοξολογοῦμεν, ὡς κραταιὸν Χριστὸν τὸν Θεὸν ἡμῶν, καὶ μόνον πολυέλεον.

Μετὰ τὴν β'. στιχολογίαν.

Καθίσματα.

Τὸν λίθον τοῦ μνήματος, σφραγισθῆναι μὴ κωλύσας, τὴν πέτραν τῆς Πίστεως, ἀναστὰς παρέσχες πᾶσι. Κύριε δόξα σοι.

Δόξα.

Τῶν Μαθητῶν σου ὁ χορὸς, σὺν Μυροφόροις Γυναιξὶν, ἀγάλλεται συμφώνως· κοινὴν γὰρ ἑορτὴν σὺν αὐτοῖς ἑορτάζομεν, εἰς δόξαν καὶ τιμὴν τῆς σῆς Ἀναστάσεως· καὶ δι' αὐτῶν Φιλάνθρωπε Κύριε, τῷ Λαῷ σου παράσχου τὸ μέγα ἔλεος.

Καὶ νῦν.

Καὶ νῦν Θεοτοκίον.

Ὑπερευλογημένη ὑπάρχεις Θεοτόκε Παρθένε· διὰ γὰρ τοῦ ἐκ σοῦ σαρκωθέντος ὁ ἀρὴς ἠχμαλώτισται, ὁ Ἀδὰμ ἀνακέκληται, ἡ κατάρα νενέκρωται, ἡ Εὔα ἠλευθέρωται, ὁ θάνατος τεθανάτωται, καὶ ἡμεῖς ἐζωοποιήθημεν. Διὸ ἀνυμνοῦντες βοῶμεν, Εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ οὕτως εὐδοκήσας δόξα σοι.

Μετὰ τὸν Ἄμωμον, τὰ Εὐλογητάρια, ἡ Αἴτησις, καὶ ἡ Ὑποκοή.

Μετὰ τὸ πάθος πορευθεῖσαι ἐν τῷ μνήματι, πρὸς τὸ μυρίσαι τὸ σῶμά σου αἱ Γυναῖκες, Χριστέ ὁ Θεός, εἶδον Ἀγγέλους ἐν τῷ τάφῳ, καὶ ἐξέστησαν· φωνῆς γὰρ ἤκουον ἐξ αὐτῶν, ὅτι ἀνέστη ὁ Κύριος, δωρούμενος τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Οἱ Ἀναβαθμοί. Ἀντίφωνον ά.

Ἐν τῷ οὐρανῷ τὰ ὄμματα, ἐκπέμπω μου τῆς καρδίας, πρός σὲ Σωτήρ, σῶσόν με σῇ ἐπιλάμψει.

Ἐλέησον ἡμᾶς, τοὺς πταίοντάς σοι πολλὰ, καθ' ἑκάστην ὥραν, ὦ Χριστέ μου, καὶ δὸς πρὸ τέλους τρόπους τοῦ μετανοεῖν σοι. Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι, τὸ βασιλεύειν πέλει, τὸ ἁγιάζειν, τὸ κινεῖν τὴν Κτίσιν. Θεὸς γάρ ἐστιν, ὁμοούσιος Πατρὶ καὶ Λόγῳ.

Ἀντίφωνον β'.

Εἰμὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν, τίς ἱκανὸς σῶος φυλαχθῆναι, ἐκ τοῦ ἐχθροῦ, ἅμα καὶ ἀνθρωποκτόνου;

ᾧ ἀπεγραψάμεθα, τῇ ἐντολῇ τῇ σῇ μὴ πειθαρχήσαντες, τῷ σαυρῷ σου κέκριται. Προσβαλὼν γάρ σοι ὡς θνητῷ περιπέπτωκε, τῷ τῆς ἐξουσίας κράτει σου, καὶ ἀσθενὴς διήλεγκται.

Λυτρωτὴς τοῦ γένους τῶν βροτῶν, καὶ τῆς ἀκηράτου ζωῆς ἀρχηγός, εἰς τὸν Κόσμον ἐλήλυθας· τῇ γὰρ ἀναστάσει σου, διεσπάραξας τοῦ Θανάτου τὰ σπάργανα· ἣν δοξολογοῦμεν ἅπαντες· ἐνδόξως γὰρ δεδόξασται.

Θεοτοκίον.

Ὑπερτέρα πέφυκας ἁγνή, πάσης ἀοράτου τε, καὶ ὁρατῆς Ἀειπάρθενε κτίσεως· τὸν γὰρ Κτίσην τέτοκας, ὡς ηὐδόκησε, σαρκωθῆναι ἐν μήτρᾳ σου· ᾧ σὺν παῤῥησίᾳ πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἕτερος σαυροαναστάσιμος, ὅστις καταλιμπάνεται, εἰ Ἑορτάζεται τῆς ἡμέρας ὁ Ἅγιος.

Ἄτρεπτον ἀσυνήθη.

Δύναμις ἀσθενοῦσιν, ἀνάστασις πεσοῦσι, καὶ ἀφθαρσία τοῖς τεθνεῶσι γέγονας Χριστέ, τῆς σαρκὸς τῷ πάθει σου, ὅτι δεδόξασαι.

Ὤκτειρε τὴν πεσοῦσαν εἰκόνα, καὶ ἀνέζησε συντριβεῖσαν, ὁ πλαστουργὸς Θεὸς καὶ καινουργὸς, νεκρωθεὶς ὁ γέγονεν, ὅτι δεδόξασται.

Ἕτερος ὅμοιος, τῆς Ὑπεραγίας Θεοτόκου.

Ἄβυσσος πάλαι κλίμαξ, καὶ ξένως χερσωθεῖσα, ὁδὸς θαλάσσης, τὴν σὴν ἐδήλου γέννησιν ἁγνὴ, ἣν ὑμνοῦμεν ἅπαντες, ὅτι δεδόξασαι.

Δύναμις τοῦ Ὑψίστου, ὑπόσασις τελεία, Θεοῦ σοφία, σωματωθεῖσα ἀχραντε ἐκ σοῦ, τοῖς βροτοῖς ὡμίλησεν, ὅτι δεδόξασαι.

Ὠδὴ Γ'. Ὁ Εἱρμός.

Ἐξήνθησεν ἡ ἔρημος, ὡσεὶ κρίνον Κύριε, ἡ τῶν Ἐθνῶν χειροῦσα Ἐκκλησία τῇ παρουσίᾳ σου· ἐν ᾗ ἐσχερεώθη ἡ καρδία μου.

Ἡ κτίσις ἐν τῷ πάθει σου, ἠλλοιοῦτο βλέπουσα, ἐν εὐτελεῖ προσχήματι, ὑπ' ἀνόμων μυκτηριζόμενον, τὸν ἐδράσαντα πάντα θείῳ νεύματι.

Ἐκ χοὸς κατ' εἰκόνα με, τῇ χειρί σου ἔπλασας, συντριβέντα πάλιν, εἰς χοῦν θανάτου δι' ἁμαρτίαν, Χριστὲ, συγκαταβὰς εἰς Ἅδην συνανέστησας. Θεοτοκίον.

Τὰ τάγματα ἐξέστησαν, τῶν Ἀγγέλων Πάναγνε, καὶ τῶν ἀνθρώπων ἔφριξαν, αἱ καρδίαι ἐπὶ τῷ τόκῳ σου· διό σε Θεοτόκον πίστει σέβομεν

Τόξον συνετρίβη.

Ὁ πάντων ἐπέκεινα Χριστὸς, ἠλάττωται βραχύ, τῷ πάθει τῇ τῆς σαρκὸς, τῆς Ἀγγέλων φύσεως.

Νεκρὸς μετ' ἀνόμων λογισθεὶς, ἐκλάμπων Γυναιξὶ, στεφάνῳ δόξης Χριστὲ, ὤφθης τῆς ἐγέρσεως. Ὁ αὐτός.

Ὁ χρόνου ἐπέκεινα παντὸς, ὡς χρόνων ποιητὴς, ἐκ σοῦ παρ-

θένε

θένε ἐκών, βρέφος πεπλαστούργηται.

Νηδὺν πλατυτέραν Οὐρανῶν, ὑμνήσωμεν πιστοί, δι᾽ ἧς Ἀδὰμ ἐν τοῖς οὐρανοῖς, χαίρων πεπολίτευται.

Ὠδὴ Δ΄. Ὁ Εἱρμός.

Ἐλήλυθας, ἐκ Παρθένου οὐ πρέσβυς οὐκ Ἄγγελος, ἀλλ᾽ αὐτὸς ὁ Κύριος σεσαρκωμένος, καὶ ἔσωσας ὅλον με τὸν ἄνθρωπον· διὸ κραυγάζω σοι, Δόξα τῇ δυνάμει σου Κύριε.

Παρίστασαι, ὡς κριτὸς ὁ Θεός μου τῷ βήματι, οὐ κραυγάζων Δέσποτα· κρίσις ἐναγῶν τοῖς ἔθνεσιν, ἣν διὰ τοῦ πάθους σου, τῇ οἰκουμένῃ εἰργάσω σωτηρίαν Χριστέ.

Τῷ πάθει σου, τοῦ ἐχθροῦ αἱ ῥομφαῖαι ἐξέλιπον· τῶν ὑπεναντίων δὲ, ἐν τῇ εἰς Ἅδου καθόδῳ σου, πύλαι καθηρέθησαν, καὶ τοῦ τυράννου τὸ θράσος καταβέβληται.

Θεοτοκίον.

Σὲ λιμένα, σωτηρίας καὶ τεῖχος ἀκράδαντον, Θεοτόκε Δέσποινα, πάντες πιστοὶ ἐπιστάμεθα· σὺ γὰρ ταῖς πρεσβείαις σου, ἐκ τῶν κινδύνων λυτροῦσαι τὰς ψυχὰς ἡμῶν.

Ἀκάθιστος Κύριε.

Ἔδουσα ἐν ξύλῳ σε Χριστὲ, παγέντα Παρθένος, ἡ ἀνωδύνως σε κυήσασα, τὰς μητρικὰς ὠδῖνας ὑπέμεινε.

Νενίκηται θάνατος, νεκρὸς σκυλεύει Ἅδου τὰς πύλας· τοῦ παμφάγου γὰρ ῥαγέντος μοι, τὰ ὑπὲρ φύσιν πάντα δεδώρηται.

Ὁ αὐτὸς τῆς Θεοτόκου.

Νομίμων τῆς φύσεως, Παρθένε ἄτερ μόνη τεκοῦσα, τὸν δεσπόζοντα τῆς Κτίσεως, κατηξιώθης θείας κλήσεως.

Ὠδὴ Ε΄. Ὁ Εἱρμός.

Μεσίτης Θεοῦ, καὶ ἀνθρώπων γέγονας Χριστὲ ὁ Θεός· διὰ σοῦ γὰρ Δέσποτα, τὴν πρὸς τὸν ἀρχίρωτον Πατέρα σου, ἐκ νυκτὸς ἀγνωσίας, προσαγωγὴν ἐσχήκαμεν.

Ὡς Κέδρος Χριστὲ τῶν ἐχθρῶν τὸ φρύαγμα συνέτριψας ἑκουσίως Δέσποτα, ἐν τῇ κυπαρίσσῳ ὡς ηὐδόκησας, καὶ τῇ πεύκῃ, καὶ κέδρῳ, σαρκὶ συνανυψούμενος.

Ἐν λάκκῳ Χριστέ, κατωτάτῳ ἔθεντό σε, ἄπνουν νεκρόν· ἀλλ᾽ οἰκείῳ μώλωπι, ἐπιλελησμένους τραυματίας Σωτὴρ, τοὺς ἐν τάφοις ὑπνοῦντας, σεαυτῷ συνεξανέστησας.

Δυσώπει τὸν σὸν, Υἱὸν καὶ Κύριον Παρθένε ἁγνὴ, αἰχμαλώτοις λύτρωσιν, τοῖς ἐξ ἐναντίας περιστάσεως, ἐπὶ σοὶ πεποιθόσιν, εἰρηνικὴν δωρήσασθαι.

Κανὼν Σταυροαν. Ὁ ἄνθρας τῷ Ψαλτ.

Νηστεύειν ἀπαναγκάμενος Ἀδὰμ γεύετε, θανατηφόρου τοῦ ξύλου ὁ πρότερος, ἀλλὰ τούτου τὴν ἁμαρτίαν ἐξαφανίζει, σταυρωθεὶς ὁ δεύτερος.

Τὴν φύσιν παθητὸς, καὶ θνητὸς γέγονας, ὁ ἀπαθὴς τῇ ἀΰλῳ Θεότητι, ἀφθαρτίσας νενεκρωμένους Χριστὲ, κευθμώνων Ἅδου ἐξανέστησας. Ἕτερ. τῆς Θεοτ. Ὁ αὐτός.

Νεφέλαι τῆς εὐφροσύνης, γλυκασμὸν ῥάνατε, τοῖς ἐπὶ γῆς, ὅτι παιδίον δέδοται, ὁ ὑπάρχων πρὸ τῶν

τῶν αἰώνων, ἐκ τῆς Παρθένου σαρκωθεὶς Θεὸς ἡμῶν.

Τῷ βίῳ καὶ τῷ σαρκίῳ μου, τὸ φῶς ἔλαμψε, καὶ τὸ στυγνὸν τῆς ἁμαρτίας ἔλυσεν, ἐπ' ἐσχάτων ἐκ τῆς Παρθένου, ἄνευ σπορᾶς σωματωθεὶς ὁ Ὕψιστος.

Ὠδὴ ς'. Ὁ Εἱρμός.

Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος, τὴν ἀνεξιχνίαστον τῆς εὐσπλαγχνίας σου, ἐπικαλοῦμαι ἄβυσσον. Ἐκ φθορᾶς ὁ Θεός με ἀνάγαγε.

Ὢ τοῦ κακοῦργος ὁ δίκαιος κέκριται, καὶ μετὰ ἀνόμων τῷ ξύλῳ προσήλωται, τοῖς ὑπευθύνοις ἄφεσιν, τῷ οἰκείῳ δωρούμενος αἵματι.

Δι' ἑνὸς μὲν ἀνθρώπου τοῦ πρώτου Ἀδάμ, πάλαι εἰς τὸν κόσμον εἰσῆλθεν ὁ θάνατος· καὶ δι' ἑνὸς ἀνάστασις, τοῦ Υἱοῦ καὶ Θεοῦ πεφανέρωται. Θεοτοκίον.

Ἀπειράνδρως Παρθένε ἐκύησας· καὶ διαιωνίζεις Παρθένος ἐμφαίνουσα, τῆς ἀληθοῦς Θεότητος τοῦ Υἱοῦ καὶ Θεοῦ σου τὰ σύμβολα.

Κανὼν Σταυροαν. Ἦχος β. Εἱρμάτων.

Φύλακες ἔθου τῷ πταίσαντι, τὰ Χερουβὶμ τοῦ ξύλου τῆς ζωῆς· ἀλλ' ἰδόντα σε τὰς πύλας ἤνοιξαν. ὤφθης γὰρ ὁδοποιῶν τῷ Ληστῇ Παράδεισον.

Ἔρημος ἄβυσσος καὶ ἄπορος, διὰ θανάτου γέγονεν ἑνός· ὃν πολὺν γὰρ πλοῦτον ἐθησαύρισεν, εἰς ὑπὲρ πάντων ἡμῶν, ὁ Χριστὸς ἐκένωσε.

Ἕτερος τῆς Θεοτ. Ὁ αὐτός.

Φύσις ἀνθρώπων δουλεύουσα, τῇ ἁμαρτίᾳ Δέσποινα ἁγνή, διὰ σοῦ ἐλευθερίας ἔτυχε· σὺ γὰρ Υἱὸς ὡς ἀμνός, ὑπὲρ πάντων τέθυται.

Ἐπιβοώμεθα πάντες, σὲ τὴν ἀληθῆ Μητέρα τοῦ Θεοῦ· Παροργίσαντας οἰκέτας λύτρωσαι· μόνη γὰρ πρὸς τὸν Υἱόν, παῤῥησίαν κέκτησαι.

Κοντάκιον. Τὰ ἄνω ζητῶν.

Ἀνέστης Σωτὴρ, ἐκ τάφου παντοδύναμε· καὶ ᾅδης ἰδὼν τὸ θαῦμα ἐξεπλήττετο, καὶ νεκροὶ ἀνίσταντο, καὶ ἡ κτίσις ἰδοῦσα συγχαίρει σοι, καὶ ὁ Ἀδὰμ συναγάλλεται, καὶ κόσμος Σωτήρ μου ἀνυμνεῖ σε ἀεί. Ὁ οἶκος.

Σὺ εἶ τὸ φῶς τῶν ἐσκοτισμένων, σὺ εἶ ἡ ἀνάστασις πάντων καὶ ἡ ζωὴ τῶν βροτῶν, καὶ πάντας συνανέστησας· τοῦ θανάτου τὸ κράτος Σωτὴρ σκυλεύσας, καὶ τοῦ ᾅδου τὰς πύλας συντρίψας Λόγε, καὶ οἱ θνητοὶ κατιδόντες τὸ θαῦμα, ἐθαύμαζον· καὶ πᾶσα κτίσις συγχαίρει ἐν τῇ σῇ ἀναστάσει φιλάνθρωπε. Διὸ καὶ πάντες δοξάζομεν, καὶ ὑμνοῦμεν τὴν σὴν συγκατάβασιν· καὶ κόσμος Σωτὴρ μου ἀνυμνεῖ σε ἀεί.

Ὠδὴ Ζ'. Ὁ Εἱρμός.

Ἀντίθεον πρόσταγμα παρανομοῦντος, τυράννου μετάρσιον, τὴν φλόγα ἀνερρίπισε. Χριστὸς δὲ ἐφύπλωσε θεοσεβέσι Παισί, δρόσον τὴν τοῦ Πνεύματος, ὁ ὢν εὐλογημένος καὶ ὑπερένδοξος.

Οὐκ ἔφερες Δέσποτα δι' εὐσπλαγχνίαν, θανάτῳ τὸν ἄνθρωπον, καθορᾷ τυραννούμενον· ἀλλ' ἦλθες καὶ ἔσωσας ἰδίῳ αἵματι, ἄνθρω-

θρωπος γενόμενος· ὁ ὢν εὐλογη μένος καὶ ὑπερένδοξος.

Ἰδόντες σὲ ἔπτηξαν ἡμφιεσμένον, σολὴν ἐκδικήσεως, οἱ πυλωροὶ τοῦ ᾅδου Χριστέ· ἀγνώμονα πύραννον, οἰκέτην Δέσποτα, ἦλθες γὰρ χειρώσασθαι· ὁ ὢν εὐλογημένος καὶ ὑπερένδοξος.

Ἁγίων ἅγιαν σε κατανοοῦμεν, ὡς μόνην κυήσασαν Θεὸν τὸν ἀναλλοίωτον. Παρθένε ἀμόλυντε, Μῆτερ ἀνύμφευτε· πᾶσι γὰρ ἐπηγασας πιστοῖς, τὴν ἄφθαρσιαν τῷ Θείῳ τόκῳ σου.

Ῥήτορες ἀνελείχθησαν.

Ἔκρινε τὸν Προπάτορα πάλαι, ἐν τῇ Ἐδὲμ παρακοὴ· ἀλλ' ἐκουσίως ἐκρίθη, τῷ παραβάντι λύων τὸ ἔγκλημα, ὁ ὑπέρθεος τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Σέσωκας τὸν τρωθέντα τῇ γλώσσῃ, τῷ ἰοβόλῳ ἐν Ἐδὲμ· τὸ ἐθελούσιον δῆγμα, τῷ ἑκουσίῳ πάθει ἰάσω γάρ, ὁ ὑπέρθεος τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Ὁ αὐτός.

Ἐώρα ἐν νυκτὶ Ἰακὼβ μὲν, ὡς ἐν αἰνίγματι Θεὸν σεσαρκωμένον· ἐκ σοῦ δὲ ἐν φρυκτωρίᾳ ὤφθη τοῖς μέλπουσιν, ὁ ὑπέρθεος τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Βέβηλος ὁ μὴ ἕνα κηρύττων, τὸν τῆς παρθένου σε Υἱὸν, τῆς πανυμνήτου Τριάδος, καὶ ἀδιαίρετον γνώμῃ καὶ γλώσσῃ βοῶν, ὁ ὑπέρθεος τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Ὠδὴ Η'. Ὁ Εἱρμός.

Κάμινος ποτὲ, πυρὸς ἐν Βαβυλῶνι, τὰς ἐνεργείας διεμέριζε, τῷ θείῳ προστάγματι· τοὺς Χαλδαίους καταφλέγουσα, τοὺς δὲ πιστοὺς δροσίζουσα ψάλλοντας· Εὐλογεῖται πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Αἵματι Χριστὲ, τῷ σῷ περιουνιγμένην, τὴν τῆς σαρκός σου καθορῶντά στολὴν, ἐν τρόμῳ ἐξίσταντο, τὴν πολλὴν μακροθυμίαν σου, τὰ τῶν Ἀγγέλων τάγματα κράζοντα· Εὐλογεῖτε πάντα τὰ ἔργα.

Σὺ μου τὸ θνητὸν, ἐνέδυσας εἰκτίρμων, ἀθανασίαν τῇ ἐγέρσει σου διὸ ἀγαλλόμενος, εὐχαρίστως ἀναμέλπει σοι, ὁ ἐκλεκτὸς λαός Χριστὲ κράζων σοι· κατεπόθη ὄντως εἰς νίκος ὁ θάνατος.

Σὺ τὸν τοῦ Πατρὸς, ἀχώρισον ἐν μήτρᾳ, θεανδρικῶς πολιτευσάμενον, ἀσπόρως συνέλαβες, καὶ ἀῤῥάστως ἀπεκύησας, Θεογενῆτορ πάναγνε. Ὅθεν σε σωτηρίαν πάντων ἡμῶν ἐπιστάμεθα.

Ἐνδάλματος.

Ὡράθης ἐν σαυρῷ, καθηλούμενος ὁ πλούσιος ἐν ἐλέει ἑκὼν ἐτάφης δὲ, καὶ τριήμερος ἐξανέστης καὶ ἐλυτρώσω πάντας τοὺς βροτοὺς φιλάνθρωπε, πίστει μελῳδοῦντας· ὑμνείτω τὸν Κύριον πᾶσα κτίσις, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Λυτροῦσαι τῆς φθορᾶς, ὑπελθὼν τὰ καταχθόνια Θεοῦ Λόγε ὃν περ διέπλασας δυνάμει Χριστοῦ θείᾳ καὶ ἀφθαρτίσας δόξης ἀϊδίου μέτοχον, τῆς σῆς ἀπειργάσω· ὑμνείτω χραυγάζοντα πᾶσα κτίσις καὶ

καὶ ὑπερυψούτω Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὁ αὐτός.

Ὡράθη ἐπὶ γῆς, διὰ σοῦ καὶ τοῖς ἀνθρώποις συνανεχράρη, ὁ ἀγαθότητι ἀσύγκριτος καὶ δυνάμει, ᾧ μελῳδοῦντες πάντες οἱ πιστοὶ κραυγάζομεν: Ἡ οὐσιωθεῖσα ὑμνείτω τὸν Κύριον πᾶσα κτίσις, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Κυρίως σε ἀγνήν, καταγγέλλοντες δοξάζομεν Θεοτόκε· σὺ γὰρ τὸν ἕνα ἀπεκύησας, τῆς Τριάδος σεσαρκωμένον· ᾧ σὺν τῷ Πατρὶ, καὶ Πνεύματι πάντες μελῳδοῦμεν: Ὑμνείτω τὸν Κύριον πᾶσα κτίσις, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

Ἀνάρχου γεννήτορος, Υἱὸς Θεὸς καὶ Κύριος, σαρκωθεὶς ἐκ παρθένου ἡμῖν ἐπέφανε, τὰ ἐσκοτισμένα φώτισαι, συναγαγεῖν τὰ ἐσκορπισμένα. Διὸ τὴν πανύμνητον Θεοτόκον μεγαλύνομεν.

Ὡς ἐν Παραδείσῳ φυτευθὲν, ἐν τῷ κρανίῳ Σωτὴρ, τὸ τρισόλβιον ξύλον τοῦ σοῦ ἀχράντου σαυροῦ, αἵματι καὶ ὕδατι θείῳ, ὡς ἐκ πηγῆς, τῆς θείας πλευρᾶς σου, Χριστὲ ἀρδευόμενον, τὴν ζωὴν ἡμῖν ἐξήνθησεν.

Καθεῖλες δυνάσας, σταυρωθεὶς ὁ παντοδύναμος· καὶ τὴν κάτω κειμένην ἐν τῇ τοῦ ᾅδου φρουρᾷ, φύσιν τῶν ἀνθρώπων ὑψώσας, τῷ Πατρικῷ ἐνίδρυσας θρόνῳ· μεθ' ἧς σε ἐρχόμενον, προσκυνοῦντες μεγαλύνομεν.

Τριαδικόν.

Μονάδα τρισάριθμον, Τριάδα ὁμοούσιον, ὀρθοδόξως ὑμνοῦντες, πιστοὶ δοξάσωμεν, ἄτμητον, ὑπέρθεον φύσιν, τρισοφεγγῆ, ἀνέσπερον αἴγλην, τὴν μόνην ἀκήρατον, τὴν τὸ φῶς ἡμῖν ἐκλάμψασαν.

Σταυροαν. Τὸν ἐκ Θεοῦ Θεόν.

Ἐν μέσῳ τῶν καταδίκων, ὡς ἀμνὸς ἀνηρτήθης, Χριστὲ ἐπὶ Κρανίου τῷ σταυρῷ· λόγχῃ πλευρὰν ἐκκεντούμενος, τὴν ζωὴν ἐδωρήσω ἡμῖν τοῖς χοϊκοῖς ὡς ἀγαθός, τοῖς ἐν πίστει τιμῶσι, τὴν θείαν σου Ἀνάστασιν.

Τὸν τῷ ἰδίῳ θανάτῳ τοῦ θανάτου τὸ κράτος, δυνάμει καταργήσαντα Θεόν, πάντες πιστοὶ προσκυνήσωμεν· ὅτι τοὺς ἀπ' αἰῶνος νεκροὺς συνεξανέστησε, καὶ τοῖς πᾶσι παρέχει, ζωὴν καὶ τὴν ἀνάστασιν.

Τῆς Θεοτόκου. Ὅλος ὑπάρχεις.

Ῥάβδος ἰσχύος δέδοται, φύσει τῇ σαθρᾷ, Λόγος Θεοῦ ἐν μήτρᾳ σου Ἁγνὴ, καὶ ταύτην ἀνέστησε, πρὸς ᾅδην ὀλισθήσασαν. Διό σε πάναγνε, ὡς Θεοτόκον μεγαλύνομεν.

Ἣν ἱκετίσῳ Δέσποτα, δέξαι συμπαθῶς, πρέσβιν Μητέρα σὴν ὑπὲρ ἡμῶν· καὶ σοῦ τῆς χρηστότητος, τὰ σύμπαντα πλησθήσονται· ἵνα σε ἅπαντες, ὡς εὐεργέτην μεγαλύνωμεν.

Μετὰ τὴν τιμιωτέραν, Ἐκφώνησις,

ὅτι σὲ αἰνοῦσι. καὶ εὐθὺς τὸ, Ἅγιος Κύριος. Τὰ Ἀποστειλάρια, καὶ οἱ Αἶνοι.

Πᾶσα πνοὴ, καὶ πᾶσα κτίσις σὲ δοξάζει Κύριε· ὅτι διὰ τοῦ σταυροῦ τὸν θάνατον κατήργησας, ἵνα δείξῃς τοῖς λαοῖς, τὴν ἐκ νεκρῶν σου Ἀνάστασιν, ὡς μόνος φιλάνθρωπος.

Εἰπάτωσαν Ἰουδαῖοι, πῶς οἱ στρατιῶται ἀπώλεσαν, τηροῦντες τὸν Βασιλέα; διὰ τί γὰρ ὁ λίθος, οὐκ ἐφύλαξε τὴν πέτραν τῆς ζωῆς; ἢ τὸν ταφέντα δότωσαν, ἢ ἀναστάντα προσκυνήτωσαν, λέγοντες σὺν ἡμῖν: Δόξα τῷ πλήθει τῶν οἰκτιρμῶν σου, Σωτὴρ ἡμῶν δόξα σοι.

Χαίρετε λαοὶ καὶ ἀγαλλιᾶσθε. Ἄγγελος ἐκάθησεν εἰς τὸ λίθον τοῦ μνήματος αὐτὸς ἡμᾶς εὐηγγελίσατο εἰπών: Χριστὸς ἀνέστη ἐκ νεκρῶν, ὁ Σωτὴρ τοῦ κόσμου· καὶ ἐπλήρωσε τὰ σύμπαντα εὐωδίας. Χαίρετε λαοὶ καὶ ἀγαλλιᾶσθε.

Ἄγγελος μὲν τὸ Χαῖρε, πρὸ τῆς σῆς συλλήψεως Κύριε, τῇ Κεχαριτωμένῃ ἐκόμισεν. Ἄγγελος δὲ τὸν λίθον τοῦ ἐνδόξου σου μνήματος, ἐν τῇ σῇ Ἀναστάσει ἐκύλισεν. Ὁ μὲν, ἀντὶ τῆς λύπης, εὐφροσύνης σύμβολα μηνύων· ὁ δὲ ἀντὶ θανάτου, Δεσπότην ζωοδότην κυρύττων ἡμῖν· διὸ βοῶμέν σοι: Εὐεργέτα τῶν ἁπάντων Κύριε δόξα σοι.

Ἔβραναν μύρα μετὰ δακρύων, ἐπὶ τὸ μνῆμά σου αἱ Γυναῖκες, καὶ ἐπλήσθη χαρᾶς τὸ σόμα αὐτῶν, ἐν τῷ λέγειν: Ἀνέστη ὁ Κύριος.

Αἰνεσάτωσαν ἔθνη καὶ λαοὶ, Χριστὸν τὸν Θεὸν ἡμῶν, τὸν ἑκουσίως δι' ἡμᾶς σταυρὸν ὑπομείναντα, καὶ ἐν τῷ ᾅδῃ τριημερεύσαντα· καὶ προσκυνησάτωσαν αὐτοῦ τὴν ἐκ νεκρῶν Ἀνάστασιν, δι' ἧς πεφώτισαι, πάντα τοῦ κόσμου τὰ πέρατα.

Ἐσταυρώθης, ἐτάφης, Χριστὲ ὡς ἠβουλήθης, ἐσκύλευσας τὸν θάνατον, ὡς Θεὸς καὶ Δεσπότης, δωρούμενος τῷ κόσμῳ ζωὴν αἰώνιον, καὶ τὸ μέγα ἔλεος.

Ὄντως παράνομοι σφραγίσαντες τὸν λίθον, μείζονος ἡμᾶς θαύματος ἠξιώσατε. Ἔχουσι τὴν γνῶσιν οἱ φύλακες. Σήμερον προῆλθε τοῦ μνήματος. Καὶ ἔλεγον: Εἴπατε ὅτι, ἡμῶν κοιμωμένων, ἦλθον οἱ μαθηταί, καὶ ἔκλεψαν αὐτόν. Καὶ τίς κλέπτει νεκρόν, μάλιστα δὲ καὶ γυμνόν; Αὐτὸς ἀνέστη αὐτεξουσίως ὡς Θεός, καταλιπὼν καὶ ἐν τῷ τάφῳ τὰ ἐντάφια αὐτοῦ. Δεῦτε ἴδετε Ἰουδαῖοι, πῶς οὐ διέρρηξε τὰς σφραγίδας, ὁ τὸν θάνατον πατήσας, καὶ τῷ γένει τῶν ἀνθρώπων, τὴν ἀτελεύτητον ζωὴν δωρούμενος, καὶ τὸ μέγα ἔλεος.

Δόξα, τὸ Ἑωθινόν. Καὶ νῦν.

Ὑπερευλογημένη ὑπάρχεις, καὶ τὰ λοιπὰ, ὡς διετάχθη ἐν τῷ ᾱ. ἤχῳ φύλλ. 139 Εἰς τὴν λειτουργίαν. Οἱ Μακαρισμοί.

Τὴν φωνήν σοι προσάγομεν, τοῦ Λησταῦ καὶ βοῶμέν σοι: Μνήσθητι

σθητι ἡμῶν Σωτήρ, ἐν τῇ βασιλείᾳ σου.

Τὸν σταυρόν σοι προσάγομεν, εἰς πταισμάτων συγχώρησιν, ὃν ὑπὲρ ἡμῶν κατεδέξω φιλάνθρωπε.

Προσκυνοῦμέν σου Δέσποτα, τὴν ταφὴν καὶ τὴν ἔγερσιν, δι' ὧν ἐκ φθορᾶς ἐλυτρώσω, τὸν κόσμον φιλάνθρωπε.

Τῷ θανάτῳ σου Κύριε, κατεπόθη ὁ θάνατος, καὶ τῇ Ἀναστάσει σου Σῶτερ, τὸν κόσμον διέσωσας.

Οἱ ἐν σκότει καθεύδοντες, σὲ τὸ φῶς θεασάμενοι, ἐν τοῖς κατωτάτοις τοῦ ᾅδου, Χριστὲ ἐξανέστησαν.

Μυροφόροις ὑπήντησας, ἀναστὰς ἐκ τοῦ μνήματος, καὶ τοῖς μαθηταῖς ἐπηγγείλω, εἰπεῖν σου τὴν Ἔγερσιν. Δόξα

Τὸν Πατέρα δοξάσωμεν, τὸν Υἱὸν προσκυνήσωμεν, πάντες καὶ τὸ ἅγιον Πνεῦμα, πιστῶς ἀνυμνήσωμεν. Καὶ νῦν.

Χαῖρε θρόνε πυρίμορφε· χαῖρε Νύμφη ἀνύμφευτε· χαῖρε ἡ Θεὸν τοῖς ἀνθρώποις, Παρθένε κυήσασα.

Τῇ Κυριακῇ ἑσπέρας, εἰς τὸ, Κύριε ἐκέκραξα. Στιχηρὰ προσόμοια

Ὅτε ἐκ τοῦ ξύλου σε.

Δός μοι μετανοίας λογισμόν, δὸς καὶ κατανύξεως πόθον τῇ ταπεινῇ μου ψυχῇ, ἔγειρον ἐξ ὕπνου με δεινῆς πωρώσεως, καὶ τὸ σκότος ἀπέλασον, τὰ τῆς ῥαθυμίας, καὶ τῆς ἀπογνώσεως λῦσον τὴν ζόφωσιν, ὅπως, ἀνανεύσας ὁ τάλας, σοὶ προσκολληθήσωμαι Λόγε, καὶ σοῦ τοῖς θελήμασι πορεύσωμαι.

Μόνε εὐδιάλλακτε Χριστέ, μόνε ὑπεράγαθε Λόγε καὶ ἀνεξίκακε· σοὶ προσπίπτω Εὔσπλαγχνε, σὲ ἱκετεύω θερμῶς· σοὶ κραυγάζω δεόμενος· Ἥμαρτηκα σῶσον, σῶσόν με τὸν ἄσωτον τῇ εὐσπλαγχνίᾳ σου, ὅπως εὐχαρίστως κραυγάζω· Κύριε συγχώρησιν δός μοι, καὶ σοῦ τῇ χρηστότητι πορεύσομαι.

Δεῦτε ἐν ᾠδαῖς πνευματικαῖς, τοὺς προαρχηγοὺς τῶν Ἀγγέλων ἀνευφημήσωμεν· πάντων γὰρ ὡς πρόκριτοι, τῶν Ἀσωμάτων Χορῶν, Στρατηγοὶ καὶ Ἀρχάγγελοι, ἐκλήθησαν ἄμφω· ἄρχων γὰρ τῆς χάριτος ὁ Γαβριὴλ πεφυκώς, νόμων, καὶ τῶν πρὸ Μωϋσέως, ἔξαρχος γνωρίζεται αὖθις, ὁ τῶν Ἀρχαγγέλων ἀρχηγὸς Μιχαήλ.

Εἰς τὸν στίχον Στιχηρὰ Κατανυκτικά.

Ἥμαρτον εἰς σὲ Σωτήρ, ὡς ὁ Ἄσωτος Υἱός, δέξαι με Πάτερ μετανοοῦντα, καὶ ἐλέησόν με ὁ Θεός.

Κράζω σοι Χριστὲ Σωτήρ, τοῦ Τελώνου τὴν φωνήν· Ἱλάσθητί μοι ὥσπερ ἐκείνῳ, καὶ ἐλέησόν με ὁ Θεός.

Οἱ τὴν ἐπίγειον ἀπόλαυσιν

μὴ ποθήσαντες Ἀθλοφόροι, Οὐρανίων ἀγαθῶν ἠξιώθησαν, καὶ Ἀγγέλων συμπολῖται γεγόνασι. Κύριε πρεσβείαις αὐτῶν ἐλέησον, καὶ σῶσον ἡμᾶς.

Δόξα, καὶ νῦν.

Ἀδιόδευτε Πύλη, μυστικῶς ἐσφραγισμένη Θεοτόκε Παρθένε, δέξαι τὰς δεήσεις ἡμῶν, καὶ προσάγαγε τῷ σῷ Υἱῷ καὶ Θεῷ, ἵνα σώσῃ διὰ σοῦ τὰς ψυχὰς ἡμῶν.

Τῇ β΄. εἰς τὸν ὄρθρον, μετὰ τὴν α΄ στιχολογ. Καθίσματα Κατανυκτικά.

Ὡς κύματα θαλάσσης ἐπ' ἐμὲ ἐπανέστησαν αἱ ἀνομίαι μου· ὡς σκάφος ἐν πελάγει ἐγὼ μόνος χειμάζομαι ὑπὸ πταισμάτων πολλῶν, ἀλλ' εἰς εὔδιον λιμένα ὁδήγησόν με Κύριε, διὰ τῆς μετανοίας καὶ σῶσόν με.

Ἐγὼ ὑπάρχω τὸ δένδρον τὸ ἄκαρπον, Κύριε, κατανύξεως καρπὸν μὴ φέρων τὸ σύνολον· καὶ τὴν ἐκκοπὴν πτοοῦμαι, καὶ τὸ πῦρ ἐκεῖνο δειλιῶ τὸ ἀκοίμητον· διό σε ἱκετεύω, πρὸ ἐκείνης τῆς ἀνάγκης, ἐπίστρεψον καὶ σῶσόν με.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Εὐσπλαγχνίας ὑπάρχουσα πηγή, συμπαθείας ἀξίωσον ἡμᾶς, Θεοτόκε· βλέψον εἰς Λαὸν τὸν ἁμαρτήσαντα. δεῖξον ὡς ἀεὶ τὴν δυναστείαν σου· εἰς σὲ γὰρ ἐλπίζοντες, τὸ Χαῖρε βοῶμέν σοι, ὡς ποτὲ ὁ Γαβριήλ, ὁ τῶν Ἀσωμάτων Ἀρχιστράτηγος.

Μετα τὴν β΄ στιχολογ. Καθίσμ. Εὐσπλαγχνίας ὑπάρχουσα.

Ἀσωμάτων πανάγιοι χοροί, δυσωπεῖτε Θεόν τὸν ἀγαθόν, καὶ Δεσπότην, ῥεῖσασθαι ἡμῶν ἐν ὥρᾳ τῆς κρίσεως, ῥύσασθαι ἡμᾶς, πικρᾶς κολάσεως, δαιμόνων κακώσεως, καὶ παθῶν ἀμαυρώσεως, καὶ πάσης ἀπειλῆς, προσρέχοντας πόθῳ τῇ σκέπῃ ὑμῶν.

Μαρτυρικόν.

Σὲ τὸν περιβάλλοντα τὸν Οὐρανὸν ἐν νεφέλαις, ἔχοντες οἱ Ἅγιοι περιβολὴν ἐν τῷ κόσμῳ, τὰς βασάνους τῶν ἀνόμων ὑπέμειναν, καὶ τὴν πλάνην τῶν εἰδώλων κατήργησαν. Αὐτῶν ταῖς ἱκεσίαις ἐλευθέρωσον τοῦ ἀοράτου ἐχθροῦ, Σωτήρ, καὶ σῶσον ἡμᾶς.

Δόξα, καὶ νῦν.

Ποία Μήτηρ ἠκούσθη Παρθένος; ποία δὲ Παρθένος Μήτηρ ἐγνωρίσθη; πάντα τὰ σά, Θεοτόκε, παράδοξα· διὰ τοῦτό σε πιστῶς μεγαλύνομεν.

Τὸ πρωΐ ἀπόστιχα τοῦ ἑσπερινοῦ.

Τῇ β΄. ἑσπέρας. εἰς τὸ Κύριε ἐκέκραξα. Στιχηρὰ προσόμοια.

Ὅτε ἐκ τοῦ ξύλου σε.

Μόνε ἁναμάρτητε Χριστέ, μόνε ἀνεξίκακε μόνε, πηγὴ χρηστότητος, ἴδεμου τὴν ταπείνωσιν, ἴδε τὴν θλῖψιν μου, καὶ οὐλὰς τῶν τραυμάτων μου ἐξάλειψον πάσας

ρας, καὶ ἐν τῷ ἐλέει σου σῶσον τὸν δοῦλόν σου· ὅπως ἀθυμίας τὰ νέφη, πόρρω ἐκδιώξας δοξάζω, σὲ τὸν ὑπεράγαθον Σωτῆρά μου.

Βλέψον ὦ ψυχή μου ταπεινὴ, ἴδε σου τὰ ἔργα ὁποῖα, εἰσὶ παμβέβηλα, ἴδε σου τὴν γύμνωσιν, φεῦ καὶ τὴν μόνωσιν· καὶ γὰρ μέλλεις χωρίζεσθαι Θεοῦ καὶ Ἀγγέλων, καὶ πρὸς ἀτελεύτητον ῥίπτεσθαι βάσανον· νῆψον, διεγέρθητι, σπεῦσον, βόησον· Ἥμαρτηκα Σῶτερ, δός μοι τὴν συγχώρησιν, καὶ σῶσόν με.

Σπεῦσον ἐξελοῦμε πειρασμῶν, Ἐνδοξε Κυρίου Προφῆτα, καθικετεύω σε· μάτην γὰρ κεκίνηνται οἱ πολεμοῦντές με, κατ' ἐμοῦ πικροὶ Δαίμονες, ζητοῦντες ἁρπάσαι, τὴν ψυχὴν τοῦ δούλου σου, ὥσπερ στρουθίον οἰκτρόν· μή με καταλίπῃς εἰς τέλος, γνώτωσαν δὲ μᾶλλον Παμμάκαρ, ὅτι σύ μου πέλεις καταφύγιον.

Εἰς τὸν στίχον στιχηρὰ Κατανυκτικά.

Ἥμαρτον εἰς σὲ Σωτὴρ, ὡς ὁ Ἄσωτος Υἱὸς, δέξαι με Πάτερ μετανοοῦντα, καὶ ἐλέησόν με ὁ Θεός.

Κράζω σοι Χριστὲ Σωτὴρ, τοῦ Τελώνου τὴν φωνήν· Ἱλάσθητί μοι ὥσπερ ἐκείνῳ, καὶ ἐλέησόν με ὁ Θεός. Μαρτ.

Τῶν Ἁγίων Μαρτύρων πρεσβευόντων ὑπὲρ ἡμῶν, καὶ τὸν Χριστὸν ὑμνούντων, πᾶσα πλάνη πέπαυται, καὶ τῶν ἀνθρώπων τὸ γένος πίστει διασώζεται.

Δόξα, καὶ νῦν.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μήτηρ τῆς ζωῆς, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Τῇ γ'. εἰς τὸν ὄρθρον. Μετὰ τὴν ά. Στιχολογίαν Καθίσματα Κατανυκτικά

Ἐλέησόν με εἶπεν ὁ Δαβὶδ, κἀγώ σοι κράζω, ἥμαρτον Σωτὴρ, τὰς ἐμὰς ἁμαρτίας, διὰ τῆς μετανοίας ἐξαλείψας, ἐλέησόν με.

Ἐλέησόν με ὁ Θεὸς ἐλέησόν με, ἐπὶ δυσὶν ἁμαρτήμασιν ὁ Δαβὶδ ἐθρήνει· ἐπὶ μυρίοις ἐγὼ πλημμελήμασι βοῶ σοι· ἐκεῖνος τὴν στρωμνὴν τοῖς δάκρυσιν ἔβρεχεν· ἐγὼ δὲ ῥανίδα μίαν οὐ κέκτημαι· ἀπέγνωσμαι καὶ δέσμαι, ἐλέησόν με ὁ Θεὸς, κατὰ τὸ μέγα σου ἔλεος.

Δόξα, καὶ νῦν Θεοτοκίον.

Θεοτόκε μὴ παρίδῃς με δεόμενον, ἀντιλήψεως τῆς παρὰ σοῦ· ἐπὶ σοὶ γὰρ πέποιθεν ἡ ψυχή μου, ἐλέησόν με.

Μετὰ τὴν β'. στιχολογίαν, Καθισμ. Εὐσπλαγχνίας ὑπάρχουσα

Εὐσπλαγχνίας τὴν ἄφθορον πηγὴν, Ἰορδάνου κατέδυσας ροαῖς Ἰωάννη· ὅθεν ἐκτενῶς καθικετεύω σε, πάθεσι πολλοῖς καταπονούμενον, πελάγει με τοῦ βίου καθ' ἑκάστην χαλεπῶς, εὐπρος-

προσδέκταις σου εὐχαῖς, ζωῆς πρὸς λιμένα χειραγώγησον.

Ὁ φαιδρύνας τοὺς Ἁγίους σου ὑπὲρ χρυσὸν, καὶ δοξάσας τοὺς Ὁσίους σου ὡς ἀγαθὸς, ὑπ' αὐτῶν δυσωπούμενος Χριστὲ ὁ Θεὸς, τὴν ζωὴν ἡμῶν κυβέρνησον ὡς φιλάνθρωπος, καὶ τὴν εὐχὴν κατεύθυνον ὡς θυμίαμα, ὃ μόνος ἐν Ἁγίοις ἀναπαύομενος.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Τίς εἶδε; τίς ἤκουσε Μητέρα τίκτουσαν τὸν ἑαυτῆς Δημιουργόν; Ἀπειράνδρως θηλάζουσαν τὸν διδόντα τροφὴν πάσῃ σαρκὶ· ὦ τοῦ θαύματος, θρόνος Χερουβικὸς ἐδείχθη ἡ γαστήρ σου, Θεοτόκε κεχαριτωμένη, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Τὸ πρωὶ ἀπόστιχα τοῦ ἑσπερινοῦ.

Τῇ Τρίτῃ ἑσπέρας εἰς τὸ, Κύριε ἐκέκραξα, Στιχηρὰ προσόμ. Ὅτε ἐκ τοῦ ξύλου σε.

Σῶσον τῷ Σταυρῷ προσηλωθείς, Ἥλιος ἰδὼν ἐσκοτίσθη, ἀπὸ τοῦ φόβου αὐτοῦ, καὶ τὸ καταπέτασμα, Ναοῦ ἐρρήγνυτο, ἡ δὲ Γῆ κατεσείετο, καὶ πέτραι ὡσαύτως, τρόμῳ διεσχίζοντο, ὁρᾶν μὴ σθένουσαι, Κτίστην τὸν αὐτῶν ἐπὶ ξύλου, πάσχοντα ἀδίκως βουλήσει, καὶ ὑπὸ ἀνόμων ὑβριζόμενον.

Ὅλος καταβέβληται εἰς γῆν, ὅλος ἀνετράπη καὶ κεῖται, πτῶμα ἐξαίσιον, ὅφις ὁ παμπόνηρος, ἀνυψωθέντος σου ἐπὶ ξύλου φιλάνθρωπε. Ἀδὰμ δὲ κατάρας, λύεται καὶ σώζεται, ὁ πρὶν κατάκριτος· ὅθεν καὶ ἡμεῖς δυσωποῦμεν, σῶσον ἡμᾶς οἰκτειρον πάντας, καὶ τῆς Βασιλείας σου ἀξίωσον.

Πλοῦτος πτωχευόντων καὶ τρυφὴ, καὶ καταφυγὴ τῶν πενήτων, καὶ ὀρφανῶν ἡ ἐλπὶς, σὺ ὑπάρχεις Δέσποινα, καὶ σὲ δοξάζομεν, σὲ ἐν θλίψει κραυγάζοντες, Ἁγία Ἁγίων, λύτρωσαι προφθάσασα, καὶ νῦν τοὺς δούλους σου, πάσης ἐπηρείας Δαιμόνων, καὶ τῆς χαλεπῆς τιμωρίας, καὶ τῆς αἰωνίου κατακρίσεως.

Εἰς τὸν Στίχον, στιχηρὰ Σταυρώσιμα.

Σῶσόν με Χριστὲ Σωτὴρ, τῇ Δυνάμει τοῦ Σταυροῦ, ὁ σώσας Πέτρον ἐν τῇ θαλάσσῃ, καὶ ἐλέησόν με ὁ Θεός.

Τοῦ Σταυροῦ σου τὸ ξύλον Χριστὲ ὁ Θεὸς, ξύλον ζωῆς ἀνέδειξας ἡμῖν, τοῖς πιστεύουσιν εἰς σὲ, καὶ δι' αὐτοῦ καταργήσας τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, ἐζωοποίησας ἡμᾶς νεκρωθέντας τῇ ἁμαρτίᾳ· διὸ βοῶμέν σοι· Εὐεργέτα τῶν ἁπάντων, Κύριε δόξα σοι.

Μαρτυρικόν.

Χοροὶ Μαρτύρων ἀντέστησαν, τοῖς Τυράννοις λέγοντες· Ἡμεῖς στρατευόμεθα τῷ Βασιλεῖ τῶν Δυνάμεων· εἰ καὶ πυρὶ καὶ βασάνοις ἀναλώσητε ἡμᾶς, οὐκ ἀρνούμεθα τῆς Τριάδος τὴν δύναμιν.

Δόξα καὶ νῦν. Ὅτε ἐκ τοῦ ξύλου σε.

Πόνους ὑπομείνασα πολλοὺς;

ἐν

ἐν τῇ τοῦ Υἱοῦ καὶ Θεοῦ σου, Σταυρώσει Ἀχραντε, ἔζενες δακρύουσα, καὶ ἀλαλάζουσα, Οἴμοι τέκνον γλυκύτατον, ἀδίκως πῶς πάσχεις, θέλων ἐκλυτρώσασθαι, τοὺς ἐξ Ἀδὰμ γηγενεῖς· ὅθεν Παναγία Παρθένε, σὲ παρακαλοῦμεν ἐν πίστει, ἵλεων ἡμῖν τοῦτον ἀπέργασαι.

Τῇ δ'. εἰς τὸν ὄρθρον. Μετὰ τὴν α στιχολ. Καθίσματα Σταυρώσιμα

Σωτηρίαν εἰργάσω ἐν μέσῳ τῆς γῆς Χριστὲ ὁ Θεός, ἐπὶ Σταυροῦ τὰς ἀχράντους σου χεῖρας ἐξέτεινας, ἐπισυνάγων πάντα τὰ Ἔθνη, κράζοντα, Κύριε δόξα σοι.

Τὸν ζωοποιὸν Σταυρὸν, τῆς σῆς ἀγαθότητος, ὃν ἐδωρήσω ἡμῖν τοῖς ἀναξίοις Κύριε, σοὶ προσάγομεν εἰς πρεσβείαν, σῶζε τοὺς Βασιλεῖς καὶ τὴν πόλιν σου, εἰρηνεύοντας διὰ τῆς Θεοτόκου μόνε φιλάνθρωπε.

Δόξα, καὶ νῦν.

Ἡ Παρθένος καὶ Μήτηρ σου Χριστὲ, ἐπὶ ξύλου ὁρῶσά σε νεκρὸν ἡπλωμένον, κλαίουσα πικρῶς; Υἱέ μου, ἔλεγε, τί τὸ φοβερὸν τοῦτο μυστήριον; ὁ πᾶσι δωρούμενος ζωὴν τὴν αἰώνιον, ἑκουσίως ἐν Σταυρῷ, πῶς θνήσκεις θάνατον ἐπονείδιστον;

Μετὰ τὴν β'. στιχολογίαν.

Καθίσματα.

Ὡς ὁ Λῃστὴς ὁμολογῶ, καὶ βοῶ σοι τῷ ἀγαθῷ· Μνήσθητί μου Κύριε ἐν τῇ βασιλείᾳ σου, καὶ σὺν αὐτῷ με συναρίθμησον, ὁ ἑκουσίως τὰ πάθη, ὑπὲρ ἡμῶν καταδεξάμενος.

Μαρτυρικόν.

Ἄθλοφόροι Κυρίου, μακαρία ἡ γῆ πιανθεῖσα τοῖς αἵμασιν ὑμῶν, καὶ Ἅγιαι αἱ σκηναί, αἱ δεξάμεναι τὰ σώματα ὑμῶν· ἐν σταδίῳ γὰρ τὸν ἐχθρὸν ἐθριαμβεύσατε, καὶ Χριστὸν μετὰ παῤῥησίας ἐκηρύξατε. Αὐτὸν ὡς ἀγαθὸν ἱκετεύσατε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, καὶ νῦν.

Ὢ Θαῦμα καινὸν, ἐβόα ἡ Παναμώμος, Σταυρῷ τὸν Υἱὸν, ἰδοῦσα καθηλούμενον· ὁ δρακὶ τὰ σύμπαντα περιφέρων, πάθος ὑφίσταται, καὶ ὡς κριτὸς κατακρίνεται, ὁ πᾶσι παρέχων τὴν συγχώρησιν.

Τὸ πρωΐ Ἀπόστιχα. Τοῦ ἑσπερινοῦ.

Τῇ δ'. ἑσπέρας, εἰς τὸ, Κύριε ἐκέκραξα, στιχηρὰ προσόμοια τῶν Ἀποστόλων

Ὅτε ἐκ τοῦ ξύλου σε.

Λόγου τοῦ φανέντος ἐπὶ γῆς, σάλπιγγες καθάπερ ὀρθέντες, θεῖοι Ἀπόστολοι, τούτου τὸ σωτήριον πᾶσιν ἐφάνατε, καὶ Λαοὺς συνηθροίσατε, πρὸς ἕνθεον πίστιν, πλάνης ὀχυρώματα καταῤῥιψάμενοι. Ὅθεν καὶ ἀξίως τὰ γέρα, καὶ νικητικῶς τοὺς Στεφάνους, ὄντως ἐκομίσασθε Μακάριοι.

Δῆμοι τῶν Ἀγγέλων ἀληθῶς, χαίροντες ἐκρότησαν ἄνω, τοὺς ἱεροὺς Μαθητὰς, βλέποντες κηρύττοντας ἐν παῤῥησίᾳ πολλῇ, τοῦ Κυρίου τὴν σάρκωσιν, καὶ πᾶσι βοῶντας· Οὗτος ὁ Θεὸς ἡμῶν, ὁ πρὸ αἰώνων ἐξ

σάρκα

σάρκα προσλαβὼν ἑκουσίως, σύνθρονος Πατρὶ δὲ ὑπάρχων, καὶ τῷ θείῳ Πνεύματι ὁμότιμος.

Πλήθει πειρασμῶν περιεχεθείς, καὶ ταῖς τρικυμίαις τοῦ βίου, περικυκλούμενος, σάλῳ τε ποντούμενος τῶν περιστάσεων, καὶ ταῖς λύπαις βαλλόμενος, ἐν σοὶ τὴν ἐλπίδα, πᾶσαν ἀνατίθημι, Πάτερ Νικόλαε, πάντων τῶν δεινῶν μοι παράσχου, λύσιν ταῖς πρεσβείαις σου Μάκαρ, καὶ πρὸς τὸν Δεσπότην σου ἐντεύξεσι.

Εἰς τὸν στίχον στιχηρά.

Ἐ μεγάλυνας Σωτήρ, ἐν τῇ Οἰκουμένῃ τῶν Κορυφαίων Ἀποστόλων τὰ ὀνόματα· ἔμαθον τῶν Οὐρανῶν τὰ ἄῤῥητα, ἔδωκαν τοῖς ἐπὶ γῆς ἰάματα· καὶ αἱ σκιαὶ αὐτῶν μόναι τὰ πάθη ἐθεράπευον· ὁ ἐξ ἁλιέων ἐθαυματούργει, καὶ ὁ ἐξ Ἰουδαίων ἐθεολόγει τῆς χάριτος τὰ δόγματα· δι' ὧν εὐσπλαγχνε, δὸς ἡμῖν τὸ μέγα ἔλεος.

Οἱ ἐξ ἀδίκων πράξεων πάντοθεν πολεμούμενοι, καὶ πρὸς σὲ καταφεύγοντες τὸν ὄντως ὄντα Θεόν, τὴν φωνὴν τῶν σῶν Μαθητῶν προσφέρομέν σοι λέγοντες· Σῶσον ἡμᾶς Ἐπιςάτα, ἀπολλύμεθα· δεῖξον καὶ νῦν τοῖς ἐχθροῖς ἡμῶν δεόμεθα, ὅτι σκέπεις Λαόν, καὶ σώζεις ἐκ κινδύνων, τῇ πρεσβείᾳ τῶν Ἀποστόλων, παρορῶν ἁμαρτίας διὰ πολλὴν ἀγαθότητα. Κύριε δόξα σοι.

Μεγάλη ἡ δόξα, ἣν ἐκτίσασθε Ἅγιοι διὰ τῆς πίστεως· οὐ μόνον γὰρ ἐν τῷ πάσχειν τὸν ἐχθρὸν ἐνικήσατε, ἀλλὰ καὶ μετὰ θάνατον πνεύματα ἀπελαύνετε· ἀσθενοῦντας θεραπεύετε, ψυχῶν καὶ σωμάτων ἰατροί, πρεσβεύσατε πρὸς Κύριον, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, καὶ νῦν· Ὅτε ἐκ τοῦ ξύλου σε.

Πάντων προστατεύεις Ἀγαθὴ, τῶν καταφευγόντων ἐν πίστει, τῇ κραταιᾷ σου χειρί, ἄλλην γὰρ οὐκ ἔχομεν ἁμαρτωλοὶ πρὸς Θεὸν, ἐν κινδύνοις καὶ θλίψεσιν, ἀεὶ μεσιτείαν, οἱ κατακαμπτόμενοι ὑπὸ πταισμάτων πολλῶν, Μήτηρ τοῦ Θεοῦ τοῦ Ὑψίστου· ὅθεν σοι προσπίπτομεν, ῥῦσαι πάσης περιςάσεως τοὺς δούλους σου.

Τῇ ε'. εἰς τὸν Ὄρθρον. Μετὰ τὴν α'. στιχολογίαν. Καθίσματα.

Ὁ σοφίας ὑπὲρ ῥήτορας τοὺς Ἁλιεῖς, καὶ ἐκπέμψας, ὥσπερ Κήρυκας, πάσῃ τῇ γῇ, τῇ ἀφάτῳ φιλανθρωπίᾳ, Χριστὲ ὁ Θεὸς, δι' αὐτῶν κραταίωσον τὴν Ἐκκλησίαν σου, καὶ τοῖς πιστοῖς κατάπεμψον τὴν εὐλογίαν σου, ὁ μόνος Ἐλεήμων καὶ φιλάνθρωπος.

Σαγηνεύσαντες τὰ Ἔθνη οἱ Ἁλιεῖς, καὶ διδάξαντες τὰ πέρατα σὲ προσκυνεῖν, σὺν Πατρὶ καὶ Πνεύματι, Χριστὲ ὁ Θεός, δι' αὐτῶν σερέωσον πίστιν τὴν ἔνθεον, καὶ τοῖς λαοῖς κατάπεμψον νῦν τὰ ἐλέη σου, ὁ μόνος ἐν Ἁγίοις ἀναπαυόμενος.

Δόξα

Δόξα, καὶ νῦν

Θείας γεγόναμεν κοινωνοί, φύσεως διὰ σοῦ Ἀειπάρθενε· Θεὸν γὰρ ἡμῖν σεσαρκωμένον ἔτεκες· διὸ κατὰ χρέος σε πάντες εὐσεβῶς μεγαλύνομεν.

Μετὰ τὴν β'. στιχολογίαν Καθίσματα.

Ταῖς τῶν θαυμάτων ἀκτῖσι Νικόλαε, καταφαιδρύνεις ἡφήλιον ἅπασαν, καὶ λύεις τὸν ζόφον τῶν θλίψεων, καὶ τῶν κινδύνων ἐλαύνεις τὴν ἔροδον, Προςάτης ὑπάρχων θερμότατος.

Ἀπόστολοι, Μάρτυρες, καὶ Προφῆται, Ἱεράρχαι, Ὅσιοι καὶ Δίκαιοι, οἱ καλῶς τὸν ἀγῶνα τελέσαντες, καὶ τὴν πίστιν τηρήσαντες, παῤῥησίαν ἔχοντες πρὸς τὸν Σωτῆρα, ὑπὲρ ἡμῶν αὐτὸν ὡς ἀγαθὸν ἱκετεύσατε, σωθῆναι δεόμεθα τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ἡ μόνη Θεὸν ἀσπόρως κυήσασα, καὶ μετὰ φρικτὴν λοχείαν ἀγνεύουσα, σοὶ προσπίπτω Ἄχραντε, μετὰ φόβου κράζων καὶ πίστεως, ἐκ παθῶν καὶ νόσων δεινῶν, καὶ πάσης ἀνάγκης με διάσωσον.

Τὸ πρωὶ ἀπόστιχα τοῦ ἑσπερινοῦ.

Τῇ ἑ. ἑσπέρας εἰς τὸ Κύριε ἐκέκραξα, στιχηρὰ Σταυρώσιμα.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Σὺν τῷ Σταυρῷ προσηλωθείς, Ἥλιος ἰδὼν ἐσκοτίσθη, ἀπὸ τοῦ φόβου σου, καὶ τὸ καταπέτασμα Ναοῦ ἐῤῥήγνυτο, ἡ δὲ Γῆ κατεσείετο, καὶ πέτραι ὠσαύτως, τρόμῳ διεσχίζοντο, ὁρᾶν μὴ σθένουσαι, Κτίστην τὸν αὐτῶν ἐπὶ ξύλου, πάσχοντα ἀδίκως βουλήσει, καὶ ὑπὸ ἀνόμων ὑβριζόμενον.

Ὅλος καταβέβληται εἰς γῆν, ὅλος ἀνετράπη καὶ κεῖται, πτῶμα ἐξαίσιον, ὅρις ὁ παμπόνηρος, ἀνυψωθέντος σου, ἐπὶ ξύλου Φιλάνθρωπε. Ἀδὰμ δὲ κατάρας, λύεται καὶ σώζεται, ὁ πρὶν κατάκριτος· ὅθεν καὶ ἡμεῖς δυσωποῦμεν, σῶσον ἡμᾶς, οἰκτειρον πάντας, καὶ τῆς Βασιλείας σου ἀξίωσον.

Θεοτοκίον.

Νεῦσον ταῖς δεήσεσιν Ἁγνὴ τῶν σῶν οἰκετῶν καὶ παράσχου, πηγὰς δακρύων ἡμῖν, ἵνα ἀποπλύνωμεν τῶν ἐγκλημάτων ἡμῶν, τὰς κηλῖδας Πανάμωμε, καὶ σβέσωμεν φλόγα, τοῦ διαιωνίζοντος, καὶ πικροτάτου πυρός· σὺ γὰρ τῶν ἐξ ὅλης καρδίας, σὲ τὴν τοῦ Δεσπότου Μητέρα, ἐπικαλουμένων τὰς δεήσεις πληροῖς.

Εἰς τὸν Στίχον Στιχηρὰ Σταυρώσιμα.

Σῶσόν με Χριστὲ Σωτὴρ, τῇ Δυνάμει τοῦ Σταυροῦ, ὁ σώσας Πέτρον ἐν τῇ θαλάσσῃ, καὶ ἐλέησόν με ὁ Θεός.

Τοῦ Σταυροῦ σου τὸ ξύλον Χριστὲ ὁ Θεός, ξύλον ζωῆς ἀνέδειξας ἡμῖν, τοῖς πιστεύουσιν εἰς σέ, καὶ δι' αὐτοῦ καταργήσας τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, ἐζωοποίησας ἡμᾶς νεκρωθέντα τῇ ἁμαρτίᾳ·

τία· διὸ βοῶμέν σοι: Εὐεργέτα τῶν ἁπάντων, Κύριε δόξα σοι.

Μαρτυρικόν.

Οἱ τὴν ἐπίγειον ἀπόλαυσιν μὴ ποθήσαντες, Ἀθλοφόροι, Οὐρανίων ἀγαθῶν ἠξιώθησαν, καὶ Ἀγγέλων συμπολῖται γεγόνασι· Κύριε πρεσβείαις αὐτῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Δόξα, καὶ νῦν.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Βότρυν τὸν παμπέπειρον Ἀγνή, ὃν ἀγεωργήτως ἐν μήτρᾳ, ἐκυοφόρησας, ξύλῳ ὡς ἑώρακας, τοῦτον κρεμάμενον, θρηνῳδοῦσα ἠλάλαζες, καὶ ἔκραζες, Τέκνον, Γλεῦκος ἐναπόσταξον, δι' οὗ ἡ μέθη ἀρθῇ πᾶσα τῶν παθῶν. Εὐεργέτα, δι' ἐμοῦ τῆς σὲ τετοκυίας, σοῦ τὴν εὐσπλαγχνίαν ἐνδεικνύμενος.

Τῇ Παρασκευῇ, εἰς τὸν Ὄρθρον. μετὰ τὴν πρώτην στιχολογίαν. Καθίσματα Σταυρώσιμα.

Τὴν ἄχραντον Εἰκόνα σου προσκυνοῦμεν Ἀγαθέ, αἰτούμενοι συγχώρησιν τῶν πταισμάτων ἡμῶν, Χριστέ ὁ Θεός· βουλήσει γὰρ ἠυδόκησας, σαρκὶ ἀνελθεῖν ἐν τῷ Σταυρῷ, ἵνα ῥύσῃ οὓς ἔπλασας ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ· ὅθεν εὐχαρίστως βοῶμέν σοι: Χαρᾶς ἐπλήρωσας τὰ πάντα ὁ Σωτὴρ ἡμῶν, παραγενόμενος εἰς τὸ σῶσαι τὸν Κόσμον.

Ὁ φωτίσας τὰ ἐπίγεια διὰ Σταυροῦ, καὶ καλέσας εἰς μετάνοιαν ἁμαρτωλούς, μὴ χωρίσῃς με τῆς Ποίμνης σου ὁ Ποιμὴν ὁ καλός, ἀλλὰ ζήτησόν με, Δέσποτα, τὸν πλανώμενον, καὶ τῇ Ἁγίᾳ σου Ποίμνῃ συναρίθμησον, ὁ μόνος Ἀγαθὸς, καὶ φιλάνθρωπος.

Καὶ νῦν, Θεοτοκίον.

Ὑπερδεδοξασμένη ὑπάρχεις, Θεοτόκε Παρθένε, ὑμνοῦμέν σε· διὰ γὰρ τοῦ Σταυροῦ τοῦ Υἱοῦ σου κατεβλήθη ὁ ᾅδης, καὶ ὁ θάνατος τέθνηκε, νεκρωθέντες ἀνέστημεν, καὶ ζωῆς ἠξιώθημεν· τὸν Παράδεισον ἐλάβομεν, τὴν ἀρχαίαν ἀπόλαυσιν. Διὸ εὐχαριστοῦντες δοξολογοῦμεν, ὡς κραταιὸν, Χριστὸν τὸν Θεὸν ἡμῶν καὶ μόνον Πολυέλεον.

Μετὰ τὴν Ε'. στιχολογίαν. Καθίσματα.

Ὡς ὁ Λῃστὴς ὁμολογῶ, καὶ βοῶ σοι τῷ Ἀγαθῷ: Μνήσθητί μου Κύριε, ἐν τῇ Βασιλείᾳ σου, καὶ σὺν αὐτῷ με συναρίθμησον, ὁ ἑκουσίως τὰ πάθη ὑπὲρ ἡμῶν καταδεξάμενος.

Μαρτυρικόν.

Σὲ τὸν περιβάλλοντα τὸν Οὐρανὸν ἐν Νεφέλαις, ἔχοντες οἱ Ἅγιοι περιβολὴν ἐν τῷ κόσμῳ, τὰς βασάνους τῶν ἀνόμων ὑπέμειναν, καὶ τὴν πλάνην τῶν εἰδώλων κατήργησαν. Αὐτῶν ταῖς ἱκεσίαις ἐλεύθερωσον τοῦ ἀοράτου ἐχθροῦ καὶ σῶσον ἡμᾶς.

Καὶ νῦν, Θεοτοκίον.

Παρεστῶσα τῷ Σταυρῷ ἡ ἀσπόρως τεκοῦσά σε Χριστέ, καὶ μὴ φέρουσα ὁρᾶν ἀδίκως πάσχοντα, ὠλοφύρετο κλαυθμῷ, καὶ ἀνεβόα σοι

σοι, πῶς πάσχεις ὁ τῇ φύσει ἀπαθής, Γλυκύτατε Υἱέ; ὑμνῶ σου, τὴν ἄκραν ἀγαθότητα.

Τὸ πρωΐ Ἀπόστιχα Τοῦ ἑσπερινοῦ.

Τῇ Παρασκευῇ ἑσπέρας, εἰς τό, Κύριε ἐκέκραξα. Στιχηρὰ Δεσποτικά Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Ὅταν ἐν τῇ δόξῃ σου Χριστέ, ἔλθῃς μετ' Ἀγγέλων Ἁγίων, κρῖναι τὰ σύμπαντα, ὅτε παραστήσονται, γυμνοί σοι ἅπαντες· ἀποδοῦναι ὧν ἔπραξαν, τὴν ἀπολογίαν, τότε τοῖς προβάτοις με, σύνταξον Λόγε τοῖς σοῖς, λύσιν παρασχών μοι ἐνταῦθα, τῶν πλημμελημάτων μου πάντων, ὧν περ ἐν τῷ βίῳ ἐπλημμέλησα.

Ῥῆξον τὰς σειράς μου τῶν παθῶν, ξήρανον ψυχῆς σηπεδόνας, μόνε φιλάνθρωπε, δώρησαί μοι δάκρυα τῆς κατανύξεως, τὴν καρδίαν μου φώτισον, τὴν ἐσκοτισμένην, λύτρωσαί με δέσμαι ἐκ περιζάσεως, ζάλης συμφορῶν ἐναντίων, καὶ ἐκ πειρασμῶν πολυτρόπων, τοῦ δεινοῦ ἐχθροῦ καὶ Κόσμοκράτορος.

Ὅλος ἐκ νεότητος ἐγώ, πάθεσιν αἰσχύνης δουλεύσας, καὶ ἀσωτείᾳ πολλῇ, τέλεον ἠμαύρωσα τὸ κατ' εἰκόνα Θεοῦ· καὶ πτοοῦμαι Πανύμνητε τὴν μέλλουσαν δίκην, ὅτε παραστήσομαι τῷ σῷ Υἱῷ καὶ Θεῷ· νῦν οὖν πρὸ τοῦ τέλους μοι δίδου, κάθαρσιν Ἁγνὴ τῶν παθῶν μου, καὶ πλημμελημάτων ἀπολύτρωσιν.

Δόξα, καὶ νῦν.

Παρῆλθεν ἡ σκιὰ τοῦ Νόμου. Εἰς τὸν στίχον Στιχηρὰ Μαρτυρικά.

Τῶν Ἁγίων Μαρτύρων πρεσβευόντων ὑπὲρ ἡμῶν, καὶ τὸν Χριστὸν ὑμνούντων, πᾶσα πλάνη πέπαυται, καὶ τῶν ἀνθρώπων τὸ γένος πίστει διασώζεται.

Χοροὶ Μαρτύρων ἀντέστησαν τοῖς Τυράννοις λέγοντες· Ἡμεῖς στρατευόμεθα τῷ Βασιλεῖ τῶν δυνάμεων· εἰ καὶ πυρὶ καὶ βασάνοις ἀναλώσητε ἡμᾶς, οὐκ ἀρνούμεθα τῆς Τριάδος τὴν δύναμιν.

Μεγάλη ἡ δόξα, ἣν ἐκτήσασθε Ἅγιοι διὰ τῆς πίστεως· οὐ μόνον γὰρ ἐν τῷ πάσχειν τὸν ἐχθρὸν ἐνικήσατε, ἀλλὰ καὶ μετὰ θάνατον πνεύματα ἀπελαύνετε, ἀσθενοῦντας θεραπεύετε, ψυχῶν καὶ σωμάτων ἰατροί, πρεσβεύσατε πρὸς Κύριον, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Νεκρώσιμον

Ὡς ἄνθος μαραίνεται, καὶ ὡς ὄναρ παρέρχεται, καὶ διαλύεται πᾶς ἄνθρωπος· πάλιν δὲ ἠχούσης τῆς σάλπιγγος, νεκροὶ ὡς ἐν συσσεισμῷ, πάντες ἀναζήσονται πρὸς τὴν σὴν ὑπάντησιν Χριστὲ ὁ Θεός· τότε Δέσποτα, οὓς μετέστησας ἐξ ἡμῶν, ἐν ταῖς τῶν Ἁγίων σου κατάταξον σκηναῖς, τὰ πνεύματα τῶν σῶν δούλων Χριστέ.

Δόξα, καὶ νῦν.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μήτηρ τοῦ Φωτός, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Τῷ

Τῷ Στιχηράτῳ, εἰς τὸν Ὄρθρον Μετὰ τὴν α'. Στιχολ. Καθίσματα Μαρτυρικά.

Ὁ φαιδρύνας τοὺς Ἁγίους σου ὑπὲρ χρυσὸν, καὶ δοξάσας τοὺς Ὁσίους σου ὡς ἀγαθὸς, ὑπ' αὐτῶν δυσωπούμενος, Χριστὲ ὁ Θεὸς, τὴν ζωὴν ἡμῶν εἰρήνευσον ὡς φιλάνθρωπος, καὶ τὴν εὐχὴν κατεύθυνον ὡς θυμίαμα, ὁ μόνος ἐν Ἁγίοις ἀναπαυόμενος.

Ἀθλοφόροι Κυρίου, μακαρία ἡ γῆ, ἡ πιανθεῖσα τοῖς αἵμασιν ὑμῶν, καὶ Ἅγιαι αἱ σκηναί, αἱ δεξάμεναι τὰ σώματα ὑμῶν· ἐν σαθρῷ γὰρ τὸν ἐχθρὸν ἐθριαμβεύσατε, καὶ Χριστὸν μετὰ παῤῥησίας, ἐκηρύξατε· αὐτὸν ὡς ἀγαθὸν ἱκετεύσατε, σωθῆναι δεόμεθα τὰς ψυχὰς ἡμῶν.

Ἀπόστολοι Μάρτυρες, καὶ Προφῆται, Ἱεράρχαι, Ὅσιοι καὶ Δίκαιοι οἱ καλῶς τὸν ἀγῶνα τελέσαντες, καὶ τὴν πίστιν τηρήσαντες, παῤῥησίαν ἔχοντες πρὸς τὸν Σωτῆρα, ὑπὲρ ἡμῶν αὐτὸν ὡς ἀγαθὸν ἱκετεύσατε, σωθῆναι δεόμεθα τὰς ψυχὰς ἡμῶν.

Δόξα, καὶ νῦν.

Πάντα ὑπὲρ ἔννοιαν, πάντα ὑπερένδοξα τὰ σὰ Θεοτόκε μυστήρια· τῆς ἀγνοίας ἐσφραγισμένη, καὶ παρθενία φυλαττομένη, Μήτηρ ἐγνώσθης ἀψευδὴς, Θεὸν τεκοῦσα ἀληθινόν. Αὐτὸν ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Μετὰ τὸν Ἅμωμον. Καθίσματα.

Σὲ τὸν περιβάλλοντα τὸν Οὐ-

Πᾶσα πόλις καὶ χώρα, τιμᾷ ὑμῶν τὰ λείψανα, ὦ Ἀθλοφόροι Μάρτυρες· ὑμεῖς γὰρ νομίμως ἀθλήσαντες, στέφανον Οὐράνιον ἐλάβετε· καὶ διὰ τοῦτο Ἱερέων ἐστὲ τὸ καύχημα, Βασιλέων τὸ νῖκος, Ἐκκλησιῶν ἡ εὐπρέπεια.

Νεκρώσιμον.

Οἴμοι οἷον ἀγῶνα ἔχει ἡ ψυχή, χωριζομένη ἐκ τοῦ σώματος· οἴμοι πόσα ὁακρύει τότε, καὶ οὐχ ὑπάρχει ὁ ἐλεῶν αὐτήν· πρὸς τοὺς Ἀγγέλους τὰ ὄμματα ῥέπουσα, ἄπρακτα καθικετεύει, πρὸς τοὺς ἀνθρώπους τὰς χεῖρας ἐκτείνουσα, οὐκ ἔχει τὸν βοηθοῦνται· διὸ ἀγαπητοί μου ἀδελφοί, ἐννοήσαντες ἡμῶν τὸ βραχὺ τῆς ζωῆς, τοῖς μεταστᾶσι τὴν ἀνάπαυσιν παρὰ Χριστοῦ αἰτησώμεθα, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Ὅλην τὴν ζωήν μου ἐν κακοῖς, καταδαπανήσας ὁ ταλας, νῦν κατελήφθην Ἀγνή, πάσης ὅλος ἔρημος, ἀγαθῆς πράξεως· προσεγγίζοντα βλέπων δὲ, τὸν θάνατον οἴμοι, τρέμω τὸ κριτήριον τοῦ σοῦ Υἱοῦ καὶ Θεοῦ, οὗπερ ἐξελοῦμε Παρθένε, καὶ πρὸ τῆς ἀνάγκης ἐκείνης, Δέσποινα ἐπίστρεψον, καὶ σῶσόν με.

Τῷ Σαββάτῳ Ἑσπέρας, ὡς διετάχθη ἐν τῷ ά. ἤχῳ Φυλ. 127.

εἰς τὸ, Κύριε ἐκέκραξα, στιχηρὰ ἀναστάσιμα.

ΗΧΟΣ Γ.

Τῷ σῷ σταυρῷ Χριστὲ Σωτήρ, θανάτου κράτος λέλυται· καὶ διαβόλου ἡ πλάνη κατήργηται· γένος δὲ ἀνθρώπων πίστει σωζόμενον, ὕμνον σοι καθ' ἑκάστην προσφέρει.

Πεφώτισται τὰ σύμπαντα, τῇ ἀναστάσει σου Κύριε, καὶ ὁ παράδεισος πάλιν ἠνέῳκται· πᾶσα δὲ ἡ κτίσις ἀνευφημοῦσά σε, ὕμνον σοι καθ' ἑκάστην προσφέρει.

Δοξάζω τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ τὴν δύναμιν, καὶ Πνεύματος ἁγίου, ὑμνῶ τὴν ἐξουσίαν· ἀδιαίρετον ἀκτιστον Θεότητα, Τριάδα ὁμοούσιον, τὴν βασιλεύουσαν εἰς αἰῶνα αἰῶνος.

Τὸν σταυρόν σου τὸν τίμιον, προσκυνοῦμεν Χριστὲ, καὶ τὴν ἀνάστασίν σου, ὑμνοῦμεν καὶ δοξάζομεν· τῷ γὰρ μώλωπί σου ὑμεῖς οἱ πάντες ἰάθημεν.

Ὑμνοῦμεν τὸν Σωτῆρα, τὸν ἐκ τῆς Παρθένου σαρκωθέντα, δι' ἡμᾶς γὰρ ἐσταυρώθη, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀνέστη, δωρούμενος ἡμῖν τὸ μέγα ἔλεος.

Τοῖς ἐν ᾅδῃ καταβὰς, Χριστὸς εὐηγγελίσατο, θαρσεῖτε λέγων, νῦν νενίκηκα· ἐγώ εἰμι ἡ ἀνάστασις, ἐγὼ ὑμᾶς ἀνάξω, λύσας θανάτου τὰς πύλας.

Οἱ ἀναξίως ἑστῶτες ἐν τῷ ἀχράντῳ σου οἴκῳ, ἑσπερινὸν ὕμνον ἀναμέλπομεν· ἐκ βαθέων κραυγάζοντες Χριστὲ ὁ Θεός, ὁ φωτίσας τὸν κόσμον τῇ τριημέρῳ ἀναστάσει

σει σου, ἐξελοῦ τὸν λαόν σου, ἐκ χειρὸς τῶν ἐχθρῶν σου φιλάνθρωπε.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Πῶς μὴ θαυμάσωμεν, τὸν θεανδρικόν σου τόκον πανσεβάσμιε; πεῖραν γὰρ ἀνδρὸς μὴ δεξαμένη Πανάμωμε, ἔτεκες ἀπάτορα Υἱὸν ἐν σαρκί, τῶν πρὸ αἰώνων ἐκ Πατρὸς γεννηθέντα ἀμήτορα, μηδαμῶς ὑπομείναντα τροπήν, ἢ φυρμόν, ἢ διαίρεσιν, ἀλλ' ἑκατέρας οὐσίας τὴν ἰδιότητα, σῶαν φυλάξαντα· διὸ Μητροπάρθενε Δέσποινα, αὐτὸν ἱκέτευε σωθῆναι τὰς ψυχὰς τῶν ὀρθοδόξως Θεοτόκον ὁμολογούντων σε.

Εἴσοδος. Φῶς ἱλαρὸν καὶ τὰ λοιπὰ ζήτει εἰς τὸν ἀ. ἦχον. Φύλ. (127).

Εἰς τὸν Στίχον Στιχηρά.

Ὁ τῷ πάθει σου Χριστὲ, ἀμαυρώσας τὸν ἥλιον· καὶ τῷ φωτὶ τῆς σῆς ἀναστάσεως, φαιδρύνας τὰ σύμπαντα, πρόσδεξαι ἡμῶν, τὸν ἑσπερινὸν ὕμνον φιλάνθρωπε.

Τὰ κατὰ Ἀλφάβητον.

Ἡ ζωοδόχος σου ἔγερσις Κύριε, τὴν οἰκουμένην πᾶσαν ἐφώτισε· καὶ τὸ ἴδιον πλάσμα, φθαρὲν ἀνεκαλέσατο· διὸ τῆς κατάρας τοῦ Ἀδὰμ, ἀπαλλαγέντες βοῶμεν· Παντοδύναμε Κύριε δόξα σοι.

Θεὸς ὑπάρχων ἀναλλοίωτος, σαρκὶ πάσχων ἠλλοίωσαι· ὃν ἡ κτίσις μὴ φέρουσα, κρεμάμενον ὁρᾶν, τῷ φόβῳ ἐκλονεῖτο· καὶ στένουσα ὕμνει τὴν σὴν μακροθυμίαν, κατελθὼν ἐν ᾅδῃ δὲ, τριήμερος ἀνέστης, ζωὴν τῷ κόσμῳ δωρούμενος, καὶ τὸ μέγα ἔλεος.

Ἵνα τὸ γένος ἡμῶν, ἐκ τοῦ θανάτου Χριστὲ λυτρώσῃς, θάνατον ὑπήνεγκας, καὶ τριήμερος ἐκ νεκρῶν ἀνέστας, ἑαυτῷ συνανέστησας, τοὺς σὲ Θεὸν ἐπιγνόντας καὶ κόσμον ἐφώτισας Κύριε δόξα σοι.

Δόξα, καὶ νῦν Θεοτοκίον.

Ἀσπόρως ἐκ θείου Πνεύματος, βουλήσει δὲ Πατρὸς, συνείληφας Υἱὸν τὸν τοῦ Θεοῦ, ἐκ Πατρὸς Ἀμήτορα, πρὸ τῶν αἰώνων ὑπάρχοντα· δι' ἡμᾶς δὲ ἐκ σοῦ Ἀπάτορα γεγονότα, σαρκὶ ἀπεκύησας, καὶ βρέφος ἐγαλούχησας· διὸ μὴ παύσῃ πρεσβεύειν, τοῦ λυτρωθῆναι κινδύνων τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον.

Εὐφραινέσθω τὰ οὐράνια, ἀγαλλιάσθω τὰ ἐπίγεια· ὅτι ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ· ὁ Κύριος ἐπάτησε τῷ θανάτῳ τὸν θάνατον, Πρωτότοκος τῶν νεκρῶν ἐγένετο, ἐκ κοιλίας ᾅδου ἐρρύσατο ἡμᾶς, καὶ παρέσχε τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Θεοτοκίον.

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε. Ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν τὸ διὰ σταυροῦ καταδεξάμενος Πάθος, ἐλυτρώσατο ἡμᾶς ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

Τῇ

ΤΗ ΚΥΡΙΑΚΗ

Ἐν τῷ μεσονυκτικῷ.

ΚΑΝΩΝ ΤΡΙΑΔΙΚΟΣ

(Μητροφάνους.)

Οὐ ἡ Ἀκροστιχίς.

Αἰνῶ Τριάς σε, τὴν μίαν Θεαρχίαν.

Ὠδὴ Α'.

Ὁ τὰ ὕδατα.

Ἀκατάληπτε μόνη Κυριαρχία, καὶ μία τριαδικὴ θεαρχία, τριλαμποῦς αἴγλης με τῆς σῆς ἀξίωσον νῦν· ὅπως ἀνυμνήσω σὲ τὴν ὑμνουμένην ἀπαύστως, τρισαγίοις ἄσμασιν, Ἀγγέλων σόμασιν.

Ἱερῶς τῶν αὐλῶν πᾶσαι αἱ τάξεις ὑμνοῦσι, ποιητικὴν ὡς αἰτίαν, ἐνικὴν τρίφωτον ἀρχικωτάτην σαφῶς· ἣν συμφώνως μέλψωμεν, καὶ τῶν ἀνθρώπων τὰ πλήθη καὶ πιστῶς δοξάσωμεν πηλίνοις σόμασι.

Νοῦν καὶ Λόγον καὶ Πνεῦμα, οἱ Θεολόγοι προσφόρως, συμβολικῶς σε καλοῦσιν, ἀπαθῆ γέννησιν ἐξ ἀγεννήτου Πατρὸς, τοῦ Υἱοῦ συμαίνοντος, Θεὲ Μονάρχα τῶν ὅλων, ἅμα καὶ τοῦ Πνεύματος θείαν ἐκπόρευσιν.

Θεοτοκίον.

Ὡς φιλάνθρωπος φύσει, τὴν τῶν ἀνθρώπων οὐσίαν, προσειληφὼς Θεοῦ Λόγε, τὸ τρισσὸν ἔλαμψας μοναρχικώτατον φῶς, τῆς μιᾶς Θεότητος· δεδοξασμένην τοῖς πᾶσι δείξας τὴν τεκοῦσάν σε παρθένον ἄχραντον.

Ὠδὴ Γ'. Ὁ ἐκ μὴ ὄντων.

Τρισσεῦσαι πάλαι τὸ ὕδωρ προσεταχώς, Ἠλίας ταῖς σχίζαις, τυπικῶς παρενέφηνε, τὴν τριττὴν ὑπόστασιν, τῆς ἐνιαίας Θεοῦ κυριαρχίας.

Ῥοώδης φύσις ὑμνεῖσε τῶν γηγενῶν, τὸν ἕνα καὶ τρίφωτον, πλασιουργὸν ἀναλλοίωτον· καὶ βοᾷ σοι Δέσποτα. παντοδαπῆς με τροπῆς ῥῦσαι καὶ σῶσόν με.

Ἰσηγορούντες τοῖς λόγοις τῶν Προφητῶν, κλεινῶν Ἀποστόλων τε, καὶ κηρύκων τῆς πίστεως· ἰσουργὸν Τριάδα σε, δοξολογοῦμεν πιστοὶ Θεὲ τῶν ὅλων.

Θεοτοκίον

Ἀπὸ τοῦ Θρόνου κατῆλθες τοῦ ὑψηλοῦ ὁ Χριστὸς τὸν ἄνθρωπον, ἀνυψῶν ὡς φιλάνθρωπος, διὰ σοῦ Πανάχραντε· καὶ τὸ πρισήλιον φῶς ἔλαμψε πᾶσι.

Καθίσματα,

Ὁ ὑπερούσιος καὶ μόνος Κύριος Χριστὸς ἀπαύγασμα τοῦ προαναρχου Πατρὸς, καὶ Πνεῦμα τὸ θειότατον, ἐλέησον τοὺς δούλους σου· πάντες γὰρ ἡμάρτομεν, ἀλλὰ σοῦ οὐκ ἀπέστημεν· ὅθεν δυσωποῦμέν σε, Τρισυπόστατε Κύριε· ὡς ἔχων ἐξουσίαν, τὸ πλάσμα σου σῶσον, ἐκ πάσης περιστάσεως.

Δόξα, καὶ νῦν.

Ὁ ὑπερούσιος Θεὸς καὶ Κύριος, ἐκ σοῦ σεσάρκωται διὰ ἀγαθότητα, τὸ καθ' ἡμᾶς οὐσιωθείς, καὶ μείνας ὅπερ πέφυκεν· ὅθεν καὶ θεάνθρω-

θρωπον, τοῦτον σέβοντες Πάναγνε, σὲ τὴν Ἀπειρόγαμον, Θεοτόκον κηρύττομεν, δοξάζοντες τὸ μέγιστον θαῦμα τῆς σῆς ἀσπόρου κυήσεως Ὠδὴ Δ'. Ἦθου πρὸς ἡμᾶς.

Στέλεχος διττὸν, ἐκ Πατρὸς ὡς ῥίζης ἐβλάστησεν, ὁ Υἱὸς καὶ Πνεῦμα τὸ εὐθὲς, οἱ συμφυεῖς βλαστοὶ καὶ Θεόφυτοι, καὶ ἄνθη συνάναρχα· ὡς τρία εἶναι φῶτα τῆς Θεότητος. Δίς.

Στίφη νοερῶν οὐσιῶν, ἀπαύστως, ὑμνοῦσί σε, τὸν ἀπερινόητον Θεὸν, μεθ' ὧν ἡμεῖς δοξάζομεν λέγοντες: Τριὰς ὑπερούσιε, τοὺς σοὺς ἱκέτας, σῶσον ὡς φιλάνθρωπος.

Θεοτοκίον.

Ἠθέλησας ἡμᾶς, εἰς ἀγάπην σὴν Πολυέλεε, Λόγε τοῦ Θεοῦ, ὁ δι' ἡμᾶς σωματωθεὶς ἀτρέπτως, καὶ τρίφωτον τὴν μίαν Θεότητα μυσταγωγήσας· ὅθεν σε δοξάζομεν.

Ὠδὴ Ε'. Ὡς εἶδεν Ἡσαΐας.

Τὸν ἕνα Κυριάρχην εἰκονικῶς, ὡς εἶδεν Ἡσαΐας Θεὸν, τρισὶ προσώποις δοξολογούμενον, ἀχράντοις φωναῖς Σεραφὶμ, ἀπεστάλη τοῦ κηρύξαι παρευθὺς, τρίφωτον Οὐσίαν, καὶ Μονάδα τρισήλιον. Δίς.

Ἡπάντων ἀοράτων, καὶ ὁρατῶν τὴν φύσιν ἐξ οὐκ ὄντων τὸ πρὶν, ὑποστησαμένη Μονὰς τρισήλιε, τοὺς ἕνα Θεὸν σε πιστῶς εὐφημοῦντας, ἐκ παντοίων πειρασμῶν ἐκλυτρωσαμένη, τῆς σῆς δόξης ἀξίωσον.

Θεοτοκίον.

Νυμφῶνα φωτοφόρον καὶ καθαρὸν, παρθένε γεγονυῖαν Θεοῦ, ὑμνοῦμέν σε πόθῳ καὶ μακαρίζομεν· ἐκ σοῦ γὰρ ἐτέχθη Χριστὸς, ἐν οὐσίαις καὶ θελήσεσι διττῶν, ὁ εἷς τῆς Τριάδος, καὶ τῆς δόξης ὢν Κύριος

Ὠδὴ ς'. Ἄβυσσος ἐσχάτων.

Μέτοικος ὑπάρχων ὁ Ἀβραὰμ, κατηξιώθη τυπικῶς ὑποδέξασθαι, ἐνικὸν μὲν Κύριον, ἐν τρισὶν ὑποστάσεσιν, ὑπερούσιον, ἀνδρικαῖς δὲ μορφώσεσιν.

Ἴθυνον καρδίας σῶν ἱκετῶν, πρὸς φῶς τὸ ἀπρόσιτον, ὦ τρισήλιε Κύριε καὶ τῆς δόξης ἔλλαμψιν, παράσχου ταῖς ψυχαῖς ἡμῶν, τοῦ φαντάζεσθαι, τὸ σὸν κάλλος τὸ ἄῤῥητον.

Θεοτοκίον

Ἄνοιξον τὰς πύλας μοι τοῦ φωτὸς, τοῦ κυηθέντος ἐκ νηδύος σου ἄχραντε, ἵνα βλέπω τρίφωτον, ἀκτῖνα τῆς Θεότητος, καὶ δοξάζω σε, τὴν ὁλόφωτον Δέσποιναν.

Καθίσματα Θείας πίστεως.

Θείας φύσεως ὁμοουσίου, τὸ τρισήλιον ὑμνοῦμεν κράτος, καὶ τρισαγίαις φωναῖς ἐκβοήσωμεν: Ἅγιος εἶ ὁ Πατὴρ ὁ προάναρχος· Πνεῦμα ἅγιον, ὁ εἷς ἀμερὴς Θεὸς ἡμῶν, καὶ πάντων Ποιητὴς καὶ φιλάνθρωπος.

Δόξα, καὶ νῦν.

Θαῦμα μέγιστον πῶς συνεσχέθη, ὁ ἀχώρητος ἐν τῇ γαστρί σου, καὶ ἐσαρκώθη, καὶ ἐφάνη ὡς ἄνθρωπος, μὴ ὑπομείνας φυρμὸν, ἢ διαίρεσιν, τῆς Θείκῆς καὶ ἀτρέπτου Θεότητος, κόρη πάναγνε διὸ Θεοτόκον σε πιστῶς κηρύττομεν ἀεὶ, καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

καὶ δοξάζομεν.

Ὠδὴ Ζ'. Ὡς πάλαι τοὺς εὐσεβεῖς.

Ναόν με δεῖξον τῆς σῆς Θεότητος Δέσποτα, τῆς τριλαμποῦς ὅλον φωτεινόν, ἁμαρτητικῆς ἀμαυρώσεως δεινῆς, καὶ παθῶν ἀνώτερον, ταῖς φωτουργαῖς σου λάμψεσιν, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Θεότητος τὴν μορφὴν, μίαν καταγγέλλομεν, ἐν τρισὶν ὑποστατικαῖς, καὶ διαιρεταῖς ἰδιότησι. Πατρὸς, καὶ Υἱοῦ, καὶ Πνεύματος: Εὐλογητὸς εἶ κράζοντες, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ἐφάνη τῷ Ἀβραὰμ, Θεὸς τρισυπόστατος, ἐν τῇ ὄρυϊ πάλαι τῇ Μαμβρῇ, τῆς φιλοξενίας μισθὸν, τὸν Ἰσαὰκ ἀντιδοὺς δι' ἔλεος· ὅνπερ καὶ νῦν δοξάζομεν, ὡς Θεὸν τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Ἐφάνη ἐπὶ τῆς γῆς, γενόμενος ἄνθρωπος, ὁ Παντουργὸς ἀγαθοπρεπῶς, ἐκ παρθενικῆς καὶ ἀχράντου σου γαστρος, καὶ ἡμᾶς ἐθέωσεν, εὐλογημένη πάναγνε, Θεοτόκε πανάχραντε.

Ὠδὴ Η'. Ἀστέκτως πυρὶ ἐνωθέντες.

Ἀνάρχου Πατρὸς, ὡς ἐκ ῥίζης, Λόγος καὶ τὸ Πνεῦμα, συνανάρχως πεφυκότες, ὡς βλαστοὶ τῆς ὑπερουσίου θεαρχίας, ἔδειξαν τῆς Τριάδος, δόξαν μίαν τε καὶ δύναμιν· ἣν ὑμνοῦμεν πάντες πιστοὶ εἰς τοὺς αἰῶνας. Δίς.

Ρυθμίζεις ταῖς σαῖς φρικτωρίαις τάξεις οὐρανίους, ἀναμέλπειν ἀσιγήτως τρισαγίοις ἄσμασι θείοις, Πάτερ, Λόγε σύμμορφε, καὶ τὸ Πνεῦμα τρίφωτον, κράτος καὶ ἰσόῤῥοπον. Ὅθεν σε ὑμνοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Χρησμοὶ Προφητῶν τὸν σὸν Τόκον, πόῤῥωθεν ἰδόντες, Θεοτόκε ἀνευφήμουν, ὡς ἀσπόρως καὶ ὑπερφυῶς, γεννηθέντα Δέσποινα· καὶ συμφώνως τοῦτον ὑμνοῦμεν ὡς Κύριον, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ Θ'. Καινὸν τὸ θαῦμα.

Ἰδεῖν τὴν δόξαν τὴν τρισολαμπῆ, αἱ θεοειδεῖς τῶν ἀσωμάτων τάξεις, σαφῶς ἀνίενται πτέρυξιν, ἀφίενται ἄνω· ἀλλ' εὐλαβοῦνται σφόδρα, τὸ ἀπρόσιτον φῶς, καὶ ὕμνον ἀπαύστως ἐκβοῶσι: Τούτοις συμφώνως μοναδικὴ Τριὰς σε δοξάζομεν. Δίς.

Ἁπλέτῳ πόθῳ καὶ οἱ ἐπὶ γῆς, νοεραν ψυχὴν ἐκ σοῦ λαβόντες καὶ λογικὴν, σὲ ὑμνοῦμεν Δέσποτα Θεὲ τῶν ἁπάντων, τὴν ἐνιαίαν φύσιν ἀληθῶς, καὶ τριττὴν προσώποις, ἐξ ὅλης τῆς καρδίας· διὸ οἰκτίρμων, ὡς πολυέλεος ἡμᾶς οἰκτειρον.

Θεοτοκίον.

Ναόν με δεῖξον τῆς μοναρχικῆς, καὶ τριφεγγοῦς σου, Θεαρχίας φωτοειδῆ, καθαρῶς λατρεύειν σοι τῷ Κτίστῃ τῶν ὅλων, καὶ τῆς ἀφράστου δόξης νοερόν θεωρὸν, πρεσβείαις τῆς μόνης Θεοτόκου, ἣν ἐπαξίως, ὡς ὑπερένδοξον μεγαλύνομεν.

Τὰ λοιπὰ, καὶ τὴν ἀπόλυσιν Ζήτει εἰς Φύλ. 37 Εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ἐξάψαλμον τὸ, Θεὸς Κύριος. Τὸ ἀπολυτίκιον, ἤτοι Τροπάριον δίς, τὸ Θεοτοκίον ἅπαξ. Τὸ Ψαλτήριον καὶ μετὰ τὴν ά. αὐτοῦ στιχολογίαν Καθίσματα.

Χριστὸς ἐκ νεκρῶν ἐγήγερται, ἡ ἀπαρχὴ τῶν κεκοιμημένων, ὁ πρωτότοκος τῆς κτίσεως, καὶ δημιουργὸς πάντων τῶν γεγονότων, τὴν καταφθαρεῖσαν φύσιν τοῦ γένους ἡμῶν, ἐν ἑαυτῷ ἀνεκαίνισεν. Οὐκ ἔτι θάνατε κυριεύεις· ὁ γὰρ τῶν ὅλων Δεσπότης τὸ κράτος σου κατέλυσε. Δόξα.

Σαρκὶ τοῦ θανάτου γευσάμενος Κύριε, τὸ πικρὸν τοῦ θανάτου, ἐξέτεμες τῇ ἐγέρσει σου· καὶ τὸν ἄνθρωπον κατ' αὐτοῦ ἐνισχύσας, τῆς ἀρχαίας κατάρας τὴν ἧτταν ἀνακαλούμενος, ὁ ὑπερασπιστὴς τῆς ζωῆς ἡμῶν, Κύριε δόξα σοι.

Καὶ νῦν Θεοτοκίον.

Τὴν ὡραιότητα τῆς Παρθενίας σου, καὶ τὸ ὑπέρλαμπρον τὸ τῆς ἁγνείας σου, ὁ Γαβριὴλ καταπλαγείς, ἐβόα σοι Θεοτόκε· Ποῖον σοι ἐγκώμιον προσαγάγω ἐπάξιον; τί δὲ ὀνομάσωσε; ἀπορῶ καὶ ἐξίσταμαι· διὸ ὡς προσετάγην βοῶ σοι· Χαῖρε ἡ Κεχαριτωμένη.

Μετὰ τὴν ϛ'. στιχολογίαν. καθίσματα.
Τὴν ὡραιότητα.

Τὸ ἀναλλοίωτον τὸ τῆς Θεότητος, καὶ τὸ ἑκούσιον πάθος σου Κύριε, εἰς ἑαυτὸν καταπλαγείς, ὁ ᾅδης ἐπωδύρετο· τρέμω τὴν τοῦ σώματος, μὴ φθαρεῖσαν ὑπόστασιν· βλέπω τὸν ἀόρατον μυστικῶς πολεμοῦντά με· διὸ καὶ οὓς κατέχω κραυγάζουσι· Δόξα Χριστὲ τῇ Ἀναστάσει σου. Δόξα.

Τὸ ἀκατάληπτον τὸ τῆς σαρκώσεως, καὶ ἀνερμήνευτον τὸ τῆς ἐγέρσεως, θεολογοῦμεν οἱ πιστοὶ, ἀπόρρητον Μυστήριον. Σήμερον γὰρ θάνατος, καὶ ὁ ᾅδης ἐσκύλευται· γένος δὲ ἀνθρώπινον, ἀφθαρσίαν ἐνδέδυται· διὸ καὶ εὐχαρίστως κραυγάζομεν· Δόξα Χριστὲ τῇ Ἀναστάσει σου. Καὶ νῦν.

Τὸν ἀκατάληπτον καὶ ἀπερίγραπτον, τὸν ὁμοούσιον Πατρὶ καὶ Πνεύματι, ἐν τῇ γαστρί σου μυστικῶς ἐχώρησας Θεομῆτορ. Μίαν καὶ ἀσύγχυτον, τῆς Τριάδος ἐνέργειαν, ἔγνωμεν τῷ τόκῳ σου ἐν τῷ κόσμῳ δοξάζεσθαι· διὸ καὶ εὐχαρίστως βοῶμέν σοι· Χαῖρε ἡ Κεχαριτωμένη.

Μετὰ τὸν Αἶνον, τὰ εὐλογητάρια, ἡ αἴτησις, καὶ ἡ Ὑπακοή.

Ἐκπλήττων τῇ ὁράσει, δροσίζων τοῖς ῥήμασιν, ὁ ἀστράπτων Ἄγγελος, ταῖς μυροφόροις ἔλεγε· Τὸν ζῶντα τί ζητεῖται ἐν μνήμασι; ἐγέρθη, κενώσας τὰ μνήματα· τῆς φθορᾶς ἀλλοιωτὴν, γνῶτε τὸν ἀναλλοίωτον. Εἴπατε τῷ Θεῷ· Ὡς φοβερὰ τὰ ἔργα σου, ὅτι τὸ γένος ἔσωσας τῶν ἀνθρώπων.

Οἱ Ἀναβαθμοί. Ἀντίφωνον ά.

Τὴν αἰχμαλωσίαν Σιὼν, σὺ ἐξείλου ἐκ Βαβυλῶνος, κἀμὲ ἐκ τῶν παθῶν, πρὸς ζωὴν ἕλκυσον. Δόξ

Ἐν τῷ νότῳ οἱ σπείροντες δάκρυσιν ἐνθέοις, θεριοῦσι στάχυας, ἐν χαρᾷ ἀειζωΐας.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι, πᾶσα ἀγαθοδωρία, ὡς Πατρὶ καὶ Υἱῷ συναστράπτει, ἐν ᾧ τὰ πάντα ζῇ καὶ κινεῖται.

Ἀντίφωνον β'.

Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον τῶν ἀρετῶν, μάτην κοπιῶμεν· τὴν δὲ ψυχὴν σκέποντος, οὐδεὶς ἡμῶν πορθεῖται τὴν Πόλιν.

Τοῦ καρποῦ τῆς γαστρὸς, τῷ Πνεύματι υἱοποιητῶς σοι τῷ Χριστῷ, ὡς Πατρὶ οἱ ἅγιοι πάντοτέ εἰσιν.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι, ἐνθεωρεῖται πᾶσα ἁγιότης, σοφία· οὐσιοῖ πᾶσαν γὰρ κτίσιν. Αὐτῷ λατρεύσωμεν, θεὸς γὰρ, ὡς Πατρί τε, καὶ Λόγῳ.

Ἀντίφωνον γ'.

Οἱ φοβούμενοι τὸν Κύριον μακάριοι τρίβους βαδιοῦνται τῶν ἐντολῶν, φάγονται, ζωηρὰν γὰρ παγκαρπίαν.

Κύκλῳ τῆς τραπέζης σου εὐφράνθητι, καθορῶν σου ποιμενάρχα, τὰ ἔγγονα φέροντα, κλάδους ἀγαθοεργίας.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι, ὁ πᾶς πλοῦτος τῆς δόξης, ἐξ οὗ χάρις καὶ ζωὴ πάσῃ τῇ κτίσει· σὺν Πατρὶ γὰρ ἀνυμνεῖται, καὶ τῷ Λόγῳ.

Προκείμενον. Εἴπατε ἐν τοῖς ἔθνεσιν, ὅτι Κύριος ἐβασίλευσε. Στίχος Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν. Πᾶσα πνοή. Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι. Τὸ εὐαγγέλιον, καὶ τὰ λοιπά.

Οἱ Κανόνες οὗτοι καὶ τοῦ Μηναίου.

Ὠδὴ ά. Ὁ Εἱρμός.

Ὁ τὰ ὕδατα πάλαι νεύματι θείῳ, εἰς μίαν συναγωγὴν συναθροίσας, καὶ τεμὼν θάλασσαν Ἰσραηλίτῃ Λαῷ, οὗτος ὁ Θεὸς ἡμῶν, δεδοξασμένος ὑπάρχει· αὐτῷ μόνῳ ᾄσωμεν ὅτι δεδόξασται.

Ὁ τὴν γῆν κατακρίνας τῷ παραβάντι, ἱδρῶτος φέρειν καρπὸν τὰς ἀκάνθας, ἀκανθῶν στέφανον ἐκ παρανόμου χειρὸς, οὗτος ὁ Θεὸς ἡμῶν, σωματικῶς δεδεγμένος, τὴν κατάραν ἔλυσεν, ὅτι δεδόξασται.

Νικητὴς τροπαιοῦχος, κατὰ θανάτου ὁ θάνατος, δεδοικὼς ἀνεδείχθη· παθητὴν σάρκα γὰρ ἐμψυχωμένην λαβὼν, οὗτος ὁ Θεὸς ἡμῶν· καὶ συμπλακεὶς τῷ Τυράννῳ, πάντας συνανέστησεν, ὅτι δεδόξασται.

Θεοτοκίον.

Ἀληθῶς θεοτόκον, πάντα τὰ ἔθνη δοξάζει σε τὴν ἀσπόρως τεκοῦσαν· ὑποδὺς Μήτραν γὰρ, ἡγιασμένην τὴν σὴν, οὗτος ὁ Θεὸς ἡμῶν, τὸ καθ' ἡμᾶς οὐσιώθη, καὶ Θεὸς, καὶ ἄνθρωπος ἐκ σοῦ γεγέννηται.

Ἕτερος Σταυροαναστάσιμος ὅστις καταλιμπάνεται, εἰ ἑορτάζεται τῆς ἡμέρας ὁ Ἅγιος.

Ἆσμα

Ἆσμα καινόν.

Γένος βροτῶν αἵματι θείῳ δεδουλωμένον Τυράννῳ φιλαμαρτήμονι, Χριστὸς ἐξηγόρασε, καὶ θεοποιήσας ἀνεκαίνισεν, ὅτι δεδόξασται.

Ὡς μὲν θνητὸς, θανάτου θέλων, ὁ τῆς ζωῆς ταμιοῦχος Χριστὸς ἐγεύσατο· ὡς ὢν δὲ ἀθάνατος φύσει, τοὺς νεκροὺς ἐζωοποίησεν, ὅτι δεδόξασται.

Ἕτερος τῆς Θεοτόκου. Ὁμοιος.

Γόνυ κάμπτει ἅπασα φύσις ἐπουρανίων Παρθένε, τῷ σαρκωθέντι ἐκ σοῦ, σὺν τοῖς ἐπιγείοις τε, ἀξιοπρεπῶς, τὰ καταχθόνια, ὅτι δεδόξασται.

Ὦ συναλλαγμάτων τῶν ἐν σοί! ἀγαθῶν γὰρ ἀφθόνως, παρεκτικὸς ὡς Θεὸς, Πνεῦμα θεῖον δοὺς ἡμῖν, σάρκα ἐκ σοῦ Κόρη προσελάβετο, ὅτι δεδόξασται.

Ὠδὴ Γ'. Ὁ Εἱρμός.

Ὁ ἐκ μὴ ὄντων τὰ πάντα παραγαγὼν, τῷ Λόγῳ κτιζόμενα, τελειούμενα Πνεύματι· Παντοκράτορ Δέσποτα, ἐν τῇ ἀγάπῃ τῇ σῇ στερέωσόν με.

Διὰ σταυροῦ σου ἰσχύνθη ὁ ἀσεβὴς· εἰργάσατο βόθρον γάρ, ὃν ὀρύξας εἰσπέπτωκε· ταπεινῶν ὑψώθη δὲ Χριστέ τὸ κέρας, ἐν τῇ σῇ Ἀναστάσει.

Τῆς εὐσεβείας τὸ κήρυγμα τῶν Ἐθνῶν, ὡς ὕδωρ ἐκάλυψε τὰς θαλάσσας φιλάνθρωπε· ἀναστὰς ἐκ τάφου γάρ, τὸ τῆς Τριάδος ἀπεκάλυψας φέγγος.

Θεοτοκίον.

Δεδοξασμένα λελάληνται περὶ σοῦ, ἡ πόλις ἡ ἔμψυχος τοῦ ἀεὶ βασιλεύοντος· διὰ σοῦ γὰρ Δέσποινα, τοῖς ἐπὶ γῆς Θεὸς συναναστράφη.

Κανὼν Σταυροαν. Τόξον ἔθραυσεν.

Ῥύψις ἄχραντε σταυρέ, εἰδωλικῶν ἐδείχθης σὺ καθαρμάτων· ὅτι Ἰησοῦς ὁ ὑπέρθεος, ἐν σοὶ χεῖρας ἐξεπέτασεν.

Ἵνα πάντες οἱ πιστοὶ, τὸ ζωοδόχον μνῆμα, σὲ προσκυνῶμεν, τέθαπται ἐν σοὶ, καὶ ἐγήγερται Χριστὸς, ὄντως ὁ Θεὸς ἡμῶν.

Ἕτερος τῆς Θεοτόκου. Ὁ αὐτός.

Ῥάβδος ῥίζης Ἰεσσαὶ, προφητικῶς βλαστήσασα, ἡ Παρθένος, ἄνθος σε Χριστὲ ἐξανέτειλεν ἡμῖν· ἅγιος εἶ Κύριε.

Ἵνα θείας κοινωνοὺς τοὺς γηγενεῖς ἐργάσῃ ἐκ τῆς Παρθένου, σάρκα τὴν ἡμῶν σὺ ἐπτώχευσας λαβών· ἅγιος εἶ Κύριε.

Ὠδὴ Δ'. Ὁ Εἱρμός.

Ἔθου πρὸς ἡμᾶς, κραταιὰν ἀγάπησιν Κύριε· τὸν Μονογενῆ γάρ σου Υἱὸν, ὑπὲρ ἡμῶν εἰς θάνατον δέδωκας· διό σοι κραυγάζομεν εὐχαριστοῦντες· Δόξα τῇ δυνάμει σου Κύριε.

Στίγματα Χριστὲ, συμπαθῶς καὶ μώλωπας ἤνεγκας· ὕβριν ραπισμάτων καρτερῶς, καὶ μακροθύμως φέρων ἐμπτύσματα· δι' ὧν κατηργάσω μοι τὴν σωτηρίαν· δόξα τῇ δυνάμει σου Κύριε.

Σώματι,

Σώματι θνητῷ, ἡ ζωὴ θανάτῳ ὡμίλησας, τῆς ταλαιπωρίας τῶν πτωχῶν, καὶ στεναγμοῦ πενήτων σου ἕνεκεν· καὶ φθείρας τὸν φθείραντα δεδοξασμένε, πάντας συνανέστησας μόνε φιλάνθρωπε.

Θεοτοκίον

Μνήσθητι Χριστέ, ἧς ἐκτήσω ποίμνης τῷ πάθει σου· τῆς δεδοξασμένης σου Μητρός, τὰς συμπαθεῖς ἐντεύξεις δεξάμενος, καὶ ἐπισκεψάμενος, κεκακωμένην ῥῦσαι τῇ δυνάμει σου Κύριε.

Ἄλλος. Τὸ ξένον καὶ ἀπόῤῥητον.

Ὁ πλάσας κατ' Εἰκόνα σου, φιλάνθρωπε, τὸν ἄνθρωπον, καὶ νεκρωθέντα τῇ ἁμαρτίᾳ διὰ τῆς παραβάσεως, σταυρωθεὶς ἐν κρανίῳ διέσωσας.

Νεκροὺς μὲν οὓς κατέπιεν, ὁ θάνατος ἀπέδωκε· κατελύθη δὲ καὶ τὸ τοῦ ᾅδου φθοροποιὸν Βασίλειον, ἀναστάντος ἐκ τάφου σου Χριστὲ Ὁ αὐτός.

Ὁ στήσας ὄρη Δέσποτα, ζυγῷ τῆς θείας γνώσεως, λελατόμησαι ἐκ τῆς Παρθένου, λίθος χειρῶν ἀνευθεν· τῇ δυνάμει σου δόξα φιλάνθρωπε

Νοσοῦσαν ἐθεράπευσας, ἡμῶν τὴν φύσιν Δέσποτα, ὁραστικώτατον ἐν τῇ Παρθένῳ, ταύτην ἑνώσας φάρμακον, τὴν σὴν ἄχραντον Λόγε Θεότητα.

Ὠδὴ ε'. Ὁ Εἱρμός.

Πρὸς σὲ ὀρθρίζω, τὸν τοῦ παντὸς δημιουργόν, τὴν ὑπερέχουσαν πάντα νοῦν εἰρήνην, διότι φῶς τὰ προστάγματά σου, ἐν οἷς με καθοδήγησον.

Κριτῇ ἀδίκῳ, Ἑβραίων φθόνῳ, προσῆλθες ὁ παντεπόπτης, καὶ ἅπασαν δικαίως κρίνων τὴν γῆν, τὸν Ἀδὰμ τῆς πάλαι ἐῤῥύσω κατακρίσεως.

Τὴν σὴν εἰρήνην ταῖς Ἐκκλησίαις σου, Χριστέ, τῇ ἀηττήτῳ δυνάμει τοῦ σταυροῦ σου, ὁ ἐκ νεκρῶν ἀναστὰς παράσχου, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

Θεοτοκίον.

Σκηνὴ ἁγία, καὶ πλατυτέρα Οὐρανῶν, ὡς τὸν ἐν πάσῃ ἀχώρητον τῇ Κτίσει, Λόγον Θεοῦ δεξαμένη, μόνη ἐδείχθης Ἀειπάρθενος

Κανὼν Σταυροαν. Ἐπὶ τῆς γῆς.

Λόγχῃ πλευρὰν, ὦ Χριστέ μου, νυγεὶς σου, τὴν ἐκ πλευρᾶς ἀνθρωπίνης κτισθεῖσαν, ὀλέθρου πᾶσι βροτοῖς, γεγονυῖαν πρόξενον, τῆς κατάρας ἠλευθέρωσας.

Ἴσος Πατρὶ, κατ' οὐσίαν ὑπάρχων, καὶ ἱερὸν ἐξανέστησας δρόμον τοῦ παναχράντου σου, καὶ πανσέπτου σώματος, ἐκ νεκρῶν Χριστὲ Σωτὴρ ἡμῶν.

Τῆς Θεοτόκου. Ὁ αὐτός.

Λόγου Θεοῦ, ὁ Υἱός σου Παρθένε, δημιουργὸς Ἀδὰμ τοῦ πρωτοπλάστου, οὐ δημιούργημα, εἰ καὶ σαρκὰ ἔμψυχον, ἑαυτῷ ἐκ σοῦ διέπλασεν.

Ἴσος Πατρὶ ὁ Υἱὸς τῆς Παρθένου, Λόγος Θεοῦ, ὑπόστασις τελεία, ἐν δύω φύσεσιν, Ἰησοῦς ὁ Κύριος, Θεὸς τέλειος καὶ ἄνθρωπος.

Ὠδὴ

Ὠδὴ γ'. Ὁ Εἱρμός.

Ἄβυσσος ἐσχάτη ἁμαρτιῶν, ἐκύκλωσέ με, καὶ ἐκλείπει τὸ πνεῦμά μου· ἀλλ' ἐκτείνας Δέσποτα, σὸν ὑψηλὸν βραχίονα, ὡς τὸν Πέτρον με, Κυβερνήτα διάσωσον,

Ἄβυσσος ἐλέους καὶ οἰκτιρμῶν· ἐκύκλωσέ με τῇ εὐσπλάγχνῳ καθόδῳ σου· σαρκωθεὶς γὰρ Δέσποτα, καὶ γεγονὼς ἐν δούλου μορφῇ, ἐθεούργησας, καὶ σαυτῷ συνεδόξασας.

Νέκρωσιν ὑπέστη ὁ νεκρωτὴς, τὸν νεκρωθέντα ζωοθέντα θεώμενος· τῆς σῆς Ἀναστάσεως, ταῦτα Χριστὲ τὰ σύμβολα, καὶ τοῦ πάθους σου τοῦ ἀχράντου τὰ ἔπαθλα.

Θεοτοκίον.

Πάναγνε ἡ μόνη τῷ πλαστουργῷ, καὶ τοῖς ἀνθρώποις ὑπὲρ νοῦν μεσιτεύσασα, τὸν Υἱόν σου ἵλεων, τοῖς ἐπταικόσι δούλοις σου, καὶ ὑπέρμαχον χρήματίσαι δυσώπησον.

Κανὼν Σταυροαν. Σκυνώσεως.

Μωλώπων σὺ πειρασθείς, Ἄδου τραυματίας, πάθει σταυροῦ συνανέστησας· ὅθεν σοι κραυγάζω· Ἀνάγαγε, ἐκ φθορᾶς τὴν ζωήν μου φιλάνθρωπε.

Ἀνοίγονταί σοι Χριστὲ, φόβῳ πύλαι Ἅδου, σκεύη ἐχθροῦ δὲ ἁρπάζονται· ὅθεν σοι γυναῖκες ὑπήντησαν, ἀντὶ λύπης χαρὰν κομισάμεναι. Τῆς Θεοτόκου. Ὁ αὐτός.

Μορφοῦται τὸ καθ' ἡμᾶς, ἐκ τῆς ἀκηράτου Κόρης, ὁ σχήματι ἄμοιρος, σχήματι ὑπάρξας καὶ πράγματι, μὴ τραπεὶς τὴν Θεότητα ἄνθρωπος,

Ἄβύσσου ἁμαρτιῶν, καὶ τῆς καταιγίδος πάναγνε, τῶν παθῶν ῥῦσαί με· πέφυκας λιμὴν γὰρ καὶ ἄβυσσος, τῶν θαυμάτων, τοῖς πίστει σοι προστρέχουσι

Κοντάκιον. Ἡ Παρθένος σήμερον.

Ἐξανέστης σήμερον, ἀπὸ τοῦ τάφου οἰκτίρμων· καὶ ἡμᾶς ἐξήγαγες ἐκ τῶν πυλῶν τοῦ θανάτου. Σήμερον, Ἀδὰμ χορεύει, καὶ χαίρει Εὔα· ἅμα δὲ καὶ οἱ Προφῆται σὺν Πατριάρχαις, ἀνυμνοῦσιν ἀκαταπαύστως, τὸ θεῖον κράτος τῆς ἐξουσίας σου.

Ὁ Οἶκος

Ὁ οὐρανὸς καὶ ἡ γῆ σήμερον χορευέτωσαν, καὶ Χριστὸν τὸν Θεὸν ὁμοφρόνως ὑμνείτωσαν, ὅτι τοὺς δεσμίους ἐκ τῶν τάφων ἀνέστησε. Συγχαίρει πᾶσα ἡ κτίσις, προσφέρουσα ἐπάξια ἄσματα τῷ πάντων Κτίστῃ καὶ λυτρωτῇ ἡμῶν· ὅτι τοὺς βροτοὺς ἐξ ᾅδου σήμερον, ὡς ζωοδότης συνανελκύσας, πρὸς οὐρανοὺς συνανυψοῖ, καὶ καταῤῥάσσει τοῦ ἐχθροῦ τὰς ἐπάρσεις· καὶ πύλας τοῦ ᾅδου διαθλάττει, τῷ θείῳ κράτει τῆς ἐξουσίας αὐτοῦ.

Ὠδὴ ζ'. Ὁ Εἱρμός.

Ὡς πάλαι τοὺς εὐσεβεῖς, τρεῖς Παῖδας ἐδρόσισας, ἐν τῇ φλογὶ τῇ Χαλδαϊκῇ, καὶ φωτιστικῷ τῆς Θεότητος πυρί· καὶ ἡμᾶς καταύγασον·

Εὐ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λογητὸς εἶ κράζοντας, ὁ Θεὸς
ῶν Πατέρων ἡμῶν.

Ἐρράγη τὸ τοῦ Ναοῦ φαιδρὸν
ταπέτασμα, ἐν τῷ σταυρῷ τοῦ
μιουργοῦ, τὴν ἐγκεκρυμμένην τῷ
άμματι ὀηλοῦν τοῖς πιστοῖς
ήθειαν· Εὐλογητὸς εἶ κράζουσιν,
εὸς ὁ τῶν Πατέρων ἡμῶν.

Νυγείσης σου τῆς πλευρᾶς,
οῖδες Θεόῤῥυτοι, ζωοποιοῦ αἵμα-
τος Χριστέ, οἰκονομικῶς ἀπο-
ζουσαι εἰς γῆν, τοὺς ἐκ γῆς
έπλασας· Εὐλογητὸς εἶ κράζον-
ς, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Τριαδικόν.

Τὸ Πνεῦμα τὸ ἀγαθόν, Πατρὶ
νδοξάσωμεν, καὶ τῷ Υἱῷ τῷ μονο-
νεῖ, μίαν ἐν τρισὶ πιστοῖ σέβον
ς ἀρχὴν, καὶ μίαν Θεότητα· Εὐ-
γητὸς εἶ κράζοντες, ὁ Θεὸς ὁ
ν Πατέρων ἡμῶν.

Ἄλλος. Σωφρονίου τοῦ Τυράννου.

Οὐ ψιλὸν ὁ Ἥλιος, ἐν σαυρῷ
εμάμενον ἄνθρωπον, ἀλλὰ Θεὸν
οτίζεται, σεσαρκωμένον ὁρῶν, ᾧ
ψάλλομεν· Εὐλογητὸς εἶ Κύ-
ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ἰσχυρὸν Θεότητι, δεδεγμένος
θης ὁ δείλαιος, τὸν ἀφυαρσίας
ροχον, ψυχὰς δικαίων βοώσας
εσεν· Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς
ῶν Πατέρων ἡμῶν.

Τῆς Θεοτόκου Ὁ αὐτός.

Ὁ τῆς δόξης Κύριος, καὶ κρα-
ν τῶν ἄνω δυνάμεων, ὁ σὺν
τρὶ καθήμενος, παρθενικαῖς ταῖς
ρσὶ φερόμενος· εὐλογητὸς εἶ Κύ
, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ἰταμὸς ὁ θάνατος, ἀλλὰ τοῦ-
τόν σοι ὁμιλήσαντα, ἐκ τῆς Παρ-
θένου ὥλεσας, Θεοὐπόστατος σὰρξ
γενόμενος· εὐλογητὸς εἶ Κύριε,
ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ὠδὴ Γ'. Ὁ Εἱρμός.

Ἀστέκτῳ πυρὶ ἐνωθέντες οἱ
θεοσεβείᾳ προεχῶτες Νεανίαι· τῇ
ῥλογί δὲ μὴ λωβηθέντες, θεῖον
ὕμνον ἔμελπον· Εὐλογεῖτε πάντα
τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἐρράγη Ναοῦ ἡ φαιδρότης, ὅτε
ὁ σταυρός σου ἐπάγη ἐν κρανίῳ·
καὶ ἡ κτίσις συνεκλονεῖτο, φόβῳ
ἀναμέλπουσα· εὐλογεῖται πάντα τὰ
ἔργα Κυρίου τὸν Κύριον.

Ἀνέστης Χριστὲ ἐκ τάφου, καὶ
τὸν πεπτωκότα τῇ ἀπάτῃ διὰ
ξύλου ἀνορθώσω θείᾳ δεινάμει,
κράζοντα, καὶ λέγοντα· Εὐλογεῖτε
πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Θεοτοκίον.

Ναὸς τοῦ Θεοῦ ἀνεδείχθεις,
ἐμψυχον χωρίον Κιβωτός τε· τὸν
ποιητὴν γὰρ, θεογεν-
νῆτορ ἄχραντε κατήλλαξας· καὶ
ἀξίως πάντα τὰ ἔργα ὑμνοῦμέν
σε, καὶ ὑπερυψοῦμεν εἰς πάντας
τοὺς αἰῶνας.

Σταυροῦ. Ἐνόλου φλάγα.

Ὁ Λόγος οὐ παθητὸς, ἀπαθὴς
γὰρ τῇ Θεότητι· πάσχει σαρκὶ δὲ
Θεὸς, ᾧ καὶ ψάλλωμεν· Εὐλογεῖ-
τε πάντα τὰ ἔργα Κυρίου τὸν
Κύριον.

Πνώσας μὲν ὡς θνητὸς, ἐ-
ξηγέρθης ὡς ἀθάνατος, Σῶτερ, καὶ
σώζεις θανάτου τοὺς μέλποντας·

Εὐ-

Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Τῆς Θεοτόκου Ὁ αὐτός.

Ἡ τάξις τὰς νοερὰς, οἷα Μήτηρ ὑπεράρασα, καὶ πλησίον Θεοῦ χρηματίσασα, εὐλογοῦμεν· εὐλογημένη Παρθένε τὸν τόκον σου, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Τὸ κάλλος τὸ φυσικὸν, ὡραιότερον ἀνέδειξας, ἐξαστράπτουσαν σάρκα Θεότητος· εὐλογοῦμεν εὐλογημένη Παρθένε τὸν τόκον σου, καὶ ὑπερυψοῦμεν.

Ὠδὴ θ'. ὁ Εἱρμός.

Καινὸν τὸ θαῦμα καὶ θεοπρεπὲς· τῆς Παρθένου γὰρ τὴν κεκλεισμένην πύλην, σαρῶς διοδεύει Κύριος, γυμνὸς τῇ εἰσόδῳ, καὶ σαρκοφόρος ὤφθη ἐν ἐξόδῳ Θεὸς, καὶ μένει ἡ πύλη κεκλεισμένη. Ταύτην ἀφράστως, ὡς Θεομήτορα μεγαλύνομεν.

Φρικτὸν ἰδέσθαι σὲ τὸν ποιητὴν ἐπὶ ξύλου, ἀναρτηθέντα Λόγε Θεοῦ, σαρκικῶς δὲ πάσχοντα Θεόν, ὑπὲρ δούλων, καὶ ἐν μνημείῳ ἄπνουν κατακείμενον, νεκροὺς δὲ τοῦ ᾅδου λελυκότα. Ὅθεν Χριστέ σε, ὡς παντοδύναμον μεγαλύνομεν.

Φθορᾶς θανάτου ἔσωσας Χριστὲ τοὺς προπάτορας, κατατεθεὶς ἐν τάφῳ νεκρός, καὶ ζωὴν ἐξήνθησας, νεκροὺς ἀναστήσας, χειραγωγήσας φύσιν τὴν βροτείαν πρὸς φῶς, καὶ θείαν ἐνδύσας ἀφθαρσίαν· ὅθεν πηγήν σε φωτὸς ἀειζώου μεγαλύνομεν.

Θεοτοκίον.

Ναὸς καὶ θρόνος ὤφθης Θεοῦ, ἐν ᾧ ὤκησεν ὁ ἐν ὑ πέλων, τεχθεὶς ἀπειράνδρως ναγνε, σαρκὸς μὴ ἀνοίξας σου πύλας· ὅθεν ταῖς ἁλ σεμνὴ λιταῖς σου, τὰ ρῦλ βαρβάρων, θᾶττον εἰς τέλ Βασιλεῖ ἡμῶν καθυπόταξον.

Σταυροαν. Οἱ τῷ γλυκεῖ.

Γέρας βροτοῖς, ἐξ ἀτίμο νάτου, πᾶσιν ἐπήγασας, σταυρώσεως Σῶτερ γευσάμ τῇ οὐσίᾳ τῇ θνητῇ ἀφθαρσ ἐδωρήσω, Χριστὲ ὁ Θεὸς λάνθρωπος.

Ἔσωσάς με ἀναξὰς ἐκ τ φου Χριστὲ, καὶ ὕψωσας, καὶ προσήγαγες τῷ σῷ Γεννήτ ξιᾷ τε τῇ αὐταῦ συνεκάθησα σπλάγχνα ἐλέους σου Κύρι

Τῆς Θεοτόκου Ὁ αὐτός.

Κόρος τῶν σῶν ἐφυμνίω θένε, ταῖς εὐαγέσι πιστοῖς οὐ προσγίνεται πόθῳ γάρ ἀεὶ θεῖον καὶ πνευματικὸν πρ βάνοντες, ὡς Μητέρα Θεο γαλύνομεν.

Ἔθου ἡμῖν ἀκαταίσχυντο σβιν, τὴν σὲ τεκοῦσαν ταύτης ταῖς ἐντεύξεσιν, ἵλε μεις ἡμῖν, Πνεῦμα μεταδοτ γαθότητος, ἐκ Πατρὸς δι προερχόμενον.

Μετὰ τὴν Τιμιωτέραν sις. Ὅτι σὲ αἰνοῦσι καὶ εὐθ γιος Κύριος. Τὰ Ἐξαποστειλά οἱ Αἶνοι

Δεῦτε πάντα τὰ ἔθνη,

τοῦ φρικτοῦ Μυστηρίου τὴν δύναμιν· Χριστὸς γὰρ ὁ Σωτὴρ ἡμῶν, ὁ ἐν ἀρχῇ Λόγος, ἐσταυρώθη δι' ἡμᾶς, καὶ ἐκὼν ἐτάφη· καὶ ἀνέστη ἐκ νεκρῶν, τοῦ σῶσαι τὰ σύμπαντα. Αὐτὸν προσκυνήσωμεν.

Διηγήσαντο πάντα τὰ θαυμάσια, οἱ φύλακές σου Κύριε· ἀλλὰ τὸ συνέδριον τῆς ματαιότητος, πληρῶσαν δώρων τὴν δεξιὰν αὐτῶν, κρύπτειν ἐνόμιζον τὴν Ἀνάστασιν σου· ἣν ὁ Κόσμος δοξάζει, ἐλέησον ἡμᾶς.

Χαρᾶς τὰ πάντα πεπλήρωται, τῆς Ἀναστάσεως τὴν πεῖραν εἰληφότα· Μαρία γὰρ ἡ Μαγδαληνή, ἐπὶ τὸ μνῆμα ἦλθεν, εὗρεν Ἄγγελον ἐπὶ τὸν λίθον καθήμενον, τοῖς ἱματίοις ἐξαστράπτοντα, καὶ λέγοντα: Τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; οὐκ ἔστιν ὧδε, ἀλλ' ἐγήγερται, καθὼς εἶπε προάγων ἐν τῇ Γαλιλαίᾳ.

Ἐν τῷ φωτί σου Δέσποτα, ὁ ψόμεθα φῶς ἱλάνθρωπε· ἀνέστης γὰρ ἐκ τῶν νεκρῶν, σωτηρίαν τῷ γένει τῶν ἀνθρώπων δωρούμενος· ἵνα σε πᾶσα κτίσις δοξολογῇ, τὸν μόνον ἀναμάρτητον, ἐλέησον ἡμᾶς.

Ὕμνον ἑωθινὸν, αἱ Μυροφόροι Γυναῖκες τὰ δάκρυα προσέφερον Κύριε· εὐωδίας γὰρ ἀρώματα κατέχουσαι, τὸ μνῆμά σου κατέλαβον, τὸ ἄχραντόν σου σῶμα μυρίσαι σπουδάζουσαι. Ἄγγελος καθήμενος ἐπὶ τὸν λίθον, αὐταῖς εὐηγγελίσατο: Τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; τὸν θάνατον γὰρ πατήσας, ἀνέστη, ὡς Θεὸς, παρέχων πᾶσι τὸ μέγα ἔλεος.

Ἐξαστράπτων Ἄγγελος ἐπὶ τὸ μνῆμά σου τὸ ζωοποιὸν, ταῖς Μυροφόροις ἔλεγεν· Ἐκένωσε τοὺς τάφους ὁ λυτρωτὴς, ἐσκύλευσε τὸν Ἅδην, καὶ ἀνέστη τριήμερος, ὡς μόνος Θεὸς καὶ Παντοδύναμος.

Εἰς τὸ μνῆμα σὲ ἐπεζήτησεν, ἐλθοῦσα τῇ μιᾷ τῶν Σαββάτων, Μαρία ἡ Μαγδαληνή· μὴ εὑροῦσα δὲ, ὠλοφύρετο, κλαυθμῷ βοῶσα: Οἴμοι Σωτήρ μου! πῶς ἐκλάπης πάντων Βασιλεῦ; ζεῦγος δὲ ζωηφόρων Ἀγγέλων, ἔνδοθεν τοῦ μνημείου ἔβοα: Τί κλαίεις ὦ γύναι; κλαίω φησὶν ὅτι ἦραν τὸν Κύριόν μου τοῦ τάφου, καὶ οὐκ οἶδα, ποῦ ἔθηκαν αὐτόν. Αὐτὴ δὲ στραφεῖσα ὀπίσω, ὡς κατεῖδέ σε, εὐθέως ἐβόα: Ὁ Κύριός μου, καὶ ὁ Θεός μου δόξα σοι.

Ἔβραῖοι συνέκλεισαν ἐν τῷ τάφῳ τὴν ζωήν. Λῃστὴς δὲ ἀνέῳξεν ἐν τῇ γλώσσῃ τὴν τρυφὴν, κραυγάζων καὶ λέγων: Ὁ μετ' ἐμοῦ δι' ἐμὲ σταυρωθείς, συνεκρέματό μοι ἐπὶ τοῦ ξύλου, καὶ ἐφαίνετό μοι ἐπὶ τοῦ θρόνου, τῷ Πατρὶ συγκαθήμενος· αὐτὸς γάρ ἐστι Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ ἔχων τὸ μέγα ἔλεος.

Δοξα. τὸ ἑωθινόν. Καὶ νῦν. Ὑπερευλογημένη ὑπάρχεις, καὶ τὰ λοιπὰ ὡς ἐν τῷ ἀ. ἤχω. Φῶλ. 139

Εἰς τὴν λειτουργίαν, οἱ Μακαρισμοί.

Ἀθετήσαντα Χριστὲ τὴν ἐντολήν σου, τὸν προπάτορα Ἀδάμ τοῦ Παραδείσου ἐξώρισας· τὸν δὲ Λῃστὴν Οἰκτίρμων, ὁμολογήσαντά σε ἐν σταυρῷ, ἐν αὐτῷ εἰσῴκισας κράζοντα: Μνήσθητί μου Σωτὴρ ἐν τῇ Βασιλείᾳ σου.

Ἁμαρτήσαντας ἡμᾶς, τὴν τοῦ θανάτου κατεδίκασας ἀρᾷ, ὁ Ζωοδότης καὶ Κύριος· ἐν δὲ τῷ σώματί σου ἀναμαρτήτως Δέσποτα παθών, τοὺς θνητοὺς ἐζώωσας κράζοντας: Μνήσθητι καὶ ἡμῶν ἐν τῇ Βασιλείᾳ σου.

Ἀναστὰς ἐκ τῶν νεκρῶν, συνεξανέστησας ἡμᾶς ἐκ τῶν παθῶν, τῇ Ἀναστάσει σου Κύριε· τοῦ δὲ θανάτου πᾶσαν τὴν δυναστείαν ὤλεσας Σωτὴρ· διὰ τοῦτο πίστει σοι κράζομεν: Μνήσθητι καὶ ἡμῶν ἐν τῇ Βασιλείᾳ σου.

Τῇ τριημέρῳ σου ταφῇ, τοὺς ἐν τῷ ᾅδῃ νεκρωθέντας ὡς Θεὸς, ζωοποιήσας συνήγειρας· καὶ ἀφθαρσίαν πᾶσιν ὡς ἀγαθὸς, ἐπήγασας ἡμῖν, τοῖς ἐν πίστει κράζουσι πάντοτε: Μνήσθητι καὶ ἡμῶν ἐν τῇ Βασιλείᾳ σου.

Ταῖς Μυροφόροις γυναιξὶ, πρώταις ἐφάνης, ἀναστὰς ἐκ τῶν νεκρῶν, Σωτὴρ βοήσας τὸ χαίρετε καὶ δι' αὐτῶν τοῖς φίλοις, τὴν σὴν μηνύεις ἔγερσιν Χριστέ· διὰ τοῦτο πίστει κραυγάζομεν: Μνήσθητι καὶ ἡμῶν ἐν τῇ βασιλείᾳ σου.

Ἐν τῷ ὄρει Μωϋσῆς χεῖρας ἁπλώσας, προετύπου τὸν σταυρὸν, τὸν Ἀμαλὴκ τροπωσάμενος· ἡμεῖς δὲ πίστει τοῦτον κατὰ δαιμόνων ὅπλον κραταιὸν, εἰληφότες πάντες κραυγάζομεν: Μνήσθητι καὶ ἡμῶν, ἐν τῇ βασιλείᾳ σου.

Δόξα.

Τὸν Πατέρα καὶ Υἱὸν, καὶ Πνεῦμα Ἅγιον, ὑμνήσωμεν πιστοί, ἕνα Θεὸν, ἕνα Κύριον, ὡς ἐξ ἑνὸς Ἡλίου· τρισσολαμπὴς γάρ ἐστιν ἡ Τριὰς, καὶ φωτίζει πάντας τοὺς κράζοντας: Μνήσθητι καὶ ἡμῶν ἐν τῇ βασιλείᾳ σου.

Καὶ νῦν Θεοτοκίον.

Χαῖρε ἡ πύλη τοῦ Θεοῦ, δι' ἧς διῆλθε, σαρκωθεὶς ὁ πλαστουργός, ἐσφραγισμένην φυλάξας σε· χαῖρε νεφέλη κούφη, τὸν θεῖον ὄμβρον φέρουσα Χριστόν· χαῖρε κλίμαξ καὶ θρόνε οὐράνιε· χαῖρε ὄρος σεπτὸν, ποῖον ἀλατόμητον.

Τὸ πρωὶ Ἀπόστιχα τοῦ ἑσπερινοῦ.

Τῇ Κυριακῇ ἑσπέρας. εἰς τὸ Κύριε ἐκέκραξα, Στιχηρὰ προσόμοια Δεσποτικά. Σῶσόν με Κύριε ὁ Θεός μου.

Ἥμαρτον, Κύριε ὁ Θεός μου, ἥμαρτόν σοι ἱλάσθητί μοι, μὴ ἀπώσῃ με, μὴ βδελύξῃ με Λόγε· ἀλλ' ὡς μόνος συμπαθὴς τε καὶ ἐλεήμων, πρόσδεξαί με μεταγνόντα, καὶ τὰ σὰ ποιεῖν με, Σῶτερ δικαιώματα, ὡς μόνος εὐσπλαγχνος ἐνδυνάμωσον.

Πρόφθασον Κύριε ἐξελοῦ με, ἐκ χειρὸς τοῦ ἀντικειμένου· καὶ γὰρ θέλων ἐδουλώθην τῷ πλάνῳ καὶ ἀπέστην ἐκ τῶν ἐντολῶν σου Οἰκτίρμων· δός μοι χρόνον μετανοίας, καὶ πρὸς φῶς εἰσάγαγέ με κατανύξεως, ὅπως πενθήσω μου τὴν ἀπόπτωσιν, Σῶτερ.

Τῶν Ἀσωμάτων.

Μεγάλη τοῦ Σταυροῦ σου.

Χορείας Ἀσωμάτων, Κύριε ὑπέστησας, τὸν πλοῦτόν σου δεικνύων, πᾶσι τῆς ἀγαθότητος, καὶ παρήγαγες

δικάσῃς, φεῖσαί μου ὁ Θεός, καὶ ἐλέησόν με.

Ἕως πότε ψυχή μου, ἐπιμένεις τοῖς πταίσμασιν; ἕως τίνος λομβάνεις μετανοίας ὑπέρθεσιν; λαβε κατὰ νοῦν τὴν κρίσιν τὴν μέλλουσαν· βόησον Χριστῷ τῷ Θεῷ: Καρδιογνῶστα ἥμαρτον· ἀναμάρτητε Κύριε ἐλέησόν με.

Δόξα, καὶ νῦν.

Χαῖρε Μαρία, Μήτηρ καὶ Παρθένε, τὸ ὄρος τὸ Ἅγιον, ὁ ἐν Ἐδὲμ Παράδεισος, ἐξ ἧς ἐτέχθη Χριστὸς ὁ Θεός, ἄνευ σποράς ὁ μόνος, δι' οὗ ἡ ζωὴ τῷ Κόσμῳ ἐβλάστησεν.

Μετὰ τὴν β'. στιχολογίαν Καθίσματα.

Τὴν ὡραιότητα.

Τὰ ἐπουράνια, καὶ τὰ ἐπίγεια, λόγῳ παρήγαγες, ὡς παντοδύναμος· οἱ τῶν Ἀγγέλων δὲ χοροί, σὺν τρόμῳ παρεστηκότες, ἄπαυστον τὴν αἴνεσιν, σοὶ προσφέρουσι Δέσποτα, πάντα καταυγάζοντες, τῷ φωτί σου τὰ πέρατα, δι' ὧν σοι καὶ ἡμεῖς ἐκβοῶμεν: Σῶσον ἡμᾶς τῇ εὐσπλαγχνίᾳ σου.

Μαρτυρικόν.

Τὸ ἔμψυχον τῆς καρτερίας ὑμῶν, ἐνίκησε τὰ μηχανήματα τοῦ ἀρχεκάκου ἐχθροῦ, Ἀθλοφόροι πανεύφημοι· διὰ τοῦτο τῆς αἰωνίου κατηξιώθητε μακαριότητος· ἀλλὰ πρεσβεύσατε τῷ Κυρίῳ, τοῦ φιλοχρίστου λαοῦ σῶσαι τὸ ποίμνιον, Μάρτυρες ὑπάρχοντες τῆς ἀληθείας.

Δόξα,

Δόξα, καὶ νῦν. Τὴν ὡραιότητα.

Τὰ ἐπουράνια, φόβῳ ἠγάλλοντο, καὶ τὰ ἐπίγεια, τρόμῳ ἠφραίνοντο, ὅτε ἡ ἄχραντος φωνὴ, ὑπηλθέ σοι Θεοτόκε· μία γὰρ πανήγυρ᾽ ἀμφοτέροις ἐπέλαμψεν, ὅτε τὸν Πρωτόπλαστον, ὁ Δεσπότης ἐρρύσατο· διὸ σὺν τῷ Ἀγγέλῳ βοῶμέν σοι· Χαῖρε ἡ κεχαριτωμένη.

Τὰ πρωΐ ἀπόστιχα τοῦ ἑσπερινοῦ.

Τῇ β᾽. ἑσπέρ. εἰς τὸ, Κύριε ἐκέκραξα, Στιχηρὰ προσόμοια Δεσποτικά.

Μεγάλη τοῦ Σταυροῦ σου Κύριε.

Τὰ πάθη τῆς ψυχῆς Σωτήρ μου, καὶ τοῦ σώματος, δεινῶς ἐπαναζάντα, βυθίζουσί με ἄμφω, καὶ πρὸς βάθος ἀπογνώσεώς με ἕλκουσιν· ἀλλ᾽ ὡς ποτε θάλασσαν, ταῦτα κατεύνασον, καὶ γαλήνην μοι δίδου.

Οὐκ ἔχω παῤῥησίαν ὅλως ὁ κατάκριτος, εἰς ὕψος ἀτενίσαι, τοῦ Οὐρανοῦ καὶ βλέψαι, ὑπὸ πλήθους καθελκόμενος πταισμάτων· λοιπὸν ὡς ὁ Τελώνης βοῶ σοι· Ἱλάσθητι τῷ ἀθλίῳ μοι Σῶτερ.

Ὡς ὄρθρος ἐξανέτειλας, πᾶσι τοῖς πέρασι, φωτίζων τὰς καρδίας, τῶν σὲ ὑμνούντων Ἔνδοξε· διὸ φώτισον ἡμῶν τὰς διανοίας, καὶ τὰς ψυχὰς, Προφῆτα, τοῦ γεραίρειν σε Βαπτιστὰ τοῦ Σωτῆρος.

Εἰς τὸν στίχον στιχηρὰ, Κατανυκτικά.

Ἑσπερινὸν ὕμνον προσφέρομέν σοι Χριστὲ, μετὰ θυμιάματος, καὶ

Δόξα, καὶ νῦν. Θεοτοκίον Τὴν ὡραιότητα.

Θεομακάριστε, Μήτηρ ἀνύμφευτε, τὴν ἀσθενοῦσάν μου ψυχὴν θεράπευσον, ὅτι συνέχομαι δεινῶς, τοῖς πταίσμασιν ὁ ἄθλιος· ὅθεν καὶ κραυγάζω σοι ξεναγμῷ τῆς καρδίας μου: Δέξαι με Πανάμωμε, τὸν πολλὰ πλημμελήσαντα, ἵνα ἐν παῤῥησίᾳ βοῶσοι: Χαῖρε ἡ Κεχαριτωμένη.

Μετὰ τὴν β'. στιχολ. Καθίσματα Θείας πιστεως.

Ἐν τῇ σκέπῃ σου προσπεφευγότες, πίστει κράζομεν, ψυχῆς ἐκ βάθους, Θεομακάριστε Προφῆτα καὶ Πρόδρομε, τῶν πειρασμῶν καὶ κινδύνων τὸν τάραχον, καὶ νοσημάτων τὸν σάλον κατεύνασον, καὶ ματαίωσον ἐχθρῶν ὑσμενῶν βουλεύματα, αἰτούμενος ἡμῖν τὸ μέγα ἔλεος.

Τὴν ὡραιότητα

Τῶν Ἀθλοφόρων σου, τὴν μνήμην Κύριε, ὑπερεφαίδρυνας, ὡς Παντοδύναμος, ὅτι ἐνίσχυσας αὐτοὺς, τὰ πάθη σου μιμήσασθαι· ἐνίκησαν ἀνδρείως γὰρ, τοῦ Βελίαρ τὴν δύναμιν· ὅθεν καὶ ἀπέλαβον ἰαμάτων χαρίσματα· αὐτῶν ταῖς ἱκεσίαις Οἰκτίρμων, εἰρήνην παράσχου τῷ Λαῷ σου.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ἕκαστος ὅπου σώζεται, ἐκεῖ δικαίως καὶ προσρέχει· καὶ ποία ἄλλη τοιαύτη καταφυγὴ, ὡς σὺ Θεοτόκε, σκέπουσα τὰς ψυχὰς ἡμῶν.

Τὸ προσόμοιον τοῦ ἑσπερινοῦ.

Τῇ Τρίτῃ ἑσπέρας Στιχηρὰ προσόμ. Σταυρώσ.

Μεγαλύνει σου ὁ Σταυρὸς σου Κύριε.

Ἡ κτίσις ἠλλοιώθη, λόγε τῇ Σταυρώσει σου· ὁ ἥλιος ἀκτῖνας συνέστειλε τῷ φόβῳ, καὶ Ναοῦ τὸ Καταπέτασμα ἐσχίσθη, καὶ πᾶς πιστὸς σέσωσται· ὅθεν δοξάζομέν σου τὸν ἀμέτρον πλοῦτον.

Ὁ σάρκα τὴν ἡμῶν, δι' οἶκτον προσλαβόμενος, Θεός τε καὶ Δεσπότης, τῷ ξύλῳ προσεπάγη, καὶ ἀνύψωσεν ἡμᾶς κατερραγμένους, ἀνυψωθεὶς σώματι, ὥσπερ ἠυδόκησε διὰ σπλάγχνα ἐλέους.

Ἐν κλίνῃ κατακείμενος τῆς ἀμελείας μου, τὸν τῆς ζωῆς μου χρόνον, ῥᾳθύμως ἐξετέλεσα, καὶ πτοοῦμαι τῆς ἐξόδου μου τὴν ὥραν· ἀλλὰ τῇ σῇ πρεσβείᾳ ἐγείρασα, σῶσόν με πρὸς μετάνοιαν Κόρη.

Εἰς τὸν στίχον, στιχηρὰ Σταυρώσιμ.

Τὸν Σταυρόν σου προσκυνῶ, Χριστὲ τὸν τίμιον, τὸν φύλακα τοῦ Κόσμου, τὴν σωτηρίαν ἡμῶν τῶν ἁμαρτωλῶν, τὸ μέγα ἱλαστήριον, τοῦ Βασιλέως τὸ νῖκος, τὸ καύχημα πάσης τῆς Οἰκουμένης.

Ξύλον παρακοῆς τῷ Κόσμῳ θάνατον ἐβλάστησε, τὸ δὲ ξύλον τοῦ Σταυροῦ ζωὴν καὶ ἀφθαρσίαν· διό σε προσκυνοῦμεν τὸν Σταυρωθέν-

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

θέντα Κύριον· σημειωθήτω ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου.

Προφῆται, καὶ Ἀπόστολοι Χριστοῦ, καὶ Μάρτυρες, ἐδίδαξαν ὑμνεῖσθαι Τριάδα ὁμοούσιον, καὶ ἐφώτισαν τὰ ἔθνη τὰ πεπλανημένα, καὶ κοινωνοὺς Ἀγγέλων ἐποίησαν τοὺς υἱοὺς τῶν ἀνθρώπων.

Δόξα, καὶ νῦν. Μεγάλη τοῦ Σταυροῦ σου.

Σταυρῷ σε ἀναρτώμενον, Χριστέ μου ὡς ἑώρακεν, Ἀμνὰς ἡ σὲ τεκοῦσα, καὶ ἄμωμος καὶ Μήτηρ σου, ὠλοφύρετο κλαυθμῷ καὶ ἀνεβόα: Μή με δείξῃς ἄτεκνον, ἣν ἐφύλαξας ἀγνὴν καὶ μετὰ Τόκον.

Τῇ δ'. εἰς τὸν Ὄρθρον, μετὰ τὴν α'. στιχολογίαν, Καθίσματα Σταυρώσιμα.

Σταυρὸς ἐπάγη ἐπὶ γῆς, καὶ ἥψατο τῶν Οὐρανῶν, οὐχ ὡς τοῦ ξύλου φθάσαντος τὸ ὕψος, ἀλλὰ σοῦ τοῦ ἐν αὐτῷ πληροῦντος τὰ σύμπαντα, Κύριε δόξα σοι.

Ἐν κυπαρίσσῳ καὶ Πεύκῃ καὶ Κέδρῳ, ὑψώθης ὁ Ἀμνὸς τοῦ Θεοῦ, ἵνα σώσῃς τοὺς ἐν πίστει προσκυνοῦντας τὴν ἑκούσιόν σου Σταύρωσιν, Χριστὲ ὁ Θεός, δόξα σοι.

Δόξα, καὶ νῦν.

Ῥάβδον Δυνάμεως κεκτημένοι, τὸν Σταυρὸν τοῦ Υἱοῦ σου Θεοτόκε, ἐν αὐτῷ καταβάλλομεν, τῶν ἐχθρῶν τὰ φρυάγματα, οἱ πόθῳ σε ἀπαύστως μεγαλύνοντες.

Μετὰ τὴν β'. Στιχολογίαν Καθίσματα.

Τὴν ὡραιότητα.

Σταυρὸν ὑπέμεινας, ἀτίμως Δέσποτα, ὁ ὑπερέκεινα πάσης τῆς Κτίσεως, ὅπως τιμήσῃς με τὸν πρὶν, δεινῶς ἀτιμασθέντα· λόγχῃ τὴν πλευράν σου δὲ ἐκεντήθης Μακρόθυμε, θέλων ἐκλυτρώσασθαι, τῆς φθορᾶς με τὸ πλάσμα σου· ὑμνῶ σου τὴν πολλὴν εὐσπλαγχνίαν, καὶ τὴν ἀγαθότητα, φιλάνθρωπε.

Μαρτυρικόν.

Θωρακισάμενοι τὴν πανοπλίαν Χριστοῦ, καὶ ἐνδυσάμενοι ὅπλα τῆς πίστεως, τὰς παρατάξεις τοῦ ἐχθροῦ ἀθλητικῶς κατεβάλετε· προθύμως τῇ ἐλπίδι γὰρ, τῆς ζωῆς ὑπεμείνατε, πάσας τῶν τυράννων πρὶν ἀπειλάς τε καὶ μάστιγας· διὸ καὶ τοὺς στεφάνους ἐδέξασθε, Μάρτυρες Χριστοῦ καρτερόψυχοι.

Δόξα, καὶ νῦν.

Ἀναρτηθέντα σε ὡς ἐθεάσατο, ἐν ξύλῳ Δέσποτα ἡ Ἀπειρόγαμος, καὶ Παναμώμητος Ἁγνή, Παρθένος τε καὶ Μήτηρ σου: Οἴμοι ἀνεβόα σοι, ὦ Υἱέ μου γλυκύτατε, πῶς σε ἀνομώτατος δῆμος ξύλῳ κατέκρινε, τῶν πάντων ποιητὴν καὶ Δεσπότην, ὑμνῶ σου τὴν ἄκραν ἀγαθότητα.

Τῷ πρωΐ Ἀπόστιχα τοῦ ἑσπερινοῦ.

Τῇ δ'. Ἑσπέρας, εἰς τὸ, Κύριε ἐκέκραξα, στιχηρὰ προσόμοια Ἀποστολικά
Μεγάλη τοῦ Σταυροῦ σου Κύριε

Πρεσβείαις τῶν σεπτῶν καὶ θείων Ἀποστόλων σου, φιλάνθρωπε Οἰκτίρμων, καὶ μόνε ἐλεήμον, τὴν εἰρήνην σου παράσχου τῷ λαῷ σου, καὶ δεινῶν λύτρωσαι τοὺς ἀνυμνοῦντάς σε, καὶ πιστῶς προσκυνοῦντας.

Βελῶν με ὡς Θεοῦ αὐτόπται, τοῦ ἀλάστορος λυτρώσασθαι, σβέννυντες αὐτοῦ τὰς πανουργίας, δροσίσατέ με Πνεύματος τῇ δρόσῳ, ἁμαρτιῶν καύσωνι, ἐκτηκόμενον, Εὐεργέται μοι Θεῖοι.

Μεγίστη σωτηρία πᾶσιν ἀνεδείχθητε ἡμῖν, Νικόλαε Τρισμάκαρ· λυτροῦσαι γὰρ παντοίων, τοὺς ἱκέτας σου κινδύνων, καὶ ἀνάγκης, καὶ πειρασμῶν, καὶ νόσων, καὶ περιστάσεων, καὶ ἐχθρῶν ἀοράτων.

Εἰς τὸν στίχον, στιχηρὰ Ἀποστολικά.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος ἡμῶν, Ἅγιοι Ἀπόστολοι, εἰδώλων πλάνην ἐλύσατε, θεογνωσίαν κηρύξαντες· οὗτος ὁ καλὸς ἀγὼν ὑμῶν ὑπάρχει Μακάριοι· διὸ ὑμνοῦμεν, καὶ δοξολογοῦμεν, ὑμῶν τὰ μνημόσυνα.

Τὰς τοῦ Χριστοῦ παραγγελίας, ἀμέμπτως φυλάξαντες, Ἅγιοι Ἀπόστολοι, δωρεὰν ἐλάβετε, δωρεὰν παρέχετε, ἰατρεύοντες τὰ πάθη, τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν· διὸ ἔχοντες παῤῥησίαν, αὐτὸν ἱκετεύσατε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Μαρτυρικόν.

Οἱ Μάρτυρές σου Κύριε, Πίστει στηριχθέντες, ἐλπίδι βεβαιωθέντες, τῇ ἀγάπῃ τοῦ Σταυροῦ σου, ψυχικῶς ἐνωθέντες, τοῦ ἐχθροῦ τὴν τυραννίδα ὤλεσαν, καὶ τυγχάντες τῶν στεφάνων, μετὰ τῶν Ἀσωμάτων πρεσβεύουσιν, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα, καὶ νῦν.

Μεγάλη τοῦ Σταυροῦ σου.

Ἀγγέλων χαρμονὴ, τῶν θείων Κόρη πέφυκας· τῶν Ἀποστόλων δόξα, καὶ Προφητῶν ἐκφράγισμα, τῶν ἀνθρώπων τε πιστῶν ἡ προσασία, καὶ ὁδηγὸς σωτήριος· διὰ τοῦτό σε προσκυνοῦμεν Παρθένε.

Τῇ ε εἰς τὸν ὄρθρον μετὰ τὴν α. Στιχολογίαν Καθίσματα.

Τὴν ὡραιότητα.

Τῶν Ἀποστόλων σου, τὴν μνήμην Κύριε ὑπερεφαίρυνας ὡς παντοδύναμος· ὅτι ἐνίσχυσας αὐτοὺς, τὰ πάθη σου μιμήσασθαι· ἐνίκησαν ἀνδρείως γὰρ, τοῦ Βελίαρ τὴν δύναμιν· ὅθεν καὶ ἀπέλαβον ἰαμάτων χαρίσματα. Αὐτῶν ταῖς ἱκεσίαις Φιλάνθρωπε, εἰρήνην παράσχου τῷ λαῷ σου.

Πᾶσαν ἤρδευσαν, τὴν γῆν τοῖς ῥείθροις, οἱ Ἀπόστολοι τοῦ Θεοῦ Λόγου, καὶ ἀνεβλάστησεν ὁ σάχυς τῆς Πίστεως, καὶ ἐπληρώθη τοῦ Κόσμου τὰ πέρατα· τὰ γὰρ ζιζάνια

νια πάντα ἐξέκοψαν· ὅθεν ἅπαντας Χριστῷ τῷ Θεῷ προσήγαγον, βαπτίζοντες αὐτοὺς εἰς Τριάδα τὴν ἄκτιστον.

Δόξα, καὶ νῦν. Τὴν ὡραιότητα.

Τῆς συμπαθείας σου, πλοῦτον τὸν ἄμετρον, καὶ δυναστείας σου κράτος τὸ ἄμαχον, ἀναλαβόμενος εἰς νοῦν, προσέδραμον τῇ σκέπῃ σου, θλίψει συνεχόμενος, καὶ δεινῶς ἀπορούμενος, κράζων ἐκ βαθέων μου, τῆς καρδίας τοῖς δάκρυσι, Παρθένε Θεοτόκε βοῶ σοι· σῶσόν με τὸν ἀνάξιον.

Μετὰ τὴν β'. στιχολογίαν Καθίσματα.

Θείας πίστεως.

Σὲ τὸν Κήρυκα τῆς ἀληθείας, καὶ ὑπέρλαμπρον Φωστῆρα Κόσμου, εὐφημοῦντες ἀνυμνοῦμεν Νικόλαε, καὶ ἐκβοῶμεν ἐν πίστει δεόμενοι· ὡς τοὺς ἀθώους, θανάτου ἐξάρπασας, οὕτως Ἅγιε. κινδύνων ἡμᾶς καὶ θλίψεων, καὶ πάσης ἐξελοῦ δεινῆς κακώσεως.

Μαρτυρικόν.

Ἐκλάμπετε διὰ τῆς πίστεως, ὑπέρλαμπροι φωστῆρες Ἅγιοι, τῶν ἀσθενούντων ἰατροί, Ἀθλοφόροι Πανεύφημοι· τῶν Τυράννων γὰρ τὰς αἰκίσεις μὴ δειλανδρίσαντες, τῶν εἰδώλων τὰ δυσφημίας κατηδαφίσατε, τρόπαιον ἔχοντες ἀήττητον, τὸν Σταυρὸν τῆς ἀληθείας.

Δόξα, καὶ νῦν.

Θείας Πίστεως

Θρόνος πάγχρυσος τοῦ Βασι-

Εἰς τὸν Στίχον Στιχηρὰ Σταυρώσιμα.

Τὸν Σταυρόν σου προσκυνῶ, Χριστὲ τὸν τίμιον, τὸν φύλακα τοῦ Κόσμου, τὴν σωτηρίαν ἡμῶν τῶν ἁμαρτωλῶν, τὸ μέγα ἱλαστήριον, τοῦ βασιλέως τὸ νῖκος, τὸ καύχημα πάσης τῆς Οἰκουμένης. Ξύλον παρακοῆς τῷ Κόσμῳ θάνατον ἐβλάστησε· τὸ δὲ ξύλον τοῦ Σταυροῦ ζωὴν καὶ ἀφθαρσίαν· διό σε προσκυνοῦμεν τὸν Σταυρωθέντα Κύριον· σημειωθήτω ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου.

Μαρτυρικόν.

Μεγάλη τοῦ Σταυροῦ σου, Κύριε, ἡ δύναμις· ἐπάγη γὰρ ἐν τόπῳ, καὶ ἐνεργεῖ ἐν Κόσμῳ, καὶ ἀνέδειξεν ἐξ ἁλιέων Ἀποστόλους, καὶ ἐξ ἐθνῶν Μάρτυρας, ἵνα πρεσβεύωσιν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα, καὶ νῦν Σταυροθεοτοκίον.

Ὁ Κόσμος ἠλεήθη, λόγε τῇ Σταυρώσει σου, ἡ Κτίσις ἐφωτίσθη, τὰ ἔθνη σωτηρίαν εὗρον Δέσποτα, ἡ Πάναγνος ἐβόα· Ἐγὼ δὲ νῦν τέτρωμαι, καθορῶσά σου τὸ ἑκούσιον πάθος.

Τῇ Παρασκευῇ εἰς τὸν Ὄρθρον, μετὰ τὴν ά. στιχολογίαν Καθίσματα.

Τὴν ὡραιότητα

Τὸ ἀναρίθμητον τῆς ἐξουσίας σου, καὶ τὸ ἑκούσιον τὸ τῆς Σταυρώσεως, αἱ τῶν Ἀγγέλων στρατιαὶ, ὁρῶσαι κατεπλήττοντο· πῶς ὁ ἀθεώρητος τῇ σαρκὶ ἐμαστίζετο, θέλων ἐκλυτρώσασθαι τῆς φθορᾶς τὸ ἀνθρώπινον; διό σοι Ζωοδότα ἐβόων. Δόξα τῇ εὐσπλαγχνίᾳ σου.

Σταυρὸν καὶ θάνατον παθεῖν ἑλόμενος, μέσον τῆς Κτίσεως ταῦτα ὑπέμεινας· ὅτε ηὐδόκησας Σωτὴρ, τὸ σῶμά σου προσηλῶσαι, τότε καὶ ὁ Ἥλιος τὰς ἀκτῖνας ἀπέκρυψε, τότε καὶ Λῃστὴς ἰδὼν ἐν Σταυρῷ σε ἀνύμνησε, βοῶν σοι εὐλαβῶς· Μνήσθητί μου, καὶ ἔλαβε πιστεύσας τὸν Παράδεισον.

Δόξα, καὶ νῦν.

Ἡ Ἀπειρόζυγος καὶ θεία Δάμαλις, κατανοήσασα μόσχον τὸν ἴδιον, ἐθελουσίως ἐν Σταυρῷ, τὸ πάθος ὑπομένοντα. Οἴμοι τέκνον, ἔλεγε, τί τὸ ξένον μυστήριον; πῶς ὁ ὢν ἀθάνατος, κατεδέξω τὸν θάνατον; ὑμνῶν σου τὸ μακρόθυμον Λόγε, δοξάζω τὸ ἀμέτρητον ἔλεος.

Μετὰ τὴν β'. στιχολ. Καθίσμ. Σταυρ.

Ὁ ῥαπισθεὶς ὑπὲρ γένους ἀνθρώπων, καὶ μὴ ὀργισθεὶς, ἐλευθέρωσον ἐκ φθορᾶς, τὴν ζωὴν ἡμῶν Κύριε, καὶ ἐλέησον ἡμᾶς, ὡς Φιλάνθρωπος.

Μαρτυρικόν.

Τὸ εὔψυχον τῆς καρτερίας ὑμῶν, ἐνίκησε τὰ μηχανήματα τοῦ ἀρχεκάκου ἐχθροῦ, Ἀθλοφόροι Πανεύφημοι· διὰ τοῦτο τῆς αἰωνίου κατηξιώθητε μακαριότητος· ἀλλὰ πρεσβεύσατε τῷ Κυρίῳ, τοῦ φιλοχρίστου Λαοῦ σῶσαι τὸ Ποίμνιον, Μάρτυρες ὑπάρχοντες τῆς ἀληθείας.

Δόξα, καὶ νῦν, Τὴν ὡραιότητα.

Τὰ ἐπουράνια ἰδόντα ἔφριξαν, καὶ τὰ ἐπίγεια φόβῳ ἐτρόμαξαν, ὅτε ὑψώθης ἐν Σταυρῷ, ἑκὼν ὁ ἀναμάρτητος. Ἥλιος ἐσκότασε, καὶ Σελήνη ἡμαύρωται· τότε καὶ ἡ Μήτηρ σου θρηνῳδοῦσα ἐφθέγγετο, Υἱέ μου τί τὸ ὅραμα τοῦτο; πῶς ὑπὲρ πάντων μόνος πέπονθας;

Τὸ πρωῒ ἀπόστιχα τοῦ ἑσπερινοῦ.

Τῇ Παρασκευῇ ἑσπέρας, εἰς τὸ Κύριε ἐκέκραξα, σιχηρὰ προσόμ. Δεσποτ. Μεγάλη τοῦ Σταυροῦ σου Κύριε.

Ναόν με τοῦ σεπτοῦ σου Πνεύματος ἀπέργασαι, καθάρας τὰς κηλῖδας, Χριστέ μου τῶν πταισμάτων, καταγώγιον Δαιμόνων χρηματίζοντα νῦν, οὓς ἐξ ἐμοῦ ἔκβαλε, ὡς τοὺς μολύναντας, πάλαι τὸ Ἱερόν σου.

Θέλων πάντας σῶσαι Κύριε ὡς εὔσπλαγχνος, ἁμαρτωλοὺς, δικαίους, καὶ μή τινα ὀλέσθαι αὐτῶν· ποίησον ἕνα κἀμὲ τῶν σῳζομένων, τὸν ἀμελῶς ζήσαντα, καὶ τὰ σὰ προσάγματα, παραβλέψαντα Λόγε.

Ταῖς αὔραις τοῦ ἐχθροῦ ὡς κάλαμος ῥιπίζομαι, διηνεκῶς Παρθένε· ἀλλ' οἰκτειρον τὸν δοῦλόν σου καὶ ταῖς τούτου καταιγίσι μὴ εἰς τέλος, ἐάσῃς με κλονεῖσθαι, ἀλλὰ σερέωσον, ἐν τῇ πίσει Κυρίου.

Δόξα, καὶ νῦν.

Πῶς μὴ θαυμάσωμεν ὅρ. φύλ. 174. Εἰς τὸν σίχ. σιχηρὰ Μαρτυρικά.

Μεγάλη τῶν Μαρτύρων σου Χριστὲ ἡ δύναμις· ἐν μνήμασι γὰρ κεῖνται, καὶ πνεύματα διώκουσι καὶ κατήργησαν ἐχθροῦ τὴν ἐξουσίαν, τῇ πίσει τῆς Τριάδος, ἀγωνισάμενοι ὑπὲρ τῆς εὐσεβείας.

Προφῆται καὶ Ἀπόστολοι Χριστοῦ καὶ Μάρτυρες, ἐδίδαξαν ὑμνεῖσθαι, Τριάδα Ὁμοούσιον, καὶ ἐφώτισαν τὰ Ἔθνη τὰ πεπλανημένα, καὶ κοινωνοὺς Ἀγγέλων ἐποίησαν τοὺς υἱοὺς τῶν ἀνθρώπων.

Οἱ Μάρτυρές σου Κύριε πίσει σηριχθέντες, ἐλπίδι βεβαιωθέντες, τῇ ἀγάπῃ τοῦ Σταυροῦ σου ψυχικῶς ἑνωθέντες, τοῦ ἐχθροῦ τὴν τυραννίδα ὤλεσαν, καὶ τυγχάνοντες τῶν στεφάνων, μετὰ τῶν Ἀσωμάτων πρεσβεύουσιν, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Πάντα ματαιότης τὰ ἀνθρώπινα, ὅσα οὐχ ὑπάρχει μετὰ θάνατον· οὐ παραμένει ὁ πλοῦτος· οὐ συνοδεύει ἡ δόξα· ἐπελθὼν γὰρ ὁ θάνατος, ταῦτα πάντα ἐξηφάνισε· διὸ Χριστῷ τῷ ἀθανάτῳ βασιλεῖ βοήσωμεν: Τοὺς μεταστάντας ἐξ ἡμῶν ἀνάπαυσον, ἔνθα πάντων ἐσὶν, εὐφραινομένων ἡ κατοικία ἐν σοί.

Δόξα, καὶ νῦν.

Ἐν γυναιξὶν Ἁγία Θεοτόκε, Μήτηρ ἀνύμφευτε, πρέσβευε ὃν ἔτεκες, Βασιλέα καὶ Θεὸν, ἵνα σώσῃ, ἡμᾶς ὡς φιλάνθρωπος.

Τῷ Σαββάτῳ εἰς τὸν ὄρθρον μετὰ τὰ ἀ. Σιχολ. Καθισμ. Μαρτ. Τὴν ὡραιότητα.

Τῶν ἀθλοφόρων σου, τὴν μνήμην

μην Κύριε, ὑπερεφαίδρυνας, ὡς παντοδύναμος, ὅτι ἐνίσχυσας αὐτούς, τὰ πάθη σου μιμήσασθαι· ἀνδρείως γὰρ ἐνίκησαν, τοῦ Βελίαρ τὴν δύναμιν· ὅθεν καὶ ἀπέλαβον, ἰαμάτων χαρίσματα· αὐτῶν ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεός, εἰρήνην παράσχου τῷ Λαῷ σου.

Ἐκλάμπετε διὰ τῆς πίστεως ὑπέρλαμπροι φωστῆρες ἅγιοι, τῶν ἀσθενούντων ἰατροί, ἀθλοφόροι πανεύφημοι· τῶν τυράννων γὰρ τὰς αἰκίσεις μὴ δειλανδρίσαντες, τῶν εἰδώλων τὰς δυσφημίας κατηδαφίσατε, τρόπαιον ἔχοντες ἀήττητον τὸν Σταυρὸν τῆς ἀληθείας.

Δόξα, καὶ νῦν.

Σὲ τὴν μεσιτεύσασαν, τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός σου καὶ Θεός ἡμῶν, τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

Ἕτερον μετὰ τὸν Ἀμωμον.

Τὸ εὔψυχον τῆς καρτερίας ὑμῶν, ἐνίκησε τὰ μηχανήματα τοῦ ἀρχεκάκου ἐχθροῦ, Ἀθλοφόροι πανεύφημοι. Διὰ τοῦτο τῆς αἰωνίου κατηξιώθητε μακαριότητος· ἀλλὰ πρεσβεύσατε τῷ Κυρίῳ τοῦ φιλοχρίστου Λαοῦ σῶσαι τὸ ποίμνιον, Μάρτυρες ὑπάρχοντες τῆς ἀληθείας.

Νεκρώσιμον. Τὴν ὡραιότητα.

Ξύλῳ πεπτώκαμεν, πικρῶς εἰς θάνατον· ξύλῳ τιμίῳ δὲ, πάλιν ἀνέστημεν· διὰ Σταυροῦ σου γὰρ Σωτὴρ, θάνατόν ἐνέκρωσας, καὶ τὴν ἀτελεύτητον, ζωὴν πᾶσιν ἐπήγασας, ἧς περ καταξίωσον, τοὺς πρός σὲ ἐκδημήσαντας, οἰκέτας σου πιστοὺς ἐλεήμον, δωρούμενος αὐτοῖς τὴν βασιλείαν σου.

Δόξα καὶ νῦν.

Τὸν πολυτάραχον, τοῦ βίου κλύδωνα, τοὺς ἐκπεράσαντας, τῷ θείῳ νεύματι, καὶ μεταστάντας εὐσεβῶς, οἰκέτας σου Πανάμωμε, δέξαι καὶ προσάγαγε, τῷ κριτῇ καὶ Θεῷ ἡμῶν, τούτοις ἀπολύτρωσιν, παρασχεῖν ἱκετεύουσα· καὶ γὰρ ὡς τοῦ ποιήσαντος Μήτηρ, ἔχεις τὸ θέλειν καὶ τὸ δύνασθαι.

Εἰς τὸν Στίχον, Στιχηρὰ Νεκρώσιμα, Τῷ τύπῳ τοῦ Σταυροῦ.

Δοξάζω τὸν Σταυρόν σου τὸν τίμιον, δι' οὗ ζωὴν δεδώρησαι, καὶ τρυφῆς τὴν ἀπόλαυσιν, τοῖς ἐν πίστει καὶ πόθῳ σε ὑμνοῦσι πολυέλεε· διὸ βοῶμέν σοι· Χριστὲ ὁ Θεός, τοὺς μεταξάντας ἐξ ἡμῶν ἀνάπαυσον, ἐνθα πάντων ἐστὶν εὐφραινομένων ἡ κατοικία ἐν σοί, δοξάζειν τὴν Θεότητα.

Στίχ. Μακάριοι οὓς ἐξελέξω.

Ὁ μόνος ἐλεήμων καὶ εὔσπλαγχνος, ὁ ἔχων ἀκατάληπτον ἀγαθότητος πέλαγος, ὁ γινώσκων τὴν φύσιν τῶν ἀνθρώπων, ἣν ἐδημιούργησας, σὲ ἱκετεύομεν Χριστὲ ὁ Θεός, τοὺς μεταξάντας ἐξ ἡμῶν ἀνάπαυσον, ἐνθα πάντων ἐστὶν εὐφραινομένων ἡ κατοικία ἐν σοί, δοξάζειν σου τὴν Θεότητα.

Στίχ. Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς

Ὑπνώσας ἐν τῷ τάφῳ ὡς ἄν-

θρωπος

θρωπος, δυνάμει ἀηττήτῳ σου, ὡς Θεὸς ἐξανέστησας τοὺς τάφῳ ὑπνοῦντας, ἀσιγήτους ὕμνους σοι προσφέροντας· διὸ βοῶμέν σοι· Χριστὲ ὁ Θεὸς, τοὺς μεταστάντας ἐξ ἡμῶν ἀνάπαυσον, ἔνθα πάντων ἐστὶ δοξάζειν σου τὴν Θεότητα.

Δόξα, καὶ νῦν.

Λαμπάδα νοητήν σε βαστάζουσαν, τὸ φέγγος τῆς Θεότητος, ὁμιλῆσαν παχύτητι, τῆς ἀνθρώπων οὐσίας Θεοτόκε, πάντες ἐπιστάμεθα· διὰ τὸν σὸν δυσώπησον Υἱὸν καὶ Θεὸν, τοὺς μεταστάντας ἐν σκηναῖς ἀνέσεως, κατατάξαι Ἁγνὴ, μετὰ Ἁγίων καὶ τῶν δικαίων αὐτοῦ, δοξάζειν αὐτὸν ὡς φιλάνθρωπον.

Οἱ Μακαρισμοί.

Ἀθετήσαντα Χριστὲ, τὴν ἐντολήν σου τὸν προπάτορα Ἀδὰμ, τοῦ Παραδείσου ἐξώρισας, τὸν δὲ Ληστὴν οἰκτίρμων, ὁμολογήσαντάς σε ἐν Σταυρῷ, ἐν αὐτῷ εἰσώκησας κράζοντα: Μνήσθητί μου Σωτὴρ ἐν τῇ Βασιλείᾳ σου.

Τῷ πυρὶ τῶν αἰκισμῶν, προσομιλοῦντες, Ἀθλοφόροι τοῦ Χριστοῦ, δρόσον Οὐράνιον εὕραται, ἐπαναψύχουσάν τε, καὶ δυναμοῦσαν φέρειν τῆς σαρκὸς τὰς ὀδύνας· ὅθεν κουφίζετε, πάντα πόνον ἀεί, ἀπὸ τῶν ψυχῶν ἡμῶν.

Ἱεράρχαι ἱεροὶ, Προφῆται Ἔνδοξοι, Ὁσίων ἡ πληθὺς, γυναίων Θείων ὁμήγυρις, ἐναθλησάντων πίστει, καὶ καθελόντων πλάνην τοῦ ἐχθροῦ, Οὐρανίου δόξης ἐπέτυχον· ὧν πρεσβείαις Σωτὴρ, οἰκτειρον τοὺς δούλους σου,

Ἔνθα λάμπει σου τὸ φῶς, ἐν ταῖς σκηναῖς τῶν ἐκλεκτῶν σου ὁ Θεὸς, ὅπου τρυφῇ ἡ ἀέννααος, τοὺς ἐξ ἡμῶν ἐν πίστει μεταθέντας τάξον Ἰησοῦ, παρορῶν τὰ τούτων ἐγκλήματα, ἵνα σε ἐκτενῶς, Δέσποτα δοξάζωμεν. Δόξα

Τὴν προσώποις ἐν τρισὶ προσκυνουμένην, μίαν ἄναρχον πιστοὶ, θείαν Μονάδα δοξάσωμεν, ὅπως ἀξιωθῶμεν, ἁμαρτιῶν ἀφέσεως τυχεῖν, καὶ τῆς Βασιλείας τευξώμεθα. ἀνυμνοῦντες αὐτῆς τὸ ἄπειρον ἔλεος. Καὶ νῦν.

Φωτισμὸς καὶ ἵλασμὸς, ἐκ σοῦ ἐπέφανεν, ὁ πάντων λυτρωτὴς, θεοχαρίτωτε Δέσποινα, ὃν ἐκτενῶς δυσώπει, ἐν τῇ μελλούσῃ δίκῃ φοβερᾷ, καταδίκης πάσης λυτρώσασθαι, Ἀχράντε τοὺς πιστῶς, πάντοτε ὑμνοῦντάς σε.

Τῷ Σαββάτῳ ἑσπέρας ὡς διετάχθη ἐν τῷ ά. ἤχῳ Φύλ. 126 εἰς τὸ, Κύριε ἐκέκραξα στιχηρὰ ἀναστάσιμα, ἦχος δ'.

Τὸν ζωοποιόν σου Σταυρὸν, ἀπαύστως προσκυνοῦντες Χριστὲ ὁ Θεὸς, τὴν τριήμερόν σου Ἀνάστασιν δοξάζομεν· δι' αὐτῆς γὰρ ἀνεκαίνισας, τὴν καταφθαρεῖσαν τῶν ἀνθρώπων φύσιν παντοδύναμε· καὶ τὴν εἰς οὐρανοὺς ἄνοδον, καθυπέδειξας ἡμῖν, ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

Τοῦ ξύλου τῆς παρακοῆς, τὸ ἐπιτίμιον ἔλυσας Σωτὴρ, τῷ ξύλῳ τοῦ Σταυροῦ, ἑκουσίως προσηλωθείς· καὶ εἰς Ἅδου κατελθὼν δυνατὲ,

δυνατέ, τοῦ θανάτου τὰ δεσμὰ ὡς Θεὸς διέρρηξας· διὸ προσκυνοῦμεν τὴν ἐκ νεκρῶν σου ἀνάστασιν, ἐν ἀγαλλιάσει βοῶντες: Παντοδύναμε Κύριε δόξα σοι.

Πύλας Ἅδου συνέτριψας Κύριε, καὶ τῷ σῷ θανάτῳ, τοῦ θανάτου τὸ βασίλειον ἔλυσας· γένος δὲ τὸ ἀνθρώπινον, ἐκ φθορᾶς ἠλευθέρωσας· ζωὴν καὶ ἀφθαρσίαν τῷ Κόσμῳ δωρησάμενος, καὶ τὸ μέγα ἔλεος.

Δεῦτε ἀνυμνήσωμεν Λαοί, τὴν τοῦ Σωτῆρος τριήμερον ἔγερσιν· δι' ἧς ἐλυτρώθημεν τῶν τοῦ Ἅδου ἀλύτων δεσμῶν, καὶ ἀφθαρ[illegible] καὶ ζωή, πάντες ἐλάβομεν κράζοντες: Ὁ σταυρωθείς, καὶ ταφείς καὶ ἀναστάς, σῶσον ἡμᾶς τῇ ἀναστάσει σου, μόνε φιλάνθρωπε.

Ἄγγελοι καὶ ἄνθρωποι Σωτῆρ, τὴν σὴν ὑμνοῦσι τριήμεραν ἔγερσιν· δι' ἧς κατηυγάσθη τῆς Οἰκουμένης τὰ πέρατα, καὶ τῆς δουλείας τοῦ ἐχθροῦ, πάντες ἐλυτρώθημεν κράζοντες. Ζωοποιὲ παντοδύναμε Σωτῆρ, σῶσον ἡμᾶς τῇ Ἀναστάσει σου, μόνε φιλάνθρωπε.

Πύλας χαλκᾶς συνέτριψας, καὶ μοχλοὺς συνέθλασας Χριστὲ ὁ Θεός, καὶ γένος ἀνθρώπων πεπτωκὸς ἀνέστησας· διὰ τοῦτο συμφώνως βοῶμεν: Ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν, Κύριε δόξα σοι.

Κύριε ἡ ἐκ Πατρός σου γέννησις, ἄχρονος ὑπάρχει καὶ ἀΐδιος· ἡ ἐκ Παρθένου σάρκωσις, ἄφραστος ἀνθρώποις καὶ ἀνερμήνευτος. καὶ ἡ εἰς Ἅδου κάθοδος, φοβερὰ διαβόλῳ, καὶ τοῖς Ἀγγέλοις αὐτοῦ· θάνατον γὰρ πατήσας, τριήμερος ἀνέστης, ἀφθαρσίαν παρέχων ἀνθρώποις, καὶ τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ὁ διὰ σὲ θεοπάτωρ προφήτης Δαβὶδ, μελῳδικῶς περὶ σοῦ προανεφώνησε, τῷ μεγαλείᾳ σοι ποιήσαντι· παρέστη ἡ Βασίλισσα ἐκ δεξιῶν σου· σὲ γὰρ Μητέρα πρόξενον ζωῆς ἀνέδειξεν, ὁ ἀπάτωρ ἐκ σοῦ ἐνανθρωπῆσαι εὐδοκήσας Θεός, ἵνα τὴν ἑαυτοῦ ἀναπλάσῃ εἰκόνα, φθαρεῖσαν τοῖς πάθεσι· καὶ τὸ πλανηθὲν, ἀρειάλωτον εὑρὼν, πρόβατον τοῖς ὤμοις ἀναλαβὼν, τῷ Πατρὶ προσαγάγῃ· καὶ τῷ ἰδίῳ θελήματι, ταῖς οὐρανίαις συνάψῃ δυνάμεσι· καὶ σώσῃ Θεοτόκε τὸν Κόσμον, Χριστὸς ὁ ἔχων, τὸ μέγα καὶ πλούσιον ἔλεος.

Εἴσοδος. Φῶς ἱλαρὸν, καὶ τὰ λοιπὰ ὡς εἰς τὸν ἀ. ἦχον. Φύλ. 127

Εἰς τὸν στίχον στιχηρά.

Κύριε ἀνελθὼν ἐν τῷ σταυρῷ, τὴν προγονικήν ἡμῶν κατάραν ἐξήλειψας· καὶ κατελθὼν ἐν τῷ Ἅδῃ, τοὺς ἀπ' αἰῶνος δεσμίους ἠλευθέρωσας, ἀφθαρσίαν δωρούμενος, τῶν ἀνθρώπων τῷ γένει· διὰ τοῦτο ὑμνοῦντες δοξάζομεν, τὴν ζωοποιὸν καὶ σωτήριόν σου ἔγερσιν.

Τὰ κατὰ ἀλφάβητον.

Κρεμάμενος ἐπὶ ξύλου μόνε δυνατέ, πᾶσαν κτίσιν ἐσάλευσας· τεθεὶς ἐν τάφῳ δὲ, τοὺς κατοικοῦντας ἐν τάφοις ἀνέστησας, ἀφθαρσίαν καὶ ζωὴν δωρούμενος τῷ γένει τῶν ἀνθρώπων· διὸ ὑμνοῦντες

δοξά-

δοξάζομεν τὴν τριήμερόν σου ἔγερσιν.

Λαὸς παράνομος Χριστὲ, σὲ προδοὺς τῷ Πιλάτῳ, σταυρωθῆναι κατεδίκασεν, ἀγνώμων περὶ τὸν εὐεργέτην φανείς· ἀλλ' ἑκὼν ὑπέμεινας ταφὴν, αὐτεξουσίως ἀνέστης τριήμερος, ὡς Θεὸς δωρούμενος ἡμῖν, ἀτελεύτητον ζωὴν, καὶ τὸ μέγα ἔλεος.

Μετὰ δακρύων γυναῖκες, καταλαβοῦσαι τὸ μνῆμά σε ἐπεζήτησαν· μὴ εὑροῦσαι δὲ, ὀλοφυρόμεναι μετὰ κλαυθμοῦ, βοῶσαι ἔλεγον: Οἴμοι Σωτὴρ ἡμῶν, Βασιλεῦ τῶν ἁπάντων, πῶς ἐκλάπης; ποῖος δὲ τόπος κατέχει τὸ ζωηφόρον σῶμά σου; Ἄγγελος πρὸς αὐτὰς ἀπεκρίνατο: Μὴ κλέετε φησίν, ἀλλ' ἀπελθοῦσαι κηρύξατε, ὅτι ἀνέστη ὁ Κύριος, παρέχων ἡμῖν ἀγαλλίασιν, ὡς μόνος εὔσπλαγχνος.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Νεῦσον παρακλήσεσι σῶν ἱκετῶν πανάμωμε, παύουσα δεινῶν ἡμῶν ἐπαναστάσεις, πάσης θλίψεως ἡμᾶς ἀπαλάττουσα· σὲ γὰρ μόνην ἀσφαλῆ, καὶ βεβαίαν ἄγγυραν ἔχομεν, καὶ τὴν σὴν προστασίαν κεκτήμεθα· μὴ αἰσχυνθῶμεν Δέσποινα, σὲ προσκαλούμενοι· σπεῦσον εἰς ἱκεσίαν τῶν σοὶ πιστῶς βοώντων: Χαῖρε Δέσποινα, ἡ πάντων βοήθεια, χαρὰ καὶ σκέπη, καὶ Σωτηρία τῶν ψυχῶν ἡμῶν.

Ἀπολυτίκιον.

Τὸ φαιδρὸν τῆς Ἀναστάσεως κήρυγμα, ἐκ τοῦ Ἀγγέλου μαθοῦσαι, αἱ τοῦ Κυρίου Μαθήτριαι καὶ τὴν προγονικὴν ἀπόφασιν ἀπορρίψασαι, τοῖς Ἀποστόλοις καυχώμεναι ἔλεγον: Ἐσκύλευται ὁ θάνατος· ἠγέρθη Χριστὸς ὁ Θεὸς, δωρούμενος τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Θεοτοκίον.

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον, καὶ Ἀγγέλοις ἄγνωστον Μυστήριον, διά σοῦ Θεοτόκε τοῖς ἐπὶ γῆς περφανέρωται, Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος· δι' οὗ ἀνεστήσας τὸν πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

Τῇ Κυριακῇ, ἐν τῷ Μεσονυκτικῷ, Κανὼν Τριαδικὸς, οὗ ἡ ἀκροστιχίς. Τέταρτος ὕμνος τῷ Θεῷ. Μητροφάνους. Ὠδὴ ἀ. Θαλάσσης τὸ ἐρυθραῖον.

Τριάδα θεαρχικὴν δοξάσωμεν, ταῖς ὑποστάσεσι, μοναδικὴν δὲ φύσιν τῶν τριῶν, συναίδιον, σύνθρονον· ἣν δυσωποῦντες λέγομεν: Σῶσον τοὺς πίστει σε δοξάζοντας.

Ἐχρίσθη ὑπὸ Πατρὸς τῷ Πνεύματι, ἀγαλλιάσεως, Θεουργικῷ ἐλαίῳ ὁ Υἱὸς, καὶ βροτὸς ἐχρημάτισε· καὶ τῆς μιᾶς Θεότητος, τὸ τρισυπόστατον ἐδίδαξε.

Τὸ κάλλος τῆς ἀπροσίτου δόξης σου, Μονὰς Τρισήλιε, τὰ Σεραφὶμ οὐ φέροντα ὁρᾶν, συγκαλύπτονται πτέρυξι· καὶ τρισαγίοις ᾄσμασιν, ἀκαταπαύστως σε δοξάζουσιν.

Θεοτοκίον.

Ἀφράστως τὸν ποιητὴν γεγέννηκας.

νηκας, τῶν ὅλων πάναγνε, τῆς παλαιᾶς λυτρούμενον ἀρᾶς, τοὺς βροτοὺς καὶ θανάτου φθορᾶς· καὶ διὰ σοῦ ἐπέγνωμεν, ἕνα Θεὸν τὸν Τρισυπόστατον.

Ὠδὴ γ'. Οὐκ ἐν Σοφίᾳ.

Ῥώμην ἐξ ὕψους, τοῖς Ἁγίοις τὸ πρὶν Ἀποστόλοις σου, ὡς ἀπέστειλας Χριστὲ, παρὰ Πατρὸς τὸν παράκλητον, τὴν μίαν ἐνέφηνας, Φύσιν τρισήλιον.

Τῷ Πατριάρχῃ Ἀβραὰμ, ὅτε ὤφθης ἐν σχήματι ἀνδρικῷ, τριττὴ Μονὰς, τὸ ἀπαράλλακτον ἔδειξας, τῆς σῆς ἀγαθότητος καὶ κυριότητος.

Ὃ χαρακτῆρσιν, ἐν τρισὶν εἷς Θεὸς πιστευόμενος, ἀπερίγραπτος σαφῶς, ἀπερινόητος ἅπασι, ῥῦσαι τὰς ψυχὰς ἡμῶν ἐκ πάσης θλίψεως.

Θεοτοκίον.

Στοιχειωθέντες, τοῦ Υἱοῦ σου σοφαῖς εἰσηγήσεσιν, ἑνικὴν καὶ τριλαμπῆ, τὴν θεαρχίαν δοξάζομεν· καὶ σὲ μακαρίζομεν τὴν Ἀειπάρθενον.

Κάθισμα τριαδικόν. Ταχὺ προκατάλαβε.

Τρισήλιε, ἄκτισε, καὶ ὁμοούσιε, Μονὰς Τρισυπόστατε καὶ ἀκατάληπτε, τοὺς δούλους σου οἰκτειρον, σῶσον ἐκ τῶν κινδύνων, ὡς Θεὸς ἐλεήμων· σὲ γὰρ Κύριε μόνον Λυτρωτὴν, καὶ Δεσπότην, κεκτήμεθα βοῶντες· Γενοῦ ἡμῖν ἵλεως.

Δόξα, καὶ νῦν Θεοτοκίον.

Πολλαῖς περιστάσεσι, καὶ συμφοραῖς τῶν δεινῶν, παρθένε κυκλούμενοι, καὶ πρὸς ἀπόγνωσιν, ἀεὶ περιπίπτοντες· μόνην σε σωτηρίαν, καὶ ἐλπίδα καὶ τεῖχος, ἔχομεν Θεοτόκε· καὶ πρὸς σὲ καταχρέως, ἐν πίστει καὶ νῦν αἰτοῦμεν· Σῶσον τοὺς δούλους σου.

Ὠδὴ δ'. Ὁ καθήμενος.

Ὑπερούσιον Τριάδα, ἐν Μονάδι Θεότητος, καὶ κυριαρχίαν, σὺν τοῖς Σεραφὶμ σὲ δοξάζομεν, ὡς ἀδιαίρετον φύσιν, ὡς ἀπρόσιτον, ὡς ἰσόρροπον δόξῃ, Θεὲ ἀκατάληπτε.

Μερισὴν οὖσαν ἀφράστως, τοῖς προσώποις Θεότητα, καὶ ταυτιζομένην, ἅμα τῇ μιᾷ κυριότητι, ἀπεριόριστον μόνην, ἀπερίγραπτον, ἀνυμνοῦμέν σε, τὸν ποιητὴν πάσης Κτίσεως.

Νοῦς ὁ ἄναρχος τὸν Λόγον, ἀπορρήτως γεγέννηκε, καὶ τὸ θεῖον Πνεῦμα, τὸ ἰσοσθενὲς ἐκπεπόρευκε· καὶ διὰ τοῦτο Τριάδα ὁμοούσιον, τὸν Δεσπότην, τῶν ὅλων Θεὸν καταγγέλλομεν.

Θεοτοκίον.

Ὀπτανόμενος τοῖς πάλαι, τυπικῶς προκατήγγειλε, τὴν ἐκ σοῦ Παρθένε, σάρκωσιν ὁ Λόγος· ἀλλ' ὕστερον, ἐπιφανεὶς τοῖς ἀνθρώποις κατ' ἀλήθειαν, τρισυπόστατον, μίαν ἀρχὴν ἐφανέρωσεν.

Ὠδὴ ε'. Ἐξέστη τὰ σύμπαντα.

Συνέντες ἐκ πίστεως, τῆς παντουργοῦ Θεότητος, μίαν μὲν ἀπρόσιτον οὐσίαν, τρεῖς δ' ὑποστάσεις, ζωαρχικὰς συμφυεῖς, σέβομεν Πατέρα, καὶ Υἱὸν, καὶ Πνεῦμα τὸ ἅγιον, συναίδιον ὕπαρξιν.

Τὸ

Τὸ σέλας Τρισήλιον, τῆς σῆς σιωδοὺς αἴγλης σου, λάμψον ἐνιαία μοι Θεότης, ἄκτιστε φύσις, καὶ φωτουργαία πηγὴ, πάσης φωτοδότιδος αὐγῆς, ἵνα κατοπτρίζωμαι, σοῦ τὸ κάλλος τὸ ἄῤῥητον.

Ὡς μόνον ὑπάρχοντα, δημιουργὸν τοῦ σύμπαντος, καὶ συνεκτικὸν καὶ κυβερνήτην, πάνσοφον ὄντως, καὶ τῆς ζωῆς χορηγόν· ὅθεν καὶ βοῶμέν σοι πιστῶς: Δέσποτα Τρισήλιε, τοὺς ὑμνοῦντάς σε φρούρησον.

Θεοτοκίον.

Θεῶσαι βουλόμενος, τὸν πρὶν φθαρέντα ἄνθρωπον, ὁ δι' ἀγαθότητα Παρθένε, πλάσας καὶ δείξας, εἰκόνος θείαν μορφὴν, ἄνθρωπος ἐγένετο ἐκ σοῦ, καὶ μίαν τρισάριθμον, θεαρχίαν κατήγγειλεν.

Ὠδὴ ς'. Ἐβόησε προτυπῶν.

Ἐνέφηνεν, ὁ Πατὴρ ἐκλαλῶν τὴν υἱότητα, καὶ τὸ Πνεῦμα, τῷ Χριστῷ βαπτισθέντι ὁρώμενον· Διὰ τοῦτο μίαν, καὶ τριττὴν θεαρχίαν δοξάζομεν.

Ὡς εἶδέ σε τρισαγίαις φωναῖς ἀνυμνούμενον, Ἡσαΐας, ὑψηλοῦ ἐπὶ θρόνου καθήμενον, τὴν τριττὴν ἐπέγνω, τῆς μιᾶς θεαρχίας ὑπόςασιν.

Μετάρσιον, ὑψηλὲ Βασιλεῦ τρισυπόςατε, τὴν καρδίαν, καὶ ἡμῶν τῶν σῶν δούλων ἀνάδειξον, ἵνα τῆς σῆς δόξης, θεωρῶμεν λαμπρῶς τὴν φαιδρότητα.

Θεοτοκίον.

Ἠξίωσε μορφωθῆναι σαρκῶς τὸ ἡμέτερον, ἐκ Παρθένου, ὁ Υἱὸς τοῦ Θεοῦ ὡς φιλάνθρωπος, καὶ τῆς θείας δόξης, κοινωνοὺς τοὺς ἀνθρώπους ἐποίησε.

Κάθισμα Τριαδικόν. Ταχὺ προκατάλαβε.

Πατέρα ἀγέννητον, τὸν δὲ Υἱὸν γεννητὸν, καὶ Πνεῦμα τὸ ἅγιον, ἐκπορευτὸν ἐκ Πατρὸς, φρονοῦντες κηρύττομεν, ἄναρχον Βασιλείαν, καὶ Θεότητα μίαν· ἣνπερ δοξολογοῦντες, ὁμοφρόνως βοῶμεν: Τριὰς ὁμοούσιε, σῶσον ἡμᾶς ὁ Θεός.

Δόξα, καὶ νῦν Θεοτοκίον.

Τὸν χρόνων ἐπέκεινα, καὶ πρὸ αἰώνων Θεὸν, ἐν χρόνῳ ἐκύησας, ὑπερφυῶς ἐν σαρκὶ, θεάνθρωπον ἄχραντε· ὅθεν σε Θεοτόκον, ἀληθῶς καὶ Κυρίως, πάντες ὁμολογοῦντες, ἐκτενῶς σοι βοῶμεν: Τῆς δόξης τῆς αἰωνίου πάντας ἀξίωσον.

Ὠδὴ ζ'. Ἐν τῇ καμίνῳ.

Τὰς τεταγμένας, ἐπουρανίους φύσεις καὶ νοερὰς, τάξεις ὀρθοδόξως πάντες οἱ γηγενεῖς, ἐκμιμούμενοι δοξάζομεν, μίαν Θεότητα, ἐν τρισὶν ἰσουργοῖς ὑποςάσεσιν.

Δίς.

Ῥήσεις Ἁγίων ὑποφητῶν σε πάλαι συμβολικῶς, ἕνα τῶν αἰώνων πάντων δημιουργὸν, προεδήλωσαν ἀνέκφραστον, Θεὸν καὶ Κύριον, θεαρχικαῖς ἐν τρισὶν ὑποςάσεσιν.

Θεοτοκίον.

Ὁ κατ' οὐσίαν ἀθεώρητος Λόγος καὶ παντουργὸς, ὤφθης τοῖς ἀνθρώποις ἄνθρωπος, ἐξ ἁγνῆς Θεο-

Θεομήτορος, τὸν ἄνθρωπον ἀνακαλούμενος, πρὸς μετουσίαν τῆς σῆς θεότητος.

Ὠδὴ ἡ. Χεῖρας ἐκπετάσας

Φῶς μοναρχικὸν καὶ τριλαμπές, οὐσία ἄναρχε, κάλλος ἀμήγανον, ἐν τῇ καρδίᾳ μου οἴκησον· καὶ Ναὸν τῆς σῆς Θεότητος, φωτοειδῆ καὶ καθαρὸν, δεῖξόν μοι κράζοντα: Εὐλογεῖτε πάντα τὰ ἔργα, Κυρίου τὸν Κύριον, Δίς.

Ἀπὸ τῶν ποικίλων με παθῶν, Τριὰς ἀμέριστε, μονὰς ἀσύγχυτε, καὶ τῆς ζοφώσεως λύτρωσαι τῶν πταισμάτων καὶ καταύγασον, μαρμαρυγαῖς σου θεικαῖς, ἵνα φαντάζωμαι τὴν σὴν δόξαν, καὶ ἀνυμνῶσε τῆς δόξης τὸν Κύριον.

Θεοτοκίον.

Νοῦς μὲν ὁ ἀγέννητος Πατὴρ, καὶ Λόγος σύμμορφος, καὶ Πνεῦμα σύνθρονον, οὐσία δύναμις ὕπαρξις, ὑπερούσιε, ἀνέκφραστε, μεγαλουργὲ Τριὰς Μονὰς, φρούρει τὴν ποίμνην σου, ταῖς πρεσβείαις τῆς Θεοτόκου, ὡς φύσει φιλάνθρωπος.

Ὠδὴ θ'. Ἅπας γηγενής.

Ὅλην νῦν πρὸς σὲ, κινῶ τὴν καρδίαν μου καὶ τὴν διάνοιαν· καὶ τὰς διαθέσεις δὲ, ψυχῆς ἁπάσας καὶ τὰς τοῦ σώματος, τὸν πλασουργὸν καὶ ῥύστην μου, Μοναρχα τρίφωτε, καὶ βοῶ σοι: Σῶσόν με τὸν δοῦλόν σου, πειρασμῶν ἐκ παντοίων καὶ θλίψεων. Δίς.

Ὕψωσον ἡμῶν, καὶ νοῦν καὶ διάνοιαν πρὸς σὲ τὸν ὕψιστον· φώτισον σαῖς λάμψεσιν, ἀχράντοις Πάτερ Λόγε Παράκλητε, ὁ φῶς οἰκῶν ἀπρόσιτον, τῆς δόξης Ἥλιε, φωτοκράτορ, πάντοτε δοξάζειν σε, τὸν Μονάρχην Θεὸν τρισυπόστατον.

Θεοτοκίον.

Σῶσον τοὺς σὲ πιστεύοντας Κύριε, καὶ καταγγέλλοντας ἄναρχον ἀΐδιον, οὐσίαν μίαν, τρία δὲ πρόσωπα, θεαρχικὰ καὶ σύμμορφα τῆς κυριότητος, καὶ τῆς θείας δόξης σου ἀξίωσον, ταῖς λιταῖς τῆς ἁγνῆς Θεομήτορος.

Ὄρθος

Τὰ λοιπὰ, καὶ τὴν ἀπόλυσιν ζήτει εἰς Φίλ. 37 Εἰς τὸν Ὄρθρον, μετὰ τὸν ἐξάψαλμον τὸ, Θεὸς Κύριος, τὸ Ἀπολυτίκιον, ἤτοι τροπάριον δίς, τὸ Θεοτοκίον ἅπαξ. Τὸ Ψαλτήριον, μετὰ τὴν ἁ. αὐτοῦ στιχολογίαν. Καθίσματα.

Ἀναβλέψασαι τοῦ τάφου τὴν εἴσοδον, καὶ τὴν φλόγα τοῦ Ἀγγέλου μὴ φαίρουσαι, αἱ Μυροφόροι σὺν τρόμῳ ἐξίσταντο λέγουσαι: Ἆρα ἐκλάπη ὁ τῷ Λῃστῇ ἀνοίξας παράδεισον; ἆρα ἠγέρθη, ὁ καὶ πρὸ πάθους κηρύξας τὴν ἔγερσιν; Ἀληθῶς ἀνέστη Χριστὸς ὁ Θεός, τοῖς ἐν Ἅδῃ παρέχων ζωὴν καὶ Ἀνάστασιν.

Δόξα. Κατεπλάγη Ἰωσήφ.

Ἐξουσία σου βουλῇ, σαυρὸν ὑπέμεινας Σωτήρ· καὶ ἐν μνήματι καινῷ, ἄνθρωποι ἔθεντο θνητοί, τὸν διὰ λόγου τὰ πέρατα συστησάμενον. Ὅθεν δεσμευθεὶς ὁ ἀλλότριος, θάνατος δεινῶς ἐσκυλεύετο, καὶ οἱ ἐν Ἅδῃ ἅπαντες ἐκραύγαζον, τῇ ζωηφόρῳ ἐγέρσει σου: Χριστὸς ἀνέ-

ἀνέστη, ὁ ζωοδότης, μένων εἰς τοὺς αἰῶνας.

Καὶ νῦν Θεοτοκίον.

Κατεπλάγη Ἰωσὴφ, τὸ ὑπὲρ φύσιν θεωρῶν, καὶ ἐλάμβανεν εἰς νοῦν, τὸν ἐπὶ πόκον ὑετὸν, ἐν τῇ ἀσπόρῳ συλλήψει σου Θεοτόκε, βάτον ἐν πυρὶ ἀκατάφλεκτον, ῥάβδον Ἀαρὼν τὴν βλαστήσασαν· καὶ μαρτυρῶν ὁ Μνήστωρ σου, καὶ φύλαξ, τοῖς ἱερεῦσιν ἐκραύγαζε· Παρθένος τίκτει, καὶ μετὰ τόκον πάλιν μένει Παρθένος.

Μετὰ τὴν β'. στιχολογίαν

Καθίσματα. Ταχὺ προκατάλαβε.

Ἀνέστης ὡς ἀθάνατος ἀπὸ τοῦ Ἅδου Σωτὴρ, συνήγειρας τὸν κόσμον σου τῇ Ἀναστάσει τῇ σῇ, Χριστὲ ὁ Θεὸς ἡμῶν· ἔθραυσας ἐν ἰσχύι, τοῦ θανάτου τὸ κράτος, ἔδειξας ἐλεήμων, τὴν Ἀνάστασιν πᾶσι. Διόσε καὶ δοξάζομεν μόνε φιλάνθρωπε.

Δόξα. Κατεπλάγη Ἰωσήφ.

Ἐκ τῶν ἄνω κατελθών, τῶν ὑψωμάτων Γαβριὴλ, καὶ τῇ πέτρα προσελθών, ἔνθα ἡ πέτρα τῆς ζωῆς, λευχειμονῶν ἀνεκραύγαζε ταῖς κλαιούσαις· Παύσασθε ὑμεῖς, τῆς θρηνῴδους κραυγῆς. ἔχουσαι ἀεὶ τὸ εὐσυμπάθητον· ὃν γὰρ ζητεῖτε κλαίουσαι, θαρσεῖτε, ὡς ἀληθῶς ἐξεγήγερται· διὸ βοᾶτε, τοῖς Ἀποστόλοις, ὅτι ἀνέστη ὁ Κύριος.

Καὶ νῦν Θεοτοκίον Ομοιον.

Κατεπλάγησαν Ἀγνὴ, πάντες Ἀγγέλων οἱ χοροὶ, τὸ Μυστήριον τῆς σῆς, γαστρὸς τὸ φρικτόν· πῶς ὁ τὰ πάντα συνέχων νεύματι μόνῳ, ἀγκάλαις ὡς βροτὸς ταῖς σαῖς συνέχεται, καὶ δέχεται ἀρχὴν ὁ προαιώνιος, καὶ γαλουχεῖται σύμπασαν, ὁ τρέφων πνοὴν ἀφάτῳ χρηστότητι, καὶ σὲ ὡς ὄντως, Θεοῦ Μητέρα, εὐφημοῦντες δοξάζουσιν.

Μετὰ τὸν Ἄμωμον, τὰ Εὐλογητάρια, ἡ Αἴτησις, καὶ ἡ Ὑπακοή.

Τὰ τῆς σῆς παραδόξου ἐγέρσεως, προδραμοῦσαι αἱ Μυροφόροι, τοῖς Ἀποστόλοις ἐκήρυττον Χριστὲ, ὅτι ἀνέστης ὡς Θεὸς, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Οἱ Ἀναβαθμοὶ. Ἀντίφωνον ά.

Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη· ἀλλ' αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτὴρ μου.

Οἱ μισοῦντες Σιὼν, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γὰρ, πυρὶ ἐσεσθε ἀπεξηραμένοι.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται, λαμπρύνεται, τῇ Τριαδικῇ Μονάδι, ἱεροκρυφίως.

Ἀντίφωνον β'.

Ἐκέκραξά σοι Κύριε, θερμῶς ἐκ βάθους ψυχῆς μου· κάμοί γενέσθω, πρὸς ὑπακοὴν τὰ θεῖά σου ὦτα.

Ἐπὶ τὸν Κύριον ἐλπίδα πᾶς τις κεκτημένος, ὑψηλότερός ἐστι, πάντων τῶν λυπούντων.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα, ἅπασαν τὴν κτίσιν πρὸς ζωογονίαν.

Ἀντί-

Ἀντίφωνον γ'.

Ἡ καρδία μου πρὸς σέ, Λόγε ὑψώθητω· καὶ οὐδὲν θέλξει με τῶν τοῦ Κόσμου τερπνῶν, πρὸς χαμαιζηλίαν.

Ἐπὶ τὴν Μητέρα αὐτοῦ, ὡς ἔχει τις στοργήν, ἐπὶ τῷ Κυρίῳ, θερμότερον φίλτρον χρεωζοῦμεν.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι, Θεογνωσίας πλοῦτος, θεωρίας καὶ Σοφίας· πάντα γὰρ ἐν τούτῳ τὰ πατρῷα δόγματα, ὁ λόγος ἐκκαλύπτει.

Προκείμενον. Ἀνάστα Κύριε βοήθησον ἡμῖν. στίχ. Θεὸς ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν. Πᾶσα Πνοή. καὶ ὑπὲρ τοῦ καταξιωθῆναι, τὸ. Εὐαγγέλιον, καὶ τὰ λοιπὰ ὡς εἰς Φύλλ. 132. Οἱ Κανόνες οὗτοι καὶ τοῦ Μηναίου.

Ὠδὴ ά. Ὁ Εἱρμός.

Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος, ἀβρόχοις ἴχνεσιν ὁ παλαιὸς πεζεύσας Ἰσραήλ, σταυροτύποις Μωσέως χερσί, τοῦ Ἀμαλὴκ τὴν δύναμιν, ἐν τῇ ἐρήμῳ ἐτροπώσατο

Ὑψώθης τὴν ἡμετέραν ἔκπτωσιν ἐπανορθούμενος, ἐν τῷ ἀχράντῳ ξύλῳ τοῦ σαυροῦ, τὴν ἐν ξύλῳ ἰώμενος, πανολεθρίαν Δέσποτα, ὡς ἀγαθὸς καὶ παντοδύναμος.

Ἐν τάφῳ σωματικῶς, ἐν Ἅδῃ δὲ μετὰ ψυχῆς ὡς Θεός· ἐν Παραδείσῳ δὲ μετὰ Ληστοῦ, καὶ ἐν θρόνῳ ὑπῆρχες Χριστὲ, μετὰ Πατρὸς καὶ Πνεύματος, πάντα πληρῶν ὁ ἀπερίγραπτος.

Θεοτοκίον.

Ἀσπόρως τῷ τοῦ Πατρὸς βουλήματι, ἐκ θείου Πνεύματος, τὸν τοῦ Θεοῦ συνείληφας υἱόν, καὶ σαρκὶ ἀπεκύησας, τὸν ἐκ Πατρὸς ἀμήτορα, καὶ δι' ἡμᾶς ἐκ σοῦ ἀπάτορα.

Ἕτερος Σταυροαναστάσιμος ὅστις καταλιμπάνεται εἰ ἑορτάζεται τῆς ἡμέρας ὁ Ἅγιος.

Ἀνοίξω τὸ στόμα μου.

Ἰάσω τὸ σύντριμμα, τῆς ἀνθρωπότητος Κύριε, τῷ θείῳ σου αἵματι ἀνασκευάσας αὐτὴν, καὶ συνέτριψας, δυνάστην ἐν ἰσχύϊ, τὸν πάλαι συντρίψαντα, σοῦ τὸ πλασούργημα.

Νεκρῶν ἐξανάστασις, διὰ νεκρώσεως γέγονας· ἰσχὺς γὰρ ἀφῄρηται τῆς θανατώσεως, ὡμιλήσασα, ζωῇ τῇ αἰωνίῳ, τῷ πάντων δεσπόζοντι, σεσαρκωμένῳ Θεῷ.

Ἕτερος εἰς τὴν Θεοτόκον.
Τρισάτας κραταιούς

Ἐσείσθησαν λαοί, ἐταράχθησαν Ἔθνη, βασιλεῖαι κραταιαὶ δὲ, ἔκλιναν Ἀγνὴ, ἐκ τοῦ φόβου τοῦ τόκου σου· ἦλθε γὰρ ὁ βασιλεύς μου, καὶ καθεῖλε τὸν τύραννον, καὶ τὸν κόσμον φθορᾶς ἐλυτρώσατο.

Τὸ σκήνωμα αὐτοῦ, ὁ οἰκῶν ἐν ὑψίσοις,. τοῖς βροτοῖς συγκαταβάς, ἡγίασε Χριστὸς, καὶ ἀσάλευτον ἔδειξε, μόνη γὰρ μετὰ τὸν τόκον, παρθενίας κειμήλιον, ἡ πόντιστην τεκοῦσα διέμεινε.

Ὠδὴ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὠδὴ Γ'. Ὁ Εἱρμός.

Εὐφραίνεται ἐπὶ σοί, ἡ Ἐκκλησία σου Χριστὲ κράζουσα· Σύ μου ἰσχὺς Κύριε, καὶ καταφυγὴ καὶ στερέωμα.

Τὸ ξύλον τὸ τῆς ζωῆς, ἡ νοητὴ καὶ ἀληθὴς ἄμπελος, ἐπὶ σταυροῦ κρέμαται, πᾶσιν ἀμβροσίαν πηγάζουσα.

Ὢ; μέγας, ὡς φοβερός, ὡς τὸ τοῦ ᾅδου καθελὼν φρύαγμα, καὶ ὡς Θεὸς ἄφθαρτος, νῦν σωματικῶς ἐξεγήγερται.

Θεοτοκίον.

Σὺ μόνη τοῖς ἐπὶ γῆς, τῶν ὑπὲρ φύσιν ἀγαθῶν πρόξενος, Μήτηρ Θεοῦ γέγονας· ὅθεν σοι τὸ χαῖρε προσάγομεν.

Κανὼν Σταυροαναστάσιμος.
Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε.

Ἰδοὺ ἀναμέστους μοι ὁ ὁρισ; ὀδόντας ἐνέπειρε Σωτὴρ· οὓς Παντοκράτωρ Δέσποτα, ἥλοις χειρῶν σου ἔθλασας· ὅτι οὐκ ἔστιν Ἅγιος Ἁγίων πλὴν σου φιλάνθρωπε.

Ὡράθης φιλάνθρωπε βουλήσει, ἐν τάφῳ νεκρὸς ζωοποιὸς, καὶ πύλας ἀνεπέτασας, ᾅδου ταῖς ἀπ' αἰώνων ψυχαῖς, οὐκ ἔστιν Ἅγιος, Ἁγίων πλὴν σου φιλάνθρωπε.

Ἕτερος τῆς Θεοτόκου. Ἀφ' ὕψους κατῆλθες.

Ῥύπτεται βροτῶν ἡ οὐσία, διὰ σοῦ ὁμιλήσασα, ἀστέκτῳ θείῳ πυρί, ὡς ἐγκρυφίας, πάναγνε παρθένε· ἐν σοί, ἄρτος ἐξοπτηθεὶς, τῷ καὶ σὲ ἀλώβητον διαφυλάξαντι.

Θεοτοκίον.

Τίς αὕτη ἡ ὄντως πλησίον τοῦ Θεοῦ; ὡς ὑπερβᾶσα ἅπαντα, τὰ τῶν Ἀγγέλων τάγματα, ἡ μόνη ἐν τῷ κάλλει τῆς παρθενίας, οἵα Μήτηρ λάμπουσα τοῦ παντοκράτορος.

Ὠδὴ Δ'. Ὁ Εἱρμός.

Ἐπαρθέντα σε ἰδοῦσα ἡ ἐκκλησία, ἐπὶ σταυροῦ τὸν ἥλιον τῆς δικαιοσύνης, ἔσῃ ἐν τῇ τάξει αὐτῆς, εἰκότως κραυγάζουσα· Δόξα τῇ δυνάμει σου Κύριε.

Ἀνελήλυθας τὰ πάθη μου θεραπεύσων, ἐπὶ Σταυροῦ τῷ πάθει τῆς ἀχράντου σαρκός σου, ἣν ἐκὼν ἐφόρεσας· διό σοι κραυγάζομεν· Δόξα τῇ δυνάμει σου Κύριε.

Ἀναμαρτήτου ὁ θάνατος γεγευμένος, ζωοποιοῦται σώματος τοῦ σοῦ ἐπαξίως, Δέσποτα νενέκρωται· ἡμεῖς δὲ βοῶμέν σοι· Δόξα τῇ δυνάμει σου Κύριε.

Θεοτοκίον.

Ἀπειρογάμως ἐκύησας ὦ Παρθένε, καὶ μετὰ τόκον ὥρθης παρθενεύουσα πάλιν· ὅθεν ἀσιγήτοις φωναῖς, τὸ, Χαῖρέ σοι Δέσποινα, πίστει ἀδιάκτῳ κραυγάζομεν.

Ἕτερος Σταυροαναστάσιμος
Τὴν ἀνεξιχνίαστον.

Νενομοθετημένος ὢν Ἰσραὴλ, σὲ Χριστὲ τὸν νομοθετήσαντα, Θεὸν οὐκ ἔγνω· ἀλλ' ὡς ἄνομον σαυρῷ, παρανομῶν προσέπηξεν, ὁ νομοθεσίας ἀνάξιος.

Ἡ τεθεω-

Ἡ τεθεωμένη σου Σῶτερ ψυχή, ᾅδου θησαυροὺς προνομεύσασα, τὰς ἀπ' αἰῶνος συνανέστησε ψυχάς. τὸ ζωηφόρον σῶμα δέ, πᾶσιν ἀφθαρσίαν ἐπήγασε.

Ἕτερος τῆς Θεοτόκου.
Ὁ καθήμενος ἐνδόξῳ

Συνανεγράφη ἀνθρώποις, ὁραθεὶς ὁ ἀόρατος, ἐν μορφῇ ὑπάρχων, τῆς ἀκαταλήπτου Θεότητος, καὶ μορφωθεὶς ἐκ σοῦ Κόρη τὸ ἀλλότριον, τοὺς εἰδότας σε, σώζει ἀγνὴν Θεομήτορα.

Ὑπεδέξατο ἐν ὕλῃ, ἡ παρθένος τὸν ἄυλον, ἐν μεθέξῃ ὕλης, βρέφος ἐξ αὐτῆς χρηματίσαντα· ὅθεν ἐν δύο οὐσίαις εἷς γνωρίζεται, σαρκοφόρος Θεός, καὶ βροτὸς ὑπερούσιος.

Ὠδὴ Ε'. ὁ Εἱρμός.

Σὺ Κύριέ μου φῶς, εἰς τὸν κόσμον ἐλήλυθας, φῶς ἅγιον ἐπισρέφων, ἐκ ζοφάδους ἀγνοίας, τοὺς πίστει ἀνυμνοῦντάς σε.

Σὺ Κύριε πρὸς γῆν, συμπαθῶς κατελήλυθας· σὺ ὕψωσας τὴν πεσοῦσαν, τῶν ἀνθρώπων οὐσίαν, ἐν ξύλῳ ἀναρτώμενος.

Σὺ ἥρός μου Χριστέ, τῶν πταισμάτων τὸ ἔγκλημα· σὺ ἔλυσας τὰς ὀδύνας, τοῦ θανάτου οἰκτίρμων, τῇ θείᾳ ἀναστάσει σου.

Θεοτοκίον.

Σὲ ὅπλον ἀῤῥαγές, κατ' ἐχθρῶν προβαλλόμεθα, σὲ ἄγκυραν καὶ ἐλπίδα, τῆς ἡμῶν σωτηρίας, Θεόνυμφε κεκλήμεθα.

Σταυροαναστάσιμος. Ἐξέστη τὰ σύμπαντα.

Ἐδέξατο ὅλον σε, ᾅδης ὁ ἄφρων στόματι· ξύλῳ γὰρ παγέντα σε ἀθρήσας, λόγχῃ νυγέντα, ἀπνουν τὸν ζῶντα Θεόν, ψιλὸν ἐλογίσατο βροτόν· ἔγνω περασθεὶς δὲ σοῦ τὴν ἰσχὺν τῆς Θεότητος.

Λυθέντα φιλάνθρωπε, τὸν ναὸν τοῦ σώματος, τάφος μερισάμενος καὶ ᾅδης, ἀκόντες ἄμφω δίκας εἰσπράττονται· ὁ μὲν τῶν Ἁγίων σου ψυχάς, σώματα δὲ ἕτερος, συνεκπέμπων ἀθάνατε.

Τῆς Θεοτόκου. Νῦν ἀναῤῥήσομαι.

Οἶκον τῆς δόξης σε ὄρος Θεοῦ, ἅγιον Ἁγνή, νύμφη παστάδα, ναὸν ἁγιάσματος, ὁ υἱὸς ὁ τοῦ Θεοῦ, ἐν σοὶ οἰκήσας, καὶ Παράδεισον τρυφῆς, ἀϊδίου ἡμῖν εἰργάσατο.

Σάρκα ἐξ αἵματος παρθενικοῦ, εἰληφὼς Χριστέ, ἄσπορον ἄχραντον, καὶ ἐνυπόστατον, λογικὴν καὶ νοερὰν ἐμψυχωμένην, ἐνεργῇ θελητικήν, αὐτοδέσποτον καὶ αὐτεξούσιον.

Ὠδὴ ς'. Ὁ Εἱρμός.

Θύσω σοι μετὰ φωνῆς αἰνέσεως Κύριε, ἡ Ἐκκλησία βοᾷ σοι, ἐκ δαιμόνων λύθρου κεκαθαρμένη, τῷ δι' οἰκτον, ἐκ τῆς πλευρᾶς σου ῥεύσαντι αἵματι.

Ἀνῆλθες, ἐν σταυρῷ δυναστείαν ζωσάμενος, καὶ συμπλακεὶς τῷ Τυράννῳ, ὡς Θεὸς ἐξ ὕψους, κατέῤῥαξας, τὸν Ἀδὰμ δὲ, ἀηττήτῳ παλάμῃ ἀνέστησας.

Ἀνέστης, ἐξαστράπτων ὡραῖος ἐκ τά-

ἐκ τάφου Χριστέ, καὶ διεσκέδασας πάντας, τοὺς ἐχθρούς τῇ θείᾳ σου δυναστείᾳ, καὶ τὰ πάντα, ὡς Θεὸς εὐφροσύνης ἐπλήρωσας.

Θεοτοκίον.

Ὦ θαῦμα, τῶν ἁπάντων θαυμάτων καινότερον! ὅτι παρθένος ἐν μήτρᾳ, τὸν τὰ σύμπαντα περιέποντα, ἀπειράνδρως, συλλαβοῦσα οὐκ ἐστενοχώρησε.

Σταυροαν. Ἦλθον εἰς τὰ βάθη.

Διήνοιξε φάρυγγα ὁ ᾅδης, καὶ καταπέπωκέ με, καὶ ψυχὴν ἐπλάτυνεν ὁ ἄφρων· ἀλλ' ὁ Χριστός, καταβάς, ἀνήγαγε τὴν ζωήν μου, ὡς φιλάνθρωπος.

Ἑάλω ὁ θάνατος θανάτῳ· ὁ γὰρ θανὼν ἀνέστη. ἀφθαρσίαν μοι δεδωρημένος, ἐμφανισθεὶς γυναιξὶ προσφθέγγεται, τὴν χαρὰν δὲ ὁ ἀθάνατος.

Ὁ αὐτὸς τῆς Θεοτόκου.

Πάλαι μὲν ἠπάτησεν ὁ ὄφις, καὶ ἐθανάτωσέ με διὰ τῆς προμήτορός μου Εὔας· νῦν δὲ Ἁγνή, διὰ σοῦ ὁ πλάσας με, ἐκ φθορᾶς ἀνεκαλέσατο.

Ἄβυσσός σε ἄβυσσον ἀῤῥήτως, τῆς εὐσπλαγχνίας Κόρη, ἐκλεκτὴν ἀνέδειξε θαυμάτων· καὶ γὰρ ἐκ σοῦ ἀστραπῇ Θεότητος, Μαργαρίτης Χριστὸς ἔλαμψε.

Κοντάκιον. Ἐπεφάνης σήμερον.

Ὁ Σωτὴρ καὶ ῥύστης μου ἀπὸ τοῦ πάθους, ὡς Θεὸς ἀνέστησεν, ἐκ τῶν δεσμῶν τοὺς γηγενεῖς, καὶ πύλας ᾅδου συνέτριψε· καὶ ὡς Δεσπότης ἀνέστη τριήμερος.

Ὁ οἶκος.

Τὸν ἀναστάντα ἐκ νεκρῶν Χριστὸν τὸν Ζωοδότην, τριήμερον ἐκ τάφου, καὶ πύλας τοῦ θανάτου σήμερον συνθλάσαντα, τῇ δυνάμει τῇ αὐτοῦ, τὸν ᾅδην τε νεκρώσαντα, καὶ τὸ κέντρον τοῦ θανάτου συντρίψαντα, καὶ τὸν Ἀδὰμ σὺν τῇ Εὔᾳ ἐλευθερώσαντα, ὑμνήσωμεν πάντες οἱ γηγενεῖς, εὐχαρίστως βοῶντες αἶνον ἐκτενῶς. Αὐτὸς γὰρ ὡς μόνος κραταιὸς Θεὸς καὶ Δεσπότης ἀνέστη τριήμερος.

Ὠδὴ Ζ΄. Ὁ Εἱρμός.

Ἐν τῇ Καμίνῳ Ἀβραμιαῖοι παῖδες τῇ Περσικῇ, πόθῳ εὐσεβείας μᾶλλον, ἢ τῇ φλογί, πυρπολούμενοι ἐκραύγαζον: Εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς δόξης σου Κύριε.

Πρὸς ἀφθαρσίαν, ἡ ἀνθρωποτης ἀνακέκληται, θείῳ λουσαμένη αἵματι τοῦ Χριστοῦ, εὐχαρίστως ἀναμέλπουσα: Εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς δόξης σου Κύριε.

Ὡς ζωηφόρος, ὡς Παραδείσου ὡραιότερος, ὄντως καὶ πασταδος πάσης βασιλικῆς ἀναδέδειξαι λαμπρότερος, Χριστέ, ὁ τάφος σου, ἡ πηγὴ τῆς ἡμῶν ἀναστάσεως.

Θεοτοκίον

Τὸ τοῦ ὑψίστου, ἡγιασμένον θεῖον σκήνωμα χαῖρε· διὰ σοῦ γὰρ δέδοται ἡ χαρὰ Θεοτόκε τοῖς κραυγάζουσιν: Εὐλογημένη σὺ ἐν γυναιξίν, ὑπάρχεις πανάμωμε Δέσποινα.

Σταυροαν. Οὐκ ἐλάτρευσαν.

Ἐταπείνωσας, ἐν ξύλῳ ἀναρτώμενος

τώμενος, ὄμμα μετέωρον, καὶ ἐπημμένην ὀφρῦν, εἰς γῆν καταβέβληκας, σώσας τὸν ἄνθρωπον, ὑπερύμνητε. Ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Τῇ δυνάμει σου, τὸ κέρας ἡμῶν ὕψωσον, τῶν λατρευόντων σοι, ὁ ἀναστὰς ἐκ νεκρῶν, καὶ ᾅδου κενώσας πρίν, τὸν πολυάνθρωπον πλοῦτον Δέσποτα· ὁ τῶν Πατέρων Κύριος.

Τῆς Θεοτόκου. Νέοι τρεῖς ἐν Βαβυλῶνι.

Ἕλκει με πρὸς ὑμνῳδίαν, πόθου τοῦ παρθενικοῦ, τὸ πῦρ τὸ ἐγκάρδιον, βοᾷν τῇ Μητρὶ καὶ Παρθένῳ· Εὐλογημένη Κύριος μετὰ σοῦ τῶν δυνάμεων.

Ὑπερτέρα τῶν κτισμάτων, ὤφθης ὡς τὸν ποιητήν, τεκοῦσα καὶ Κύριον. Διό σοι βοᾷ Θεότοκε· Εὐλογημένη Κύριος, μετὰ σοῦ τῶν δυνάμεων.

Ὠδὴ Η'. Ὁ Εἱρμός.

Χεῖρας ἐκπετάσας Δανιὴλ, λεόντων χάσματα ἐν λάκκῳ ἔφραξε· πυρὸς δὲ δύναμιν ἔσβεσαν, ἀρετὴν περιζωσάμενοι, οἱ εὐσεβείας ἐρασταὶ Παῖδες κραυγάζοντες· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Χεῖρας ἐκπετάσας ἐν σταυρῷ, τὰ ἔθνη ἅπαντα ἐπισυνήγαγες· καὶ μίαν ἔδειξας Δέσποτα, Ἐκκλησίαν ἀνυμνοῦσάν σε, τοῖς ἐπὶ γῆς καὶ οὐρανοῦ, συμφώνως ψάλλουσιν· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Λευχείμων ὡράθη γυναιξὶ, τῷ ἀπροσίτῳ φωτὶ τῆς Ἀναστάσεως, καταστραπτόμενος Ἄγγελος, τί τὸν ζῶντα ἐν τῷ τάφῳ βοᾶν, ἐπιζητεῖτε ὡς θνητόν; ὄντως ἠγέρθη Χριστὸς, ᾧ βοᾶμεν· Πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Θεοτοκίον.

Σὺ μόνη ἐν πάσαις γενεαῖς, παρθένε ἄχραντε, Μήτηρ ἐδείχθης Θεοῦ· σὺ τῆς Θεότητος γέγονας, ἐνδιαίτημα πανάμωμε, μὴ φλογισθεῖσα τῷ πυρὶ τοῦ ἀπροσίτου φωτός· ὅθεν πάντες σὲ εὐλογοῦμεν Μαρία Θεόνυμφε.

Σταυροαν. Παῖδας εὐαγεῖς.

Τὴν ᾅδικον βλέπουσα σφαγήν σου, ἡ κτίσις κατηφιῶσα ἐπωδύρετο· γῆς παρασσομένης γὰρ, ζόφον ὡς ἱμάτιον μελεμβαφὲς, ὁ ἥλιος περιεβάλλετο· ἡμεῖς δέ σε ἀπαύστως ὑμνοῦμεν, καὶ ὑπερυψοῦμεν Χριστὲ εἰς τοὺς αἰῶνας.

Ὁ συγκαταβάς μοι μέχρις ᾅδου, καὶ πᾶσιν ὁδοποιήσας τὴν ἀνάστασιν, αὖθις ἀναβέβηκας, ἄρας με ἐπ' ὤμων σου, καὶ τῷ Πατρὶ προσήγαγες· ὅθεν κραυγάζω σοι· Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τῆς Θεοτόκου. Δυτρωτὰ τοῦ παντός.

Ἐκ πλευρᾶς τοῦ Ἀδὰμ πλασουργήσας σε, ἐκ τῆς σῆς παρθενίας σεσάρκωται, ὁ τῶν ἁπάντων Κύριος, ὃν ὑμνοῦντες βοῶμεν· Πάντα τὰ ἔργα εὐλογεῖτε, ὑμνεῖτε τὸν Κύριον.

Ἐν σκηνῇ Ἀβραὰμ ἐθεάσατο, τὸ ἐν σοὶ Θεοτόκε Μυστήριον· τὸν Υἱόν σου ἄσαρκον ὑπεδέξατο μέλ-

πων

πων: Πάντα τὰ ἔργα εὐλογεῖτε, ὑμνεῖτε τὸν Κύριον.

Ὠδὴ Θ'. Ὁ Εἱρμός.

Λίθος ἀχειροτμήτως ὄρους, ἐξ ἀλαξεύτου σου Παρθένε, ἀκρογωνιαῖος ἐτμήθη Χριστός, συνάψας τὰς διεστώσας φύσεις· διὸ ἐπαγαλλόμενοι, σὲ Θεοτόκε μεγαλύνομεν.

Ὅλον με ἀνείληφας ὅλως, ἐν συναφείᾳ ἀσυγχύτως, ὅλῳ μοι δι-δοὺς ὁ Θεός μου, τὴν σωτηρίαν διὰ τοῦ πάθους σου· οὗ ἐν σαυρῷ ὑπέμεινας, σωματικῶς δι' εὐσπλαγχνίαν πολλήν.

Οἱ σοὶ Μαθηταί καθορῶντες, ἀνεῳγμένον σου τὸν τάφον, καὶ τὰς Θεοφόρους σινδόνας, κεκενωμένας τῇ ἀναστάσει σου, σὺν τῷ Ἀγγέλῳ ἔλεγον. Ὄντως ἐγήγερται ὁ Κύριος.

Τριαδικόν.

Μονάδα μὲν θείας οὐσίας, ἀλλ' ὑποστάσεων Τριάδα, πάντες οἱ πιστοὶ προσκυνοῦμεν, ἐν ἀσυγχύτοις ταῖς ὑποστάσεσιν, ἰσοσθενῆ ὁμότιμον, ἣν εὐσεβοῦντες μεγαλύνομεν.

Σταυροαν. Ἅπας γηγενής.

Δόλῳ τῆς Ἐδέμ, ἐρπύσας ὁ ὄφις με, εἷλεν αἰχμάλωτον· πρὸς τὴν τοῦ κρανίου δὲ, κρατίστην πέτραν τοῦτον ἠδάφισεν, ὁ Παντοκράτωρ Κύριος, καθάπερ νήπιον τῆς τρυφῆς δὲ, αὖθίς μοι τὴν εἴσοδον, διὰ ξύλου σαυροῦ ἀνεπέτασεν.

Ἴθι τοῦ πτωχοῦ, λαοῦ σου τὴν κάκωσιν ἐπισκεψόμενος· τῇ συμπαθεστάτῃ δέ, καὶ κραταιᾷ σου χειρὶ δυνάμωσον, τὸν σαυροφόρον Ἄνακτα, καὶ βλασφήμων ἐχθρῶν, ἐξελέσθαι σοῦ τὴν περιούσιον, κληρουχίαν Χριστὲ, ὡς φιλάνθρωπος.

Τῆς Θεοτόκου. Κρυπτὸν θεῖον.

Ὁρῶμεν ὡς κρῖνον σε τῇ ἀλουργίδι, βεβαμμένην ἄχραντε, τοῦ θείου Πνεύματος, τῶν ἀκανθῶν ἐν μέσῳ ἐκλάμπουσαν· καὶ εὐωδίας πληροῦσαν, τοὺς σε γνησίως μεγαλύνοντας.

Ῥευστὴν προσλαβόμενος βροτείαν φύσιν, ἐκ τῆς σῆς πανάμωμε γαστρὸς ὁ ἄφθαρτος, ἐν ἑαυτῷ ἀνέδειξεν, ἄῤῥευστον δι' εὐσπλαγχνίαν· διό σε ὡς Θεοτόκον μεγαλύνομεν.

Μετὰ τὴν τιμιωτέραν, Ἐκφώνησις Ὅτι σε αἰνοῦσι· καὶ εὐθύς· Ἅγιος Κύριος. Τὰ Ἐξαποστ. καὶ οἱ Αἶνοι.

Ὁ σαρὸν ὑπομείνας καὶ θάνατον, καὶ ἀναστὰς ἐκ τῶν νεκρῶν, παντοδύναμε Κύριε, δοξάζομέν σου τὴν Ἀνάστασιν.

Ἐν τῷ σαυρῷ σου Χριστὲ, τῆς ἀρχαίας κατάρας ἠλευθέρωσας ἡμᾶς· καὶ ἐν τῷ θανάτῳ σου τὸν τὴν φύσιν ἡμῶν τυραννήσαντα, διάβολον κατήργησας· ἐν δὲ τῇ ἐγέρσει σου, χαρᾶς τὰ πάντα ἐπλήρωσας, Διο βοῶμέν σοι: Ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν, Κύριε δόξα σοι.

Τῷ σῷ σαυρῷ Χριστὲ Σωτὴρ, ὁδήγησον ἡμᾶς ἐπὶ τὴν ἀλήθειάν σου, καὶ ῥῦσαι ἡμᾶς, τῶν παγίδων τοῦ ἐχθροῦ· ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν, ἀνάστησον ἡμᾶς πεσόντας τῇ ἁμαρ-

ἁμαρτίᾳ, ἐκτεινας τὴν χεῖρά σου, φιλάνθρωπε Κύριε, τῇ πρεσβείᾳ τῶν ἁγίων σου.

Τῶν Πατρικῶν σου κόλπων, μὴ χωρισθεὶς Μονογενές, Λόγε τοῦ Θεοῦ· ἦλθες ἐπὶ γῆς διὰ φιλανθρωπίαν, ἄνθρωπος γενόμενος ἀτρέπτως· καὶ σαυρὸν καὶ θάνατον ὑπέμεινας σαρκί, ὁ ἀπαθὴς τῇ Θεότητι· ἀναστὰς δὲ ἐκ νεκρῶν, ἀθανασίαν παρέσχες τῷ γένει τῶν ἀνθρώπων, ὡς μόνος παντοδύναμος.

Θάνατον κατεδέξω σαρκί, ἡμῖν ἀθανασίαν πραγματευσάμενος Σωτήρ· καὶ ἐν τάφῳ ὤκησας, ἵνα ἡμᾶς τοῦ ᾅδου ἐλευθερώσῃς, συνανασήσας ἑαυτῷ· παθῶν μὲν ὡς ἄνθρωπος, ἀλλ' ἀναστὰς ὡς Θεός. Διὰ τοῦτο βοῶμεν· Δόξα σοι ζωοδότα Κύριε, μόνε φιλάνθρωπε.

Πέτραι ἐσχίσθησαν Σωτήρ, ὅτε ἐν τῷ κρανίῳ ὁ σαυρός σου ἐπάγη· ἔρριξαν ᾅδου πυλωροί, ὅτε ἐν τῷ μνημείῳ ὡς θνητὸς κατετέθης· καὶ γὰρ τοῦ θανάτου καταργήσας τὴν ἰσχύν, τοῖς τεθνεῶσι πᾶσιν ἀφθαρσίαν παρέσχες, τῇ ἀναστάσει σου Σωτήρ. Ζωοδότα Κύριε δόξα σοι.

Ἐπεθύμησαν γυναῖκες, ἰδεῖν σου τὴν ἀνάστασιν Χριστὲ ὁ Θεός. Ἦλθε προλαβοῦσα Μαρία ἡ Μαγδαληνή· εὗρε τὸν λίθον ἀποκυλισθέντα τοῦ μνήματος, καὶ τὸν Ἄγγελον καθεζόμενον καὶ λέγοντα· Τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; ἀνέστη ὡς Θεός, ἵνα σώσῃ τὰ σύμπαντα.

Ποῦ ἐστιν Ἰησοῦς, ὃν ἐλογίσασθε φυλάττειν; εἴπατε Ἰουδαῖοι. Ποῦ ἐστιν, ὃν ἐθήκατε ἐν τῷ μνήματι, τὸν λίθον σφραγίσαντες. Δότε τὸν νεκρόν, οἱ τὴν ζωὴν ἀρνησάμενοι· δότε τὸν ταφέντα, ἢ πιστεύσατε τῷ ἀναστάντι· κἂν ὑμεῖς σιγήσητε τοῦ Κυρίου τὴν ἔγερσιν, οἱ λίθοι κεκράξονται· μάλιστα ὁ ἀποκυλισθεὶς ἐκ τοῦ μνήματος. Μέγα σου τὸ ἔλεος! μέγα τὸ Μυστήριον τῆς οἰκονομίας σου! Σωτὴρ ἡμῶν δόξα σοι.

Δόξα, τὸ Ἑωθιν. καὶ νῦν, Ὑπερευλογημένη ὑπάρχεις, καὶ τὰ λοιπὰ ὡς ἐν τῷ ά, ἦχῳ φυλλ. 139

Εἰς τὴν λειτουργίαν. Οἱ Μακαρισμοί.

Διὰ ξύλου ὁ Ἀδάμ, Παραδείσου γέγονεν ἄποικος· διὰ ξύλου δὲ σαυροῦ, ὁ Ληστὴς Παράδεισον ᾤκησεν· ὁ μὲν γὰρ γευσάμενος, ἐντολὴν ἠθέτησε τοῦ ποιήσαντος· ὁ δὲ συσταυρούμενος, Θεὸν ὡμολόγησε τὸν κρυπτόμενον· Μνήσθητί μου βοῶν ἐν τῇ βασιλείᾳ σου.

Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ, καὶ τοῦ θανάτου λύσας τὴν δύναμιν· καὶ ἐξαλείψας ὡς Θεός, τὸ καθ' ἡμῶν χειρόγραφον Κύριε. Λῃστοῦ τὴν μετάνοιαν, καὶ ἡμῖν παράσχου μόνε φιλάνθρωπε, τοῖς πίστει λατρεύουσι, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ βοῶσί σοι· Μνήσθητι καὶ ἡμῶν ἐν τῇ βασιλείᾳ σου.

Τὸ χειρόγραφον ἡμῶν, ἐν τῷ σταυρῷ τῇ λόγχῃ διέρρηξας· καὶ λογισθεὶς ἐν τοῖς νεκροῖς, τὸν ἐκεῖσε τύραννον ἔδησας, ῥυσάμενος ἅπαντας, ἐκ δεσμῶν τοῦ ᾅδου τῇ ἀναστάσει σου· δι' ἧς ἐφωτίσθημεν, φιλάνθρωπε Κύριε, καὶ βοῶμέν

σοι: Μνήσθητι καὶ ἡμῶν ἐν τῇ βασιλείᾳ σου.

Ὁ σταυρωθεὶς καὶ ἀναστὰς, ὡς δυνατὸς ἐκ τάφου τριήμερος, καὶ τὸν πρωτόπλαστον Ἀδὰμ, ἐξαναστήσας μόνε ἀθάνατε· κἀμὲ εἰς μετάνοιαν, ἐπιστρέψας· Κύριε καταξίωσον, ἐξ ὅλης καρδίας μου, καὶ ἐν θερμῇ τῇ πίστει ἀεὶ κραυγάζειν σοι: Μνήσθητί μου Σωτὴρ ἐν τῇ βασιλείᾳ σου.

Δι' ἡμᾶς ὁ ἀπαθὴς, παθητὸς ἐγένετο ἄνθρωπος, καὶ ἑκουσίως ἐν σταυρῷ, προσηλωθεὶς ἡμᾶς ἐξανέστησε· διὸ καὶ δοξάζομεν, σὺν τῷ σταυρῷ τὸ πάθος καὶ τὴν ἀνάστασιν· δι' ὧν ἀνεπλάσθημεν, δι' ὧν καὶ σωζόμεθα ἀνακράζοντες: Μνήσθητι καὶ ἡμῶν ἐν τῇ βασιλείᾳ σου.

Τὸν ἀναστάντα ἐκ νεκρῶν καὶ τὸ τοῦ ᾅδου κράτος σκυλεύσαντα, καὶ ὁραθέντα γυναιξὶ, Μυροφόροις λέγοντα, Χαίρετε· πιστοὶ δυσωπήσωμεν, ἐκ φθορᾶς λυτρώσασθαι τὰς ψυχὰς ἡμῶν, κραυγάζοντες πάντοτε, Λῃστοῦ τοῦ εὐγνώμονος τὴν φωνὴν πρὸς αὐτόν: Μνήσθητι καὶ ἡμῶν ἐν τῇ βασιλείᾳ σου.

Δόξα.

Τὸν Πατέρα καὶ Υἱὸν, καὶ τὸ Πνεῦμα πάντες τὸ ἅγιον, ὁμοφρόνως οἱ πιστοὶ, δοξολογεῖν ἀξίως εὐξώμεθα, Μονάδα Θεότητος, ἐν τρισὶν ὑπάρχουσαν ὑποστάσεσιν, ἀσύγχυτον μένουσαν, ἁπλῆν ἀδιαίρετον καὶ ἀπρόσιτον, δι' ἧς ἐκλυτραύμεθα τοῦ πυρὸς τῆς κολάσεως.

Καὶ τῶν Θεοτοκίων.

Τὴν Μητέρα σου Χριστὲ, τὴν ἐν σαρκὶ ἀσπόρως τεκοῦσάν σε, καὶ παρθένον ἀληθῶς, καὶ μετὰ τόκον μείνασαν ἄφθορον, αὐτήν σοι προσάγωμεν, εἰς πρεσβείαν Δέσποτα πολυέλεε. πταισμάτων συγχώρησιν, δώρησαι πάντοτε τοῖς βοῶσί σοι: Μνήσθητι καὶ ἡμῶν ἐν τῇ βασιλείᾳ σου.

Τῇ Κυριακῇ ἑσπέρας, εἰς τ', Κύριε ἐκέκραξα. Στιχηρὰ Δεσποτικά. Ἦχος δ'. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Δεῦρο τάλαινα πρόσπεσον, τῷ Θεῷ ἐν θερμότητι, τῶν δακρύων κράζουσα τὸ ἡμάρτηκα, ψυχὴ παμβέβηλε ἴλεων, τὸν Κριτὴν ἀπέργασαι, πρὸ τοῦ τέλους καὶ αὐτῷ ἐκ καρδίας ἀνάκραξον, μὴ ἀπώσῃ μου, στεναγμοὺς ὁ Θεός μου μὴ παρόψῃ, συντριβήν μου τῆς καρδίας, ὦ πολυεύσπλαγχνε Κύριε.

Ἐν νυκτὶ καὶ ἡμέρᾳ, ὁ ἐχθρὸς ὁ παμπόνηρος, πολεμῶν οὐ παύεται θελεάσαι με, καὶ πρὸς ἀπώλειαν ἕλκει με, κακίας πρὸς βάραθρα, ἀλλ' ὡς μόνος ἀγαθὸς, τῆς αὐτοῦ τυραννίδος με, ἀπολύτρωσαι, καὶ παντοίας ἀνάγκης Ἰησοῦ μου, ὑπεράγαθε καὶ σῶσον, ἐκ πολυτρόπων κολάσεων.

Σοῦ τῆς θείας ἐλλάμψεως, δεκτικὰ καταγώγια, καὶ δοχεῖα πάνσεπτα κατεσκεύασας, τὰ τῶν Ἀγγέλων στρατεύματα, καὶ θεῖα συστήματα, σοῦ τῆς δόξης θεωροὺς, παραστάτας τοῦ θρόνου σου, τοὺς τοῦ λόγου σου, δυνατῶς ἐν ἰσχύϊ ἐκτε-

ἐκτελοῦντας, καὶ συντόνως ἐκπληροῦντας, τὰς ἐντολάς σου φιλάνθρωπε.

Εἰς τὸν στίχ. στιχηρ. Κατανυκτικά.

Ἠθελον δάκρυσιν ἐξαλεῖψαι, τῶν ἐμῶν πταισμάτων Κύριε τὸ χειρόγραφον, καὶ τὸ ὑπόλοιπον τῆς ζωῆς μου, διὰ μετανοίας εὐαρεστῆσαί σοι, ἀλλ' ὁ ἐχθρὸς ἀπατᾷ με, καὶ πολεμεῖ τὴν ψυχήν μου, Κύριε πρὶν εἰς τέλος ἀπόλωμαι, σῶσόν με.

Τίς χειμαζόμενος καὶ προστρέχων, τῷ λιμένι τούτῳ οὐ διατώζεται; ἢ τίς ὀδυνώμενος καὶ προσπίπτων, τῷ ἰατρείῳ τούτῳ οὐθεραπεύεται; δημιουργὲ τῶν ἁπάντων, καὶ ἰατρὲ τῶν νοσούντων Κύριε πρὶν εἰς τέλος ἀπόλωμαι, σῶσόν με.

Ὁ ἐνδοξαζόμενος ἐν ταῖς μνείαις τῶν Ἁγίων σου Χριστὲ ὁ Θεός, ὑπ' αὐτῶν δυσωπούμενος, κατάπεμψον ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν.

Χαῖρε φωτὸς Νεφέλη· χαῖρε Λυχνία φωτεινή· χαῖρε Στάμνε ἡ τοῦ Μάννα· χαῖρε ἡ Ῥάβδος Ἀαρών· χαῖρε Βάτε ἄφλεκτε· χαῖρε Λαμπάς· χαῖρε Θρόνε· χαῖρε Ὄρος Ἅγιον· χαῖρε Παράδεισε· χαῖρε Θεία Τράπεζα· χαῖρε Ὕλη μυστική· χαῖρε ἡ πάντων ἐλπίς.

Τῇ β'. εἰς τὸν Ὄρθρον. μετὰ τὴν ἁ. στιχολ. Καθίσματα Κατανυκτικά. Ταχὺ προκατάλαβε.

Ταχὺ συνεισέλθωμεν, εἰς τὸν Νυμφῶνα Χριστοῦ, καὶ πάντες ἀκούσωμεν τῆς μακαρίας φωνῆς, αὐτοῦ τοῦ Θεοῦ ἡμῶν· Δεῦτε οἱ ἀγαπῶντες τὴν οὐράνιον δόξαν, μέτοχοι γεγονότες τῶν φρονίμων Παρθένων, φαιδρύνωμεν τὰς λαμπάδας ἡμῶν διὰ τῆς πίστεως.

Κατεπῴδη Ἰωσήφ.

Ἀναλόγισαι ψυχή, πῶς παραστῶμεν τῷ Κριτῇ, ἐν τῇ ὥρᾳ τῇ φρικτῇ, τίθενται θρόνοι φοβεροί, καὶ τῶν ἀνθρώπων αἱ πράξεις διελέγχονται· τότε ὁ Κριτὴς ἀδυσώπητος· πρὸ βήματος γὰρ πῦρ, προπορεύεται, ὥσπερ ἀγρία θάλασσα σὺν ἤχῳ, κατακαλύπτον τοὺς πταίσαντας, ἀναλογίζου, ταῦτα ψυχή μου, καὶ τὰ ἔργα σου εὔθυνον.

Δόξα.

Ἡ κυρίως καὶ ἀληθῶς Θεοτόκος, πρεσβεύουσα ὡς Μήτηρ ἐν παῤῥησίᾳ τῷ Υἱῷ σου καὶ Θεῷ ἡμῶν, διαφύλαξον ποίμνην, ἐξαιρέτως τῇ σκέπῃ σου προστρέχουσαν, πρός σὲ καταφεύγουσαν, τὸν λιμένα, τὸ τεῖχος, τὴν μόνην προστασίαν τοῦ γένους τῶν ἀνθρώπων.

Μετὰ τὴν β'. στιχολ. Καθίσματα. Ταχὺ προκατάλαβε.

Αὐλοῖς ἐν σώμασι, Τριὰς ὑπέρθεε, ἀπαύστως ὑμνοῦσί σε, τῶν Ἀσωμάτων χοροί, καὶ φόβῳ παρίστανται, Ἅγιος ἐκβοῶντες, τρισυπόστατε φύσις· ἐλέησον τῶν χειρῶν σου, τῶν οἰκείων τὸ πλάσμα, αὐτῶν ταῖς ἱκεσίαις μόνε φιλάνθρωπε.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σῴμε-

Σήμερον τὰ τῶν Ἀγγέλων στρατεύματα, ἐν τῇ μνήμῃ τῶν Ἀθλοφόρων παραγέγονε, τὰς τῶν πιστῶν διανοίας φωτίσαι, καὶ τὴν Οἰκουμένην τῇ χάριτι φαιδρῦναι· δι' αὐτῶν ὁ Θεὸς δυσωπούμενος, δώρησαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα.

Τῇ ἀνατραφείσῃ ἐν τῷ Ναῷ, εἰς τὰ Ἅγια τῶν Ἁγίων, τῇ περιβεβλημένῃ τὴν πίστιν καὶ τὴν σοφίαν, καὶ τὴν ἄμετρον Παρθενίαν, ὁ Ἀρχιστράτηγος Γαβριὴλ, προσέφερεν οὐρανόθεν τὸν ἀσπασμὸν καὶ τὸ, Χαῖρε· χαῖρε εὐλογημένη, χαῖρε δεδοξασμένη, ὁ Κύριος μετὰ σοῦ.

Τὸ πρωϊ ἀπόστιχα τοῦ ἑσπερινοῦ.

Τῇ β'. Ἑσπέρας. εἰς τὸ, Κύριε ἐκέκραξα, στιχηρὰ Κατανυκτικὰ Δεσποτικά. Ὁ ἐξ ὑψίστου κληθείς.

Τὴν Χαναναίαν ζηλώσασα ψυχή μου ὄπισθεν κολλήθητι, Χριστῷ καὶ κράζε συχνῶς: Ἐλέησόν με ὦ Δέσποτα, παῖδα οὐκ ἔχω, δαιμονιῶσαν σάρκα δὲ ἄτακτον, δίωξον τὴν πύρωσιν, ἐκ ταύτης δέομαι, καὶ καταπαύσας τὰ ἄτακτα, τῶν σκιρτημάτων, νεκρὰν τῷ φόβῳ σου ἀποτέλεσον, ταῖς ἱκεσίαις τῆς ἀχράντως σε, συλλαβούσης Χριστὲ καὶ τεκούσης σε, καὶ τῶν πάντων Ἁγίων, εὐεργέτα πολυέλεε.

Τοῖς Νινευΐταις ποτὲ ἡμαρτηκόσιν, Ἰωνᾶν ἐξέπεμψας, Χριστὲ κηρύξαι αὐτοῖς· οἱ μετανοήσαντες

Μετὰ τὴν β' στιχολ. Καθίσματα.
Ταχὺ προκατάλαβε.

Τρυγὼν ἡ φιλέρημος, ὁ ἱερὸς Βαπτιστής, κηρύξας μετάνοιαν, καὶ φανερώσας Χριστὸν, γενόμενον ἄνθρωπον, πάντων ἁμαρτανόντων, ἐγενήθη προςάτης, πᾶσι χειμαζομένοις, βοηθῶν ἀεννάως: αὐτοῦ ταῖς ἱκεσίαις Χριστὲ, σῶσον τὸν κόσμον σου.

Μαρτυρικόν.

Σταυρὸν ὁπλισάμενοι, οἱ Ἀθλοφόροι σου, ἐνίκησαν τὰ μηχανήματα, τοῦ ἀρχεκάκου ἐχθροῦ, Χριστὲ ὁ Θεὸς ἡμῶν· ἔλαμψαν ὡς φωστῆρες, τοὺς βροτοὺς ὁδηγοῦντες, νέμουσι τὰς ἰάσεις, τοῖς ἐν πίστει αἰτοῦσιν· αὐτῶν ταῖς ἱκεσίαις, σῶσον τὰς ψυχὰς ἡμῶν.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ἡ μόνη κυήσασα, τὸν ποιητὴν τοῦ παντὸς, ἡ μόνη κοσμήσασα, τὴν ἀνθρωπότητα, τῷ Τόκῳ σου Ἄχραντε, ῥῦσαί με τῶν παγίδων, τοῦ δολίου Βελίαρ· σῆσόν με ἐπὶ πέτραν, τῶν Χριστοῦ θελημάτων· αὐτὸν ἐκδυσωποῦσα ἐκτενῶς ὃν ἐσωμάτωσας.

Τὸ πρωῒ Ἀπόστιχα τοῦ ἑσπερινοῦ.

Τῇ γ'. Ἑσπέρας, εἰς τὸ, Κύριε ἐκέκραξα, στιχηρὰ σταυρώσιμα.
Ἔδωκας σημείωσιν.

Ἐκ γῆς με τὸ πρότερον, δημιουργήσας φιλάνθρωπε, σῇ Εἰκόνι ἐτίμη-

ετίμησας, τρυφὴν χαρισάμενος, τὴν ἐν Παραδείσῳ, καὶ γνώσεως ξύλῳ, δελεασθέντα καὶ φθορᾷ, βροτὸς αὐτὸς γενόμενος, καὶ σταυρωθεὶς ὁ ἀθάνατος, διὰ ἔλεος ἄμετρον, καὶ πολλὴν συγκατάβασιν.

Οἶκτον δι' ἀμέτρητον, ὁ Ποιητής μου καὶ Κύριος, μὴ λιπὼν τὸν γεννήτορα, τῇ γῇ ἐπεδήμησεν, ἑαυτὸν κενώσας, μορφήν τε τῶν δούλων, ἀναλαβὼν ὡς ἀγαθὸς, ἐκ τῆς Παρθένου καθὼς ηὐδόκησε, καὶ σταύρωσιν ὑπέμεινε, σαρκὶ παθὼν ὁ ἀθάνατος, καὶ τὸν θάνατον ἔλυσε, καὶ τὸν ἄνθρωπον ἔσωσεν.

Τῆς Θεοτόκου. Ὅμοιον.

Τὸν ῥύπον ἀπόσμιξον, τῆς ταλαιπώρου καρδίας μου, Θεοτόκε Πανύμνητε, καὶ πάντα τὰ τραύματα, καὶ τὰ ἕλκη ταύτης, τὰ ἐξ ἁμαρτίας, ἐναποκάθαρον Ἁγνή, καὶ τοῦ νοός μου στῆσον τὸ ἄστατον, ὅπως τὴν δυναστείαν σου, καὶ τὴν μεγάλην ἀντίληψιν, μεγαλύνω ὁ ἄθλιος, καὶ ἀχρεῖος οἰκέτης σου.

Εἰς τὸν στίχον στιχηρὰ Σταυρώσ.

Ὅπλον ἀήττητον Χριστέ, τὸν Σταυρόν σου ἡμῖν δέδωκας· καὶ ἐν τούτῳ νικῶμεν, τὰς προσβολὰς τοῦ ἀλλοτρίου.

Πάντοτε ἔχοντες Χριστέ, τὸν Σταυρόν σου εἰς βοήθειαν, τὰς παγίδας τοῦ ἐχθροῦ, εὐχερῶς καταπατοῦμεν.

Θεοτοκίον.

Ἔχοντες παῤῥησίαν πρὸς τὸν Σωτῆρα Ἅγιοι, πρεσβεύσατε ἀ-

Τῇ δ'. ἑσπέρας, εἰς τὸ. Κύριε ἐκέκραξα, Στιχηρὰ προσόμοια τῶν Ἀποστόλων,

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Στερρότατῳ ὀρονήματι, στρατευσάμενοι Ἔνδοξοι, κατὰ τοῦ ἀλάστορος παρεταξάσθε, τῇ πανοπλίᾳ τοῦ Πνεύματος γενναίως ὡραϊζόμενοι, καὶ τὴν ἅπασαν ἰσχύν, τῶν δαιμόνων ὀλέσαντες, ἁφηρπάσατε, τὰς ψυχὰς τῶν ἀνθρώπων, ὥσπερ σκῦλα· διὰ τοῦτο εἰς αἰῶνας, ὑμᾶς τιμῶμεν Ἀπόστολοι.

Σταυροτύπως ἁπλώσασα, τὴν σαγήνην τῆς πίστεως, δωδεκὰς ἡ θεία τῶν Ἀποστόλων σου, πάντα τὰ Ἔθνη ἐξώγρησε, Χριστὲ πρὸς ἐπίγνωσιν, καὶ θαλάσσας ἁλμυρὰς, τῶν παθῶν ἀπεξήρανε· διά τοῦτό σε, δυσωπῶ τοῦ βυθοῦ με τῶν πταισμάτων, ἀνακάλεσαι ταῖς τούτων, πανευπροσδέκτοις δεήσεσι.

Μύρῳ θείῳ ἔχρισε, θεία χάρις τοῦ Πνεύματος, μύρων προεδρεύσαντα καὶ μυρίσαντα, ταῖς ἀρεταῖς Ἱερώτατε, τοῦ κόσμου τὰ πέρατα, ἡδυπνόοις σου εὐχαῖς, τὰ δυσώδη διώκοντα, πάθη πάντοτε· διὰ τοῦτό σε πίστει εὐφημοῦμεν, καὶ τὴν μνήμην σου τελοῦμεν, τὴν παναγίαν Νικόλαε.

Εἰς τὸν στίχον, στιχηρὰ Ἀποστολικά.

Τῶν Ἀποστόλων τὸν χορὸν, Πνεύματι Ἁγίῳ ἐφώτισας Χριστὲ, καὶ ἡμῶν τὸν ῥύπον τῆς ἁμαρτίας, δι' αὐτῶν ἀπόπλυνον ὁ Θεὸς, καὶ ἐλέησον ἡμᾶς.

Τοὺς

Τοὺς ἀγραμμάτους Μαθητὰς τὸ Πνεῦμα τὸ Ἅγιον παιδευτὰς ἀνέδειξε, Χριστὲ ὁ Θεός, καὶ τῇ πολυφθόγγῳ ἁρμονίᾳ τῶν γλωσσῶν, τὴν πλάνην κατήργησεν ὡς Παντοδύναμος.

Μαρτυρικόν.

Ἱερεῖα ἔμψυχα, ὁλοκαυτώματα λογικά, Μάρτυρες Κυρίου, θύματα τέλεια Θεοῦ, Θεὸν γινώσκοντα, Θεῷ καὶ γινώσκόμενα, πρόβατα ὧν ἡ μάνδρα, λύκοις ἀνεπίβατος, πρεσβεύσατε καὶ ἡμᾶς συμποιμανθῆναι ὑμῖν, ἐπὶ ὕδατος ἀναπαύσεως.

Δόξα. καὶ νῦν.

Ῥῦσαι ἡμᾶς ἐκ τῶν ἀναγκῶν ἡμῶν, Μήτηρ Χριστοῦ τοῦ Θεοῦ, ἡ τεκοῦσα τὸν τῶν ὅλων Ποιητήν, ἵνα πάντες κράζωμέν σοι· Χαῖρε ἡ μόνη προστασία τῶν ψυχῶν ἡμῶν.

Τῇ ε. εἰς τὸν Ὄρθρον, μετὰ τὴν ά. στιχολ. Καθίσματα Ἀποστολικά.

Οἱ τῶν Ἀποστόλων Πρωτόθρονοι, καὶ τῆς Οἰκουμένης Διδάσκαλοι, τῷ Δεσπότῃ τῶν ὅλων πρεσβεύσατε, εἰρήνην τῇ Οἰκουμένῃ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Ταχὺ προκατάλαβε.

Φωσῆρας εἰς τὰ πέρατα, τοὺς Μαθητάς σου Χριστὲ, ἀνέδειξας ἐκλάμποντας, ἐν τῷ κηρύγματι, ψυχὰς καταυγάζοντας, πλάνην τὴν τῶν εἰδώλων, δι' αὐτῶν ἀμαυ-

Τῇ ε'. Εσπέρας εἰς τὸ Κύριε, ἐκέκραξα, σιχηρ. Σταυρώσ. Εδωκας σημείωσιν.

Ὅτε σε Σταυρούμενον, ἡ κτίσις πᾶσα ἑώρακεν, ἠλλοιοῦτο καὶ ἔτρεμεν, ἡ γῆ δὲ ἐσείετο, ὅλη κλονουμένη, μακρόθυμε Λόγε, τὸ καταπέτασμα ναοῦ, φόβῳ ἐσχίσθη ὑβριζομένου σου, καὶ πέτραι διερράγησαν, ἀπὸ τοῦ φόβου καὶ ἥλιος, τὰς ἀκτῖνας συνέσειλε, Παντὴν σε γινώσκοντα.

Ῥήγνυται χειρόγραφον, τὸ ἀπαιώνος νυγείσης σου τῆς πλευρᾶς πολυέλεε. Ἀδὰμ τοῦ Προπάτορος καὶ ἡ ἀπωσμένη, φύσις τῶν ἀνθρώπων, ῥανίσιν αἵματος τοῦ σοῦ, καθαγιάζεται ἀνακράζουσα· Δόξα τῇ δυναστείᾳ σου, δόξα τῇ θείᾳ σταυρώσει σου, Ἰησοῦ Παντοδύναμε, ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Δαιμόνων κλονούμενον, ταῖς προσβολαῖς καὶ εἰς βάραθρον ἀπωλείας ὠθούμενον, οἰκτείρησον Δέσποινα, καὶ στερέωσόν με, ἀρετῶν ἐν πέτρᾳ· καὶ τὰς βουλὰς τῶν δυσμενῶν, διασκεδάσασα καταξίωσον, ποιεῖν με τὰ προσάγματα, τοῦ σοῦ Υἱοῦ καὶ Θεοῦ ἡμῶν, ὅπως τύχω ἀρέσεως, ἐν ἡμέρᾳ τῆς κρίσεως.

Εἰς τὸν σίχ. σιχηρὰ Σταυρώσιμα

Ὅπλον ἀήττητον Χριστέ, τὸν Σταυρόν σου ἡμῖν δέδωκας· καὶ ἐν τούτῳ νικῶμεν, τὰς προσβολὰς τοῦ ἀλλοτρίου.

Πάντοτε ἔχοντες Χριστέ, τὸν Σταυρόν σου εἰς βοήθειαν, τὰς παγίδας τοῦ ἐχθροῦ, εὐχερῶς καταπατοῦμεν.

Ὁ ἐνδοξαζόμενος ἐν ταῖς μνείαις τῶν Ἁγίων σου, Χριστὲ ὁ Θεός, ὑπ' αὐτῶν δυσωπούμενος, κατάπεμψον ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. Ὁ ἐξ ὑψίστου κληθείς.

Μὴ ἐποδύρου μου Μῆτερ καθορῶσα, ἐν ξύλῳ κρεμάμενον, τὸν σὸν Υἱὸν καὶ Θεὸν, τὸν ἐφ' ὕδατων κρεμάσαντα, τὴν γῆν ἀσχέτως καὶ πᾶσαν Κτίσιν δημιουργήσαντα· καὶ γὰρ ἀναστήσομαι, καὶ δοξασθήσομαι· καὶ τὰ τοῦ Ἅδου βασίλεια συντρίψω σθένει, καὶ ἀφανίσω τούτου τὴν δύναμιν, καὶ τοὺς δεσμίους ἐκλυτρώσομαι, τῆς αὐτοῦ κακουργίας ὡς εὔσπλαγχνος, καὶ Πατρὶ τῷ ἰδίῳ, προσαγάγω ὡς φιλάνθρωπος.

Τῇ Παρασκευῇ, εἰς τὸν Ὄρθρον, μετὰ τὴν ά. στιχολογ. Καθίσμ. Σταυρώσ.

Ταχὺ προκατάλαβε, πρὲν δουλωθῆναι ἡμᾶς, ἐχθροῖς βλασφημοῦσί σε, καὶ ἀπειλοῦσιν ἡμῖν, Χριστὲ ὁ Θεὸς ἡμῶν· ἄνελε τῷ Σταυρῷ σου, τοὺς ἡμᾶς πολεμοῦντας, γνώτωσαν πῶς ἰσχύει, ὀρθοδόξων ἡ Πίστις, πρεσβείαις τῆς Θεοτόκου μόνε φιλάνθρωπε.

Σταυρῷ σε προσήλωσαν, οἱ Ἰουδαῖοι Σωτὴρ, δι' οὗ ἐκ τῶν Ἐθνῶν ἡμᾶς, ἀνεκαλέσω τὸ πρὶν, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἔκτεινας τὰς παλάμας, ἐν αὐτῷ τῇ βουλῇ σου, λόγχῃ δὲ τὴν πλευράν σου, κατεδέξω νυγῆναι, τῷ πλήθει τῶν Οἰκτιρμῶν σου μόνε Φιλάνθρωπε.

Δόξα

Δόξα, καὶ νῦν.

Παρθένε Πανάμωμε, Μήτηρ Χριστοῦ τοῦ Θεοῦ, ῥομφαία διῆλθέ σου, τὴν παναγίαν ψυχήν, ἡνίκα Σταυρούμενον, ἔβλεψας ἑκουσίως, τὸν Υἱὸν καὶ Θεόν σου, ὅπερ εὐλογημένη, δυσωποῦσα μὴ παύσῃ, συγχώρησιν πταισμάτων, ἡμῖν δωρήσασθαι.

Μετὰ τὴν ϛ΄. στιχολ. Καθίσματα Ταχὺ προκατάλαβε.

Σταυρὸν καὶ τὸν θάνατον, ὑπὲρ ἡμῶν ἀγαθέ, δι' ἄμετρον ἔλεος, ἑκὼν ὑπέμεινας, καὶ κρίσιν τὴν ἄδικον· ὅπως τῆς καταδίκης, καὶ ἀρχαίας κατάρας, πάντας ἐλευθερώσῃς, τοὺς ἀπάτῃ φθαρέντας· διό σου καὶ προσκυνοῦμεν, Λόγε τὴν Σταύρωσιν.

Μαρτυρικόν.

Σήμερον τὰ τῶν Ἀγγέλων στρατεύματα, ἐν τῇ μνήμῃ τῶν Ἀθλοφόρων παραγέγονε, τὰς τῶν πιστῶν διανοίας φωτίσαι, καὶ τὴν Οἰκουμένην τῇ χάριτι φαιδρῦναι· δι' αὐτῶν ὁ Θεὸς δυσωπούμενος, δώρησαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν.

Σταυρῷ σε ὑψούμενον, ὡς ἐθεάσατο, ἡ Ἄχραντος Μήτηρ σου, Λόγε Θεοῦ μητρικῶς, θρηνοῦσα ἐρθέγγετο, τί τὸ καινὸν καὶ ξένον τοῦτο θαῦμα Υἱέ μου; πῶς ἡ ζωὴ τῶν ὅλων, ὁμιλεῖς τῷ θανάτῳ, ζωῶσαι τοὺς θανέντας θέλων ὡς εὔσπλαγχνος.

Τὸ πρῶτ ἀπόστιχα τοῦ ἑσπερινοῦ.

Τῇ Παρασκευῇ Ἑσπέρας, εἰς τὸ Κύριε ἐκέκραξα, στιχηρὰ προσόμοια, Δεσποτικά. Ἦχος δ΄. Ἄκρυσιν.

Σύντριψον Κύριε ὁ Θεός μου τὰ θανατηφόρα παθη τῆς καρδίας μου· ἐὰν γάρ σου καταλύσῃς οἶκον τῆς σαρκὸς, καὶ κτίσῃς οἶκον τοῦ Πνεύματος, εἰς μάτην ἐστὶ φυλάσσων, ὁ πολεμῶν τὴν ψυχήν μου· Κύριε, πρὶν εἰς τέλος ἀπόλωμαι σῶσόν με.

Δῶρον καὶ μάστιγά μοι π ι δείας, τὸν ἐχθρὸν Οἰκτίρμων πρὸ τὸ συμφέρον ἐδώκας· τὸ γαρ κα κὸν αὐτοῦ συνεργεῖ μου, προαιρέ σει οὐκ ἀγαθῇ εἰς καλόν· ἐγὼ δ σοι οὐ προσφεύγω, δι' εὐχῆς εὐχα ρίστου· Κύριε, πρὶν εἰς τέλος ἀπό λωμαι, σῶσόν με.

Τῆς Θεοτόκου. Ὅμοιον.

Δέσποινα Δέσποινα λύτρωσα με, ἀπὸ τῶν αἰσχρῶν καὶ ῥυπαρῶν ἐνθυμήσεων· ὅτι μολύνουσι τῆ ψυχῆς μου, τὰς αἰσθήσεις πάσα καὶ τὰς τοῦ σώματος· διὸ Ἀγν δέομαί σου, ἐν μετανοίᾳ κραυγά ζων, Δέσποινα, πρὶν εἰς τέλος ἀπό λωμαι, σῶσόν με.

Δόξα, καὶ νῦν.

Ὦ διὰ σὲ θεοπάτωρ προφήτη Δαβὶδ, μελῳδικῶς περὶ σοῦ προ νεφώνησε, τῷ μεγαλειά σοι ποιή σαντι· παρέστη ἡ Βασίλισσα ἐ δεξιῶν σου· σὲ γὰρ Μητέρα πρόξε νον ζωῆς ἀνέδειξεν, ὁ ἀπάτωρ ἐ σοῦ ἐνανθρωπῆσαι εὐδοκήσας Θεός ἵνα τὴν ἑαυτοῦ ἀναπλάσῃ εἰκόνα φθαρεῖσαν τοῖς πάθεσι, καὶ τὸ πλα νηθὲν

νηθὲν, ὀρειάλωτον εὑρών, πρόβατον τοῖς ὤμοις ἀναλαβών, τῷ Πατρὶ προσαγάγῃ· καὶ τῷ ἰδίῳ θελήματι, ταῖς οὐρανίαις συνάψῃ δυνάμεσι· καὶ σώσῃ Θεοτόκε τὸν Κόσμον. Χριστὸς ὁ ἔχων τὸ μέγα καὶ πλούσιον ἔλεος

Εἰς τὸν στίχον. στιχηρὰ Μαρτυρικά.

Ὁ τῶν Ἁγίων Μαρτύρων δεξάμενος τὴν ὑπομονὴν, καὶ παρ' ἡμῶν δέξου τὴν ὑμνῳδίαν Φιλάνθρωπε, δωρούμενος ἡμῖν, ταῖς αὐτῶν ἱκεσίαις τὸ μέγα ἔλεος.

Ἱερεῖα ἔμψυχα, ὁλοκαυτώματα λογικά, Μάρτυρες Κυρίου, θύματα τέλεια Θεοῦ, Θεὸν γινώσκοντα, καὶ Θεῷ γινωσκόμενα, πρόβατα, ὧν ἡ μάνδρα λύκοις ἀνεπίβατος, πρεσβεύσατε καὶ ἡμᾶς συμποιμανθῆναι ἡμῖν ἐπὶ ὕδατος ἀναπαύσεως.

Νεκρώσιμον.

Μετὰ Πνευμάτων δικαίων τετελειωμένων, τὰς ψυχὰς τῶν δούλων σου Σῶτερ ἀνάπαυσον, φυλάττων αὐτὰς εἰς τὴν μακαρίαν ζωὴν, τὴν παρασοὶ Φιλάνθρωπε.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ἔχοντές σε Θεοτόκε ἐλπίδα καὶ προστασίαν, ἐχθρῶν ἐπιβουλὰς οὐ πτοούμεθα, ὅτι σώζεις τὰς ψυχὰς ἡμῶν.

Τῷ Σαββάτῳ, εἰς τὸν Ὄρθρον, μετὰ τὴν ε'. Στιχολ. Καθίσματα Μαρτυρικά.

Ταχὺ προκατάλαβε.

Σταυρῷ ὁπλισάμενοι, οἱ Ἀθλοφόροι σου, ἐνίκησαν τὰ μηχανήματα, τοῦ ἀρχεκάκου ἐχθροῦ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἔλαμψαν ὡς φωστῆρες, τοὺς βροτοὺς ὁδηγοῦντες· νέμουσι τὰς ἰάσεις, τοῖς ἐν πίστει αἰτοῦσιν· αὐτῶν ταῖς ἱκεσίαις σῶσον τὰς ψυχὰς ἡμῶν.

Τῶν ἐν ὅλῳ τῷ Κόσμῳ Μαρτύρων σου, ὡς πορφύραν καὶ βύσσον τὰ αἵματα, ἡ Ἐκκλησία σου στολισαμένη, δι' αὐτῶν βοᾷ σοι Χριστέ ὁ Θεὸς· Τῷ λαῷ σου τοὺς Οἰκτιρμούς σου κατάπεμψον, εἰρήνην τῇ πολιτείᾳ σου δώρησαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν.

Τὸ ἀπ αἰῶνος ἀπόκρυφον, καὶ Ἀγγέλοις ἄγνωστον Μυστήριον, διὰ σοῦ Θεοτόκε, τοῖς ἐπὶ γῆς πεφανέρωται, Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος· δι' οὗ ἀναστήσας τὸν πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

Μετὰ τὸν Ἅμωμον. Καθ. Μαρτυρ.

Σήμερον τὰ τῶν Ἀγγέλων στρατεύματα, ἐν τῇ μνήμῃ τῶν Ἀθλοφόρων παραγέγονε. τὰς τῶν πιστῶν διανοίας φωτίσαι, καὶ τὴν Οἰκουμένην τῇ χάριτι φαιδρῦναι· δι' αὐτῶν ὁ Θεὸς δυσωπούμενος, δώρησαι ἡμῖν τὸ μέγα ἔλεος.

Νεκρώσιμον. Ταχὺ προκατάλαβε.

Ψυχὰς ἃς μετέστησας, ἐκ τῶν πρόσκαίρων πρός σὲ, ἀνάπαυσον Κύριε, ὡς Παντοδύναμος, καὶ μόνος Ἀθάνατος· ἄνες ἄφες, Οἰκτίρμων, τὰ αὐτοῖς πεπραγμένα· ἐλέησον Ἐλεήμων. τῶν χειρῶν σου τὰ ἔργα, πρεσβείαις τῆς Θεοτόκου, μόνε φιλάνθρωπε.

Ὅμοιον.

Τοῦ βίου τὸ πρόσκαιρον, διαπερά-

περάσαντες, μετέστησαν Κύριε, πρὸς σὲ τὸν Εὔσπλαγχνον, πιστῶς οἰβιώσαντες, οὓς περ ἐπὶ τὸν τόπον, τῆς ἀνέσεως τάξον· σῆσον ἐκ δεξιῶν σου, ἐν ἡμέρᾳ τῆς δίκης, τὰ τούτοις ἡμαρτημένα παραβλεψάμενος.

Πιστῶν ἱλαστήριον, σὺ ἀνεδείχθης Ἀγνή, κοινὸν καταφύγιον, καὶ μεσιτεία θερμὴ, Παρθένε Θεόνυμφε· ὅθεν καὶ τῶν ἐν πίστει πρὸς Θεὸν μεταστάντων, φάνηθι νῦν μεσίτης, καὶ σωτήριος πύλη, πρὸς πλάτος τοῦ Παραδείσου τούτους εἰσάγουσα.

Εἰς τὸν στίχ. τοῦ κυρίου Θεοφάνους.
Ἔδωκας σημείωσιν.

Ὄντως φοβερώτατον, τὸ τοῦ Θανάτου μυστήριον, πῶς ψυχὴ ἐκ τοῦ σώματος, βιαίως χωρίζεται ἐκ τῆς ἁρμονίας, καὶ τῆς συμφυΐας ὁ φυσικώτατος θεσμὸς, θείῳ βουλήματι ἀποτέμνεται· διό σε ἱκετεύομεν, τοὺς μεταστάντας ἀνάπαυσον, ἐν σκηναῖς τῶν δικαίων σου ζωοδότα φιλάνθρωπε.

Στίχ. Μακάριοι οὓς ἐξελέξω.

Τύπος ἀναδέδεικται, τῶν πιστευόντων ὁ θάνατος, σοῦ τεθέντος ἐν μνήματι, τοῦ πάντων Δεσπόζοντος, καὶ τὸ τοῦ θανάτου, κράτος λελυκότος, καὶ καταργήσαντος αὐτοῦ, τὴν δυναστείαν τὴν πολυχρόνιον· διό σε ἱκετεύομεν, τοὺς μεταστάντας ἀνάπαυσον, ἐν χαρᾷ καὶ φαιδρότητι, εὐεργέτα Σωτὴρ ἡμῶν.

Στιχ. Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς.

Σὺ δικαιοσύνην με, ἁγιασμὸς ἡμῖν γέγονας, καὶ ψυχῶν ἀπολύτρωσις. Πατρὶ γὰρ προσήγαγες δεδικαιωμένους, καὶ λελυτρωμένους, ἀναδεξάμενος ἡμῶν, τὸ ὀφειλόμενον ἐπιτίμιον· καὶ νῦν ἐκδυσωποῦμέν σε, τοὺς μεταστάντας ἀνάπαυσον, ἐν φωτὶ τῶν Ὁσίων σου, καὶ δικαίων λαμπρότητι.

Δόξα, καὶ νῦν. Θεοτοκίον

Ῥήσεσιν ἑπόμενοι, τῶν Θεηγόρων Πανάμωμε, Θεοτόκον φρονοῦμέν σε. Θεὸν γὰρ ἐγέννησας, σεσωματωμένον, ἀπερινοήτως, τὸν λυτρωσάμενον ἡμᾶς, δεδουλωμένους τοῖς παραπτώμασι, καὶ νῦν αὐτὸν δυσώπησον, τοὺς μεταστάντας οἰκέτας σου, ταῖς οἰκείαις ἐλλάμψεσι, καταυγάσαι Πανάχραντε.

Οἱ Μακαρισμοί.

Διὰ ξύλου ὁ Ἀδὰμ, Παραδείσου γέγονεν ἄποικος· διὰ ξύλου δὲ Σταυροῦ, ὁ Λῃστὴς Παράδεισον ᾤκησεν. Ὁ μὲν γὰρ γευσάμενος, ἐντολὴν ἠθέτησε τοῦ ποιήσαντος, ὁ δὲ συσταυρούμενος, Θεὸν ὡμολόγησε τὸν κρυπτόμενον· Μνήσθητί μου βοῶν ἐν τῇ βασιλείᾳ σου.

Πυρπολούμενοι Χριστοῦ, τῇ ἀγάπῃ Ἅγιοι Μάρτυρες, δυσσεβείας τὴν πυράν, ὁροσισμῷ ἀγώνων ἐσβέσατε, καὶ λύχνοι πολύφωτοι, ἐκκλησίας ὤφθητε ἀπελαύνοντες, τὸ σκότος ἐν χάριτι, τῶν νόσων καὶ θλίψεων, τῶν ψυχῶν ἡμῶν. ὅθεν χρεωστικῶς πάντας ἡμᾶς σέβομεν.

Ἰε-

Γεράρχαι Ἱεροὶ, Προφητῶν ἐν-
ων κατάλογος, καὶ Οσίων οἱ
ροὶ, καὶ γυναικῶν Ἁγίων ὁμήγυ-
ς, Θεὸν θεραπεύσαντες, ἐναρέτοις
άξεσιν ἐδοξάσθησαν· αὐτοὺς μα-
ρίσωμεν, ταῖς τούτων δεήσεσι
σωποῦντες τυχεῖν, τῆς αἰωνίου
ξης τε καὶ λαμπρότητος.

Ἔνθα λάμπει σου τὸ φῶς, ἔνθα
ροὶ Ἁγίων αὐλίζονται, οὗ ἀπέ-
α στεναγμὸς, καὶ ὀδύνη τάξον
ὺς δούλους σου, τοὺς προτελευ-
σαντας, καὶ λιπόντας βίον τὸν
λυώδυνον, ὑμνεῖν σου τὴν ἄφα-
ν, Σωτὴρ ἀγαθότητα παριδὼν
τῶν, τὰ πλημμελήματα, ἅπερ
πράξαντο.


Δόξα.

Ἡ ἀχώριστος Τριὰς, ἡ ἐν Πα-
τρὶ, Υἱῷ, καὶ τῷ Πνεύματι, ἑνου-
μένη ὁλικῶς, καὶ μὴ συγχεομένη
ταῖς ἰδιότησι, Μονὰς Τρισυπόστατε,
τοὺς θανέντας πίστει ἐν σοὶ ἀνάπαυ-
σον, λιταῖς τῶν Ἁγίων σου, Μαρτύ-
ρων Οσίων τε καὶ σεπτῶν Προφη-
τῶν, νέμουσα ἵλασμὸν τούτοις καὶ
συγχώρησιν.

Καὶ νῦν Θεοτοκίον.

Ὃν ἐγέννησε Πατὴρ, πρὸ ἑω-
σφόρου Λόγον συνέλαβες, καὶ ἐκύ-
ησας σαρκὶ, γεγονότα ἄνθρωπον
τέλειον, δυσὶ γνωριζόμενον, ἐνερ-
γείαις Ἄχραντε, καὶ θελήσεσιν·
αὐτὸν οὖν ἱκέτευε, ὡς Κτίστην καὶ
Κύριον οἰκτειρῆσαι ἡμᾶς, τοὺς σὲ
ὑμνοῦντας Κόρη Θεονύμφευτε.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας



Τῷ Σαββάτῳ ἑσπέρας, ὡς διετάχθη ἐν τῷ ἀ. ἤχῳ, Φιλ. 126 εἰς τὸ Κύριε ἐκέκραξα, στιχ. ἀναστάσιμα. ἦχος πλ. ἀ.

Διὰ τοῦ τιμίου σου σταυροῦ Χριστέ, Διάβολον ἤσχυνας, καὶ διὰ τῆς Ἀναστάσεώς σου, τὸ κέντρον τῆς ἁμαρτίας ἤμβλυνας, καὶ ἔσωσας ἡμᾶς ἐκ τῶν πυλῶν τοῦ θανάτου. Δοξάζομέν σε Μονογενές.

Ὁ τὴν ἀνάστασιν διδοὺς τῷ γένει τῶν ἀνθρώπων, ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη. Εφριξαν τοῦτον οἱ ἄρχοντες τοῦ ᾅδου, καὶ ἐπήρθησαν πύλαι ὀδυνηραί. εἰσελήλυθε γὰρ ὁ βασιλεὺς τῆς δόξης Χριστὸς

λέγων τοῖς ἐν δεσ
καὶ τοῖς ἐν τῷ σκό
πτεσθε.

Μέγα θαῦμα,
Κτίσις διὰ φιλα
παθῶν, ἀνέστη ὁ Α
πατριαὶ τῶν Εθνῶν
σκυνήσωμεν· τῇ γὰρ
χνίᾳ ἐκ πλάνης ῥ
σιν ὑποσάσεσιν, ἐ
μεμαθήκαμεν.

Ἐσπερινὴν προ
φερόμεν σοι τῷ ἀ
τῷ ἐπὶ τέλει τῶν
ἐσόπτρῳ διὰ σαρκὸ
κόσμῳ, καὶ μέχρ
θόντι, καὶ τὸ ἐκεῖσ
τι, καὶ τὸ φῶς τ

τοῖς ἔθνεσι δείξαντι· φωτοδότα Κύριε δόξα σοι.

Τὸν ἀρχηγὸν τῆς σωτηρίας ἡμῶν, Χριστὸν δοξολογήσωμεν· αὐτοῦ γὰρ ἐκ νεκρῶν ἀναστάντος, κόσμος ἐκ πλάνης σέσωται, χαίρει χορὸς Ἀγγέλων, φεύγει Δαιμόνων πλάνη, Ἀδὰμ πεσὼν ἀνίσταται, Διάβολος κατήργηται.

Οἱ τῆς κενῳδίας ἐνηχοῦντο ὑπὸ τῶν παρανόμων· Καλύψατε Χριστοῦ τὴν ἔγερσιν, καὶ λάβετε ἀργύρια, καὶ εἴπατε ὅτι, ἡμῶν κοιμωμένων, ἐκ τοῦ μνημείου ἐσυλήθη ὁ νεκρός. Τίς εἶδε; τίς ἤκουσε νεκρὸν κλαπέντα ποτέ, μᾶλλον ἐσμυρνισμένον καὶ γυμνόν, καταλιπόντα καὶ ἐν τῷ τάφῳ τὰ ἐνταφια αὐτοῦ; Μὴ πλανᾶσθε Ἰουδαῖοι· Μάθετε τὰς ῥήσεις τῶν Προφητῶν, καὶ γνῶτε, ὅτι αὐτός ἐστιν ἀληθῶς, ὁ Λυτρωτὴς τοῦ κόσμου καὶ παντοδύναμος.

Κύριε ὁ τὸν ᾅδην σκυλεύσας, καὶ τὸν θάνατον πατήσας, Σωτὴρ ἡμῶν, ὁ φωτίσας τὸν κόσμον τῷ σταυρῷ τῷ τιμίῳ, ἐλέησον ἡμᾶς.

Δόξα, καὶ νῦν Θεοτοκίον.

Ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ, τῆς ἀπειρογάμου Νύμφης εἰκὼν διεγράφη ποτέ. Ἐκεῖ Μωϋσῆς διαιρέτης τοῦ ὕδατος· ἐνθάδε Γαβριὴλ ὑπηρέτης τοῦ θαύματος. Τότε τὸν βυθὸν ἐπέζευσεν ἀβρόχως Ἰσραήλ· τὸν δὲ τὸν Χριστὸν ἐγέννησεν ἀσπόρως ἡ Παρθένος. Ἡ θάλασσα μετὰ τὴν πάροδον τοῦ Ἰσραὴλ, ἔμεινεν ἔβατος· ἡ ἄμεμπτος μετὰ τὴν τόκησιν τοῦ Ἐμμανουὴλ, ἔμεινεν ἄφθορος. Ὢν καὶ πρὸ ὢν, καὶ φανεὶς ὡς ἄνθρωπος, Θεὸς ἐλέησον ἡμᾶς.

Εἰσοδος. Φῶς ἱλαρόν. κ. τ. λ.
ὡς εἰς τὸν α. ἦχ. πλ. Φῶ. **127.**
Εἰς τὸν στίχον, Στιχηρά.

Σὲ τὸν σαρκωθέντα Σωτῆρα Χριστὸν, καὶ τῶν οὐρανῶν μὴ χωρισθέντα, ἐν ὠδαῖς ἀσμάτων μεγαλύνομεν· ὅτι σταυρὸν καὶ θάνατον κατεδέξω, διὰ τὸ γένος ἡμῶν, ὡς φιλάνθρωπος Κύριος, σκυλεύσας ᾅδου πύλας, τριήμερος ἀνέστης, σώζων τὰς ψυχὰς ἡμῶν.

Τὰ κατὰ Λουκᾶν.

Νυγείσης σου τῆς πλευρᾶς Ζωοδότα, κρουνοὺς ἀρέσεως πᾶσιν ἐξέβλυσας, ζωῆς καὶ σωτηρίας. Σαρκὶ δὲ θάνατον κατεδέξω, ἀθανασίαν ἡμῖν δωρούμενος· οἰκήσας γάρ ὦ δέ, ἡμᾶς ἠλευθέρωσας, συνανιστήσας αὐτῷ, ἐνδόξως ὡς Θεός. Διὰ τοῦτο βοῶμεν· Φιλάνθρωπε Κύριε δόξα σοι.

Ξένη σου ἡ σταύρωσις, καὶ ἡ ἐν Ἅιδου κάθοδος φιλάνθρωπε ὑπάρχει. Σκυλεύσας γὰρ αὐτὸν, καὶ τοὺς πάλαι δεσμίους συναναστήσας ἑαυτῷ, ἐνδόξως ὡς Θεὸς, τὸν παράδεισον ἀνοίξας, ἀπολαβεῖν τοῦτου ἠξίωσας. Διὸ καὶ ἡμῖν τοῖς δοξάζουσι, τὴν σὴν τριήμερον ἔγερσιν, δώρησαι ἱλασμὸν ἁμαρτιῶν, παράδεισου οἰκήτορας, καταξιῶν ὡς μόνος εὔσπλαγχνος.

Ὁ δι' ἡμᾶς σαρκὶ πάθος δεξάμενος, καὶ τριήμερος ἐκ νεκρῶν ἀναστάς, τῆς σαρκὸς ἡμῶν τὰ πάθη θε-

θη θεράπευσον· καὶ ἀνάςησον ἐκ πταισμάτων χαλεπῶν, φιλάνθρωπε καὶ σῶσον ἡμᾶς.

Δόξα, καὶ νῦν, Θεοτοκίον.

Ναὸς καὶ πύλη ὑπάρχεις, παλάτιον καὶ θρόνος τοῦ Βασιλέως, παρθένε πάνσεμνε· δι' ἧς ὁ Λυτρωτής μου Χριστὸς ὁ Κύριος, τοῖς ἐν σκότει καθεύδουσιν ἐπέφανεν, Ἥλιος ὑπάρχων δικαιοσύνης, φωτίσαι θέλων οὓς ἔπλασε, κατ' εἰκόνα ἰδίαν χειρὶ τῇ ἑαυτοῦ. Διὸ Πανύμνητε, ὡς μητρικὴν παῤῥησίαν, πρὸς αὐτὸν κεκτημένη, ἀδιαλείπτως πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον.

Τὸν συνάναρχον Λόγον Πατρὶ καὶ Πνεύματι, τὸν ἐκ Παρθένου τεχθέντα εἰς σωτηρίαν ἡμῶν, ἀνυμνήσωμεν πιστοὶ καὶ προσκυνήσωμεν· ὅτι ἠυδόκησε σαρκὶ, ἀνελθεῖν ἐν τῷ σταυρῷ καὶ θανάτου ὑπομεῖναι, καὶ ἐγεῖραι τοὺς τεθνεῶτας, ἐν τῇ ἐνδόξῳ Ἀναςάσει αὐτοῦ.

Θεοτοκίον.

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος· χαῖρε τεῖχος καὶ σκέπη τῶν προσρεχόντων εἰς σέ· χαῖρε ἀχείμαςε λιμὴν καὶ ἀπειρόγαμε· ἡ τεκοῦσα ἐν σαρκὶ τὸν ποιητήν σου καὶ Θεὸν, πρεσβεύουσα μὴ ἐλλίπῃς, ὑπὲρ τῶν ἀνυμνούντων, καὶ προσκυνούντων τὸν τόκον σου.

Τῇ Κυριακῇ, ἐν τῷ Μεσονυκτικῷ.

Κανὼν Τριαδικὸς Μητροφάνους,

χώρησιν, καὶ τὴν σωτηρίαν ὡς εὔσπλαγχνος.

Πατέρα, καὶ τὸν Υἱὸν, καὶ Πνεῦμα δοξάζομεν, ἐν ἀπαραλλάκτῳ μορφῇ Θεότητος, σὲ τὸν ἑνικὸν καὶ τριλαμπῆ, Κύριον τῶν ἁπάντων, ὡς οἱ Προφῆται καὶ Ἀπόστολοι, παρὰ σοῦ σαφῶς ἐδιδάχθησαν.

Θεοτοκίον.

Ἔφάνης τῷ Μωσῇ ἐν βάτῳ ὡς Ἄγγελος, βουλῇ τῆς μεγάλης τοῦ παντοκράτορος, τὴν σὴν ἐκ παρθένου προδηλῶν σάρκωσιν, Θεοῦ Λόγε, δι' ἧς ἡμᾶς μετεστοιχείωσας, καὶ πρὸς οὐρανοὺς ἀνεβίβασας.

Κάθισμα. Τὸν συνάναρχον Λόγον.

Ἐλεήμων ὑπάρχεις Τριὰς ἀμέριστε· ἐλεεῖς γὰρ τοὺς πάντας ὡς παντοδύναμος, καὶ πανοικτίρμων συμπαθὴς καὶ πολυέλεος· διὸ προσφεύγομεν πρὸς σὲ οἱ ἁμαρτήμασι πολλοῖς, βαρούμενοι κεκραγότες: Ἵλάσθητι τοῖς σοῖς δούλοις, καὶ ῥῦσαι πάντας πάσης κολάσεως.

Δόξα, καὶ νῦν Θεοτοκίον Ὅμοιον.

Παναγία Παρθένε ἡμᾶς ἐλέησον, τοὺς προσφεύγοντας πίστει εἰς σὲ τὴν εὔσπλαγχνον, καὶ αἰτουμένους τὴν θερμήνσου νῦν ἀντίληψιν· δύνασαι γὰρ ὡς ἀγαθή, τοὺς πάντας σώζειν ὡς οὖσα Μήτηρ Θεοῦ τοῦ ὑψίστου, ταῖς μητρικαῖς σου πρεσβείαις, ἀεὶ χρωμένη Θεοχαρίτωτε.

Ὠδὴ Δ΄. Τὴν θείαν ἐννοήσας σου κένωσιν.

Μυεῖται τῆς μιᾶς Κυριότητος, τὸ τριφαὲς ὁ Δανιὴλ, Χριστὸν κριτὴν θεασάμενος, πρὸς τὸν Πατέρα ἰόντα, καὶ Πνεῦμα τὸ προφαῖνον τὴν ὅρασιν. Δίς.

Ηλίνοις τοὺς ὑμνοῦντάς σε σώμασι, τὸν ὑπερούσιον Θεὸν, Τριαδικὸν ὑποσάσει, μοναδικόν τε τῇ φύσει, τῆς δόξης τῶν Ἀγγέλων ἀξίωσον.

Θεοτοκίον.

Τὸ ὄρος τὸ βασὺ καὶ κατάσκιον ὃ εἶδε πρὶν ὁ Ἀββακούμ, ἐξ οὗ προῆλθεν ὁ ἅγιος, τὸν δυσθεώρητον Τόκον, ἐδήλου σῆς Παρθένε συλλήψεως.

Ὠδὴ Ε΄. Ὁ ἀναβαλλόμενος.

Ὁ διʼ ἀγαθότητα κτίσας τὸν ἄνθρωπον, καὶ κατʼ εἰκόνα τὴν σὴν ποιήσας, ἐν ἐμοὶ κατοίκησον, τρίρωτε Θεέ μου, ὡς ἀγαθὸς καὶ εὔσπλαγχνος

Σὺ με καθοδήγησον, μονὰς τρισήλιε, πρὸς τρίβους θείας τῆς σωτηρίας· καὶ τῆς σῆς ἐλλάμψεως, πλήρωσον ὡς φύσει, Θεὸς ἀπειροδύναμος.

Φῶς τὸ ἀδιαίρετον τῆς μιᾶς φύσεως, μεμερισμένον ταῖς χαρακτῆρσι, τριλαμπὲς ἀνέσπερον, τὴν ἐμὴν καρδίαν, καταύγασον ταῖς αἴγλαις σου. Θεοτοκίον.

Ὡς κατεῖδε πάλαι σε, ἁγνὴ πανάχραντε, ὁ Προφήτης βλέπουσαν πύλην, πρὸς τὸ φῶς τὸ ἄδυτον, εὐθύς σε ἐπέγνω, Θεοῦ κατοικητήριον.

Ὠδὴ γ'. Μαινομένην κλύδωνι.

Τριφαὴς ὑπάρχουσα, Θεαρχία ὑποσατικῶς, ἐνιαία πέφυκας ὡς σύμμορφος, καὶ ἰσουργὸς, καὶ κατ' οὐσίαν καὶ βούλησιν. Δίς.

Ἱκανῶς ἐδήλωσεν, ὁ Προφήτης ᾄδων τῷ Πατρί: Σῷ φωτὶ ὀψόμεθα τῷ Πνεύματι, φῶς τὸν Υἱόν, ἕνα Θεὸν τὸν τρισήλιον. Θεοτοκίον.

Τῶν πταισμάτων λύτρωσιν, καὶ κινδύνων Δέσποτα Θεέ, ἐνικὲ καὶ τρίφωτε, κατάπεμψον σοῖς ὑμνηταῖς, πρεσβείαις τῆς Θεομήτορος.

Κάθισμα. Τὸν συνάναρχον Λόγον.

Τὸ τρισήλιον σέλας δοξολογήσωμεν, καὶ ἁπλῆν τὴν Τριάδα νῦν προσκυνήσωμεν· ὅτι ἐφώτισεν ἡμᾶς καὶ ἠλέησε· καὶ ἐρρύσατο φθορᾶς, τὸ γένος ἅπαν τῶν βροτῶν, λυτρώσασα ἐκ τῆς πλάνης, εἰδώλων πάντα τὸν Κόσμον, καὶ βασιλείαν ἡμῖν παρέσχετο.

Δόξα, καὶ νῦν. Θεοτοκίαν. Ομοιον.

Ἀπορήσας ἐκ πάντων πρὸς σὲ κατέφυγον, τὴν ἐλπίδα ἀπάντων καὶ τὸ προσφύγιον, ἁμαρτωλῶν καὶ ταπεινῶν, κράζων τὸ, Ἥμαρτον· ἀλλ' ἐπιμένω τοῖς χείροσιν, ἀνεισθητῶν ὁ ἄθλιος· ἐλέησόν με πρὸ τέλους, ἐπίρρεψόν με καὶ ῥῦσαι, πάσης κολάσεως τὸν ἀνάξιον.

Ὠδὴ ζ'. Ο ὑπερυψούμενος.

Ὡς ἐλέους ἄβυσσον, κεκτημένος Κύριε, καὶ πέλαγος ἄπειρον οἰκτιρμῶν ἐλέησον, τοὺς ἕνα σε ὑμνοῦντας, τριλαμπῆ Θεὸν τῶν ὅλων. Δίς.

Τὸν ἀπερινόητον, ἐνικὸν καὶ τρίφωτον, Θεόν σε καὶ Κύριον, ὑμνοῦντες βοῶμέν σοι: Παράσχου τοῖς σοῖς δούλοις, ἵλασμὸν ἁμαρτημάτων.

Θεοτοκίον.

Ῥάβδωμον ἐβλάστησας, τῷ Πατρὶ συνάναρχον, ἄνθος τῆς Θεότητος, βλαστὸν συναίδιον, Παρθένε τὸν διδόντα, τὴν ζωὴν πᾶσιν ἀνθρώποις.

Ὠδὴ η'. Σοὶ τῷ παντουργῷ.

Ἵνα τῆς μιᾶς, ἀνακαλύψῃς πάλαι, σαφῶς κυριότητος, τριττὴν ὑπόστασιν, ὤφθης Θεέ μου ἐν σχήματι ἀνθρώπων, Ἀβραὰμ ὑμνοῦντι σὸν κράτος ἐνιαῖον. Δίς.

Σὺ με πρὸς τὰς σὰς, Θεουργικὰς ἀκτῖνας δέρκειν καταξίωσον, φῶς τὸ ἀπρόσιτον, Πάτερ οἰκτίρμων, καὶ Λόγε, καὶ τὸ Πνεῦμα. τοῦ εὐαρεστεῖν σοι ἀεὶ Κύριε πάντων.

Θεοτοκίον.

Ἔγραψας ἡμῖν τῆς τρισηλίου δόξης, τὸν ἕνα πανύμνητε, Χριστὸν τὸν Κύριον, πάντας μυοῦντα τὴν μίαν Θεαρχίαν, ἐν τρισὶ προσώποις, ὑμνεῖν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ησαΐα χόρευε.

Ἀλλιαί σε βρότειαι, κατ' ἀξίαν ἄναρχε Μονὰς, οὐ σθένουσιν ὑμνεῖν, πλὴν ὡς ἐφικτὸν, τολμῶντες ἐκ πίστεως, θεαρχικὴ σύνθρονε Τριὰς, δόξαν προσφέρομεν, τῷ σῷ κράτει καὶ τὴν αἴνεσιν. Δίς.

Ἰσορρόπῳ δόξῃ σου, τὸν Μονάρχην.

Δημοσία Κεντρική Βιβλιοθήκη Βόλου

χὴν τρίρωτον Θεὸν, δοξάζει τὰ Χερουβὶμ καὶ τὰ Σεραφὶμ, ἀχράντοις ἐν στόμασι μεθ' ὧν ἡμᾶς τοὺς ἁμαρτωλοὺς, πρόσδεξαι Κύριε, τὸ σὸν κράτος μεγαλύνοντας.

Θεοτοκίον.

Ὡς Ἀγρὶ καὶ Ἄμωμος, καὶ παρθένος τέτοκας Υἱὸν, λυτρούμενον ἡμᾶς ἀπὸ πειρασμῶν, Θεὸν ἀναλλοίωτον. Ἀλλὰ καὶ νῦν ἄφεσιν ἡμῖν, τῶν παραπτώσεων, τοῦτον δοῦναι καθικέτευε.

"Ορθρος

Τὰ λοιπὰ καὶ τὰ ἀποστ. ζητ. εἰς Φυλ 87. Εἰς τὸν Ὄρθρον, μετὰ τὸν ἑξάψαλμον τὸ, Θεὸς Κύριος τὸ Ἀπολυτίκιον, ἤτοι: Τροπάριον δ΄. τὸ Θεοτοκίον ἅπαξ. Τὸ Ψαλτήριον, καὶ μετὰ τὴν ά. αὐτοῦ στιχολογ. Καθίσματα.

Τὸν συναναρχον Λόγον.

℣ Τὸν σταυρὸν τοῦ Κυρίου ἐγκωμιάσωμεν, τὴν ταφὴν τὴν ἁγίαν ὕμνοις τιμήσωμεν, καὶ τὴν Ἀνάστασιν αὐτοῦ ὑπερδοξάσωμεν· ὅτι συνήγειρε νεκροὺς ἐκ τῶν μνημάτων ὡς Θεὸς, σκυλεύσας κράτος θανάτου, καὶ ἰσχὺν Διαβόλου, καὶ τοῖς ἐν ᾅδῃ ρῶς ἀνέτειλε.

Δόξα

℣ Κύριε, νεκρὸς προσηγορεύθης, ὁ νεκρώσας τὸν θάνατον· ἐν μνήματι ἐτέθης, ὁ κενώσας τὰ μνήματα, ἄνω σρατιῶται, τὸν τάφον ἐφύλαττον, κάτω τοὺς ἀπ' αἰῶνος νεκροὺς ἐξανέσησας, παντοδύναμε, καὶ ἀκατάληπτε, Κύριε δόξασοι.

Καὶ νῦν. Θεοτοκίον.

℣ Χαῖρε ἅγιον ὄρος καὶ θεοβάδιστον· χαῖρε ἔμψυχε βάτε καὶ ἀκατάσλεκτε· χαῖρε ἡ μόνη πρὸς Θεὸν Κόσμου γέφυρα, ἡ μετάγουσα θνητοὺς πρὸς τὴν αἰώνιον ζωήν· χαῖρε ἀκήρατε Κόρη, ἡ ἀπειράνδρως τεκοῦσα, τὴν σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Μετὰ τὴν β΄. στιχολογ. Καθίσματα.

℣ Κύριε, μετὰ τὴν τριήμερόν σου Ἀνάστασιν, καὶ τὴν τῶν Ἀποστόλων προσκύνησιν, ὁ Πέτρος ἐβόα σοι: Γυναῖκες ἀπετόλμησαν, κἀγὼ ἐδειλίασα. Ληστὴς ἐθεολόγησε, κἀγὼ ἠρνησάμην σε· ἄρα καλέσεις με τοῦ λοιποῦ μαθητήν; ἢ πάλιν δείξεις με ἁλιέα βυθοῦ. Ἀλλὰ μετανοοῦντα με, δέξαι, ὁ Θεὸς, καὶ σῶσόν με. Δόξα

℣ Κύριε, ἐν μέσῳ σε προσήλωσαν, οἱ παράνομοι τῶν καταδίκων· καὶ λόγχῃ τὴν πλευράν σου ἐξεκέντησαν, ὦ Ἐλεήμων· ταφὴν δὲ κατεδέξω, ὁ λύσας ᾅδου τὰς πύλας, καὶ ἀνέσης τριήμερος· ἔδραμον γυναῖκες ἰδεῖν σε, καὶ ἀπήγγειλαν Ἀποστόλοις τὴν ἔγερσιν. Ὑπερυψούμενε Σωτὴρ· ὃν ὑμνοῦσιν Ἄγγελοι, εὐλογημένε Κύριε δόξασοι.

Καὶ νῦν. Θεοτοκίον.

℣ Ἀπειρόγαμε Νύμφη Θεογενήτρια ἡ τῆς Εὔας τὴν λύπην χαροποιήσασα, ἀνυμνοῦμεν οἱ πιστοὶ, καὶ προσκυνοῦμέν σε· ὅτι ἀνήγαγες ἡμᾶς, ἐκ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐκ τῆς ἀρχαίας ἀρᾶς. Καὶ νῦν δυσώπει ἀπαύστως, πανύμνητε Παναγία, εἰς τὸ σωθῆναι ἡμᾶς.

Μετὰ τὸν Ἄμωμον· τὰ εὐλογητάρια ἡ αἴτησις, καὶ ἡ Ὑπακοή.

Ἀγγελικῇ ὁράσει τὸν νοῦν ἐκθαμβούμεναι, καὶ Θεϊκῇ ἐγέρσει τὴν ψυχὴν φωτιζόμεναι, αἱ Μυροφόροι τοῖς Ἀποστόλοις εὐηγγελίζοντο· Ἀναγγείλατε ἐν τοῖς ἔθνεσι, τὴν Ἀνάστασιν τοῦ Κυρίου, συνεργοῦντος τοῖς θαύμασι, καὶ παρέχοντος ἡμῖν τὸ μέγα ἔλεος.

Οἱ Ἀναβαθμοί. Ἀντίφωνον ά.

Ἐν τῷ θλίβεσθαί με Δαβιτικῶς· ἄδω σοι Σωτήρ μου· Ῥῦσαί μου τὴν ψυχὴν ἐκ γλώσσης δολίας.

Τοῖς ἐρημικοῖς, ζωὴ μακαρία ἐστί, Θεϊκῷ ἔρωτι πτερουμένοις.

Δόξα καὶ νῦν

Ἁγίῳ πνεύματι, περικρατεῖται πάντα τὰ ὁρατά τε σὺν τοῖς ἀοράτοις· αὐτοκρατὲς γὰρ ὂν τῆς Τριάδος, ἓν ἐστιν ἀψεύστως.

Ἀντίφωνον β'.

Εἰς τὰ ὄρη ψυχὴ ἀρθῶμεν, δεῦρο ἐκεῖ σε, ὅθεν βοήθεια ἥκει.

Δεξιά σου χεὶρ κἀμὲ Χριστὲ ἱπταμένη, σκαιωρίας πάσης περιφυλαξάτω.

Δόξα καὶ νῦν.

Ἁγίῳ Πνεύματι, θεολογοῦντες φῶμεν· Σὺ εἶ Θεός, ζωή, ἔρως, φῶς, νοῦς, σὺ χρηστότης, σὺ βασιλεύεις εἰς τοὺς αἰῶνας.

Ἀντίφωνον γ'.

Ἐπὶ τοῖς εἰρηκόσι μοι· Εἰς τὰς αὐλάς προσεύξωμεν Κυρίου· χαρᾶς

Τῷ Σωτῆρι Θεῷ.

Τῷ βουλήσει σταυρῷ προσηλωθέντι σαρκὶ, καὶ τῆς ἀρχαίας ἀποφάσεως, τὸν διὰ ξύλου πεσόντα ἐλευθερώσαντι, αὐτῷ μόνῳ ᾄσωμεν, ὅτι δεδόξασται.

Τῷ ἐκ τάφου νεκρῷ ἐξαναστάντι Χριστῷ, καὶ τὸν πεσόντα συνεγείραντι, καὶ συνεδρίᾳ πατρικῇ κατακοσμήσαντι, αὐτῷ μόνῳ ᾄσωμεν, ὅτι δεδόξασται.

Ἕτερος εἰς τὴν Θεοτ. Ἵππον καὶ ἀναβ.

Φῶς τὸ κατασκηνῶσαν ἐν σοὶ Πανάχραντε, καὶ φωτίσαν τὸν Κόσμον μαρμαρυγαῖς Θεότητος, Χριστὸν ἐκδυσώπησον, φωτισθῆναι ἅπαντας, τοὺς ὑμνοῦντάς σε Μητροπάρθενε.

Ὡς ὡραϊζομένη τῷ κάλλει τῶν ἀρετῶν, ἡ κεχαριτωμένη, καλλοποιὸν εὐπρέπειαν, τῇ αἴγλῃ τοῦ Πνεύματος, ὑπεδείξω Πάναγνε, τὸν τὰ σύμπαντα καλλωπίσαντα.

Ὠδὴ Γ΄. Ὁ Εἱρμός.

Ὁ πήξας ἐπ᾽ οὐδενὸς τὴν γῆν τῇ προστάξει σου, καὶ μετεωρήσας ἀσχέτως βρίθουσαν, ἐπὶ τὴν ἀσάλευτον Χριστὲ πέτραν τῶν ἐντολῶν σου, τὴν Ἐκκλησίαν σου στερέωσον, μόνε ἀγαθὲ καὶ φιλάνθρωπε.

Χολὴν μὲν οἱ ἐκ πέτρας τὸ μέλι θηλάσαντες, τῷ ἐν τῇ ἐρήμῳ τερατουργήσαντι, σοὶ προσενηνόχασι Χριστὲ, ὄξος δ᾽ ἀντὶ τοῦ μάννα, εὐεργεσίαν σοι ἠμείψαντο, παῖδες Ἰσραὴλ οἱ ἀγνώμονες,

Οἱ πάλαι φωτοειδεῖ νεφέλῃ σκεπόμενοι, τὴν ζωὴν ἐν τάφῳ, Χριστὲ, κατέθεντο· ἀλλὰ αὐτεξουσίως ἀναστὰς, πᾶσι πιστοῖς παρέσχε τὴν μυστικῶς ἐπισκιάζουσαν, ἄνωθεν τοῦ Πνεύματος ἔλλαμψιν.

Θεοτοκίον.

Σὺ Μήτηρ Θεοῦ ἀσυνδυάστως γεγέννησαι, τοῦ ἐξ ἀκηράτου Πατρὸς ἐκλάμψαντος, ἀνευθεν ὠδίνων μητρικῶν. Ὅλεν σε Θεοτόκον, σεσαρκωμένον γὰρ ἐκύησας, Λόγον, ὀρθοδόξως κηρύττομεν.

Σταυροαν. Δυνάμει τοῦ Σταυροῦ σου

Ανέστης ἐκ τοῦ τάφου Χριστὲ, φθορᾶς θανάτου λυτρωσάμενος, τοὺς ἀνυμνοῦντας Ζωοδότα, τὴν ἐκούσιόν σου σταύρωσιν.

Μυρίσαι σου τὸ σῶμα Χριστὲ, αἱ Μυροφόροι κατεπείγοντο, καὶ μὴ εὑροῦσαι ὑπέστρεφον, ἀνυμνοῦσαί σου τὴν ἔγερσιν.

Τῆς Θεοτόκου. Ὁ πήξας ἐπ᾽ οὐδενός.

Ἡ κλίμαξ, ἣ πρὸς ἡμᾶς κατέβη ὁ ὕψιστος, τὴν φθαρεῖσαν φύσιν ἐπανορθώσασθαι, σὺ ἀριδηλότατα Σεμνὴ, πᾶσι νῦν καθωράθης· διὰ σοῦ γὰρ ὁ ὑπεράγαθος, Κόσμῳ ὁμιλῆσαι ηὐδόκησε.

Τὸ πάλαι προορισθὲν Παρθένε Μυστήριον, καὶ πρὸ τῶν αἰώνων προγινωσκόμενον, τῷ πάντα γινώσκοντι Θεῷ, χρόνων νῦν ἐπ᾽ ἐσχάτων, ἐν τῇ νηδύϊ σου Πανάμωμε, πέρας εἰληφὸς ἀναδέδεικται.

Ὠδὴ

Ὠδὴ Δ'. Ὁ Εἱρμός.

✓ Τὴν θείαν ἐννοήσας σου κένωσιν, προβλεπτικῶς ὁ Ἀββακοὺμ, Χριστὲ ἐν τρόμῳ ἐβόα σοι: Εἰς σωτηρίαν λαοῦ σου, τοῦ σῶσαι τοὺς χριστούς σου ἐλήλυθας.

Τῆς Μερίδας τὰ πικρότατα νάματα, ὡς ἐν εἰκόνι προτυπῶν, τὸν ἄχραντόν σου σταυρὸν ἀγαθὲ, τῆς ἁμαρτίας νεκροῦντα, τὴν γεῦσιν διὰ ξύλου ἐγλύκανας.

Σταυρὸν κατὰ τοῦ ξύλου τῆς γνώσεως, κατὰ γλυκείας ἐδωδῆς, χολὴν Σωτὴρ μου προσίεσαι· κατὰ φθορᾶς δὲ θανάτου, τὸ αἷμά σου τὸ θεῖον ἐξέχεας.

Θεοτοκίον

Ἐκτὸς μὲν συναφείας συνέλαβες, ἀδιαφθόρως ἐν γαστρὶ, καὶ πρὶν ὠδῖνῆσαι τέτοκας· καὶ μετὰ τόκον Παρθένος, Θεὸν σαρκὶ τεκοῦσα πεφύλαξαι.

Σταυροναστ. Εἰσακήκοα τὴν ἀκοήν.

Ὡς ἐπάγη ἐπὶ γῆς, ἐν τῷ κρανίῳ ὁ σταυρὸς, συνετρίβησαν μοχλοὶ καὶ πυλωροὶ αἰώνιοι· καὶ ἐβόησαν: Δόξα τῇ δυνάμει σου Κύριε.

Ὡς κατῆλθεν ὁ Σωτὴρ, πρὸς τοὺς δεσμίους ὡς θνητὸς, συνανέστησαν αὐτῷ οἱ ἀπ' αἰῶνος θανέντες, καὶ ἐβόησαν: Δόξα τῇ δυνάμει σου Κύριε.

Τῆς Θεοτόκου Τὴν θείαν ἐννοήσας σου.

Καρδίᾳ, νῷ, ψυχῇ τε καὶ σώματι ὁμολογῶν πανευσεβῶς, σὲ Θεοτόκον κυρίως Ἀγνὴν, τὴν σωτηρίαν καρποῦμαι, καὶ σώζομαι Παρθένε προσβείαις σου.

Ὁ κτίσας ἐκ μὴ ὄντων τὰ σ
παντα, ἐκ σοῦ κτισθῆναι τῆς Ἀ
ὡς εὐεργέτης ηὐδόκησε· πρὸς
τηρίαν τῶν πίστει, καὶ πόθ
ὑμνούντων Πανάμωμε,

✓ Ὠδὴ Ε'. Ὁ Εἱρμός

Ὁ ἀναβαλλόμενος φῶς ὡς ἱ
τιον, πρός σὲ ὀρθρίζω, καὶ σοὶ κρ
γάζω: Τὴν ψυχήν μου φώτισον
ἐσκοτισμένην, Χριστὲ ὡς μ
εὔσπλαγχνος.

Ὁ τῆς δόξης Κύριος ἐν ἀδο
μορφῇ, ἐπὶ τοῦ ξύλου ἠτιμωμέ
ἑκουσίως κρέμαται· τὴν θειαν
δόξαν, ἀφράστως προμηθούμε

Σὺ με μετημφίασας πρὸς ἀφ
σίαν Χριστὲ, φθορᾶς θανάτου ἀ
φθόρως,, τῇ σαρκὶ γευσάμενος
ἐξανατείλας τοῦ μνήματος τ
μερος.

Θεοτοκίον.

Σὺ δικαιοσύνην τε καὶ ἀπ
τρωσιν, ἡμῖν τεκοῦσα, Χριστὸν
ρως, ἐλευθέραν ἔδρασας ἀ
Θεοτόκε τὴν φύσιν τοῦ Πρ
τορος.

Σταυροαν. Ὀρθρίζοντες βοῶμέν

Ἐξέτεινας τὰς χεῖρας Σω
ἡμῶν, ἐπὶ τοῦ ξύλου, πάντας
σκαλούμενος, πρὸς ἑαυτὸν ὦ
λάνθρωπος.

Ἐσκύλευσας τὸν ᾅδην Σω
ἡμῶν, τῇ ταφῇ σου καὶ τῇ Ἀνα
σει σου, χαρᾶς τὰ πάντα ἐπ
ρωσας·

Τῆς Θεοτόκου· Ὁ ἀναβαλλόμενος

Ἅπαντες Προφῆται σε σα
προήγγειλαν, γενησομένην
Μητέ-

Τῆς Θεοτόκου. Μαινομένην κλύδωνι.

Τοῦ παντὸς ὁ αἴτιος, καὶ τὸ εἶναι πᾶσι παρασχών, ὡς αἰτίαν ἔσχηκε σαρκούμενος, τὸ καθ' ἡμᾶς, σὲ Θεομῆτορ πανάμωμε.

Ἰαμάτων Δέσποινα, ψυχοτρόφων βρύουσαν πηγήν, τοῖς πιστῶς προστρέχουσι τῇ σκέπῃ σου, τῇ εὐκλεεῖ, γινώσκομέν σε Πανάμωμε.

Κοντάκιον. Μιμητὴς ὑπάρχων.

Πρὸς τὸν Ἅδην Σωτὴρ μου συγκατεβέβηκας· καὶ τὰς πύλας συνέτριψας ὡς Παντοδύναμος· τοὺς θανέντας ὡς Κτίστης συνεξανέστησας· καὶ θανάτου τὸ κέντρον Χριστὲ συνέτριψας· καὶ Ἀδὰμ τῆς κατάρας ἐρρύσω Φιλάνθρωπε· διὸ πάντες σοι κράζομεν· Σῶσον ἡμᾶς Κύριε.

Ὁ Οἶκος.

Ἀκούσασαι αἱ Γυναῖκες τοῦ Ἀγγέλου τὰ ῥήματα, ἀπεβάλοντο τὸν θρῆνον, προσχαρεῖς γενόμεναι, καὶ σύντρομοι τὴν Ἀνάστασιν ἔβλεπον· καὶ ἰδοὺ Χριστὸς προσήγγισεν αὐταῖς, λέγων τὸ, Χαίρετε, θαρσεῖτε ἐγὼ τὸν Κόσμον νενίκηκα, καὶ τοὺς δεσμίους ἐρρυσάμην. Σπουδάσατε οὖν πρὸς τοὺς Μαθητάς, ἀπαγγέλλουσαι αὐτοῖς, ὅτι προάγω ὑμᾶς, ἐν τῇ πόλει Γαλιλαίᾳ τοῦ κηρύξαι· διὸ πάντες σοι κράζομεν· Σῶσον ἡμᾶς Κύριε.

Ὠδὴ Ζ'. Ὁ Εἱρμός.

Ὁ ὑπερυψούμενος τῶν Πατέρων Κύριος, τὴν φλόγα κατέσβεσε, τοὺς Παῖδας ἐρρόσισε, συμφώνως μελῳδοῦντας· Ὁ Θεὸς εὐλογητὸς εἶ

Σάρκα

Σάρκα περιθέμενος, ὡς ἀγκίστρῳ δέλεαρ, τῇ θείᾳ δυνάμει σου τὸν ὄφιν καθείλκυσας· ἀνάγων τοὺς βοῶντας: Ὁ Θεὸς εὐλογητὸς εἶ.

Ὁ τῆς γῆς τὴν ἄπλετον, οὐσιώσας σύσασιν, ἐν τάφῳ καλύπτεται, σαρκὶ ὁ ἀχώρητος· ᾧ πάντες μελῳδοῦμεν: Ὁ Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Μίαν μὲν ὑπόστασιν, ἐν δυσὶ ταῖς φύσεσι, Πανάμωμε τέτοκας, Θεὸν σωματούμενον· ᾧ πάντες μελῳδοῦμεν: Ὁ Θεὸς εὐλογητὸς εἶ.

Σταυροαναστ. Ὁ ἐν καμίνῳ πυρός.

Ὁ διὰ ξύλου σωροῦ, τὴν τῶν εἰδώλων λύσας πλάνην· εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ὁ ἀναστὰς ἐκ νεκρῶν, καὶ τοὺς ἐν ᾅδῃ συνεγείρας· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Τῆς Θεοτόκου. Ὁ ὑπερυψούμενος.

Ὁ ἀπεριόριστος, διαμείνας ἄτρεπτος, σαρκὶ καθ' ὑπόστασιν, ἠνώθη ὡς εὔσπλαγχνος, ἐν σοὶ τῇ παναγίᾳ, ὁ μόνος εὐλογημένος.

Νύμφην σε πανάμωμον, Θεοτόκε Δέσποινα, συμφώνως δοξάζομεν, καὶ θρόνον τοῦ Κτίσου σου· ᾧ πάντες μελῳδοῦμεν: Ὁ Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ Η'. Ὁ Εἱρμός

Σοὶ τῷ παντουργῷ, ἐν τῇ καμίνῳ Παῖδες, παγκόσμιον πλέξαντες χορείαν ἔμελπον: Πάντα

δει σὺν ἡμῖν τῶν ἀσωμάτων
Παρθένε τὸν τόκον σου τὸν
λῃπτον, μίαν χορείαν στη-
οι σὺν πόθῳ, καὶ ὑπερυψοῦν-
ὑτὸν εἰς τοὺς αἰῶνας.

, Ὠδὴ Θ'. ὁ Εἱρμός.

σαία χόρευε, ἡ Παρθένος
ἐν γαστρὶ, καὶ ἔτεκεν Υἱὸν
μμανουὴλ, Θεόν τε καὶ ἄν-
ν, ἀνατολὴ ὄνομα αὐτῷ· ὃν
ύνοντες, τὴν Παρθένον μα-
μεν.

ν πεσόντα ἄνθρωπον, ἀνεδέ
έσποτα Χριστὲ, ἐκ Μήτρας
ικῆς ὅλος συναφθείς· μόνος
ίας δὲ μὴ μετασχών, ὅλον
ρᾶς, σὺ ἠλευθέρωσας, τοῖς
τοις σου παθήμασι.

ορρύτῳ αἵματι, κενωθέντι
τα Χριστὲ, ἐκ τῆς ἀχράντου
ᾶς καὶ ζωοποιοῦ, θυσία μὲν
ται εἰδωλικὴ· πᾶσα δὲ ἡ γῆ
ῆς αἰνέσεως, τὴν θυσίαν ἀνα-
εν.

Θεοτοκίον.

Θεὸν ἀσώματον, οὐδὲ πά-
θρωπον ψιλὸν, προσήγαγεν
κόρη καὶ σεμνή· ἀλλ' ἄν-
ν τέλειον, καὶ ἀψευδῆ τέ-
Θεόν· ὃν μεγαλύνομεν, σὺν
τε καὶ τῷ Πνεύματι.

ταυραν. Σὲ τὴν ὑπὲρ νοῦν.

τὸν ἐν σταυρῷ τὰ πάθη δε-
ν, καὶ θανάτῳ συντρίψαντα
δου τὴν δύναμιν, οἱ πιστοὶ
ξως μεγαλύνομεν.

τὸν ἀναστάντα ἐκ τάφου
τριήμερον, καὶ τὸν ᾅδην σκυλεύ-
σαντα, καὶ κόσμον φωτίσαντα, οἱ
πιστοὶ ὁμοφρόνως μεγαλύνομεν.

Τῆς Θεοτόκου. Ἡσαΐα χόρευε.

Ἐξ ἁγνῶν αἱμάτων σου, ἐτυ-
ρώθη σὰρξ ὑπερφυῶς, τῷ πάντων
δημιουργῷ καὶ μονογενεῖ, Υἱῷ
τοῦ γεννήτορος, οὐκ ἐξ ἀνδρὸς,
ἄνευ δὲ σπορᾶς, ἔννους καὶ ἔμψυχος
Θεοτόκε ἀειπάρθενε.

Νεμομένην ἔστησας, τοῦ θα-
νάτου ἄσχετον ὁρμὴν, γεννήσασα
σαρκικῶς, ὄντως ὑπὲρ νοῦν, ζωὴν
τὴν αἰώνιον, ᾗ προσβαλὼν, στόματι
πικρῷ, ᾅδης κατήργηται, παναγία
μητροπάρθενε.

Μετὰ τὴν τιμιωτέραν, ἐκφώνησις, Ὅτι
σε αἰνοῦσι, καὶ εὐθὺς, Ἅγιος Κύριος
τὰ ἐξαποστειλάρια καὶ οἱ Αἶνοι.

√ Κύριε, ἐσφραγισμένου τοῦ τά-
φου ὑπὸ τῶν παρανόμων, προῆλθες
ἐκ τοῦ μνήματος, καθὼς ἐτέχθης
ἐκ τῆς Θεοτόκου· οὐκ ἔγνωσαν πῶς
ἐσαρκώθης, οἱ ἀσώματοί σου Ἄγ
γελοι· οὐκ ἤσθοντο πότε ἀνέστης,
οἱ φυλάσσοντές σε στρατιῶται· ἀμ-
φότερα γάρ ἐσφράγισται τοῖς ἐρευ-
νῶσι· πεφανέρωται δὲ τὰ θαύματα,
τοῖς προσκυνοῦσιν ἐν πίστει τὸ Μυ-
στήριον. Ὃ ἀνυμνοῦσιν, ἀπόδος ἡμῖν
ἀγαλλίασιν, καὶ τὸ μέγα ἔλεος.

√ Κύριε, τοὺς μοχλοὺς τοὺς αἰ-
ωνίους συντρίψας, καὶ δεσμὰ
διαῤῥήξας, τοῦ μνήματος ἀνέστης,
καταλιπών σου τὰ ἐντάφια, εἰς
μαρτύριον τῆς ἀληθοῦς τριημέρου

ταφῆς

ταφῆς σου καὶ προῆγες ἐν τῇ Γαλιλαίᾳ, ὁ ἐν σπηλαίῳ τηρούμενος. Μέγα σου τὸ ἔλεος, ἀκατάληπτε Σωτήρ, ἐλέησον ἡμᾶς.

℣ Κύριε, αἱ γυναῖκες ἔβραμον ἐπὶ τὸ μνῆμα, τοῦ ἰδεῖν σε τὸν Χριστόν, τὸν δι' ἡμᾶς παθόντα· καὶ προσελθοῦσαι, εὗρον Ἄγγελον ἐπὶ τὸν λίθον καθήμενον, τῷ φόβῳ κυλισθέντα· καὶ πρὸς αὐτὰς ἐβόησε λέγων· Ἀνέστη ὁ Κύριος, εἴπατε τοῖς Μαθηταῖς, ὅτι ἀνέστη ἐκ νεκρῶν, ὁ σώζων τὰς ψυχὰς ἡμῶν.

℣ Κύριε, ὥσπερ ἐξῆλθες ἐσφραγισμένου τοῦ τάφου, οὕτως εἰσῆλθες καὶ τῶν θυρῶν κεκλεισμένων, πρὸς τοὺς Μαθητάς σου, δεικνύων αὐτοῖς τὰ τοῦ σώματος πάθη, ἅπερ κατεδέξω Σωτὴρ μακροθυμήσας· Ὡς ἐκ σπέρματος Δαβίδ, μώλωπας ὑπήνεγκας· ὡς Υἱὸς δὲ τοῦ Θεοῦ, κόσμον ἠλευθέρωσας. Μέγα σου τὸ ἔλεος, ἀκατάληπτε Σωτήρ, ἐλέησον ἡμᾶς.

℣ Κύριε, ὁ βασιλεὺς τῶν αἰώνων, καὶ ποιητὴς τῶν ἁπάντων, ὁ δι' ἡμᾶς σαρκὶ καταδεξάμενος, ἵνα ἡμᾶς τοῦ ᾅδου ἐλευθερώσῃς πάντας. Σὺ εἶ ὁ Θεὸς ἡμῶν ἐκτός σου ἄλλον οὐκ οἴδαμεν.

℣ Κύριε, τὰ ὑπερλάμποντά σου θαύματα, τίς διηγήσεται; ἢ τίς ἀναγγελεῖ τὰ φρικτά σου Μυστήρια; Ἐνανθρωπήσας γὰρ δι' ἡμᾶς, ὡς αὐτὸς ἠθέλησας, τὸ κράτος ἐφανέρωσας τῆς δυνάμεώς σου· ἐν γὰρ τῷ σταυρῷ σου, τῷ Ἁγίῳ Παράδεισον ἤνοιξας, καὶ ἐν τῇ ταφῇ σου τοὺς μοχλοὺς τοῦ ᾅδου συνέτριψας, καὶ ἐν τῇ Ἀναστάσει σου, τὰ σύμπαντα ἐπλούτησας. Εὔσπλαγχνε δόξα σοι

℣ Μυροφόροι γυναῖκες, τὸν τάφον σου καταλαβοῦσαι λίαν πρωΐ, ἐπεζήτουν σε μυρίσαι τὸν ἀθάνατον Λόγον καὶ Θεόν, καὶ τοῦ Ἀγγέλου τοῖς ῥήμασιν ἐνηχηθεῖσαι, ὑπέστρεφον ἐν χαρᾷ, τοῖς Ἀποστόλοις μηνύσαι ἐμφανῶς, ὅτι ἀνέστης ἡ ζωὴ τῶν ἁπάντων, καὶ παρέχεις τῷ κόσμῳ ἱλασμόν, καὶ τὸ μέγα ἔλεος.

℣ Τοῦ θεοδέγμονος τάφου, πρὸς τοὺς Ἰουδαίους οἱ φύλακες ἔλεγον, Ὢ τῆς ὑμῶν ματαιόφρονος συμβουλῆς! φυλάττειν τὸν ἀπερίγραπτον δοκιμάσαντες, μάτην ἐκοπιάσατε· κρύψαι τὴν ἀνάστασιν τοῦ σταυρωθέντος βουλόμενοι, τρανῶς ἐφανερώσατε. Ὢ τοῦ ὑμῶν ματαιόφρονος συνεδρίου! τί πάλιν κρύψαι συμβουλεύεσθε, ὃ οὐ κρύπτεται; Μᾶλλον δὲ παρ' ἡμῶν ἀκούσατε, καὶ πιστεῦσαι θελήσατε τῶν γενομένων τὴν ἀλήθειαν. Ἄγγελος ἀστραπηφόρος οὐρανόθεν κατελθών, τὸν λίθον ἀπεκύλισεν, οὗ τῷ φόβῳ νεκρώσει συνεσχέθημεν· καὶ φωνήσας ταῖς κραταιόφροσι Μυροφόροις, ἔλεγε γυναιξίν· Οὐχ ὁρᾶτε τῶν φυλάκων τὴν νέκρωσιν, καὶ τῶν σφραγίδων τὴν διάλυσιν, τοῦ ᾅδου τε τὴν κένωσιν; Τί τὸν τὸ νῖκος τοῦ ᾅδου καταργήσαντα, καὶ τοῦ θανάτου τὸ κέντρον συντρίψαντα, ὡς θνητὸν ἐπιζητεῖτε; Εὐαγγελίσασθε δὲ ταχὺ πορευθεῖσαι, τοῖς Ἀποστόλοις τὴν Ἀνάστασιν, ἀφόβως κραυγάζουσαι· Ὄντως ἀνέστη ὁ Κύριος, ὁ ἔχων τὸ μέγα ἔλεος.

Δόξα

α τὸ Εωθινόν. Καὶ νῦν. Ὑπερευλο-
ένη ὑπάρχεις, καὶ ἡ μεγάλη Δοξο-
α. Ζήτ. Φύλ· 37 Μετὰ τὸ Ἅγιος
εός, εἰς τὸν πλ. α. πλ. β'. Βαρὺν
πλ. δ'. λέγε.

Ἀναστὰς ἐκ τοῦ μνήματος, καὶ
ἐσμὰ διαῤῥήξας τοῦ ᾅδου, ἐλυ-
τὸ κατάκριμα τοῦ θανάτου Κύ
πάντας ἐκ τῶν παγίδων τοῦ
ροῦ ῥυσάμενος· ἐμφανίσας ἑαυ-
τοῖς Ἀποστόλοις σου, ἐξαπέ-
ιλας αὐτοὺς ἐπὶ τὸ κήρυγμα,
δι' αὐτῶν τὴν εἰρήνην σου πα-
χες τῇ οἰκουμένῃ, μόνε πο-
λεε.

άρχεται ἡ λειτουργία. Εἶδ' οὐκ
εὐθὺς ἡ Λειτουργία· λέγεται ἡ ἀκ-
ίς· τὸ, πληρώσωμεν τὴν ἑωθινὴν
ιν μετὰ τῶν λοιπῶν, καὶ ἀπόλυσις.

τὴν λειτουργίαν, οἱ Μακαρισμοί.

Ὁ Ληστὴς ἐν τῷ σταυρῷ, Θεὸν
ί σε πιστεύσας Χριστέ, ὡμολό-
έ σε εἰλικρινῶς ἐκ καρδίας:
ήσθητί μου Κύριε βοῶν, ἐν τῇ
ιλείᾳ σου.

Τὸν ἐν τῷ ξύλῳ τοῦ σταυροῦ,
ην ἀνθήσαντα τῷ γένει ἡμῶν,
ξηράναντα τὴν ἐκ τοῦ ξύλου
άραν, ὡς Σωτῆρα καὶ Δημιουρ-
, συμφώνως ὑμνήσωμεν

Τῷ θανάτῳ σου Χριστὲ, θανά-
ἔλυσας τὴν δύναμιν, καὶ συνή-
ρας τοὺς ἀπ' αἰῶνος θανέντας,
ὑμνοῦντας τὸν ἀληθινὸν, Θεὸν,
Σωτῆρα ἡμῶν.

Ἐπὶ τὸ μνῆμά σου Χριστὲ, πα-
γενόμεναι γυναῖκες σεμναί, ἐπε-
τουν σε Ζωοδότα μυρίσαι· καὶ ὤ-
φθη ταύταις Ἄγγελος βοῶν· Ἀνέ-
στη ὁ Κύριος.

Σταυρωθέντος σου Χριστὲ, ἐν
μέσῳ δύω καταδίκων λῃστῶν, ὁ
μὲν εἷς βλασφήμων σε, κατεκρί-
θη δικαίως, ὁ δὲ ἄλλος σὲ ὁμολο-
γῶν, Παράδεισον ὤκησεν.

Τῶν Ἀποστόλων τὸν χορὸν,
παραγενόμεναι γυναῖκες σεμναί, ἀ-
νεβόησαν· Ὁ Χριστὸς ἀνέστη· ὡς
Δεσπότην καὶ δημιουργὸν, αὐτὸν
προσκυνήσωμεν. Δόξα.

Τριὰς ἀμέριστε μονὰς, ἡ πα-
ντουργὸς καὶ παντοδύναμος, ὁ Πα-
τήρ, ὁ Υἱὸς, καὶ τὸ Ἅγιον Πνεῦμα,
σὲ ὑμνοῦμεν τὸν ἀληθινὸν Θεὸν,
καὶ Σωτῆρα ἡμῶν.

Καὶ νῦν Θεοτοκίον.

Χαῖρε ἔμψυχε ναὲ Θεοῦ, καὶ
πύλη ἀδιόδευτε· χαῖρε ἄφλεκτε καὶ
πυρίμορφε θρόνε· χαῖρε Μῆτερ τοῦ
Ἐμμανουήλ, Χριστοῦ τοῦ Θεοῦ
ἡμῶν.

Τῇ Κυριακῇ Ἑσπέρας εἰς τὸ, Κύ-
ριε ἐκέκραξα. Στιχηρὰ Δεσποτικὰ. Χαίροις ἀσκητικῶν.

Θεῖοι τῷ παροργίσαντί σε, τὸν
Ἐλεήμονα Θεόν μου καὶ Κύριον·
ποσάκις ἐπηγγειλάμην, μετανοῆ-
σαι Χριστὲ, καὶ ψευδὴς εὑρέθην ὁ ἀ-
νόητος· τὸ πρὶν τοῦ Βαπτίσματος,
κατερρύπωσα ἔνδυμα, τῶν συνθη-
κῶν τε, τῶν πρός σέ μου ἠλόγησα,
καὶ τὸ δεύτερον, πάλιν τοῦτο ἐπάγ-
γελμα, ὃ σοὶ καθωμολόγησα, Ἀγ-
γέλων ἐνώπιον, καὶ τῶν ἀνθρώπων
τὸ

τὸ σχῆμα, τὸ πένθιμον ἐνδυόμενος, εἰμὶ ἀθετήσας, λοιπὸν Σῶτερ μὴ εἰς τέλος ἀφῇς ὀλέσθαι με.

Ποίαν ἀπολογίαν ψυχή, ἔχεις ἀθλία ἐν ἡμέρᾳ τῆς κρίσεως; ἢ τίς σε τῆς καταδίκης τοῦ αἰωνίου πυρὸς, καὶ πασῶν βασάνων ἐξαιρήσεται, οὐδεὶς εἰ μὴ σὺ σαυτῇ, ἵλεω σῃ τὸν Εὔσπλαγχνον, τὰς ἀθεμίτους καταλείψασα πράξεις σου, καὶ θεάρεστον, κτησαμένη βιότευσιν, κλαίουσα καθ' ἑκάστην σου, τὰ ἄπειρα σφάλματα, ἅπερ καθ' ὥραν προσπταίεις, ἔργῳ καὶ λόγῳ ἐννοίᾳ τε, Χριστὸν αἰτουμένη, παράσχειν σοι τὴν τελείαν τούτων συγχώρησιν.

Λύμη με τῶν παθῶν τυραννεῖ, καὶ τῆς καρδίας μου τὰς κόρας ἐζόφωσε, καὶ βλέπειν οὐ σθένω ὅλως, τὰς σωτηρίους ὁδούς· προϊὼν πλανῶμαι καὶ κρημνίζομαι, δεινῶς εἰς τὰ βάραθρα, τὰ τοῦ Ἅδου Ἀρχάγγελοι· τῶν δὲ θαυμάτων τῶν ὑμῶν μιμνησκόμενος, θεραπεύομαι, ἀπὸ πάσης τῆς νόσου μου· ἵδοιμι τὴν εὐμένειαν, ὑμῶν νῦν ταχύτατα· σπεύσατε σβέσαι τὴν φλόγα, τὴν τῶν παθῶν μου πανσέβαστοι, πρὸς φῶς ὁδηγοῦντες, σωτηρίας με καὶ λύσιν κακῶν μοι νέμοντες.

Εἰς τὸν στίχον, στιχηρὰ Κατανυκτικά.

Κύριε, ἁμαρτάνων οὐ παύομαι. φιλανθρωπίας ἀξιούμενος, οὐ γινώσκω· νίκησόν μου τὴν πώρωσιν, μόνε Ἀγαθὲ, καὶ ἐλέησόν με.

Κύριε, καὶ τὸν φόβον σου πτοοῦμαι, καὶ τὸ πονηρὸν ποιεῖν οὐ παύομαι· τίς ἐν δικαστηρίῳ τὸν

ράνιον, ἐπὶ τῆς γῆς παραδόξως ἐναπεκόμισε· τὸν γὰρ ἀγγέλων Ποιητὴν, ἐν σοὶ σαρκούμενον ὁρῶν, τὸ μελῳδῆμα χαρᾶς, ἀναμέλπει σοι Σεμνὴ, βροτοὺς δι' αὐτοῦ διδάσκων, ὡς σὺ μόνη χαρᾶς αἰτία, πᾶσιν ἀνθρώποις πεφανέρωσαι.

Τὸ πρωῒ ἀπόστιχα τοῦ ἑσπερινοῦ.

Τῇ Ϛ'. Ἑσπέρας, εἰς τὸ, Κύριε ἐκέκραξα, στιχηρὰ Δεσποτικά.

Χαίροις ἀσκητικῶν.

Λῦσόν μου τῆς καρδίας Σωτὴρ τὴν τῶν Δαιμόνων γενομένην μοι πώρωσιν, καὶ δός μοι δακρύων ὄμβρους, τῆς μετανοίας ὡς ἂν, τὰ πολλὰ θρηνήσω μου ἐγκλήματα, καὶ πᾶν τὸ ῥυπαῖνον, τὸν λογισμόν μου ῥυθήσωμαι, καὶ τοῦ τῆς λήθης, σκοτασμοῦ λυτρωθήσωμαι, καὶ ἀρθήσωμαι, πρὸς καλῶν κατανόησιν. Πρόσχες μοι καὶ εἰσάκουσον· ἵλάσθητι Κύριε, καὶ τὴν ἀθλίαν ψυχήν μου, τῶν τυραννούντων ἀπάλλαξον, παθῶν ὅπως εὕρω, ἐν σοὶ ἄνεσιν καὶ πράττω, τὰ σὰ θελήματα.

Χείλη μεμολυσμένα κινῶ, καὶ ῥυπαρὰς χεῖρας πρὸς σὲ ὑπεράγαθε, καρδίαν συγκεχωσμένην, τοῖς πονηροῖς λογισμοῖς, ὀφθαλμοὺς τυφλώττων ὁ πανάθλιος· ψυχὴν περιφέρω, ἐσκοτισμένην τοῖς πάθεσι, καὶ ταῖς ἀτόποις, ἡδοναῖς ὁ παμβέβηλος, συγκαλύπτομαι, καὶ οὐκ ἔχω ἀνάνευσιν. Ἔκτεινον τὰς ἀχράντους σου, παλάμας φιλάνθρωπε σῶ-

πες· Σῶσόν με Σῶτερ βοῶ σοι, καὶ μολυσμοῦ ἀποκάθαρον, πολλῶν ἐγκλημάτων, καὶ δεινῶν ἐπερχομένων ὡς πολυεύσπλαγχνος.

Ῥεῦμα σφοδρὸν καὶ πάνυ δεινόν, τῆς καταιγίδος τῶν παθῶν τῆς καρδίας μου, ἐχύθη καὶ κατακλύζει, καὶ εἰς βυθὸν ζοφερὸν, συνωθεῖ ἀτόπου ἀπογνώσεως· αὐτὸς ἀοράτῳ, ἐπιστασίᾳ σου φάνηθι, καὶ τῇ ἰσχύϊ, τῆς σεπτῆς συμπαθείας σου, τοῦτο ξήρανον, καὶ εἰς τέλος ἀφάνισον, ῥεῖθρά μοι παρεγόμενος, πλημμύρα ἀοίδιμε, τὰ καταρδεύοντα φρένας, καὶ νοῦν καὶ ἔννοιαν ἅπασαν· δι' ὧν ἐκβλαστάνειν, ἱλασμὸν καὶ σωτηρίαν δίδου μοι Πρόδρομε.

Εἰς τὸν στίχον, Στιχηρὰ Κατανυκ.

Κύριε, ἁμαρτάνων οὐ παύομαι, φιλανθρωπίας ἀξιούμενος, οὐ γινώσκω, νίκησόν μου τὴν πώρωσιν, μόνε Ἀγαθέ, καὶ ἐλέησόν με.

Κύριε, καὶ τὸν φόβον σου πτοοῦμαι, καὶ τὸ πονηρὸν ποιεῖν οὐ παύομαι· τίς ἐν δικαστηρίῳ τὸν δικαστὴν οὐ πτοεῖται; ἢ τίς ἰατρευθῆναι βουλόμενος, τὸν ἰατρὸν παροργίζει ὡς κἀγώ; Μακρόθυμε Κύριε, ἐπίσκεψαι ἀσθενείᾳ μου σπλαγχνίσθητι, καὶ ἐλέησόν με.

Μαρτυρικόν.

Τὸν θυρεὸν τῆς πιστεως περιβαλλόμενοι, καὶ τῷ τύπῳ τοῦ Σταυροῦ ἑαυτοὺς διαναστήσαντες, πρὸς τὰς βασάνους ἀνδρείως ἀπηντομόλησαν, καὶ Διαβόλου τὴν πλάνην καὶ τὸ θράσος κατήργησαν, οἱ Ἅγιοι σου Κύριε· αὐτῶν ταῖς ἱκεσίαις, ὡς Παντοδύναμος Θεὸς, τῷ Κόσμῳ τὴν εἰρήνην κατάπεμψον, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν.

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἀῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Τῇ γ'. εἰς τὸν Ὄρθρον, μετὰ τὴν ἁ. στιχολογίαν, Καθίσματα Κατανυκτικά.

Κριτοῦ καθεζομένου, καὶ Ἀγγέλων ἑστώτων, σάλπιγγος ἠχούσης, καὶ φλογὸς καιομένης, τί ποιήσεις ψυχή μου ἀπαγομένη εἰς κρίσιν; τότε γὰρ τὰ δεινά σοι παρίστανται· τὰ κρυπτά σου ἐλέγχονται ἐγκλήματα· διὸ πρὸ τέλους βόησον· Ὁ Θεὸς ἱλάσθητί μοι καὶ σῶσόν με.

Ψυχὴ τὰ ὧδε πρόσκαιρα, τὰ δὲ ἐκεῖ αἰώνια· ὁρῶ τὸ δικαστήριον, καὶ ἐπὶ θρόνου τὸν Κριτὴν, καὶ τρέμω τὴν ἀπόφασιν· λοιπὸν σπουδῇ ἐπίστρεψον· ἡ κρίσις ἀσυγχώρητος.

Δόξα, καὶ νῦν. Θεοτοκίον
Τὸν συνάναρχον Λόγον.

Ἡ τὸ Ἄνθος τὸ θεῖον ῥίζα βλαστήσασα, Κιβωτὲ καὶ Λυχνία καὶ Στάμνε πάγχρυσε, Ἁγία Τράπεζα Χριστὸν, τὸν ἄρτον ζωῆς φέρουσα, ὡς Υἱόν σου καὶ Θεὸν, ἐκδυσώπησον αὐτὸν, σὺν τῷ Ἁγίῳ Προδρόμῳ, τοῦ οἰκτειρῆσαι καὶ σῶσαι

σαι, τοὺς Θεοτόκον ὁμολογοῦντάς σε.

Μετὰ τὴν Ϛ'. Στιχολογ. Καθίσματα. Τὸν συναναρχον Λόγον.

Ἐλισάβετ στειρώσεως ἠλευθέρωται, ἡ Παρθένος δὲ πάλιν Παρθένος ἔμεινεν, ὅτε φωνῇ τοῦ Γαβριὴλ, γαστρὶ συνέλαβεν· ἀλλ' ἐν νηδύϊ προσκιρτᾷ, τὸν ἐν γαστρὶ παρθενικῇ, Θεὸν προγνοὺς καὶ Δεσπότην, ὁ Πρόδρομος Ἰωάννης, εἰς σωτηριαν ἡμῶν σαρκούμενον.

Μαρτυρικόν.

Τῶν Ἁγίων Μαρτύρων τὰ καταρθώματα, Οὐρανῶν αἱ Δυνάμεις ὑπερεθαύμασαν· ὅτι ἐν σώματι θνητῷ, τὸν Ἀσώματον ἐχθρὸν, τῇ Δυνάμει τοῦ σταυροῦ, ἀγωνισάμενοι καλῶς, ἐνίκησαν ἀοράτως, καὶ πρεσβεύουσι τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, καὶ νῦν.

Μήτηρ Θεοῦ Παναγία, τὸ τεῖχος τῶν Χριστιανῶν, ἐπισάχυνον ῥῦσαι Λαόν σου, συνήθως κραυγάζοντά σοι ἐκτενῶς· ἀντιτάχθητι αἰσχροῖς, καὶ ἀλαζόσι λογισμοῖς, ἵνα βοῶμέν σοι, Χαῖρε Ἀειπάρθενε.

Τὸ πρωΐ ἀπόστιχα τοῦ ἑσπερινοῦ.

Τῇ γ'. Ἑσπέρας, εἰς τὸ Κύριε ἐκέκραξα. στιχηρ. Δεσποτικά.

Χαίροις ἀσκητικῶν.

Παῦσον τὰς τῶν δαιμόνων ὁρμὰς, τὰς κατ' ἐμοῦ ἐπερχομένας φιλάνθρωπε, ζητούντων τοῦ θανατῶσαι, τὴν ταπεινήν μου ψυχήν, καὶ καταγαγεῖν με εἰς ἀπώλειαν· αὐτῶν τὰς βουλὰς τε, καὶ τὰς ἐνέδρας ματαίωσον, τὰς καθ' ἑκάστην, ἐν νυκτὶ καὶ ἡμέρᾳ τε, καὶ ἐκλύτρωσαι, ἀπὸ τούτων με Δέσποτα· παῦσον τὸ πολυτάραχον, τοῦ βίου κλυδώνιον· ῥῦσαι γεέννης καὶ σκότους, τοῦ αἰωνίζοντος δέομαι, Χριστὲ ὅταν ἔλθῃς, κρῖναι Κόσμον μετὰ δόξης ὡς ὑπεράγαθος.

Βίβλων ἀνοιγομένων Χριστὲ, ἐν τῇ ἡμέρᾳ τῆς φρικτῆς παρουσίας σου, καὶ πάντων παριστάμενων, τῷ κριτηρίῳ τῷ σῷ, καὶ ἀποβλεπόντων τὴν ἀπόφασιν, πυρὸς πρὸ τοῦ Βήματος, ἑλκομένου καὶ σάλπιγγος, σροδρῶς ἠχούσης, τί ποιήσω ὁ ἄθλιος. ἐλεγχόμενος, ὑπὸ τῆς συνειδήσεως, καὶ καταδικαζόμενος, εἰς φλόγα τὴν ἄσβεστον. Δέομαι οὖν πρὸ τοῦ τέλους, λύσιν εὑρεῖν τῶν πταισμάτων μου, Χριστὲ ὁ Θεός μου, ὁ δωρούμενος τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Ῥεῖθρα δακρυρροίας ἐμῆς, τῆς ἐξ ὀμμάτων μου Υἱὲ ποθεινότατε, ὁ χρόνος ξηρᾶναι ὅλως, οὐ κατισχύσει ποτέ, ἡ Ἀγνὴ θρηνοῦσα ἀπερθέγγετο· σὺ φῶς γὰρ τὸ ἄδυτον, τὸ φωτίζον φωτίσματα, ὃι οὗ φωτῆρες οἱ μεγάλοι πεπήγασιν, οἱ Οὐρανοί, καὶ τὸ πᾶν κατουσίωται· τί μοι τὸ βλέπειν Ἥλιον, φωτὸς ἐμοῦ δύναντος, φῶς μου γλυκὺ πῶς ἐσβέσθης, ὁ φωτισμὸς τοῦ προσώπου μου; λοιπὸν ἀπαλείψω, τῶν δακρύων μου τοῖς ῥείθροις κόρας ὀμμάτων μου.

Εἰς

Εἰς τὸν τίχον. τιχηρὰ Σταυρώσιμα.

Ὁ Σταυρός σου Χριστέ, εἰ καὶ ξύλον ὁρᾶται τῇ οὐσίᾳ, ἀλλὰ θείαν περιβέβληται δυναστείαν, καὶ αἰσθητῶς τῷ Κόσμῳ φαινόμενος, νοητῶς τὴν ἡμῶν θαυματουργεῖ σωτηρίαν, ὃν προσκυνοῦντες δοξάζομέν σε, Σωτὴρ ἐλέησον ἡμᾶς.

Μόνον παγέντος τοῦ ξύλου Χριστέ τοῦ Σταυροῦ σου, ἡ πλάνη πεφυγάδευται, καὶ ἡ χάρις ἐξήνθησεν· οὐ γὰρ ἔτι καταδίκης ἐστὶ τιμωρία, ἀλλὰ τρόπαιον ἐδείχθη ἡμῖν σωτηρίας. Σταυρὸς ἡμῶν στήριγμα. Σταυρὸς ἡμῶν καύχημα. Σταυρὸς ἡμῶν ἀγαλλίαμα.

Μαρτυρικόν.

Πρεσβεύσατε ὑπὲρ ἡμῶν Ἅγιοι Μάρτυρες, ἵνα ῥυσθῶμεν τῶν ἀνομιῶν ἡμῶν· ὑμῖν γὰρ ἐδόθη χάρις πρεσβεύειν ὑπὲρ ἡμῶν,

Δόξα, καὶ νῦν.

Χαίροις ἀσκητικῶν.

Στᾶσα ἐπὶ Σταυροῦ Ἰησοῦ, ἡ σὲ τεκοῦσα θρηνῳδοῦσα ὠδύρετο, βοῶσα, οὐ φέρω ταῦτα, προσηλωμένον ὁρᾶν, ἐπὶ ξύλου ὃν περ ἀπεκύησα, ἐγὼ καὶ διέφυγον, τὰς ὠδῖνας ὡς ἄνανδρος· καὶ πῶς ἀρτίως τῇ ὀδύνῃ συνέχομαι, καὶ σπαράττομαι, τὴν καρδίαν ἡ Ἀμέμπτος; ἄρτι γὰρ ἐκπεπλήρωται, τὸ ῥῆμα ὃ εἰρηκεν, ὁ Συμεὼν τῇ καρδίᾳ, ἐμῇ ῥομφαίαν ἐλεύσεσθαι· ἀλλ' ὦ νῦν Υἱέ μου, ἐξανάστηθι καὶ σῶσον τοὺς ἀνυμνοῦντάς σε.

ναι· διὸ δοξάζομεν Λόγε, τὴν ὑπέρνοῦν σου συγκατάβασιν.

Τὰ θαύματα τῶν Ἁγίων σου Μαρτύρων, τεῖχος ἀκαταμάχητον ἡμῖν δωρησάμενος Χριστὲ ὁ Θεὸς, ταῖς αὐτῶν ἱκεσίαις βουλὰς Ἐθνῶν διασκέδασον· τῆς Βασιλείας τὰ σκῆπτρα κραταίωσον, ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

Δόξα.

Τὸν συνάναρχον Λόγον.

Μεμυκότα σε κόρας Υἱὲ παμφίλτατε, ὀφθαλμοῖς καθορῶσα τὸ φῶς μου σβέννυται· οὐδὲ γὰρ Ἥλιον ὁρᾶν ὅλως ἀνέχομαι· ἤθελον Λόγε τοὺς ἐμοὺς, ἐξορυχθῆναι ὀφθαλμούς· σκοτισθῆτι φῶς Ἡλίου· ὁ γὰρ δοὺς σοι τὸ φῶς ἐν λόγῳ, ἐν τῷ Σταυρῷ τὰς κόρας ἔμυσε.

Τὸ πρωϊ ἀπόστιχα τοῦ ἑσπερινοῦ.

Τῇ δ'. ἑσπέρας, εἰς τὸ, Κύριε ἐκέκραξα, στιχηρὰ τῶν Ἀποστόλων. Χαίροις ἀσκητικῶν ἀλκὴ ὡς.

Βέλη ἠκονημένα ὑμεῖς, τοῦ δυνατοῦ ἀποσταλέντες Ἀπόστολοι, εἰς πᾶσαν τὴν Οἰκουμένην, ἀπτέρῳ τάχει σαρῶς, πάντα τῶν δαιμόνων ἀπημβλύνατε, δεινὰ καὶ πυρίφλογα, βέλη ὄντως Μακάριοι, πολυθείαν ἐκποδὼν ποιησάμενοι, καὶ διδάξαντες, τὴν εὐσέβειαν ἅπαντας, πρόβατα χρηματίσαντες, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, τοῦ ἀρχιποίμενος ὄντως, ὃς λύκων μέσον ἀπέστειλεν, ὑμᾶς τοῦ πραΰναι, τὴν αὐτῶν θηριωδίαν διὰ τῆς πίστεως.

Σάλου τῶν πειρασμῶν καὶ δεινῆς, ἐρεσχελίας τῶν ἀσέμνων αἱρέσεων, δαιμόνων κακοβουλίας, καὶ τῶν ἀνθρώπων πικρᾶς, συστροφῆς καὶ ζάλης Παμμακάριστοι, πυρὸς ἀρεγγοῦς τε, καὶ αἰωνίζοντος σκώληκος, βρυγμοῦ ὀδόντων, πάσης ἄλλης κολάσεως, ταῖς πρὸς Κύριον, ἱκεσίαις λυτρώσασθε, πάντας ἡμᾶς καὶ τεύξασθαι, αὐτὸν δυσωπήσατε, δι' ἐγκρατείας καὶ πόνων, τῆς ἀρετῆς ἀντιδόσεων, τυχεῖν κληρουχίας, Οὐρανῶν τε Βασιλείας καὶ μέγα ἔλεος.

Χαίροις ἡ ἱερὰ κεφαλὴ, τὸ καθαρὸν τῶν ἀρετῶν καταγώγιον, ὁ θεῖος τῆς θειοτάτης, ἱερωσύνης κανὼν, ὁ ποιμὴν ὁ μέγας ὁ φανώτατος, πυρσὸς ὁ τῆς νίκης, ἐπιφερόμενος ὄνομα, ὁ δερμένοις συμπαθῶς ἐπικλώμενος, ὁ καμπτόμενος, ἀσθενῶν ταῖς δεήσεσι, ῥύστης ὁ ἑτοιμότατος, φρουρὸς ὁ σωτήριος, πᾶσι τοῖς πίστει τιμῶσι, τὴν πανσεβάσμιον μνήμην σου, Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Εἰς τὸν στίχον, στιχηρὰ Ἀποστολικά.

Μαθηταὶ τοῦ Σωτῆρος, Μυστηρίων αὐτόπται γενόμενοι, τὸν μὴ θεωρούμενον, καὶ ἀρχὴν μὴ ἔχοντα, ἐκηρύξατε λέγοντες. Ἐν ἀρχῇ ἦν ὁ Λόγος· οὐκ ἐκτίσθητε πρὸ τῶν Ἀγγέλων, οὐκ ἐμάθετε παρὰ ἀνθρώπων, ἀλλ' ἐκ τῆς ἄνωθεν Σοφίας· διὸ παῤῥησίαν ἔχοντες, πρεσβεύσατε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Τοὺς Ἀποστόλους Κυρίου με-

λῳδικῶς ἐν ᾠδαῖς ἀνευφημήσωμεν· ἐνδυσάμενοι γὰρ τὴν τοῦ Σταυροῦ πανοπλίαν, τὴν τῶν Εἰδώλων πλάνην κατήργησαν, καὶ νικηφόροι ἀνεδείχθησαν στεφανῖται, ὧν ταῖς πρεσβείαις ὁ Θεὸς ἐλέησον ἡμᾶς.

Ἀκορέστῳ διαθέσει ψυχῆς, Χριστὸν οὐκ ἀρνησάμενοι, Ἅγιοι Μάρτυρες, τοὺς δεινοὺς καὶ διαφόρους αἰκισμοὺς παθημάτων ὑπεμείνατε· τῶν Τυράννων τὰ θράση κατηδαφίσατε· ἀκλινῆ καὶ ἄτρωτον τὴν πίστιν φυλάξαντες, εἰς Οὐρανοὺς μετέστητε· ὅθεν καὶ παῤῥησίας τυχόντες πρὸς αὐτὸν, αἰτήσασθε δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν.

Χαῖρε Κεχαριτωμένη Μήτηρ Χριστοῦ τοῦ Θεοῦ, ὅτι ἐπέφανέ σοι ὁ Βασιλεὺς τῆς δόξης· καὶ ἐπεσκίασέ σοι τὸ Πανάγιον Πνεῦμα· ὡς παῤῥησίαν ἔχουσα, πρέσβευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τῇ ε. εἰς τὸν Ὄρθρον μετὰ τὴν ά στιχολ. Καθίσματα Ἀποστολικά.

Τὸν συνάναρχον Λόγον

Ὡς αὐτόπτας τοῦ Λόγου καὶ ὑπηρέτας Χριστοῦ, τοὺς σοφοὺς Ἀποστόλους ἀνευφημήσωμεν, ἐν ᾠδαῖς πνευματικαῖς, καὶ ὕμνοις ἅπαντες πιστοί· τὸν Χριστὸν γὰρ ἐκτενῶς, καθικετεύουσιν, αὐτοὶ ὑπὲρ ἡμῶν τῶν ὑμνούντων, τὴν ἱερὰν αὐτῶν μνήμην, καὶ προσκυνούντων τὰ λείψανα.

Τοὺς Ἀποστόλους συμφώνως ἀνευφημήσωμεν, ὡς κηρύξαντας πᾶσι πιστοῖς τὴν ἄψευστον, καὶ ὀρθόδοξον τοῦ Κυρίου διδαχὴν, καὶ ἐκδιώξαντας, τὴν τῶν αἱρέσεων ἀχλὺν, καὶ φωτισμὸν πνευματικὸν ἐκλαμψαντας ἐν τῷ Κόσμῳ, τὴν χάριν τὴν τῶν δογμάτων, καὶ δυσωποῦντας τοῦ σωθῆναι ἡμᾶς.

Δόξα, καὶ νῦν Θεοτοκίον.

Ἀπειρόγαμε Νύμφη καὶ Ἀειπάρθενε, σὺν τοῖς θείοις αὐτόπταις ἀνευφημοῦμέν σε· ὅτι ἐν σοὶ ὁ Δυνατὸς μεγαλεῖα ἐποίησεν, ὁ Υἱός σου καὶ Θεός, ὁ πρὸ αἰώνων ἐκ Πατρὸς, τῇ Μήτρᾳ σου ἐνοικήσας, εὐδόκησε γεννηθῆναι, ἵνα ἐκ πλάνης σώσῃ τὸ γένος ἡμῶν.

Μετὰ τὴν β'. στιχολ. Καθίσματα Ἀποστολικά.

Κύριε, τὸ ποτήριον

Κύριε, τὸ ἀπόῤῥητον Μυστήριον τῆς σῆς σαρκώσεως κηρύξαντες οἱ ἀσοφοι, Φιλοσόφους κατήσχυναν· τοὺς ῥήτορας ἀλιεῖς ἐπεσόμισαν, καὶ γεγόνασι τῶν Ἐθνῶν σοφοὶ Διδάσκαλοι, φωτίσαντες τὰ πέρατα φωτὶ τῆς θείας γνώσεως· δι' αὐτῶν δίδου ἡμῖν τὸ μέγα ἔλεος.

Κύριε, τὸ ποτήριον τοῦ πάθους σου οἱ Αὐλοφόροι σου ζηλώσαντες, κατέλιπον τὴν τοῦ βίου τερπνότητα καὶ γεγόνασι τῶν Ἀγγέλων συμμέτοχοι· αὐτῶν ταῖς παρακλήσεσι παράσχου ταῖς ψυχαῖς ἡμῶν, ἵλασμὸν ἁμαρτιῶν, καὶ τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. Τὸν συνάναρχον.

Τὴν ταχεῖάν σου σκέπην, καὶ τὴν

τὴν βοήθειαν, καὶ τὸ ἔλεος δεῖξον, ἐπὶ τὸν δοῦλόν σου καὶ τὰ κύματα Ἀγνὴ καταπράϋνον, τῶν ματαίων λογισμῶν, καὶ τὴν πεσοῦσάν μου ψυχὴν, ἀνάςησον Θεοτόκε· οἶδα γὰρ οἶδα Παρθένε, ὅτι ἰσχύεις ὅσα καὶ βούλοιο.

Τὸ πρωΐ ἀπόστιχα τοῦ ἑσπερινοῦ

Τῇ ε. Ἐσπέρας, εἰς τὸ, Κύριε ἐκέκραξα, στιχηρὰ Σταυρώσιμα.

Χαίροις ἀσκητικῶν.

Πάθος τὸ σὸν Χριστὲ προτυπῶν, Μωσῆς ὁ μέγας σου θεράπων ἀνύψωσεν, Οἰκτίρμων χαλκοῦν τὸν Ὄφιν, ὄφεων βλάβης βροτοὺς, ἰοβόλου δήγματος ἐξαιρούμενος· καὶ νῦν σταυρωθέντος σου, ἐπὶ ξύλου μακρόθυμε, κόσμον ἐκ βλάβης, ἐλυτρώσω τοῦ ὄφεως, καὶ ἀνύψωσας, ἀπὸ γῆς πρὸς οὐράνια ὄθεν καὶ ἀγαλλόμενοι, ὑμνοῦμεν τὸ κράτος σου, καὶ τὸν Σταυρόν σου τιμῶμεν, καὶ προσκυνοῦμεν φιλάνθρωπε, δι' οὗ πᾶσα Κτίσις, εὗρεν ἄπονον ἀξίαν καὶ μέγα ἔλεος.

Θέλων τὰς διαθέσεις Ἀδὰμ, τοῦ πρωτοπλάστου ἐξηλῶσαι φιλάνθρωπε, εἰς τέλος πᾶσαν ὀδύνην, ὁ Πλαστουργὸς τοῦ Ἀδὰμ, ἥλοις προσηλώθης ἀναμάρτητε, Χριστὲ καὶ τῇ λόγχῃ, θείαν πλευρὰν τρωθεὶς δι' ἡμᾶς, κωλύεις Λόγε, τὴν ῥομφαίαν τὴν φλογίνην, μὴ κωλύειν ἡμῖν, τοῖς σοῖς δούλοις τὴν εἴσοδον· ὅθεν δοξολογοῦντες σε, ὑμνοῦμεν τὸ κράτος σου, καὶ τὸν Σταυρόν σου τιμῶμεν, καὶ προσκυνοῦμεν φιλάνθρωπε, δι' οὗ πᾶσα κτίσις, εὗρεν ἄπονον ἀξίαν, καὶ μέγα ἔλεος.

Ἔχων πεφορτισμένον ἀεὶ, τὸ τῆς ψυχῆς μου ἐπαυχένιον Δέσποινα, ἐκ πλήθους ἁμαρτημάτων, καὶ συμφορῶν χαλεπῶν, οὐ τολμῶ πρὸς ὕψος ἆραι ὄμματα· διὸ νενευκὼς εἰς γῆν, ἐκ καρδίας κραυγάζω σοι, ἐλέησόν με, ἡ Θεὸν πολυεύσπλαγχνον, ἀνατείλασα, ἐξ ἀχράντου νηδύος σου· δεῖξον τῶν θαυμασίων σου, τὸ πλῆθος τὸ ἄπειρον, καὶ τὰς ἀχράντους καὶ θείας, πρὸς τὸν Υἱόν σου ἐκτείνασα, Παρθένε παλάμας, σωτηρίαν μοι παράσχου ταῖς ἱκεσίαις σου.

Εἰς τὸν στίχον στιχηρὰ Σταυρώσιμα.

Κύριε ἐπὶ Μωϋσέως ποτὲ τοῦ Προφήτου, μόνος ὁ τύπος τοῦ Σταυροῦ σου δεικνύμενος, ἐνίκα τοὺς ἐχθρούς σου· νῦν δὲ αὐτὸν τὸν Σταυρόν σου κατέχοντες, βοήθειαν αἰτοῦμεν· κράτυνον τὴν Ἐκκλησίαν σου, καὶ δώρησαι τοῖς Βασιλεῦσιν ἡμῶν, ὡς Κωνσταντίνῳ τὸ τρόπαιον· διὰ πλῆθος ἐλέους φιλάνθρωπε.

Ὁ σταυρός σου Κύριε, εἰ καὶ ξύλον ὁρᾶται τῇ οὐσίᾳ, ἀλλὰ θείαν περιβέβληται δυναστείαν, καὶ αἰσθητῶς τῷ Κόσμῳ φαινόμενος, νοητῶς τὴν ἡμῶν θαυματουργεῖ σωτηρίαν, ὃν προσκυνοῦντες δοξάζομέν σε, Σωτὴρ ἐλέησον ἡμᾶς.

Τῶν ἐπιγείων ἁπάντων καταφρονήσαντες, καὶ τῶν βασάνων ἀν-

Δημόσια Κεντρική Βιβλιοθήκη Πάτρας

δρείως καταπολεμήσαντες· τῶν μακαρίων ἐλπίδων οὐκ ἠστοχήσατε, ἀλλ' οὐρανῶν Βασιλείας κληρονόμοι γεγόνατε, πανεύφημοι Μάρτυρες· ἔχοντες παῤῥησίαν πρὸς τὸν φιλάνθρωπον Θεόν, τῷ Κόσμῳ τὴν εἰρήνην αἰτήσασθε, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Δόξα καὶ νῦν.

Χαίροις ἀσκητικῶν.

Λόγχη σου τὴν πλευρὰν ὦ Υἱέ, ὀρυττομένην καθορῶσα τιτρώσκομαι, τῆς λύπης δεινῇ ῥομφαίᾳ, καὶ στεναγμὸν ἐκ ψυχῆς, προΐεναι ὅλως οὐ δεδύνημαι, ἡ Πάναγνος ἔλεγε, παρεστῶσα τῷ πάθει σου, καὶ τὴν σφαγήν σου καθορῶσα τὴν ἄδικον, ἀνεξίκακε. ὑπεράγαθε Κύριε, ποῦ μοι τὰ εὐαγγέλια βοῶσα σὺν δάκρυσι; ποῦ ὁ τὸ Χαῖρέ μοι λέξας; ποῦ ἡ λοχεία ἡ ἄφραστος; ποῦ Πέτρος ὁ φίλος; ἀλλὰ δόξα τῇ ἀφάτῳ μακροθυμίᾳ σου.

Τῇ Παρασκευῇ, εἰς τὸν Ὄρθρον, μετὰ τὴν ἁ. Στιχολογ. Καθίσμ. Σταυρώσιμ.

Τὸ ξένον τῆς Παρθένου.

Τὸ ξύλον τοῦ Σταυροῦ σου Σωτὴρ ἡμῶν, τῷ Κόσμῳ ἀνεδείχθη σωτήριον· ἐν αὐτῷ γὰρ βουλήσει προσηλωθείς, τῆς κατάρας ἐῤῥύσω τοὺς γηγενεῖς, ἡ πάντων ζωή, Κύριε δόξα σοι.

Τὸν συνάναρχον Λόγον

Ἑκουσίως Οἰκτίρμων Σταυρὸν ὑπέμεινας, καὶ τὴν πάλαι κατάραν τὴν διὰ βρώσεως, ὡς Παντοδύναμος Θεός σὺ ἐξηφάνισας· διὸ τὰ θεῖα καὶ σεπτά, πάθη σου Δέσποτα Χριστὲ, ὑμνοῦμεν καὶ προσκυνοῦμεν, δοξολογοῦντες ἀπαύστως, τὴν ὑπὲρ νοῦν οἰκονομίαν σου.

Δόξα καὶ νῦν.

Τῷ Σταυρῷ τοῦ Κυρίου παρισταμένη, θρηνῳδοῦσα ἐβόα ἡ Θεοτόκος· Οἴμοι Τέκνον μου θεῖον, φῶς μου γλυκύτατον, πῶς ἐτανύθης ἐν Σταυρῷ, ὁ τείνας Θεϊκῶς τὸν Οὐρανὸν ὡσεὶ δέῤῥιν, καὶ ἐκ θαλάσσης ἀνάγων πηγὰς ὑδάτων τῷ σῷ προστάγματι;

Μετὰ τὴν β'. στιχολ. Καθίσμ.

Τὸν συνάναρχον Λόγον.

Ἐκ τοῦ ξύλου πικρίαν Ἀδὰμ ἐτρύγησε, πρὸς φθορὰν ὀλισθήσας ῥθόνῳ τοῦ ὄφεως· σοῦ δὲ παγέντος Ἰησοῦ, ζωὴν ἐτρύφησε, καὶ διὰ ξύλου τοῦ Σταυροῦ, πάλιν οἰκεῖ τοὺς Οὐρανούς, καὶ κατηργήθη ὁ ὄφις, καὶ ἡ φθορὰ κατεπόθη, καὶ πάντες δόξαν σοι ἀναπέμπομεν.

Λάμπει σήμερον ἡ μνήμη τῶν Μυροφόρων· ἔχει γὰρ καὶ Οὐρανόθεν ἀπαύγασμα· ὁ χορὸς τῶν Ἀγγέλων πανηγυρίζει, καὶ τῶν ἀνθρώπων τὸ γένος συνεορτάζει· διὸ καὶ πρεσβεύουσι τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, καὶ νῦν.

Τὸν συνάναρχον Λόγον.

Γαβριὴλ μοι τὸ Χαῖρε πρὶν προσεκόμισε, μετ' ἐμοῦ δὲ φωνήσας ἔσεσθαι Κύριον, ἡ Θεοτόκος ἐνκλαυθμῷ πικρῷ ἐφθέγγετο· Πῶς οὖν εἰς λύπην ἡ χαρὰ, νῦν μοι ἐγένετο Υἱέ

Υἱέ; καὶ πῶς ὡς ἄπαις φανοῦμαι, ἡ ἀπειράνδρως τεκοῦσα, σὲ τὸν Σωτῆρα τῶν ψυχῶν ἡμῶν.

Τὸ πρωΐ ἀπόστιχα τοῦ ἑσπερινοῦ.

Τῇ Παρασκευῇ Ἑσπέρας, εἰς τὸ, Κύριε ἐκέκραξα· στιχηρὰ Δεσποτικά.

Χαίροις ἀσκητικῶν ἀληθῶς.

Φεῖσαι τοῦ σοῦ οἰκέτου Χριστέ, ἡνίκα μέλλῃ ἡ ψυχή μου τοῦ σώματος προστάξει σου χωρισθῆναι, τοῦ ἀγαγόντος εἰς ἕν, τὸν χοῦν καὶ τὸ πνεῦμα θείῳ νεύματι, ἐχθρῶν ἀοράτων, ἐπιδρομῆς καὶ κακώσεως, ἐνεδρευόντων, ἀφειδῶς διασπάσαί με, καὶ καταβρῶμα, ἑαυτῶν ἀπεργάσασθαι, ῥῦσαί με καὶ ἀξίωσον, τυχεῖν ἀναψύξεως. ἔνθα ἀπέδρα ὀδύνη, καὶ στεναγμὸς ἔνθα πέφυκε, τρυφῆς ὁ χειμάῤῥους, καὶ φωνὴ ἐορταζόντων, καὶ ἀγαλλίασις.

Ἆραν τῆς τελευτῆς δεδοικώς, καὶ τῶν δαιμόνων τὴν φρικτὴν ἐπανάστασιν, βοῶσοι ἐκ κατωδύνου ψυχῆς ὁ τάλας ἐγώ, τὰς αὐτῶν παγίδας καὶ τὰ σκάνδαλα, τῇ σῇ δυναστείᾳ, Δέσποτα Κύριε σύντριψον, καὶ μὴ ἐάσῃς τῆς αὐτῶν με σκαιότητος, παραναλωμα, χρηματίσαι τὸν δοῦλόν σου· ἴδε μου τὴν κατήφειαν, καὶ πρόσχες τῇ θλίψει μου, καὶ τὴν ἀθλίαν ψυχήν μου τῶν ὀδυνῶν ἐλευθέρωσον, Θεοτόκε Πανοικτίρμον, ὁ δωρούμενος τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Μαρτυρικὸν αὐτόμελον.

Ἀκορέστῳ διαθέσει ψυχῆς, Χριστὸν οὐκ ἀρνησάμενοι, Ἅγιοι Μάρτυρες· οἵτινες διαφόρους αἰκισμοὺς παθημάτων ὑπομείναντες, τῶν Τυράννων τὰ θράση κατηδαφίσατε ἀκλινῆ καὶ ἄτρωτον τὴν πίστιν φυλάξαντες, εἰς οὐρανοὺς μετέστητε· ὅθεν καὶ παῤῥησίας τυχόντες πρὸς αὐτὸν, αἰτήσασθε δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν, Θεοτοκίον.

Εἰς τὸν στίχον Μαρτυρικά.

Ἐν τῇ Ἐρυθρᾷ Θαλάσσῃ φύλ. 323.

Τῶν ἐπιγείων ἁπάντων καταφρονήσαντες, καὶ τῶν βασάνων ἀνδρείως κατατολμήσαντες, τῶν μακαρίων ἐλπίδων οὐκ ἠσχύνατε, ἀλλ' Οὐρανῶν Βασιλείας, κληρονόμοι γεγόνατε, πανεύφημοι Μάρτυρες· ἔχοντες παῤῥησίαν πρὸς τὸν φιλάνθρωπον Θεόν, τῷ Κόσμῳ τὴν εἰρήνην αἰτήσασθε, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Στίχ. Μακάριοι οὓς ἐξελέξω.

Ἐμνήσθην τοῦ Προφήτου βοῶντος, ἐγώ εἰμι γῆ καὶ σποδός· καὶ πάλιν κατενόησα ἐν τοῖς μνήμασι καὶ εἶδον τὰ ὀστᾶ τὰ γεγυμνωμένα καὶ εἶπα· Ἆρα τίς ἐστι βασιλεύς, ἢ στρατιώτης, ἢ πλούσιος, ἢ πένης, ἢ δίκαιος, ἢ ἁμαρτωλός; ἀλλὰ ἀνάπαυσον Κύριε, μετὰ δικαίων τοὺς δούλους σου, ὡς φιλάνθρωπος.

Στίχ. Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς.

Σὺ ἔπλασάς με Κύριε, καὶ ἔθηκας ἐπ' ἐμὲ τὴν χεῖρά σου, καὶ ἐνετείλω μοι,

μοι, καὶ εἶπας· εἰς γῆν πάλιν πορεύσῃ· ὁδήγησόν με εἰς εὐθεῖαν ὁδόν σου· συγχώρησόν μοι τὰ πλημμελήματά μου, καὶ ἄνες μοι δέομαι, ὡς φιλάνθρωπος.

Δόξα, καὶ νῦν.

Σὲ δυσωποῦμεν ὡς Θεοῦ Μητέρα, εὐλογημένη, πρέσβευε σωθῆναι ἡμᾶς.

Τῷ Σαββάτῳ εἰς τὸν Ὄρθρον, Μετὰ τὴν ἀ. στιχολογίαν, Καθίσμ. Μαρτυρικά.

Κύριε τὸ ποτήριον τοῦ πάθους σου, οἱ Ἀθλοφόροι σου ζηλώσαντες, κατέλιπον τὴν τοῦ βίου τερπνότητα, καὶ γεγόνασι τῶν Ἀγγέλων συμμέτοχοι· αὐτῶν ταῖς παρακλήσεσι, παράσχου ταῖς ψυχαῖς ἡμῶν, ἱλασμὸν ἁμαρτιῶν, καὶ τὸ μέγα ἔλεος.

Τῶν Ἁγίων Μαρτύρων τὰ κατορθώματα, Οὐρανῶν αἱ Δυνάμεις ὑπερεθαύμασαν, ὅτι ἐν σώματι θνητῷ, τὸν ἀσώματον ἐχθρὸν, τῇ Δυνάμει τοῦ σταυροῦ, ἀγωνισάμενοι καλῶς, ἐνίκησαν ἀοράτως, καὶ πρεσβεύουσι τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, καὶ νῦν.

Χαῖρε πύλη Κύριε ἡ διοδεύσασα, Χαῖρε τεῖχος καὶ σκέπη τῶν προστρεχόντων εἰς σέ. Χαῖρε ἀχείμαστε λιμήν καὶ Ἀπειρόγαμε, ἡ τεκοῦσα ἐν σαρκὶ τὸν Ποιητήν σου καὶ Θεόν· πρεσβεύουσα μὴ ἐλλίπῃς ὑπὲρ τῶν ἀνυμνούντων, καὶ προσκυνούντων τὸν Τόκον σου.

θαρῶς ἀναφαίνεται, καὶ προέχουσιν, αἱ πηγαὶ τῆς χρηστότητος, ἔνθα περιχορεύουσι, τρανῶς ἀγαλλόμενοι, πάντων δικαίων οἱ δῆμοι, περὶ τὴν σὴν ἀγαθότητα· μεθ' ὧν κατατάξας, τοὺς οἰκέτας σου παράσχου, τούτοις τὸ ἔλεος.

Στίχ. Μακάριοι οὓς ἐξελέξω.

Ψάλλειν παναρμονίᾳ φωνῇ, δοξολογεῖν τε τὸ σὸν κράτος εὐδόκησον, Οἰκτίρμων τοὺς μεταστάντας, ἐκ τῶν προσκαίρων πρὸς σέ, τὸν Δεσπότην πάντων καὶ Φιλάνθρωπον, δίδους ὡραιότητι, τοῦ σοῦ κάλλους ἐκλάμπεσθαι, καὶ τῆς γλυκείας, καὶ τερπνῆς μετουσίας σου, ἀπολαύειν τε, καὶ τρυφᾶν καθαρώτερον, ἔνθα περὶ τὸν θρόνον σου, χορεύουσιν Ἄγγελοι, καὶ τῶν Ἁγίων χορεῖαι, χαρμονικῶς περιέπουσι· μεθ' ὧν τοῖς σοῖς δούλοις, τὴν ἀνάπαυσιν παράσχου, καὶ μέγα ἔλεος.

Στίχ. Αἱ ψυχαὶ αὐτῶν.

Ὅπου τῶν Προφητῶν ὁ χορὸς, τῶν Ἀποστόλων καὶ Μαρτύρων τὰ τάγματα, καὶ πάντες οἱ ἀπ' αἰῶνος, δικαιωθέντες τῷ σῷ, σωτηρίῳ πάθει καὶ τῷ αἵματι· δι' οὗ ἐξηγόρασας, τὸν αἰχμάλωτον ἄνθρωπον· ἐκεῖ τοὺς πίστει, κοιμηθέντας ἀνάπαυσον, ὡς Φιλάνθρωπος, συγχωρῶν ὅσα ἥμαρτον· μόνος γὰρ ἀναμάρτητος, ἐν γῇ πεπολίτευσαι. Ἅγιος μόνος, καὶ μόνος, ἐν τεθνεῶσιν ἐλεύθερος· διὸ τοῖς σοῖς δούλοις, τὴν ἀνάπαυσιν παράσχου, καὶ μέγα ἔλεος.

Δόξα, καὶ νῦν Θεοτοκίον. Ὅμοιον.

Νόμῳ τῆς ἁμαρτίας ἡμᾶς, δεδουλωμένους, ἠλευθέρωσας Δέσποινα, ἐν Μήτρᾳ τὸν Νομοδότην, καὶ Βασιλέα Χριστὸν, συλλαβοῦσα μόνη Μητροπάρθενε· δι' οὗ δικαιούμεθα, δωρεᾷ τε καὶ χάριτι· ὃν νῦν δυσώπει, τὰς ψυχὰς τῶν εἰδότων σε, Θεομήτορα, βίβλῳ ζώντων ἐγγράψασθαι· ὅπως τῇ μεσιτείᾳ σου, σωθέντες Πανάμωμε, τῆς τοῦ Υἱοῦ σου εὐκταίας, ἀπολυτρώσεως τύχωσιν, αὐτὸν ἀνυμνοῦντες, τὸν παρέχοντα τῷ Κόσμῳ, τὸ μέγα ἔλεος.

Οἱ Μακαρισμοί.

Ὁ Ληστὴς ἐν τῷ Σταυρῷ, Θεὸν εἶναί σε πιστεύσας Χριστὲ, ὡμολόγησέ σε εἰλικρινῶς ἐκ καρδίας: Μνήσθητί μου Κύριε βοῶν, ἐν τῇ Βασιλείᾳ σου,

Τὸν ἀρχέκακον ἐχθρὸν, θανέντες Μάρτυρες ὠλύσατε, καὶ διήλθετε πρὸς τὰ ἄνω στεφθέντες, θείαις νίκαις τῷ παμβασιλεῖ, Θεῷ παριστάμενοι.

Ἱερωσύνης φωτὶ, οἱ Ἱεράρχαι λαμπρυνόμενοι, ἐδοξάσθησαν, καὶ Ὁσίων τὰ πλήθη, ἀϊδίου ἔτυχον ζωῆς· ὅθεν μακαρίζονται.

Νεκρώσιμον.

Σὺν τοῖς χοροῖς τῶν ἐκλεκτῶν, ἐν τόπῳ Δέσποτα ἀνέσεως, οὓς μετέστησας, κατασκήνωσον Λόγε, παραβλέψας τούτων τὰ ἐν τῇ γῇ, Σῶτερ πλημμελήματα.

Ὦ Τριὰς Ἱεραρχῶν, καὶ τῶν Μαρ-

Μαρτύρων τοῖς πίστει θανοῦσι, σωτηρίαν δώρησαι ψυχῆς, καὶ τὸ μέγα ἔλεος.

Θεοτοκίον.

Ἡ τὸν ἀχώρητον παντὶ, Θεοχαρίτωτε χωρήσασα, καὶ κυήσασα ὑπὲρ φύσιν καὶ λόγον, τοῦτον πᾶσιν ἵλεων ἡμῖν, γενέσθαι ἱκέτευε.

Τὸ πρωὶ ἀπόστιχα τοῦ ἑσπερινοῦ.

Τῷ Σαββάτῳ Ἑσπέρας, ὡς διετάχθη ἐν τῷ ἀ. ἤχῳ, φυλ. 126 εἰς τὸ, Κύριε ἐκέκραξα, στιχηρὰ ἀναστάσιμα.

ἦχος πλ. β'.

Νίκην ἔχων, Χριστὲ, τὴν κατὰ τοῦ ᾅδου, ἐν τῷ σταυρῷ ἀνῆλθες, ἵνα τοὺς ἐν σκότει θανάτου καθημένους, συναναστήσῃς σεαυτῷ, ὁ ἐν νεκροῖς ἐλεύθερος· ὁ πηγάζων ζωὴν ἐξ οἰκείου φωτός. Παντοδύναμε Σῶτήρ, ἐλέησον ἡμᾶς.

Σήμερον ὁ Χριστὸς, θάνατον πατήσας, καθὼς εἶπεν ἀνέστη, καὶ τὴν ἀγαλλίασιν τῷ κόσμῳ ἐδωρήσατο· ἵνα πάντες κραυγάζοντες, τὸν ὕμνον οὕτως εἴπωμεν· Ἡ πηγὴ τῆς ζωῆς, τὸ ἀπρόσιτον φῶς, παντοδύναμε Σωτὴρ, ἐλέησον ἡμᾶς.

Σὲ Κύριε τὸν ὄντα, ἐν πάσῃ τῇ κτίσει, ἁμαρτωλοὶ ποῦ φύγωμεν ἐν τῷ Οὐρανῷ; αὐτὸς κατοικεῖς· ἐν τῷ ᾅδῃ; ἐπάτησας θάνατον· εἰς τὰ βάθη τὰ τῆς θαλάσσης; ἐκεῖ ἡ χείρ σου Δέσποτα· πρὸς σὲ καταφεύγομεν, σοὶ προσπίπτοντες ἱκετεύομεν· Ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν, ἐλέησον ἡμᾶς.

Τὰ κατὰ Ἀλφάβητον.

Πύλας συντρίψας χαλκᾶς, καὶ μοχλοὺς τοῦ ᾅδου συνθλάσας, ὡς Θεὸς παντοδύναμος, γένος ἀνθρώπων πεπτωκὸς ἀνέστησας· διὰ τοῦτο καὶ ἡμεῖς συμφώνως βοῶμεν· Ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν, Κύριε δόξα σοι.

Ῥεύσεως ἡμᾶς τῆς πάλαι Χριστὸς, ἐπανορθῶσαι θέλων, σταυρῷ προσπήγνυται, καὶ τάφῳ τίθεται· ὃν Μυροφόροι γυναῖκες, μετὰ δακρύων ζητοῦσαι, θρηνοῦσαι ἔλεγον· Οἴμοι Σωτὴρ τῶν ἁπάντων, πῶς κατεδέξω τάφῳ οἰκῆσαι; οἰκήσας δὲ θέλων, πῶς ἐκλάπης; πῶς μετετέθης; ποῖος δὲ τόπος, τὸν σὸν ζωηφόρον κατέκρυψε σῶμα; Ἀλλὰ Δέσποτα, ὡς ὑπέσχου ἡμῖν ἐμφάνηθι· καὶ παῦσον ἀφ' ἡμῶν τὸν ὀδυρμὸν τῶν δακρύων· θρηνούσαις δὲ αὐταῖς, Ἄγγελος πρὸς αὐτὰς ἀπεβόησε· Τῶν θρήνων παυσάμεναι, Ἀποστόλοις εἴπατε· ὅτι ἀνέστη ὁ Κύριος, τῷ κόσμῳ δωρούμενος ἱλασμὸν, καὶ τὸ μέγα ἔλεος.

Σταυρωθεὶς ὡς ἠβουλήθης Χριστὲ, καὶ τὸν θάνατον τῇ ταφῇ σου σκυλεύσας, τριήμερος ἀνέστης, ὡς Θεὸς μετὰ δόξης· τῷ κόσμῳ δωρούμενος, ἀτελεύτητον ζωὴν, καὶ τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν Θεοτοκίον.

Ὁ ποιητὴς καὶ λυτρωτής μου πάναγνε, Χριστὸς ὁ Κύριος, ἐκ τῆς σῆς νηδύος προελθὼν, ἐμὲ ἐνδυσάμενος, τῆς πρώην κατάρας, τὸν Ἀδὰμ ἠλευθέρωσε· διὸ σοι πάναγνε, ὡς τοῦ Θεοῦ Μητρί τε, καὶ Παρθένῳ ἀληθῶς, βοῶμεν ἀσιγήτως, τὸ Χαῖρε τοῦ Ἀγγέλου· Χαῖρε Δέσποινα, προστασία καὶ σκέπη, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Ἀπολυτίκιον.

Ἀγγελικαὶ δυνάμεις ἐπὶ τὸ μνῆμά σου, καὶ οἱ φυλάσσοντες ἀπενεκρώθησαν· καὶ ἵστατο Μαρία ἐν τῷ τάφῳ ζητοῦσα, τὸ ἄχραντόν σου σῶμα· Ἐσκύλευσας τὸν ᾅδην μὴ πειρασθεὶς ὑπ' αὐτοῦ· ὑπήντησας τῇ Παρθένῳ δωρούμενος τὴν ζωήν· ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν, Κύριε δόξα σοι.

Θεοτοκίον.

Ὃ τὴν εὐλογημένην καλέσας σου Μητέρα, ἦλθες ἐπὶ τὸ πάθος ἑκουσίᾳ βουλῇ· λάμψας ἐν τῷ σταυρῷ, ἀναζητῆσαι θέλων τὸν Ἀδάμ, λέγων τοῖς Ἀγγέλοις· Συγχάρητέ μοι, ὅτι εὑρέθη ἡ ἀπολλυμένη δραχμή. Ὁ πάντα σοφῶς οἰκονομήσας δόξα σοι.

ΤΗ ΚΥΡΙΑΚΗ

Ἐν τῷ μεσονυκτικῷ.

ΚΑΝΩΝ ΤΡΙΑΔΙΚΟΣ.

(Ποίημα Μητροφάνους.)

Οὗ ἡ Ἀκροστιχίς.

Τὸν ἕκτον ὕμνον προσφέρω σοι, Θεότης.

Ὠδὴ Α'. Ὡς ἐν ἠπείρῳ πεζεύσας,

Τρεῖς ὑποστάσεις ὑμνοῦμεν Θεαρχι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αρχικὰς, ἐνιαίας φύσεως, ἀπαράλλακτον μορφὴν, ἀγαθὸν, φιλάνθρωπον Θεὸν, τῶν πταισμάτων ἱλασμὸν ἡμῖν δωρούμενον.

Ὁ ὑπερούσιος μόνος καὶ τριλαμπὴς, χαρακτῆρσι Κύριος, ἐν Θεότητι μιᾷ, πεφυκὼς συνέτισον ἡμᾶς, καὶ ἀξίωσον τῆς σῆς θείας ἐλλάμψεως.

Νυμφοστολίσας ὁ Παῦλος τὴν ἐξ ἐθνῶν, ἐκκλησίαν ἔναρσε, τρισυπόστατον Θεὸν, προσκυνεῖν ἐδίδαξεν, ἐξ οὗ καὶ δι' οὗπερ, καὶ ἐν ᾧ τὰ πάντα γέγονεν.

Θεοτοκίον.

Ἐκ τῆς γαστρός σου προῆλθεν ὁ νοητὸς, Θεοτόκε ἥλιος, καὶ κατηύγασεν ἡμᾶς, τριφαοῦς Θεότητος αὐγαῖς· ὃν ὑμνοῦντες εὐσεβῶς, σὲ μακαρίζομεν.

Ὠδὴ Γ'. Οὐκ ἔστιν ἅγιος ὡς σύ.

Κοσμήσας τρίφωτε Θεὲ, τάξεις τὰς οὐρανίους, κατεσκεύασας μέλπειν, τρισαγίαις σε φωναῖς· δέξαι μεθ' ὧν καὶ ἡμᾶς, ἀνυμνοῦντας σοῦ τὴν ἀγαθότητα.

Τὴν μόνην ἄτρεπτον τριττὴν, σύμμορφον ἐνιαίαν, Θεαρχίαν ὑμνοῦντες, λιταζομέν σε θερμῶς, ἁμαρτημάτων πολλῶν, καταπέμψαι νῦν ἡμῖν συγχώρησιν.

Ὁ νοῦς ὁ ἄναρχος Πατὴρ, σύμμορφε Θεοῦ Λόγε, καὶ τὸ Πνεῦμα τὸ θεῖον, τὸ ἀγαθὸν καὶ εὐθὲς, τοὺς ἀνυμνοῦντας πιστῶς, τὸ σὸν κράτος φρούρησον ὡς εὔσπλαγχνος.

Νοήσας πρότερον σοφῶς ὑπέρ-ςησας, τῶν Ἀγγέλων τὰς τάξεις λειτουργικάς, σοῦ τῆς ἀγαθότητος, ἡ τρισυπόςατος μονάς, μεθ' ὧν δέξαι μου τὴν αἴνεσιν.

Θεοτοκίον.

Ὁ φύσει ἄκτιστος, Θεὸς ἀίδιος, τὴν κτιστὴν τῶν ἀνθρώπων προσειληφὼς, φύσιν ἀνεμόρφωσεν, ἐν τῇ ἁγίᾳ σου γαςρὶ, Θεοτόκε Λειπάρθενε.

Ὠδὴ Ε'. Τῷ θείῳ φέγγει σου

Νοοῦντες φύσιν Θεαρχικὴν, προνοητικὴν καὶ σωςικὴν, πάντων ὑπάρχουσαν, Δέσποτα, τρίφωτόν τε μίαν πρὸς σὲ ὁρθριζομεν, συγχώρησιν αἰτοῦντες τῶν παραπτώσεων.

Πατὴρ ὁ ἄναρχος καὶ Θεὸς καὶ ὁ συναίδιος Υἱὸς, Πνεῦμα τὸ ἅγιον στήριξον, μοναρχικωτάτη Τριὰς τοὺς σοὺς ὑμνητὰς, καὶ πάσης ἐπηρείας ῥῦσαι καὶ θλίψεως.

Ῥυθμίζων λάμψεσι Θεουργοῖς, καὶ πρὸς εὐαρέστησιν τῆς σῆς τρισυποστάτου Θεότητος, ἥλιε τῆς δόξης καθοδηγῶν με ἀεὶ, καὶ θείας βασιλείας μέτοχον ποίησον.

Θεοτοκίον

Ὁ πάντα φέρων καὶ συντηρῶν, τῇ παντοδυνάμῳ σου χειρὶ, Λόγε Θεοῦ ἀναλλοίωτε, φρούρει καὶ συντήρει τοὺς σὲ δοξάζοντας, πρεσβείαις τῆς τεκούσης σε Θεομήτορος

Ὠδὴ ς'. Τοῦ βίου τὴν θάλασσαν.

Σοφίαν καὶ σύνεσιν, θεαρχίαν τριφαῆς, τοῖς ὑμνηταῖς σου δώρησαι, καὶ τοῦ κάλλους ἀκτῖσι τοῦ φωτουργοῦ, τῆς σῆς ἀγαθότητος καταλάμπεσθαι πάντας καταξίωσον. Δίς.

Φῶς τὸ ἀδιαίρετον, καὶ οὐσίαν τριλαμπὲς, παντοκρατὲς ἀπρόσιτον, τὰς καρδίας καταύγασον τῶν πιςῶς αἰνούντων τὸ κράτος σου· καὶ πρὸς θείαν ἀγάπην ἀναπτέρωσον·

Θεοτοκίον.

Ἐν σοὶ κατεσκήνωσεν, ἀειπάρθενε σαρῶς, ὁ συνοχεὺς καὶ Κύριος, τῶν ἁπάντων καὶ μίαν τρισσολαμπῆ, μορφὴν τῆς θεότητος, προσκυνεῖν τοὺς ἀνθρώπους εἰσηγήσατο.

Κάθισμα Τριαδικόν. Τὴν ὑπὲρ ἡμῶν.

Πάτερ καὶ Υἱὲ, σὺν Πνεύματι τῷ Ἁγίῳ, βλέψον εἰς ἡμᾶς τοὺς πίςει σε προσκυνοῦντας, καὶ δοξάζοντας τὸ κράτος σου εὐσπλαγχνε, σὺν τοῖς πυρίνοις οἱ πήλινοι· ἄλλον γὰρ πλὴν σου οὐκ οἴδαμεν· καὶ βόησον τοῖς ὑμνοῦσί σε: Ἐγώ εἰμι μεθ' ὑμῶν, καὶ οὐδεὶς καθ' ὑμῶν.

Δόξα, καὶ νῦν. Θεοτοκίον ὅμοιον.

Βλέψον εἰς ἡμᾶς, πανύμνητε Θεοτόκε· λάμψον φωτισμὸν, καρδίαις ἐσκοτισμέναις· καὶ καταύγασον τὴν ποίμνην σου πανάχραντε· ὅσα γὰρ θέλεις καὶ δύνασαι, ὡς Μήτηρ οὖσα τοῦ κτίσου σου, καὶ βόησον τοῖς αἰτοῦσί σε: Ἐγώ εἰμι μεθ' ὑμῶν, καὶ οὐδεὶς καθ' ὑμῶν.

Ὠδὴ ζ'. Δροσοβόλον μὲν τὴν κάμινον.

Ῥωμαλαίαν μοι διάνοιαν πρυτάνευσον, τρίφωτε χαρακτῆρι Μονάς, τοῦ φυλάττειν σου, καὶ τηρεῖν τὰς

τὰς θείας ἐντολάς· καὶ πάντοτε ψάλλειν σοι πιστῶς· Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ὡς ταυτότητι τῆς φύσεως ὑμνούμενος, ἀφράστως ἐνιαῖος Θεός· τοῖς προσώποις δὲ τῆς Τριάδος φέρων ἀριθμόν, συντήρησον ἅπαντας ἡμᾶς, ἀπὸ ποικίλων πειρασμῶν καὶ περιστάσεων.

Συμφυῆ καὶ συναίδιον δοξάζομεν, ἕνα σε κατ' οὐσίαν Θεόν, ἰδιότησιν ἀσυγχύτως ὑποστατικαῖς, Τριάς· τὸ διάφορον ἁπλῶς, προβαλλομένην ἐν μορφῇ, ἀπαραλλάκτῳ σαφῶς.

Θεοτοκίον.

Ὁ Θεὸς ὁ ὑπερούσιος προσείληφεν, ἄχραντε ἐκ γαστρός σου ἁγνῆς, τὸ ἡμέτερον φιλανθρώπως φύραμα σαφῶς, καὶ πάντας ἐδίδαξε βοᾷν· Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ὠδὴ Η΄. Ἐκ φλογὸς τοῖς ὁσίοις.

Ἴλασμὸν τῶν πταισμάτων θᾶττον παράσχου μοι, καὶ παθῶν πολυτρόπων τὴν ἀπολύτρωσιν, συμμορφε Τριάς, καὶ μονὰς τρισυπόστατε, ἵνα σε δοξάζω, εἰς πάντας τοὺς αἰῶνας.

Θελητὴς τοῦ ἐλέους καταγγελλόμενος, ὡς Θεός, ἐλεήμων πάντας ἐλέησον, τρίφωτε Μονάς, καὶ Τριὰς ὁμοούσιε, τοὺς δοξολογοῦντας τὴν σὴν ἀγαθωσύνην.

Ἐκ φωτὸς ἀϊδίου φῶς συναίδιον, τοῦ Πατρὸς γεννηθέντα, Λόγον σὺν Πνεύματι, τῷ ἐκπορευτῷ φωτὶ πίστει δοξάζομεν, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Ἰατρὸν τοῖς ἀνθρώποις ἄχραντε τέτοκας, παντοδύναμον Λόγον Χριστὸν τὸν Κύριον, τῆς προγονικῆς πληγῆς πάντας ἰώμενον, τοὺς ὑπερυψοῦντας αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ Θ΄. Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον.

Ὁρᾶν αἱ τάξεις Χερουβὶμ Δέσποτα, κάλλους τοῦ σοῦ τὴν δόξαν οὐ δυνάμεναι, πτέρυξι κατακαλυπτόμεναι ἀπαύστως, τριττὸν ὕμνον ἀναβοῶσι, τὸ τρισυπόστατον τῆς σῆς θεαρχίας ἐνικῆς κράτος δοξάζουσαι.

Τὰς σὰς ἐλλάμψεις ἄδυτε Ἥλιε, σῶν οἰκετῶν παράσχου ταῖς καρδίαις, καὶ φώτισον τὰς ψυχάς, καὶ λύτρωσαι πταισμάτων πολλῶν, μόνε παντελεήμων, καὶ τρισυπόστατε, καὶ τῆς ἀκηράτου σου ζωῆς ἡμᾶς ἀξίωσον.

Ἡ φῶς ὁμότιμον καὶ τρισήλιον, καὶ φωτουργὸν θεότης πεφυκυῖα καταύγασον, τοὺς πιστῶς σε μέλποντας, καὶ τῆς ζοφερᾶς ῥῦσαι κακοπραγίας, καὶ καταξίωσον τῶν φωτεινοτάτων σου σκηνῶν, ὡς ὑπεράγαθος.

Θεοτοκίον.

Σοφῶς τὸν ἄνθρωπον πρὶν διέπλασεν, ὁ σὸς Υἱὸς Παρθένε, καὶ φθαρέντα ἀνέπλασε, διὰ σοῦ πανύμνητε, καὶ θείου φωτὸς αἴγλης τῆς ἀνεσπέρου, πάντας ἐπλήρωσε τοὺς σὲ Θεοτόκον ἀληθῶς ἀεὶ δοξάζοντας.

Ὄρθρος

Τὰ λοιπὰ καὶ τὴν ἀπολ. Ζήτ. εἰς Φ.37 Εἰς τὸν Ὄρθρον μετὰ τὸν ἑξάψαλμον

τὸ Θεὸς Κύριος. Τὸ ἀπολυτίκιον
Τροπάριον δίς, τὸ Θεοτοκίον ἅ
. Τὸ Ψαλτήριον, καὶ μετὰ τὴν ἁ.
οῦ στιχ. Καθίσματα.

Τοῦ τάφου ἀνεωγμένου, τοῦ
υ ὀδυρομένου, ἡ Μαρία ἐβόα
ς τοὺς κεκρυμμένους Ἀποσο-
ς: Ἐξέλθετε οἱ τοῦ ἀμπελῶνος
άται, κηρύξατε τὸν τῆς Ἀναστά-
ς λόγον· ἀνέστη ὁ Κύριος, πα
ων τῷ Κόσμῳ, τὸ μέγα ἔλεος.

Δόξα

Κύριε, παρίσατο τῷ τάφῳ σου
ρια ἡ Μαγδαληνὴ, καὶ ἔκλαιε
σα, καὶ κηπουρὸν σε νομίζου-
έλεγε: Ποῦ ἔκρυψας τὴν αἰω-
ζωήν; ποῦ ἔθηκας τὸν ἐπί
νου Χερουβίμ; οἱ γὰρ τοῦτον
άσσοντες, ἀπὸ τοῦ φόβου ἀπε-
ρώθησαν! ἢ τὸν Κύριόν μου δό-
σοι, ἢ σὺν ἐμοὶ κραυγάσατε:
ἐν νεκροῖς καὶ τοὺς νεκροὺς ἀνα-
σας δόξα σοι.

Καὶ νῦν. Θεοτοκίον.

Προίστορεῖ ὁ Γεδεὼν τὴν Σύλ-
ιν, καὶ ἑρμηνεύει ὁ Δαβὶδ τὸν
ον σου Θεοτόκε· κατέβη γὰρ ὡς
ὸς ἐπὶ πόκον, ὁ Λόγος ἐν τῇ
τρί σου, καὶ ἐβλάστησας ἄνευ
ρᾶς Γῆ ἁγία, τοῦ Κόσμου τὴν
τηρίαν, Χριστὸν τὸν Θεὸν ἡμῶν
εχαριτωμένη.

τὰ τὴν β'. στιχολογ. Καθίσματα.

Ἡ ζωὴ ἐν τῷ τάφῳ ἀνέκειτο·
σφραγὶς ἐν τῷ λίθῳ ἐπέκειτο,
Βασιλέα ὑπνοῦντα στρατιῶται
λαττον Χριστὸν, καὶ τοὺς ἐ-
ούς αὐτοῦ ἀορασίᾳ πατάξας,
στη ὁ Κύριος.

Δόξα.

Προίστορεῖ ὁ Ἰωνᾶς τὸν τάφον
σου, καὶ ἑρμηνεύει Συμεὼν τὴν ἔ-
γερσιν τὴν ἔνθεον, ἀθάνατε Κύριε·
κατέβης γὰρ ὡσεὶ νεκρὸς ἐν τῷ
τάφῳ, ὁ λύσας ᾅδου τὰς πύλας
ἀνέστης δὲ ἄνευ φθορᾶς, ὡς Δεσπό-
της, τοῦ Κόσμου εἰς σωτηρίαν,
Χριστὲ ὁ Θεὸς ἡμῶν, φωτίσας τοὺς,
ἐν σκότει.

Καὶ νῦν. Θεοτοκίον.

Θεοτόκε Παρθένε, ἱκέτευε τὸν
Υἱόν σου, τὸν ἑκουσίως προσπαγέν-
τα ἐν σταυρῷ, καὶ ἀναστάντα ἐκ
νεκρῶν, Χριστὸν τὸν Θεὸν ἡμῶν,
σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Μετὰ τὸν Ἄρωμον, τὰ Εὐλογητάρια ἡ αἴτησις, καὶ ἡ Ὑπακοή.

Τῷ ἑκουσίῳ καὶ ζωοποιῷ σου
θανατῷ Χριστὲ, πύλας τοῦ ᾅδου
συντρίψας ὡς Θεὸς, ἤνοιξας ἡμῖν
τὸν παλαι παράδεισον· καὶ ἀναστὰς
ἐκ τῶν νεκρῶν, ἐρρύσω ἐκ φθορᾶς
τὴν ζωὴν ἡμῶν.

Οἱ Ἀναβαθμοί. Ἀντίφωνον ἀ.

Ἐν τῷ οὐρανῷ τοὺς ὀφθαλμούς
μου αἴρω, πρός σε Λόγε, οἰκτει-
ρόν με, ἵνα ζῶσοι.

Ἐλέησον ἡμᾶς τοὺς ἐξουθε-
νημένους, καταρτίζων εὐχρηστα,
σκεύη σου Λόγε.

Δόξα, καὶ νῦν,

Ἁγίῳ Πνεύματι, πανσωσικὴ
αἰτία· εἴ τινι τούτων κατ' ἀξίαν
πνεύσει, τάχει ἐξαίρει τῶν τῆς γῆς,
πτεροῖ, αὔξει τάττει ἄνω.

Ἀντίφωνον β'.

Εἰμὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν, εἰπάτω
δὴ

δεὶς ἡμῶν ἀντισχεῖν ἠδύνατο, ἐχθροῦ πάλαισμα· οἱ νικῶντες γὰρ ἔνθεν ὑψοῦνται,

Τοῖς ὀδοῦσιν αὐτῶν, μή μου λυμθήτω ἡ ψυχή, ὡς στρουθίον Λόγε· οἴμοι πῶς μέλλω τῶν ἐχθρῶν ῥυσθῆναι, φιλαμαρτήμων ὑπάρχων;

Δόξα, καὶ νῦν

Ἁγίῳ Πνεύματι, ἐνθέωσις τοῖς πᾶσιν, εὐδοκία, σύνεσις, εἰρήνη καὶ ἡ εὐλογία· ἰσουργὸν γὰρ τῷ Πατρὶ ἐστὶ καὶ Λόγῳ.

Ἀντίφωνον γ'.

Οἱ πεποιθότες ἐπὶ Κύριον, ἐχθροῖς φοβεροί, καὶ πᾶσι θαυμαστικοί· ἄνω γὰρ ὁρῶσιν.

Ἐν ἀνομίαις χεῖρας αὐτῶν, ὁ τῶν δικαίων κλῆρος, ἐπίκουρόν σε ἔχων, Σῶτερ οὐκ ἐκτείνει.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι, τὸ κράτος ἐπὶ πάντων· ὅπερ αἱ ἄνω στρατηγίαι προσκυνοῦσι, σὺν πάσῃ πνοῇ τῶν κάτω.

Προκείμενον

Κύριε, ἐξέγειρον τὴν δυναστείαν σου, καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς· στίχ· Ὁ ποιμένων τὸν Ἰσραὴλ πρόσχες. Πᾶσα πνοή. Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι, τὸ Εὐαγγέλιον, καὶ τὰ λοιπά, ὡς εἰς Φυλ. 132 οἱ Κανόνες οὗτοι, καὶ τοῦ Μηναίου.

Ὠδὴ α'. Ὁ Εἱρμός.

Ὡς ἐν ἠπείρῳ πεζεύσας ὁ Ἰσραήλ, ἐν Ἀβύσσῳ ἴχνεσι, τὸν διώκτην Φαραὼ, καθορῶν ποντούμενον Θεῷ, ἐπινίκιον ᾠδὴν, ἐβόα ἄσωμεν.

Ἐκτεταμέναις παλάμαις ἐπὶ

Ἡ μαργαρίτην τῆς θείας ἐξαστραπῆς τὸν Χριστὸν κυήσασα, τῶν παθῶν μου τὴν ἀχλύν, καὶ πταισμάτων τάραχον ἀγνή, διασκέδασον φωτὶ τῆς σῆς λαμπρότητος.

Ὠδὴ Γ'. Ὁ Εἱρμός.

Οὐκ ἔστιν Ἅγιος ὡς σύ, Κύριε ὁ Θεός μου, ὁ ὑψώσας τὸ κέρας, τῶν πιστῶν σου ἀγαθέ, καὶ στερέωσας ἡμᾶς ἐν τῇ πέτρᾳ τῆς ὁμολογίας σου.

Θεὸν σταυρούμενον σαρκί, καθορῶσα ἡ κτίσις, διελύετο φόβῳ· ἀλλὰ τῇ συνεκτικῇ παλάμῃ τοῦ δι' ἡμᾶς, σταυρωθέντος κραταιῶς συνείχετο.

Θανάτῳ θάνατος λυθείς, κεῖται δείλαιος ἅπνους· τῆς ζωῆς γὰρ μὴ φέρων, τὴν ἔνθεον προσβολήν, νεκροῦται ὁ ἰσχυρὸς, καὶ ὠρεῖται πᾶσιν ἡ Ἀνάστασις.

Θεοτοκίον.

Τοῦ θείου τόκου σου ἁγνή, πᾶσαν φύσεως τάξιν, ὑπερβαίνει τὸ θαῦμα. Θεὸν γὰρ ὑπερφυῶς, συνέλαβες ἐν γαστρί· καὶ τεκοῦσα, μένεις ἀειπάρθενος.

Σταυρωθεὶς ἐπὶ τοῦ ξύλου, ἐκ τοῦ τάφου ἀνέστησε τὸν Ἀδάμ, καὶ τὴν πλάσιν ἐν αὐτῷ, ἀφθαρσίᾳ ἐνέδυσε· καὶ ἐν τῇ τρισημέρῳ ἐγέρσει αὐτοῦ, ἐν τῇ ἀναστάσει τῶν νεκρῶν, ἐν τῇ ἀφθαρσίᾳ τῶν σωμάτων, ἐν τῇ ἀθανασίᾳ τῶν ψυχῶν, ἐν τῇ ἀπολαύσει τῶν ἀγαθῶν, ἐν τῇ ἀπολαύσει τῆς ζωῆς, ἐν τῇ ἀπολαύσει τῆς βασιλείας, ἐν τῇ ἀπολαύσει τῆς δόξης, ἐν τῇ ἀπολαύσει τῆς χαρᾶς, ἐν τῇ ἀπολαύσει τῆς εἰρήνης, ἐν τῇ ἀπολαύσει τῆς ἀγάπης, ἐν τῇ ἀπολαύσει τῆς ἁγιότητος, ἐν τῇ ἀπολαύσει τῆς δικαιοσύνης, ἐν τῇ ἀπολαύσει τῆς ἀληθείας, ἐν τῇ ἀπολαύσει τῆς πίστεως, ἐν τῇ ἀπολαύσει τῆς ἐλπίδος

Κανὼν Σταυροαν.

Τὴν ἐν σταυρῷ σου θείαν κένωσιν.

Τὸν τίμιον σταυρόν σου σέβομεν, καὶ τοὺς ἅγιους Χριστέ, καὶ τὴν Ἁγίαν λόγχην, σὺν τῷ Καλάμῳ, Στέφανον τὸν ἐξ ἀκανθῶν, δι' ὧν ἐκ τῆς τοῦ Ἅδου φθορᾶς ἐρρύσθημεν.

Τάφος Σωτὴρ σε ὑπεδέξατο, ἑκουσίως νεκρὸν, ὑπὲρ ἡμῶν ὀφθέντα· ἀλλ' οὐδαμῶς δεδύνηται Λόγε κατασχεῖν· ὡς Θεὸς γὰρ ἀνέστης, σώζων τὸ γένος ἡμῶν.

Τῆς Θεοτόκου.

Χριστὸς μου δύναμις.

Ὑμνοῦμεν ἄχραντε, σὲ τὴν πανάμωμον, διὰ σοῦ οἱ σωθέντες καὶ εὐσεβῶς, μέλποντες κραυγάζομεν· Εὐλογημένη ἡ Θεὸν, ἀειπάρθενε κυήσασα.

Τὸ φῶς τὸ ἄδυτον, παρθένε τέτοκας, τοῖς ἐν σκότει τοῦ βίου διὰ σαρκὸς, φαῖνον παμμακάριστε, καὶ τοῖς ὑμνοῦσί σε χαρὰν, ἀειπάρθενε ἐπήγασας.

Ὠδὴ Ε'. Ὁ Εἱρμός.

Τῷ θείῳ φέγγει σου ἀγαθὲ, τὰς τῶν ὀρθριζόντων σοι ψυχὰς, πόθῳ καταύγασον δέομαι· σὲ εἰδέναι Λόγε Θεοῦ τὸν ὄντως Θεὸν, ἐκ ζόφου τῶν πταισμάτων ἀνακαλούμενον.

Ὑποχωρεῖ μοι τὰ Χερουβίμ, νῦν καὶ ἡ φλογίνη ῥομφαία, Δέσποτα νῶτά μοι δίδωσι· σὲ ἰδόντα Λόγε Θεοῦ, τὸν ὄντως Θεὸν, Λῃστὴ ὁδοποιήσαντα τὸν παράδεισον.

Οὐκέτι δέδοικα τὴν εἰς γῆν, Δέσποτα Χριστὲ ὑποστροφήν. Σὺ γὰρ

Ωδὴ ς'. Ὁ Εἱρμός.

Τοῦ βίου τὴν θάλασσαν, ὑψουμένην καθορῶν, τῶν πειρασμῶν τῷ κλύδωνι· τῷ εὐδίῳ λιμένι σου προσδραμὼν βοῶ σοι. Ἀνάγαγε, ἐκ φθορᾶς τὴν ζωήν μου πολυέλεε.

Σταυρούμενος Δέσποτα, τοῖς μὲν ἥλοις τὴν ἀρὰν, τὴν καθ' ἡμῶν ἐξήλειψας· τῇ δὲ λόγχῃ νυττόμενος τὴν πλευρὰν, Ἀδὰμ τὸ χειρόγραφον, διαῤῥήξας, τὸν Κόσμον ἠλευθέρωσας.

Ἀδὰμ κατενήνεκται, δι' ἀπάτης πτερνισθείς, πρὸς τὸ τοῦ ᾅδου βάραθρον· ἀλλ' ὁ φύσει Θεός τε καὶ συμπαθὴς, κατῆλθες πρὸς ἔρευναν, καὶ ἐπ' ὤμων βαστάσας συνανέστησας.

Θεοτοκίον.

Ἡ πάναγνος δέσποινα, ἡ τεκοῦσα τοῖς βροτοῖς, τὸν κυβερνήτην Κύριον· τῶν παθῶν μου τὸν ἄσατον καὶ δεινὸν, κατεύνασον τάραχον· καὶ γαλήνην παράσχου τῇ καρδίᾳ μου.

Σταυροαν Συνεσχέθη, ἀλλ' οὐ κατεσχέθη.

Χριστοκτόνος, καὶ προφητοκτόνος, ἔφυ Ἑβραίων ἡ πληθύς· ὡς γὰρ προφήτας πάλαι, ἀληθείας ὄντας μυστικὰς ἀκτῖνας, κτεῖναι οὐκ ἐδεδοίκει· οὕτω καὶ νῦν τὸν Κύριον, ὃν ἐκήρυττον ἐκεῖνοι τότε, φθόνῳ βαλλόμενοι ἔκτειναν, ἀλλ' ἡμῖν γέγονε ζωὴ, αὐτοῦ ἡ νέκρωσις.

Συνεσχέθης, ἀλλ' οὐ κατεσχέθης, Σῶτερ ἐν τῷ μνήματι· εἰ γὰρ καὶ ἑκουσίως, ἀπεγεύσω τοῦ θανάτου Λόγε· ἀλλὰ ἀνέστης ὡς Θεὸς ἀθάνατος, συνεγείρας τοὺς δεσμίους τοὺς ἐν ᾅδῃ· καὶ χαρὰν γυναιξὶν ἀντὶ τῆς λύπης, τὸν πρὶν ἀνταλλαξάμενος.

Τῆς Θεοτόκου. Τοῦ βίου τὴν θάλασσαν.

Ὁ μέγας προέγραψεν, ἐν Προφήταις Μωϋσῆς, σὲ κιβωτὸν καὶ τράπεζαν, καὶ λυχνίαν καὶ στάμνον συμβολικῶς, σημαίνων τὴν σάρκωσιν, τὴν ἐκ σοῦ τοῦ ὑψίστου Μητροπάρθενε.

Ὁ νόμος ἠσθένησε, καὶ παρῆλθεν ἡ σκιὰ, τῆς ὑπὲρ νοῦν καὶ ἔννοιαν, ἐκφανθείσης μοι χάριτος τῆς ἐκ σοῦ, παρθένε κυήσεως, τοῦ Θεοῦ καὶ Σωτῆρος πολυύμνητε.

Κοντάκιον. Τὴν ὑπὲρ ἡμῶν.

Τῇ ζωαρχικῇ παλάμῃ τοὺς τεθνεῶτας, ἐκ τῶν ζοφερῶν κευθμώνων ὁ ζωοδότης, ἀναστήσας ἅπαντας Χριστὸς ὁ Θεὸς, τὴν Ἀνάστασιν ἐβράβευσε, τῷ βροτείῳ φυράματι· ὑπάρχει γὰρ πάντων Σωτὴρ, ἀνάστασις, καὶ ζωὴ, καὶ Θεὸς τοῦ παντός.

Ὁ Οἶκος.

Τὸν σαυρὸν καὶ τὴν ταφήν σου ζωοδότα, ἀνυμνοῦμεν οἱ πιστοὶ καὶ προσκυνοῦμεν· ὅτι τὸν ᾅδην ἔδησας ἀθάνατε, ὡς Θεὸς παντοδύναμος· καὶ νεκροὺς συνανέστησας, καὶ πύλας τοῦ ᾅδου συνέτριψας, καὶ κράτος τοῦ θανάτου καθεῖλες ὡς Θεός· διὸ οἱ γηγενεῖς δοξολογοῦμέν σε πόθῳ τὸν ἀναστάντα, καὶ καθελόντα

ἐχθροῦ τὸ κράτος τοῦ πανώλους, καὶ πάντας ἀναςήσαντα, τοὺς ἐπὶ σοὶ πιςεύσαντας· καὶ Κόσμον λυτρωσάμενον ἐκ τῶν βελῶν τοῦ ὄφεως· καὶ ὡς μόνον δυνατὸν, ἐκ τῆς πλάνης τοῦ ἐχθροῦ λυτρωσάμενον ἡμᾶς· ὅθεν ἀνυμνοῦμεν εὐσεβῶς τὴν ἀνάςασίν σου, δι' ἧς ἐσωσας ἡμᾶς, ὡς Θεὸς τοῦ παντός.

Ὠδὴ Ζ'. Ο Εἱρμός.

Δροσοβόλον μὲν τὴν κάμινον εἰργάσατο, Ἄγγελος τοῖς Ὁσίοις παισί· τοὺς Χαλδαίους δὲ, καταφλέγον πρόςαγμα Θεοῦ, τὸν Τύραννον ἔπεισε βοᾷν· Εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ὀδυρόμενος τῷ πάθει σου ὁ Ἥλιος, ζόφον περιεβάλλετο· καὶ ἐν ἡμέρᾳ ἐπὶ πᾶσαν Δέσποτα τὴν γῆν, τὸ φῶς συνεσκότασε βοᾷν: Εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν πατέρων ἡμῶν.

Ἡμφιάσαντο Χριςὲ τῇ καταβάσει σου, φέγγος τὰ καταχθόνια· ὁ προπάτωρ δὲ, θυμηδίας ἔμπλεως ὀφθείς, χορεύων ἐσκίρτησε βοῶν: Εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Διὰ σοῦ Μήτηρ παρθένε φῶς ἀνέτειλε, πάσῃ τῇ οἰκουμένῃ φαιδρόν· τὸν γὰρ κτίςην σὺ τῶν ἁπάντων, τέτοκας Θεόν· ὃν αἴτησαι πάναγνε ἡμῖν, καταπεμφθῆναι τοῖς πιςοῖς τὸ μέγα ἔλεος.

Σταυροαν. Ἄφραςον θαῦμα.

Ὢ ξένου τρόπου· τὸν Ἰσραὴλ

συνήγειρας, κείμενον Χριστὲ ἐν σαρκὶ τὸν ἄνθρωπον, σὲ ὑπερυψοῦντα εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Ἐκ φωτὸς φωτοδότην Λόγον συνέλαβες, καὶ τεκοῦσα ἀῤῥάτως τοῦτον δεδόξασαι. Πνεῦμα γὰρ ἐν σοὶ Κόρη θεῖον ἐσκήνωσεν· ὅθεν σε ὑμνοῦμεν εἰς πάντας τοὺς αἰῶνας. Σταυρέκαν. Ἐκ τῆς θρίττων οὐρανέ.

Ἔῤῥιξε πᾶσα ἀκοή, ὅπως ὁ Ὑψιστος ἑκὼν ἦλθεν ἐπὶ γῆς, τοῦ ᾅδου τὴν ἰσχὺν χειρώσασθαι, διὰ σαυροῦ καὶ ταφῆς, καὶ πάντας διεγεῖραι κραυγάζειν· Οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, Λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Πέπαυται ᾅδου τυραννὶς, καὶ τὸ βασίλειον ἐξουδένωται λοιπόν· σαυρῷ γὰρ ἐπὶ γῆς πηγνύμενος, ὁ ἐπὶ πάντων Θεὸς, τὴν τούτου δυναστείαν καθεῖλεν. Ὃν παῖδες εὐλογεῖτε Ἱερεῖς ἀνυμνεῖτε.

Τῆς Θεοτόκου. Ἐκ φλογὸς τοῖς Ὁσίοις.

Διαχρύσῳ ἐσθῆτι ὥσπερ Βασίλισσαν, ὁ Υἱός σου λαμπρύνας αἴγλῃ τοῦ Πνεύματος, σὲ ἐκ δεξιῶν αὐτοῦ ἔστησε πάναγνε· ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὁ θελήματι μόνῳ κόσμον πηξάμενος, ἐξ ἀχράντου σου μήτρας σάρκα δανείζεται· ἄνωθεν αὐτὴν ἀναπλάσαι βουλόμενος· ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ Θ'. Ὁ Εἱρμός.

Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον, ὃν οὐ τολμᾷ Ἀγγέλων ἀτενίσαι τὰ Τάγματα· διὰ σοῦ δὲ πάναγνε ὡράθη βροτοῖς, Λόγος σεσαρκωμένος· ὃν μεγαλύνοντες, σὺν ταῖς οὐρανίαις στρατιαῖς σὲ μακαρίζομεν.

Παθῶν ἀμέτοχος σὺ διέμεινας, Λόγε Θεοῦ σαρκὶ προσομιλήσας τοῖς πάθεσιν· ἀλλὰ λύεις τῶν παθῶν τὸν ἄνθρωπον, πάθεσι χρηματίσας, πάθος Σωτὴρ ἡμῶν· μόνος γὰρ ὑπάρχεις ἀπαθὴς καὶ παντοδύναμος.

Φθορὰν θανάτου καταδεξάμενος, διαῤῥορᾶς ἐτήρησας τὸ σῶμά σου ἄγευστον· ἡ δὲ σὴ ζωοποιὸς καὶ θεία ψυχὴ, Δέσποτα ἐν τῷ ᾅδῃ, οὐ καταλέλειπται· ἀλλ' ὥσπερ ἐξ ὕπνου ἀναστᾶς, ἡμᾶς συνήγειρας.

Θεὸν Πατέρα, Υἱὸν συνάναρχον, πάντες βροτοὶ ἐν χείλεσιν ἁγνοῖς μὲν δοξάζομεν· τὴν δὲ ἄῤῥητον καὶ ὑπερένδοξον, Πνεύματος παναγίου δύναμιν σεβόμεν· μόνη γὰρ ὑπάρχεις παναθενὴς Τριὰς ἀχώριστος.

Σταυροαν. Μὴ ἐποδύρου μου Μῆτερ.

Εἰ καὶ ἐν τάφῳ κατῆλθες, ὡς θνητὸς Ζωοδότα· ἀλλὰ τοῦ ᾅδου τὴν ἰσχὺν διέλυσας Χριστὲ, συνεγείρας νεκροὺς, οὓς καὶ συγκατέπιε, καὶ Ἀνάστασιν πᾶσι παρέσχες ὡς Θεὸς, τοῖς ἐν πίστει καὶ πόθῳ σὲ μεγαλύνουσιν.

Ἀγαλλιάσθω ἡ κτίσις, καὶ ἀνθείτω ὡς κρίνον· ὁ γὰρ Χριστὸς ἐκ τῶν νεκρῶν ἠγέρθη ὡς Θεός· ποῦ σου θάνατε νῦν τὸ κέντρον; κράζομεν· ποῦ σου ᾅδη τὸ νῖκος; καθεῖλέ σε εἰς γῆν, ὁ ὑψώσας τὸ κέρας ἡμῶν ὡς εὔσπλαγχνος.

Τῆς

Τῆς Θεοτόκου. Θεὸν ἀνθρώποις ἰδεῖν.

Ἀστὴρ ἐκλάμπων αὐγαῖς Θεότητος, ἐξ Ἰακὼβ τοῖς ζόφῳ κρατουμένοις ἀνέτειλε, διὰ σοῦ νῦν πάναγνε Χριστὸς ὁ Θεὸς, Λόγος σεσαρκωμένος· ᾧ φωτιζόμενοι, σὺν ταῖς οὐρανίαις στρατιαῖς, σὲ μακαρίζομεν.

Ῥωσθεὶς δυνάμει τῇ σῇ καὶ χάριτι, σοὶ τὴν ᾠδὴν προθύμως ἐκ καρδίας ἀνέθηκα· ἀλλὰ ταύτην πρόσδεξαι παρθένε ἁγνὴ, χάριν ἀντιδιδοῦσα, σοῦ τὴν πολύφωτον, ἐκ τῶν ἀκηράτων θησαυρῶν θεομακάριστε.

Μετὰ τὴν τιμιωτέραν Ἐκφώνησις. Ὅτι σὲ αἰνοῦσιν, καὶ εὐθὺς, Ἅγιος Κύριος. τὰ Ἐξαποστειλάρια καὶ οἱ Αἶνοι

Ὁ σταυρός σου Κύριε, ζωὴ καὶ ἀνάστασις ὑπάρχει τῷ λαῷ σου· καὶ ἐπ' αὐτῷ πεποιθότες, σὲ τὸν ἀναστάντα Θεὸν ἡμῶν ὑμνοῦμεν. Ἐλέησον ἡμᾶς.

Ἡ ταφή σου δέσποτα, παράδεισον ἤνοιξε τῷ γένει τῶν ἀνθρώπων· καὶ ἐκ φθορᾶς λυτρωθέντες, σὲ τὸν ἀναστάντα, Θεὸν ἡμῶν ὑμνοῦμεν. Ἐλέησον ἡμᾶς.

Σὺν Πατρὶ καὶ Πνεύματι, Χριστὸν ἀνυμνήσωμεν, τὸν ἀναστάντα ἐκ νεκρῶν, καὶ πρὸς αὐτὸν ἐκβοῶμεν· σὺ ζωὴ ὑπάρχεις ἡμῶν, καὶ Ἀνάστασις· ἐλέησον ἡμᾶς

Τριήμερος ἀνέστης Χριστὲ, ἐκ τάφου καθὼς γέγραπται, συνεγείρας τὸν Προπάτορα ἡμῶν· διό σε καὶ δοξάζει, τὸ γένος τῶν ἀνθρώπων, καὶ ἀνυμνεῖ σου τὴν ἀνάστασιν.

Κύριε, μέγα καὶ φοβερὸν ὑπ
χει τῆς σῆς ἀναστάσεως τὸ Μ
στήριον· οὕτω γὰρ προῆλθες
τοῦ τάφου, ὡς Νυμφίος ἐκ παστ
δος· θανάτῳ θάνατον λύσας,
τὸν Ἀδὰμ ἐλευθερώσης· ὅθεν
οὐρανοῖς Ἄγγελοι χορεύουσι,
ἐπὶ γῆς ἄνθρωποι δοξάζουσι,
εἰς ἡμᾶς γενομένην, εὐσπλαγχν
σου φιλάνθρωπε.

Ὦ παράνομοι Ἰουδαῖοι, ποῦ
σιν αἱ σφραγῖδες, καὶ τὰ ἀργύ
ἃ ἐδώκατε τοῖς στρατιώταις;
ἐκλάπη ὁ θησαυρὸς, ἀλλὰ ἀνέ
ὡς δυνατός· αὐτοὶ δὲ κατῃσχ
θητε, ἀρνησάμενοι Χριστὸν, τὸν
ριον τῆς δόξης, τὸν παθόντα
ταφέντα, καὶ ἀναστάντα ἐκ νεκρ
Αὐτὸν προσκυνήσωμεν.

Σφραγισθέντος τοῦ μνήματ
πῶς ἐσυλήθητε Ἰουδαῖοι, φύλα
καταστήσαντες, καὶ σημεῖα θέντ
τῶν θυρῶν κεκλεισμένων προῆλ
ὁ Βασιλεύς· ἢ ὡς νεκρὸν παρα
σατε, ἢ ὡς Θεὸν προσκυνήσο
σὺν ἡμῖν μελῳδοῦντες : Δόξα
ριε τῷ σταυρῷ σου καὶ τῇ Α
στάσει σου.

Τὸ ζωοδόχον σου μνῆμα,
Μυροφόροι Γυναῖκες, ὀδυρόμ
κατέλαβον Κύριε· καὶ μῦρα
στάζουσαι, τὸ σῶμά σου τὸ ἄχρ
τον, μυρίσαι ἐπεζήτουν· εὗρον
φωτόφορον Ἄγγελον, ἐν τῷ λ
καθήμενον, καὶ πρὸς αὐτὰς φθ
γόμενον καὶ λέγοντα : Τί δακρύ
τὸν ἐκ πλευρᾶς πηγάσαντα
κόσμῳ τὴν ζωήν; τί ἐπιζητ
ὥσπερ θνητὸν, ἐν μνήματι τὸν
θάνατον; δραμοῦσαι δὲ μᾶλλο

παγ-

παγγείλατε τοῖς αὐτοῦ Μαθηταῖς, τῆς αὐτοῦ ἐνδόξου ἀναστάσεως, τὴν παγκόσμιον χαρμονήν· ἐν ᾗ καὶ ἡμᾶς Σωτὴρ φωτίσας, δώρησαι ἱλασμὸν καὶ τὸ μέγα ἔλεος.

Δόξα τὸ Εωθινόν. Καὶ νῦν. Ὑπερευλογημένη ὑπάρχεις. καὶ ἡ μεγάλη Δοξολογία. Μετὰ τὸ Ἅγιος ὁ Θεός, τὸ Ἀναστὰς ἐκ τοῦ μνήματος ὡς εἰς φύλ. 37.

Εἰς τὴν Λειτουργίαν, οἱ Μακαρισμοί

Μνήσθητί μου ὁ Θεός, ὁ Σωτὴρ μου ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου· καὶ σῶσόν με, ὡς μόνος φιλάνθρωπος.

Διὰ ξύλου τὸν Ἀδὰμ ἀπατηθέντα· διὰ ξύλου σταυροῦ πάλιν ἔσωσας, Ληστὴν βοῶντα: Μνήσθητί μου Κύριε, ἐν τῇ Βασιλείᾳ σου.

Τὸν ἐν ξύλῳ τοῦ Σταυροῦ προσηλωθέντα, καὶ τὸν κόσμον ἐκ πλάνης ῥυσάμενον, συμφώνως πάντες Χριστὸν ἀνυμνήσωμεν.

Ἅδου πύλας καὶ μοχλοὺς συντρίψας Ζωοδότα, ἀνέστησας ἅπαντας. Σωτὴρ βοῶντας: Δόξα τῇ ἐγέρσει σου.

Μνήσθητί μου ὁ τὸν θάνατον σκυλεύσας, τῇ ταφῇ σου καὶ τῇ Ἀναστάσει σου, χαρᾶς τὰ πάντα, πληρώσας ὡς εὔσπλαγχνος.

Μυροφόροι ἐν τῷ μνήματι ἐλθοῦσαι, τοῦ Ἀγγέλου κραυγάζοντος ἤκουον: Χριστὸς ἀνέστη, φωτίσας τὰ σύμπαντα.

Δόξα.

Τὸν Πατέρα, καὶ Υἱὸν δοξολογοῦμεν, καὶ τὸ Πνεῦμα τὸ ἅγιον λέγοντες. Τριὰς ἁγία, σῶσον τὰς ψυχὰς ἡμῶν.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ἡ ἀῤῥήτως, ἐπ' ἐσχάτων συλλαβοῦσα, καὶ τεκοῦσα τὸν Κτίστην τὸν ἴδιον, Παρθένε σῶζε, τοὺς σὲ μεγαλύνοντας.

Τῇ Κυριακῇ Ἑσπέρας εἰς τὸ, Κύριε ἐκέκραξα. Στιχηρὰ Δεσποτικά.

Ὅλην ἀποθέμενοι.

Ὁ πάντων βουλόμενος, οὐχὶ τὸν θάνατον Λόγε, ἀλλὰ τὴν μετάνοιαν, τῶν ἡμαρτηκότων σοι, πολυεύσπλαγχνος, ὁ Χριστὸς Κύριος, καὶ ποιῶν ἔλεος. μετ' ἐμοῦ ἀεὶ τοῦ δούλου σου, μετανοοῦντί μοι, καὶ τὴν τῶν κακῶν μου συγχώρησιν· δι' ὧν σε παρεπίκρανα, ἐξαιτεῖν τολμῶντι συμπάθησον· ἐν ἐμοὶ γὰρ δείξεις, τὴν ἄβυσσον τῶν θείων Οἰκτιρμῶν, ἐὰν ἀνάξιον ὄντα με, σώσῃς ὡς φιλάνθρωπος.

Ὁ μόνος φιλάνθρωπος, ὁ πάντας θέλων σωθῆναι, καὶ καλῶν ὡς εὔσπλαγχνος, τοὺς λελυπηκότας σε πρὸς μετάνοιαν, μὴ μνησθῇς Δέσποτα μηδαμῶς δέομαι, τῆς αἰσχύνης τῶν ἀτόπων μου, ἔργων ὧν ἔπραξα, φεῦ τῶν ὀφθαλμῶν σου ἀπέναντι μὴ φρίξας ὁ πανάθλιος, τὸ τῶν σῶν χειρῶν ἀναπόδραστον· ὅθεν νῦν προσπίπτω, στενάζων καὶ πενθῶν, καὶ νοητῶς, τῶν σῶν πο-

δῶν

δῶν ἐφαπτόμενος, τοῦ λαβεῖν συγχώρησιν.

Τείχισον τὴν Ποίμνην σου, Ἀγγελικαῖς προστασίαις, ὁ τὰ τούτων τάγματα, λόγῳ συστησάμενος, καὶ βουλήματι, πειρασμὸν ἅπαντα, καὶ Βαρβάρων θράσος, ἐκδιώκων καὶ αἱρέσεων· τῷ σῷ γὰρ αἵματι, ταύτην ἀληθῶς ἐξηγόρασας, καὶ Κόσμου τὸ κατάκριμα, καὶ τῆς ἁμαρτίας ἐξήλειψας· ὅπως λυτρωθεῖσα, τῶν νῦν παρενοχλούντων λυπηρῶν, ἐν ὀρθοδόξῳ φρονήματι, Σῶτερ μεγαλύνῃ σε.

Εἰς τὸν στίχον, στιχηρὰ Κατανυκ.

Μετάνοιαν οὐ κέκτημαι, ἀλλ' οὐδὲ πάλιν δάκρυα· διὰ τοῦτο ἱκετεύω σε Σωτῆρ, πρὸ τέλους ἐπιστρέψαι, καὶ δοῦναί μοι μετάνοιαν, ὅπως ῥυσθήσωμαι τῆς κολάσεως.

Ἐν τῇ φρικτῇ παρουσίᾳ σου Χριστὲ, μὴ ἀκούσωμεν οὐκ οἶδα ὑμᾶς· τὴν γὰρ ἐλπίδα ἐπί σοὶ τῷ Σωτῆρι ἐθέμεθα, εἰ καὶ τὰ σὰ προστάγματα οὐ πράττομεν, διὰ τὴν ἀμέλειαν ἡμῶν· ἀλλὰ φεῖσαι τῶν ψυχῶν ἡμῶν δεόμεθα.

Μαρτυρικόν.

Οἱ Μάρτυρές σου Κύριε, οὐκ ἠρνήσαντό σε, οὐκ ἀπέστησαν ἀπὸ τῶν ἐντολῶν σου, ταῖς αὐτῶν πρεσβείαις, ἐλέησον ἡμᾶς,

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ἀρχαγγελικῶς ἀνυμνήσωμεν πιστοὶ, τὴν Οὐράνιον παστάδα, καὶ πύλην σφραγισθεῖσαν ἀληθῶς· χαῖρε δι' ἧς ἀγεβλάστησεν ἡμῖν, ὁ Σω-

Μαρτυρικόν.

Φῶς δικαίοις διὰ παντός· οἱ γὰρ Ἅγιοι ἐν σοὶ φωτισθέντες, καταλάμπουσιν ἀεὶ ὡς φωστῆρες, λύχνον ἀσεβῶν σβέσαντες· ὧν ταῖς εὐχαῖς, σὺ φωτιοῖς λύχνον μου Κύριε, καὶ σῶσόν με.

Δόξα, καὶ νῦν.

Τὴν ὑπερένδοξον τοῦ Θεοῦ Μητέρα, καὶ τῶν Ἁγίων Ἀγγέλων Ἁγιωτέραν, ἀσιγήτως ὑμνήσωμεν, καρδίᾳ καὶ στόματι, Θεοτόκον αὐτὴν ὁμολογοῦντες, ὡς κυρίως γεννήσασαν Θεὸν σεσαρκωμένον, καὶ πρεσβεύουσαν ἀπαύστως, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Τὸ πρωΐ ἀπόστιχα τοῦ ἑσπερινοῦ.

Τῇ β'. εἰς τὸ Κύριε ἐκέκραξα, στιχηρὰ Δεσποτικά.

Ὅλην ἀποθέμενοι.

Ὅλος ἐκ νεότητος, ταῖς ἡδοναῖς ἐδουλώθην, τῆς σαρκὸς καὶ γέγονα, παθῶν καταγώγιον τυραννούντων με· τῆς ψυχῆς ὅλως δὲ, ἀλογήσας Σῶτερ, ἐντολῶν σου κατεφρόνησα· ἀλλὰ ὁ πλάσας με, καὶ εἰδὼς ἡμῶν τὴν ἀσθένειαν, ὁ μόνος ἀναμάρτητος, δός μοι τὴν συγχώρησιν εὔσπλαγχνε, ὧν περ ἐν ἀγνοίᾳ καὶ γνώσει αἰσθητῶς καὶ νοητῶς, ἀπὸ νεότητος ἥμαρτον, μόνε εὐσυμπάθητε.

Τίς ἐκ τοῦ θανάτου με, τῆς ταλαιπώρου σαρκός μου, ῥύσεται καὶ σώσει μου, τὴν ψυχὴν ἀπήμονα, καὶ ἀπείρασον; τυραννεῖ βίᾳ γὰρ, εὐπαθοῦσα αὕτη, καὶ ψυχῆς κατεξανίσταται· καὶ θλίβει πάλιν δὲ, ἀσθενοῦσα οἴμοι τῷ τάλανι· ἀντέχειν οὖν οὐ δύναμαι, πρὸς τὴν ταύτης Σῶτερ ἀσθένειαν· ἀλλ' ὦ Ποιητά μου, μὴ δώσῃς νικηθῆναι τῷ χοΐ, τὸ πνεῦμα ὃ μοι ἐνέπνευσας, ὡς αὐτὸς εὐδόκησας.

Ἡ ἀπεγνωσμένη.

Ὅλος ἐν κακίᾳ κατεγνωσμένος, ὅλος ἀπογνώσει βεβυθισμένος, αὐτὸς πονηρότατος, καὶ ζοφερὸς ὑπάρχω, ὅλος κατεσιγμένος ὅλως, ἐξ ἡδονῶν ἀτόπων, ὅλος δεινῶς κατεφθαρμένος, καὶ κατηχρειωμένος, σοῦ τοῖς ἴχνεσι προσπίπτω Μάκαρ· μὴ ἀπορρίψῃς ἀλλὰ σῶσον, Ἰωάννῃ με, φίλε Κυρίου καὶ Πρόδρομε.

Εἰς τὸν στίχ. Στιχηρὰ Κατανυκτικά

Μετάνοιαν οὐ κέκτημαι, ἀλλ' οὐδὲ πάλιν δάκρυα· διὰ τοῦτο ἱκετεύω σε Σωτῆρ, πρὸ τέλους ἐπιστρέψαι, καὶ δοῦναί μοι κατάνυξιν, ὅπως ῥυσθήσωμαι τῆς κολάσεως.

Ἐν τῇ φρικτῇ παρουσίᾳ σου Χριστὲ, μὴ ἀκούσωμεν οὐκ οἶδα ὑμᾶς· τὴν γὰρ ἐλπίδα ἐπὶ σοὶ τῷ Σωτῆρι ἐθέμεθα, εἰ καὶ τὰ σὰ προστάγματα οὐ πράττομεν, διὰ τὴν ἀμέλειαν ἡμῶν· ἀλλὰ φεῖσαι τῶν ψυχῶν ἡμῶν δεόμεθα.

Μαρτυρικόν.

Οἱ μαρτυρήσαντες διὰ σὲ Χριστὲ, πολλὰς βασάνους ὑπέμειναν, καὶ τέλειον ἀπέλαβον, τὸν στέφανον

ἐν

ἐν Οὐρανοῖς, ἵνα πρεσβεύωσιν, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Μεταβολὴ τῶν θλιβομένων, ἀπαλλαγὴ τῶν ἀσθενούντων, ὑπάρχουσα Θεοτόκε Παρθένε, σῶζε Πόλιν καὶ Λαὸν, τῶν πολεμουμένων ἡ εἰρήνη, τῶν χειμαζομένων ἡ γαλήνη, ἡ μόνη προσασία τῶν πιστῶν.

Τῇ γ'. εἰς τὸν Ὄρθρον, μετὰ τὴν ἁ. γιχολογίαν, Καθίσμ. Κατανυκτικά.

Ἔννοῶ τὴν ἡμέραν τὴνφοβερὰν, καὶ θρηνῶ μου τὰς πράξεις τὰς πονηράς· πῶς ἀπολογήσομαι, τῷ ἀθανάτῳ Βασιλεῖ; ποίᾳ δὲ παῤῥησίᾳ ἀτενίσω τῷ Κριτῇ ὁ ἄσωτος ἐγώ· εὔσπλαγχνε Πάτερ, Υἱὲ Μονογενὲς, τὸ Πνεῦμα τὸ Ἅγιον ἐλέησόν με.

Εἰς τὴν κοιλάδα τοῦ κλαυθμῶνος εἰς τὸν τόπον, ὃν διέθου, ὅταν καθίσῃς Ἐλεήμων κρίσιν δικαίαν ποιῆσαι, μὴ δημοσιεύσῃς μου τὰ κεκρυμμένα, μηδὲ καταισχύνῃς με ἐνώπιον τῶν Ἀγγέλων, ἀλλὰ φεῖσαί μου ὁ Θεὸς, καὶ ἐλέησόν με,

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ἐλπὶς τοῦ Κόσμου.

Τὸν πρὸ αἰώνων ἐκ Πατρὸς, ἄνευ Μητρὸς γεννηθέντα, Υἱὸν καὶ Λόγον τοῦ Θεοῦ ἐπ' ἐσχάτων τῶν χρόνων, ἐκύησας σεσαρκωμένον, ἐξ ἁγνῶν αἱμάτων σου Θεοκυῆτορ ἄνευ ἀνδρὸς, ὃν αἴτησαι δωρήσασθαι ἡμῖν ἁμαρτιῶν ἄφεσιν πρὸ τοῦ τέλους.

Ὁ Σταυρός σου Κύριε, Παράδεισον ἤνοιξε τῷ γένει τῶν ἀνθρώπων· καὶ ἐκ φθορᾶς λυτρωθέντες, σὲ τὸν Σταυρωθέντα σαρκὶ, Θεὸν ἡμῶν ὑμνοῦμεν, ἐλέησον ἡμᾶς.

Οἱ Ἀθλοφόροι Μάρτυρες, καὶ Οὐρανοπολῖται, ἐπὶ γῆς ἀθλήσαντες, πολλὰς βασάνους ὑπέμειναν· πρεσβείαις Κύριε καὶ εὐχαῖς αὐτῶν, πάντας ἡμᾶς διαφύλαξον.

Δόξα, καὶ νῦν.

Ὁρῶσά σε Σταυρούμενον Χριστὲ ἡ σὲ κυήσασα, ἀνεβόα, Τί τὸ ξένον ὃ ὁρῶ, μυστήριον Υἱέ μου; πῶς ἐπὶ ξύλου θνήσκεις, σαρκὶ κρεμάμενος, Ζωῆς χορηγέ;

Τῇ δ'. εἰς τὸν Ορθρον, Μετὰ τὴν ά. στιχολ. Καθίσματα Σταυρώσιμα

Μόνον παγέντος τοῦ ξύλου Χριστὲ τοῦ Σταυροῦ σου, τὰ θεμέλια ἐσαλεύθη τοῦ θανάτου Κύριε· ὃν γὰρ κατέπιε πόθῳ ὁ Ἅδης, ἀπέλυσε τρόμῳ· ἔδειξας ἡμῖν τὸ σωτήριόν σου Ἅγιε, καὶ δοξολογουμένε σε Υἱὲ Θεοῦ, ἐλέησον ἡμᾶς.

Κύριε, κατέκρινάν σε Ἰουδαῖοι θανάτῳ, τὴν ζωὴν τῶν ἁπάντων οἱ τὴν Ἐρυθρὰν ῥάβδῳ πεζεύσαντες. Σταυρῷ σε προσήλωσαν, καὶ οἱ ἐκ πέτρας μέλι θηλάσαντες, χολήν σοι προσήνεγκαν· ἀλλ' ἑκὼν ὑπέμεινας, ἵνα ἡμᾶς ἐλευθερώσῃς τῆς δουλείας τοῦ ἐχθροῦ, Χριστὲ ὁ Θεὸς δόξα σοι.

Δόξα, καὶ νῦν.

Ἣ σὲ κυήσασα Χριστὲ Ἀειπάρθενος Κόρη, ἐν τῷ Σταυρῷ σε δὶ ἡμᾶς

ἡμᾶς, ὑψωθέντα ὁρῶσα, ἐτέτρωτο λύπης ῥομφαίᾳ τὴν ψυχὴν, καὶ ἔκλαιε θρηνολογοῦσα Μητρικῶς· αὐτῆς ταῖς παρακλήσεσιν, ἐλέησον ἡμᾶς Κύριε τοῦ ἐλέους.

Μετὰ τὴν β'. Στιχολογίαν, Καθίσμ.

Ἐλπὶς τοῦ Κόσμου.

Τὸ ξύλον ἤνεγκε φθοράν, ἐν Ἐδὲμ τῷ γεννάρχῃ· Σταυροῦ δὲ ξύλον τὴν ζωὴν, ἤνθησεν ἐν Κρανίῳ· πεπάτηται καὶ γὰρ κακία τοῦ ἐχθροῦ, ἡλέηται τῇ προσηλώσει τοῦ Χριστοῦ, καὶ εὗρε τὸν Παράδεισον, κραυγάζων ὁ Ἀδὰμ, ὦ ξύλον εὐλογημένον.

Μαρτυρικόν.

Ἀθλητικὸν ἀγῶνα ὑπομείναντες οἱ Ἅγιοι, καὶ τὰ βραβεῖα τῆς νίκης παρὰ σοῦ κομισάμενοι, κατήργησαν τὰς ἐπινοίας τῶν παρανόμων· ἐδέξαντο τοὺς στεφάνους τῆς ἀφθαρσίας· δι' αὐτῶν ὁ Θεὸς δώρησαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα.

Θεοτόκε Παρθένε, ἱκέτευε τὸν Υἱόν σου, τὸν ἑκουσίως προσπαγέντα ἐν τῷ Σταυρῷ, καὶ τὸν κόσμον ἐκ πλάνης ἐλευθερώσαντα, Χριστὸν τὸν Θεὸν ἡμῶν, τοῦ ἐλεῆσαι τὰς ψυχὰς ἡμῶν.

Τὸ πρωῒ ἀπόστιχα τοῦ ἑσπερινοῦ

Τῇ δ'. Ἑσπέρας, εἰς τὸ, Κύριε ἐκέκραξα, στιχηρὰ προσόμοια Ἀποστολικά.

Ὅλην ἀποθέμενοι.

Δύναμιν Οὐρανίων, τοῦ Παρα-

τῶν καταυγάζεις ψυχὰς τῶν σῶν δούλων· δι' ὧν καὶ ἡμᾶς σῶσον εὐσπλαγχνε.

Δόξα, καὶ νῦν.

Ἐλπὶς τοῦ Κόσμου.

Ἁγία Δέσποινα Ἁγνὴ, τοῦ Θεοῦ ἡμῶν Μήτηρ, ὡς τὸν ἁπάντων Ποιητὴν, ἀπορρήτως τεκοῦσα, ἱκέτευε σὺν Ἀποστόλοις ἱεροῖς, ἑκάστοτε τὴν ἀγαθότητα αὐτοῦ, παθῶν ἡμᾶς λυτρώσασθαι, καὶ ἄφεσιν ἡμῖν δοῦναι ἁμαρτημάτων.

Μετὰ τὸν ϛ'. Στιχολ. Καθίσματ.

Τῇ σαγήνῃ τῆς ἐνθέου πίστεως, τὰς διπλόεις ἀνατρέψαντες οἱ ἁλιεῖς, ἐκ βυθοῦ ματαιότητος εἵλκυσαν πάντας, καὶ παρέσχον αὐτοὺς τῷ Θεῷ εὐσεβοῦντας, καὶ τοῦτον ἀεὶ μεγαλύνοντας.

Μαρτυρικόν.

Τῶν Ἀθλοφόρων σου ἡ μνήμη Κύριε, ἀνεδείχθη ὡς Παράδεισος ὁ ἐν Ἐδὲμ· ἐν αὐτῇ γὰρ ἀγάλλεται πᾶσα ἡ Κτίσις, διὸ παράσχου ἡμῖν τῇ αὐτῶν παρακλήσει, εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Ἐν τῷ Ναῷ ἑστῶτες τῆς δόξης σου, ἐν Οὐρανῷ ἑστάναι νομίζομεν, Θεοτόκε πύλη ἐπουράνιε, ἄνοιξον ἡμῖν τὴν θύραν τοῦ ἐλέους σου.

Τὸ πρωῒ ἀπόστιχα τοῦ ἑσπερινοῦ.

Τῇ ε'. Ἑσπέρας, εἰς τό, Κύριε ἐκέκραξα, Στιχηρὰ Σταυρώσιμα.

Τριήμερος ἀνέστης Χριστέ.

Μακρόθυμε φιλάνθρωπε, Θεέ μου

μου Πολυέλεε, καὶ Οἰκτίρμων, πῶς ὑπήνεγκας σφαγὴν, καὶ νέκρωσιν ἐν ξύλῳ, ὑπὲρ ἀνθρώπων γένος; δοξολογοῦμέν σου τὸ εὔσπλαγχνον.

Ἀνῆλθες ὁ Ποιμὴν ἐν Σταυρῷ, καὶ ἔτεινας τὰς χεῖρας βοῶν· δεῦτε πρός με, καὶ φωτίσθητε βροτοί, οἱ πλάνῃ σκοτισθέντες· ἐγὼ γὰρ φῶς ὑπάρχω· δόξα σοι μόνε Φωτοπάροχε.

Ἡ ἀπεγνωσμένη.

Ἀνοιξόν μοι θύραν τῆς μετανοίας· δός μοι Παναγία πηγὴν δακρύων· παράσχου κατάνυξιν, καὶ σώφρονα καρδίαν· σὲ γὰρ βεβαίαν προστασίαν, ἐπιγράφομαι μόνην· πᾶσαν ἐπὶ σὲ προσδοκίαν, τὴν ἐμὴν ἀναφέρω· μὴ ἀπώσῃ με κατῃσχυμένον, ἀλλὰ προσδέχου, καὶ διάσωσον Δέσποινα, διὰ τὸ μέγα σου ἔλεος.

Εἰς τὸν στίχ. στιχηρὰ Σταυρώσιμα.

Ὁ σταυρός σου Κύριε, ζωὴ καὶ ἀντίληψις ὑπάρχει τῷ Λαῷ σου· καὶ ἐπ' αὐτῷ πεποιθότες, σὲ τὸν σταυρωθέντα σαρκὶ, Θεὸν ἡμῶν ὑμνοῦμεν, ἐλέησον ἡμᾶς.

Ὁ σταυρός σου Κύριε, Παράδεισον ἤνοιξε τῷ γένει τῶν ἀνθρώπων· καὶ ἐκ φθορᾶς λυτρωθέντες, σὲ τὸν σταυρωθέντα σαρκὶ, Θεὸν ἡμῶν ὑμνοῦμεν, ἐλέησον ἡμᾶς.

Μαρτυρικόν.

Οἱ Μάρτυρές σου Κύριε, οὐκ ἠρνήσαντό σε, οὐκ ἀπέστησαν ἀπὸ τῶν ἐντολῶν σου· ταῖς αὐτῶν πρεσβείαις ἐλέησον ἡμᾶς.

Δόξα, καὶ νῦν.

Τριήμερος ἀνέστης Χριστέ.

Παρίστατο τῷ ξύλῳ ποτὲ καιρῷ τῷ τῆς σταυρώσεως, ἡ παρθένος, σὺν παρθένῳ Μαθητῇ, καὶ κλαίουσα ἐβόα. Οἴμοι πῶς πάσχεις πάντων, Χριστὲ ὑπάρχων ἡ ἀπάθεια.

Τῇ Παρασκευῇ εἰς τὸν Ὄρθρον, μετὰ τὴν ά. στιχολ. Καθίσμ. Σταυρώσιμα.

Σήμερον τὸ προφητικὸν πεπλήρωται λόγιον· ἰδοὺ γὰρ προσκυνοῦμεν εἰς τὸν τόπον, οὗ ἔστησαν οἱ πόδες σου Κύριε, καὶ ξύλου σωτηρίας γευσάμενοι, τῶν ἐξ ἁμαρτίας παθῶν ἐλευθερίας ἐτύχομεν, πρεσβείαις τῆς Θεοτόκου, μόνε φιλάνθρωπε.

Μόνον παγέντος τοῦ ξύλου, Χριστὲ τοῦ Σταυροῦ σου, τὰ θεμέλια ἐσαλεύθη τοῦ θανάτου Χριστὲ· ὃν γὰρ κατέπιε πόθῳ ὁ Ἅδης· ἀπέλυσε τρόμῳ· ἔδειξας ἡμῖν τὸ σωτήριόν σου Ἅγιε, καὶ δοξολογοῦμέν σε Υἱὲ Θεοῦ, ἐλέησον ἡμᾶς,

Δόξα καὶ νῦν.

Ἐλπὶς τοῦ Κόσμου.

Ἡ μόνη ἄμωμος ἀμνὰς, Θεοτόκε Παρθένε· τὸν ἐξ αἱμάτων σου ἀγνῶς, σαρκωθέντα ὁρῶσα, κρεμάμενον ἑκουσίως ἐν Σταυρῷ, ἐκραύγαζες Κόρη, ἐν δάκρυσι πικροῖς, Υἱέ μου ἀνεξίκακε, ὑμνῶ σου τὴν φρικτὴν πᾶσαν οἰκονομίαν.

Μετὰ τὴν β'. στιχολογ. Καθίσμ.

Ἐλπὶς τοῦ Κόσμου.

Σταυρὲ δαιμόνων ὀλετὴρ, ἰατρὲ

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

τρὲ τῶν νοσούντων, ἰσχὺς καὶ φύλαξ τῶν πιστῶν, Βασιλέων τὸ νῖκος, τὸ καύχημα τῶν ὀρθοδόξων, ἀληθῶς τὸ στήριγμα τῆς Ἐκκλησίας τοῦ Χριστοῦ, γενοῦ ἡμῖν ἀσφάλεια, καὶ τεῖχος καὶ φρουρὸς, ξύλον εὐλογημένον.

Φῶς δικαίοις διὰ παντὸς γὰρ Ἅγιοι ἐν σοὶ φωτισθέντες, καταλάμπουσιν ἀεὶ ὡς φωστῆρες, λύχνον ἀσεβῶν σβέσαντες· ὧν ταῖς εὐχαῖς Σωτὴρ ἡμῶν, σὺ φωτιεῖς λύχνον μου, Κύριε καὶ σῶσόν με.

Δόξα, καὶ νῦν Θεοτοκίον.

Παναγία Θεοτόκε, τὸν χρόνον τῆς ζωῆς μου μὴ ἐγκαταλίπῃς με, ἀνθρωπίνῃ προστασίᾳ μὴ καταπιστεύσῃς με, ἀλλ' αὐτὴ ἀντιλαβοῦ, καὶ ἐλέησόν με.

Τὸ πρωῒ ἀπόστιχα τοῦ ἑσπερινοῦ.

Τῇ ς', ἑσπέρας, εἰς τὸ, Κύριε ἐκέκραξα, στιχηρὰ Δεσποτικά.

Ἡ Ἀπεγνωσμένη.

Ῥῦσαί με γεέννης ἀποκειμένης ἐξελοῦ πυρός με τοῦ αἰωνίου, Κριτὰ Δικαιότατε, τὸν κατακεκριμένον· δεῖξον ἐκ ζάλης ἐναντίας, ἀνάλωτόν με Λόγε, τρέμω ὁ τάλας ἐννοῶν μου, τὸ τῶν πταισμάτων πλῆθος, καὶ προσπίπτω σοι μετὰ δακρύων, καὶ συντριβῆς καρδίας, τὸ σὸν αἰτούμενος ἔλεος.

Πάντας τοὺς ἐν πίστει κεκοιμημένους, τάξον Ζωοδότα ἐν χώρᾳ ζώντων, ἐν τόποις ἀνέσεως, ἐν σκηναῖς αἰωνίοις, ἔνθα τὸ φῶς τοῦ σοῦ προσώπου, ἀφθόνως καταλάμπει, ὅπου τρυφὴ καὶ χαρμοσύνη, καὶ εἰρήνη τῶν Δικαίων, παριδὼν αὐτῶν τὰ ἐπταισμένα, ἔργῳ καὶ λόγῳ διανοίᾳ τε Δέσποτα, διὰ πολλὴν ἀγαθότητα.

Ὁ σταυρός σου Κύριε, τοῖς Μάρτυσι γέγονεν ὅπλον ἀήττητον· ἔβλεπον γὰρ τὸν προκείμενον θάνατον, καὶ προβλέποντες τὴν μέλλουσαν ζωὴν, τῇ ἐλπίδι τῇ εἰς σὲ ἐνεδυναμοῦντο· αὐτῶν ταῖς παρακλήσεσιν, ἐλέησον ἡμᾶς.

Δόξα καὶ νῦν. Τίς μὴ μακαρίσειε.

Φύλ. 248 Εἰς τὸν Στίχον Στιχηρά.

Οἱ Μάρτυρές σου Κύριε, οὐκ ἠρνήσαντό σε, οὐκ ἀπέστησαν ἀπὸ τῶν ἐντολῶν σου· ταῖς αὐτῶν πρεσβείαις, ἐλέησον ἡμᾶς.

Στιχ. Μακάριοι οὓς ἐξελέξω.

Ἀρχή μοι καὶ ὑπόστασις, τὸ πλαστουργόν σου γέγονε πρόσταγμα· βουληθεὶς γὰρ ἐξ οὐρανοῦ τε καὶ ὁρατῆς με, ζῶον συμπῆξαι φύσεως, γῆθέν μου τὸ σῶμα διέπλασας, δέδωκας δέ μοι ψυχὴν, τῇ θείᾳ σου καὶ ζωοποιῷ ἐμπνεύσει· διὸ Σωτὴρ τοὺς δούλους σου, ἐν χώρᾳ ζώντων, ἐν σκηναῖς δικαίων ἀνάπαυσον.

Στίχ. Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς.

Ἄλγος τῷ Ἀδὰμ ἐχρημάτισεν ἡ τοῦ ξύλου ἀπόγευσις πάλαι ἐν Ἐδὲμ, ὅτε ὄφις ἰὸν ἐξηρεύξατο· δι' αὐτοῦ γὰρ εἰσῆλθεν ὁ θάνατος παγ-

παγγενῆ κατεσθίων τὸν ἄνθρωπον ἀλλ' ἐλθὼν ὁ Δεσπότης, καθεῖλε τὸν Δράκοντα, καὶ Ἀνάστασιν ἡμῖν ἐδωρήσατο· πρὸς αὐτὸν οὖν βοήσωμεν, φεῖσαι Σωτὴρ, καὶ οὓς προσελάβου, μετὰ τῶν δικαίων ἀνάπαυσον.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Πρεσβείαις τῆς τεκούσης σε, Χριστὲ καὶ τῶν Μαρτύρων σου, Ἀποστόλων, Προφητῶν, Ἱεραρχῶν, Ὁσίων καὶ Δικαίων καὶ πάντων τῶν Ἁγίων, τοὺς κοιμηθέντας δούλους σου ἀνάπαυσον,

Τῷ Σαββάτῳ, εἰς τὸν Ὄρθρον μετὰ τὴν ἁ. στιχολογίαν, Καθίσμ. Μαρτυρικά

Ἀθλητικαὶ ἐνστάσεις ἐπὶ τῷ σκάμματι. Τυραννικαὶ αἰκίσεις ἐπὶ τοὺς Μάρτυρας· ἴσαντο χοροὶ τῶν Ἀσωμάτων, βραβεῖα κατέχοντες τῆς νίκης· ἐξέστησαν Τυράννους καὶ Βασιλεῖς οἱ Σοφοί· καθεῖλον τὸν Βελίαρ ὁμολογίᾳ Χριστοῦ, ὁ ἐνυσχύσας αὐτοὺς, Κύριε δόξα σοι.

Ἀθλητικὸν ἀγῶνα ὑπομείναντες οἱ Ἅγιοι, καὶ τὰ βραβεῖα τῆς νίκης παρὰ σοῦ κομισάμενοι, κατήργησον τὰς ἐπινοίας τῶν παρανόμων· ἐδέξαντο στεφάνους τῆς ἀφθαρσίας· δι' αὐτῶν ὁ Θεὸς δυσωπούμενος, δώρησαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν, Θεοτοκίον.

Ὁ τὴν εὐλογημένην καλέσας σου Μητέρα, ἦλθες ἐπὶ τὸ πάθος ἑκουσίᾳ βουλῇ· λάμψας ἐν τῷ Σταυρῷ, ἀναζητῆσαι θέλων τὸν

Παναγια. Θεὸν γὰρ ἐχώρησας, καὶ Χριστὸν ἐγέννησας, Ἀπειρόγαμε, ἐν δυσὶ φύσεσιν· ἐν οὐσίαις δύω, ἐν μιᾷ τῇ ὑποστάσει δὲ, ὃν ἐκδυσώπησον, ὡς Μονογενῆ καὶ πρωτότοκον, τὸν σὲ Παρθένε ἄμωμον, καὶ μετὰ τὸν τόκον φυλάξαντα, ψυχὰς ἀναπαῦσαι, τῶν πίστει κοιμηθέντων ἐν φωτὶ, ἐν ἀκηράτῳ φαιδρότητι, καὶ μακαριότητι.

Οἱ Μακαρισμοί.

Μνήσθητί μου, ὁ Θεὸς ὁ Σωτήρ μου, ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου, καὶ σῶσόν με, ὡς μόνος Φιλάνθρωπος.

Ὁ Προφήτας, Διδασκάλους καὶ Ὁσίους, καὶ Δικαίους δοξάσας φιλάνθρωπε, αὐτῶν πρεσβείαις, σῶσον ἡμᾶς Κύριε.

Μαρτυρικόν.

Πῦρ καὶ ξίφος, καὶ ἀγρίους θῆρας, Ἀθλοφόροι μὴ πτήξαντες ἔνδοξοι, τῆς ἀϊδίου ζωῆς ἠξιώθητε.

Νεκρώσιμον.

Μετὰ πάντων, τῶν Ἁγίων καὶ Δικαίων, τάξον Λόγε οὓς πίστει μετέστησας, ἐκ τῶν προσκαίρων, ὅπως σε δοξάζωμεν.

Παντοκράτωρ ἡ Τριὰς ἡ ἐν Μονάδι, ὑμνουμένη ἐκ γῆς οὓς μετέστησας, πιστοὺς ἐν κόλποις, Ἀβραὰμ κατάταξον.

Καὶ νῦν. Θεοτοκίον.

Μακάρια γενεαῖς ἐν πάσαις ὤφθης, τὸν Θεὸν ὄντως μακάριον, ἀνερμηνεύτως, ἐκύησας Ἀχραντε.

Τῷ Σαββάτῳ Εσπέρας, ὡς διετάχθη ἐν τῷ ἀ. ἤχῳ Φύλ. 126 εἰς τὸ Κύριε ἐκέκραξα, στιχηρ. ἀναστάσ. ἦχ. βαρύς.

Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, τῷ συντρίψαντι θανάτου τὸ κράτος, καὶ φωτίσαντι ἀνθρώπων τὸ γένος, μετὰ τῶν Ἀσωμάτων κραυγάζοντες. Δημιουργὲ καὶ Σωτὴρ ἡμῶν δόξα σοι.

Σταυρὸν ὑπέμεινας Σωτὴρ, καὶ ταφὴν δι' ἡμᾶς· θανάτῳ δὲ ὡς Θεὸς, θάνατον ἐνέκρωσας· διὸ προσκυνοῦμεν τὴν τριήμερόν σου ἀνάστασιν Κύριε δόξα σοι.

Ἀπόστολοι ἰδόντες, τὴν ἔγερσιν τοῦ δημιουργοῦ, ἐθαύμασαν βοῶντες, τὴν αἴνεσιν τὴν Ἀγγελικήν· αὕτη ἡ δόξα τῆς Ἐκκλησίας οὗτος ὁ πλοῦτος τῆς Βασιλείας. Ὁ παθὼν δι' ἡμᾶς, Κύριε δόξα σοι.

Κἂν συνελήφθης Χριστὲ ὑπὸ ἀνόμων ἀνδρῶν, ἀλλὰ σύ μου εἶ Θεὸς, καὶ οὐκ αἰσχύνομαι· ἐμαστίχθης τὸν νῶτον, οὐκ ἀρνοῦμαι· σαυρῷ προσηλώθης, καὶ οὐ κρύπτω· εἰς τὴν ἔγερσίν σου καυχῶμαι· ὁ γὰρ θάνατός σου ζωή μου, παντοδύναμε καὶ φιλάνθρωπε, Κύριε δόξα σοι.

Δαβιτικὴν Προφητείαν ἐκπληρῶν, Χριστὸς μεγαλειότητα, ἐν Σιὼν τὴν οἰκείαν Μαθηταῖς ἐξεκάλυψεν· αἰνετὸν δεικνὺς ἑαυτὸν, καὶ δοξαζόμενον ἀεὶ, σὺν Πατρὶ τε καὶ Πνεύματι ἁγίῳ· πρότερον μὲν ἄσαρκον ὡς Λόγον, ὕστερον δὲ δι'

σωμεν· ἐκ τῆς τοῦ Ἅδου γὰρ τυραννίδος, ἡμᾶς ἠλευθέρωσε, διὰ τῆς αὐτοῦ τριημέρου Ἐγέρσεως, ζωὴν ἡμῖν δωρησάμενος, καὶ τὸ μέγα ἔλεος.

Ὑπὸ τὸν Ἅδην κατελθὼν Χριστὲ, θάνατον ἐσκύλευσας· καὶ τριήμερος ἀνέστης, ἡμᾶς συνανέστησας, δοξάζοντας τὴν σὴν παν-θεόνειρον Ἔγερσιν, Κύριε φιλάνθρωπε.

δοξ' μ' Ὁ σὸς ὢν ὀρθῆς Κύριε, ἐν τάφῳ κείμενος ὡς ὁ ὕπνῳ· ἀνέστας δὲ τριήμερος ὡς Δυνατὸς, τὸν Ἀδὰμ συνανέστησας, κραυγάζοντα· Δόξα, τῇ Ἀναστάσει σου μόνε Φιλάνθρωπε.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ὑπὸ τὴν σὴν Δέσποινα σκέπην, πάντες οἱ γηγενεῖς προσπεφευγότες βοῶμέν σοι, Θεοτόκε, ἡ ἐλπὶς ἡμῶν, ῥῦσαι ἡμᾶς ἐξ ἀμέτρων πταισμάτων, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον.

Κατέλυσας τῷ Σταυρῷ σου τὸν θάνατον, ἠνέῳξας τῷ Λῃστῇ τὸν Παράδεισον· τῶν Μυροφόρων τὸν θρῆνον μετέβαλες, καὶ τοῖς σοῖς Ἀποστόλοις κηρύττειν ἐπέταξας· ὅτι ἀνέστης Χριστὲ ὁ Θεὸς, παρέχων τῷ Κόσμῳ τὸ μέγα ἔλεος

Θεοτοκίον.

Ὡς τῆς ἡμῶν Ἀναστάσεως θησαύρισμα, τοὺς ἐπὶ σοὶ πεποιθότας Πανύμνητε, ἐκ λάκκου καὶ βυθοῦ πταισμάτων ἀνάγαγε· σὺ γὰρ τοὺς ὑπευθύνους τῇ ἁμαρτίᾳ, ἔσωσας τεκοῦσα τὴν σωτηρίαν. Ἡ πρὸ τόκου Παρθένος, καὶ ἐν τόκῳ Παρθένος, καὶ μετὰ τόκον πάλιν μένεις Παρθένος.

ΤΗ ΚΥΡΙΑΚΗ

Ἐν τῷ Μεσονυκτικῷ

ΚΑΝΩΝ ΤΡΙΑΔΙΚΟΣ.

(Ποίημα Μητροφάνους)

Οὗ ἡ ἀκροστιχίς.

Αἶνῶ τε Τριὰς τὴν Μοναρχικὴν φύσιν.

Ὠδὴ Α'. Νεύσει σου πρὸς γεώδη.

Ἀνοιξόν μου τὸ σῶμα τὸ νοερὸν τῆς καρδίας, καὶ χεῖλη τὰ ἔνυλα, πρὸς αἴνεσίν σου τρίφωτε, μία Θεότης ἁπάντων, ᾄδειν σοι ᾠδὴν, φωτουργὲ χαριστήριον.

Ἵνα τὸ ὑπερβάλλον τῆς σῆς χρηστότητος δείξῃς, διέπλασας ἄνθρωπον, Τριὰς ἀπειροδύναμε, μόνον, εἰκόνα πηλίνην, σοῦ τῆς ἀρχικῆς πλαστουργὲ κυριότητος.

Νοῦς ὁ ἄναρχος Λόγον, συναϊδίως γεννήσας, καὶ Πνεῦμα συνάναρχον ἐκλάμψας κατηξίωσεν, ἕνα Θεὸν κατ' οὐσίαν σύμμορφον, ἡμᾶς προσκυνεῖν Τρισυπόστατον.

Θεοτοκίον.

Ὤρθης ἐπὶ τῆς βάτου, τῷ Μωϋσῇ Θεοῦ Λόγε, ὡς πῦρ καθαρτήριον, μὴ φλέγον δὲ τὸ σύνολον· τὴν ἐκ Παρθένου προτυπῶν σου σάρκωσιν, δι' ἧς τοὺς βροτοὺς ἀνεμόρφωσας.

Ὠδὴ Γ'. Ὁ κατ' ἀρχὰς τοὺς οὐρανούς.

Τὸν ἐνικὸν καὶ τριλαμπῆ καὶ παντουργόν σε Δεσπότην, ἀνυμνοῦντες τῶν ἁμαρτιῶν, καὶ τῶν πειρασμῶν αἰτοῦμεν λύτρωσιν, ἀπειροδύναμε Θεέ· μὴ οὖν παρίδῃς τοὺς πίστει, σοῦ τὴν ἀγαθότητα δοξάζοντας.

Ῥάδαμνος ὤρθης ἐκ Πατρός, ὡς ἀπὸ ῥίζης ἀνάρχου, Θεὸς Λόγος καὶ ἰσοσθενής, σὺν τῷ συμφυεῖ καὶ θείῳ Πνεύματι· καὶ διὰ τοῦτο οἱ πιστοί, Τριαδικὴν τοῖς προσώποις, μίαν Κυριότητα δοξάζομεν.

Ἰσοκλεῆ καὶ συμφυῆ, τὴν Τρισυπόστατον φύσιν, ἀμερίστως καὶ διαιρετῶς, καὶ Μοναρχικὴν Τριάδα πάντες σε δοξολογοῦμεν οἱ πιστοί, καὶ προσκυνοῦντες αἰτοῦμεν, τῶν πλημμελημάτων τὴν συγχώρησιν. Θεοτοκ.

Ἀναλλοιώτως τοῖς βροτοῖς, ὁμοιωθεὶς κατὰ πάντα Θεοῦ Λόγε, Κόρης ἐξ ἀγνῆς προῆλθες σαφῶς καὶ πᾶσιν ἔδειξας, τὴν Θεαρχίαν τριλαμπῆ, καὶ ἐνικὴν τῇ οὐσίᾳ, τῶν ἀπαραλλάκτων ὑποστάσεων.

Κάθισμα. Ὁ δι' ἐμὲ ἀνασχόμενος.

Ἡμαρτηκότας ἐλέησον, Τριὰς ἁγία τοὺς δούλους σου· οὓς δέξαι μετανοοῦντάς σοι Εὐσπλαγχνε, καὶ συγχωρήσεως ἀξίωσον.

Δόξα καὶ νῦν. Θεοτοκίον ὅμοιον.

Τὰς κακωθείσας ψυχὰς ἡμῶν, ταῖς ἁμαρτίαις ἀγάθυνον Πάναγνε Θεοτόκε· καὶ λύτρωσαι πταισμάτων, τοὺς σὲ ὑμνοῦντας Θεονύμφευτε.

Ὠδὴ Δ'. Ὁ πατρικοὺς κόλπους.

Συνεκτικὴ τρίφωτε μονάς, Θεαρχικὴ καὶ σωστικὴ τῶν ὅλων, τοὺς σοὺς ὑμνῳδοὺς νῦν περιφρούρησον, καὶ σῶσον ἐκ θλίψεως, κυ, παθῶν καὶ πάσης κακώσεως.

Σημαντικῶν λέξεων τῆς σῆς ὁ καταλήπτου τριφαοῦς Θεότητος ἀπορούντες ἀνυμνοῦμέν σε, φιλάνθρωπε Κύριε, καὶ δοξάζομέ σου τὴν δύναμιν.

Ἐπὶ τῆς γῆς ἐν οὐρανοῖς, σὺν ἀσωμάτων τοῖς χοροῖς, Μονὰς καὶ Τριας, ἀμερίστως σε μερίζομεν· καὶ πόθῳ δοξάζομεν, ὡς τῶν ὄντων πάντων δεσπόζουσαν.

Τῆς πατρικῆς δόξης οὐκ ἐκστάς, εἰς τὴν ἡμῶν ἐσχατιὰν κατῆλθες ἑκών, σαρκωθεὶς ὁ ὑπερούσιος· καὶ πάντας ἀνυψώσας, πρὸς τὴν θείαν δόξαν ὡς εὔσπλαγχνος.

Ὠδὴ Ε'. Οἱ ὀρθρίζοντες.

Ἡ ἀρχίφωτος φύσις, Τριὰς τοῖς χαρακτῆρσι, καὶ Μονὰς ἐν βουλήσει, καὶ δόξῃ καὶ τιμῇ, κραταίωσον ἡμᾶς, εἰς τὴν σὴν ἀγάπησιν. Δίς.

Νοῦν καὶ Λόγον καὶ Πνεῦμα, τὴν μίαν Θεαρχίαν καὶ τρισήλιον φύσιν, δοξάζοντες αἰτοῦμεν, ῥυσθῆναι πειρασμῶν, καὶ παντοίων θλίψεων.

Θεοτόκ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλος

Θεοτοκίον.

Μορφωθεὶς Θεοῦ Λόγε, τὴν φύσιν τῶν ἀνθρώπων ἐξ ἁγίας Παρθένου, Τριάδα ἐν Μονάδι, ἐδίδαξας ὑμνεῖν, σύμμορφον καὶ σύνθρονον.

Ὠδὴ ς'. Ναυτιῶν τῷ σάλῳ.

Ὁμοδόξῳ κράτει τὴν μοναρχικὴν Θεαρχίαν, τρισὶν ὑποστάσεσι πεφυκυῖαν, ἀπαραλλάκτως ἀλλήλαις δοξάζομεν, τὴν διαφορὰν ἐχούσαις μόνην, τῆς ὑπαρκτικῆς ἑκάστης ἰδιότητος. Δίς.

Νοεραί σε τάξεις, τῶν Ἀγγελικῶν διακόσμων, αἰνοῦσι τρισήλιε Μοναρχία· μεθ' ὧν καὶ ἡμεῖς ἐν πηλίνοις στόμασιν, ὡς ποιητικὴν ἁπάντων μόνην, ἀνυμνολογοῦμεν, καὶ πιστῶς δοξάζομεν.

Θεοτοκίον.

Ἀπορρήτῳ λόγῳ, Λόγος γεννηθεὶς ἐξ Ἡλίου Πατρός, ἄλλος Ἥλιος πρὸ αἰώνων, ἐκ τῆς Παρθένου ἐσχάτως ἀνέτειλε· καὶ μοναδικὸν τρισὶ προσώποις, τὸν ἀπερινόητον Θεὸν ἐδίδαξε.

Κάθισμα Τριαδικόν. Πυρὸς νεφέλην.

Τριὰς ὁμοούσιε, Μονὰς τρισυπόστατε, ἐλέησον οὓς ἔπλασας, ἀθάνατε, καταφλέγουσα κακίας τῶν πταιόντων, καὶ φωτίζουσα καρδίας τῶν ὑμνούντων τὴν εὐσπλαγχνίαν σου, ὁ Θεὸς ἡμῶν δόξα σοι.

Δόξα καὶ νῦν. Θεοτοκίον ὅμοιον.

Πυρὸς φωτεινότερον, φωτὸς ἐναργέστερον, τὸ ἔλεος τῆς χάριτός σου Δέσποινα, καταφλέγον ἁμαρτίας τῶν ἀνθρώπων, καὶ ὁρασίζον διανοίας τῶν ὑμνούντων, τὰ μεγαλεῖά σου, Θεοτόκε Παναμωμε.

Ὠδὴ Ζ'. Οἱ ἐν καμίνῳ τοῦ πυρός.

Ῥήσεσι θείων Προφητῶν, πειθαρχοῦντες ἕνα σε μόνον, Θεὸν τῶν ὅλων δοξάζομεν, ἐν τρισὶ χαρακτῆρσιν, οὕτω βοῶντες, Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν. Δίς.

Χοϊκοῖς γείλεσιν ἡμεῖς, σὺν ἀύλοις Τάξεσιν ὕμνοις, Τριὰς ἁγία σε μέλπομεν, ἐν Μονάδι οὐσίας ἀναβοῶντες, Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Ἵνα ὁ πλάστας τὸν Ἀδὰμ, ἀναπλάσῃ Πάναγνε πάλιν, ἐκ σοῦ σαρκωθεὶς ἐνηνθρώπησε, τοὺς ἀνθρώπους θεώσας, οὕτω βοῶντας, Εὐλογημένος Πάναγνε, ὁ καρπὸς τῆς κοιλίας σου.

Ὠδὴ Η'. Ἄφλεκτος πυρί.

Κρατεῖς τοῦ παντὸς, ἡ τριττὴ καὶ ἐνιαία, Κυριαρχία ἄναρχε, καὶ διεθύνεις οὐρανὸν καὶ τὴν γῆν. Διό με φίλτρῳ τῷ σῷ, καταθελγόμενον ἀεί, φύλαξον ψάλλειν σοι, Πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς παντας τοὺς αἰῶνας.

Ἡλίου βολαῖς, τριλαμποῦς καταυγασθῆναι, φωτουργικαῖς ἀξίωσον, τῶν ὑμνῳδῶν σου τὰς καρ-

δίας· καὶ νῦν ὁρᾶν τὸ κάλλος τὸ σὸν, Τριὰς Μονὰς ὡς ἐφικτὸν, δώρησαι πάντοτε, πᾶσι τοῖς πίστει πρεπούσῃ, τὴν σὴν μεγαλωσύνην, ἀνυμνολογοῦσιν εἰς πάντας τοὺς αἰῶνας.

Ναόν με τῆς σῆς, τριφαοῦς ποίησον αἴγλης, Ἀγαθουργὲ φιλάνθρωπε, καὶ μετουσίας καὶ μεθέξεως· ἀπρόσιτον τοῖς ἐχθροῖς τοῖς ἀοράτοις, καὶ σαρκὸς πάθεσι Δέσποτα δεῖξον, Μονάρχα Θεέ μου, καὶ Κύριε τῆς δόξης, τοῦ ὑμνολογεῖν σε εἰς πάντας τοὺς αἰῶνας. Θεοτοκίον.

Φῶς θεαρχικὸν, ἐκ γαστρός σου ἀνατεῖλαν, Παρθενομῆτορ ἄχραντε, πάντα τὸν Κόσμον τρισηλίῳ φωτὶ κατηύγασε, καὶ τὴν γῆν καθάπερ ἄλλον Οὐρανὸν ἔδειξε ψάλλουσαν, Πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ Θ'. Μήτηρ Θεοῦ καὶ Παρθένος.

Ὑψηγορεῖν καὶ ὑμνεῖν ἀξίως σε, ὃν ἐν Ὑψίστοις ἀπαύστως, Σεραφὶμ ἀνυμνοῦσιν, οὐκ ἐξισχύομεν οἱ πήλινοι· πλὴν ὡς Δεσπότην τῶν ὅλων τολμῶντες, καὶ φιλανθρωπότατον Θεὸν μεγαλύνομεν.

Σωματικῆς ἀλγηδόνας λύτρωσαι, καὶ ψυχικῆς ἐμπαθείας τοὺς ὑμνῳδούς σου, Μοναδικὴ Τριὰς ἀχώριστε, καὶ διαφυλάττεσθαι ἀπρώτους, ἐκ πάντων τῶν βιωτικῶν πειρατηρίων ἀξίωσον.

Ἰσοσθενὴς Θεαρχία Τρίφωτε, προϊσχομένη τὸ κράτος, ἀπαραλακτον κάλλος, τῆς οὐσιώδους ἀγαθότητος, δὸς τῶν πταισμάτων τὴν λύσιν σοῖς δούλοις, καὶ πειρασμῶν καὶ παθῶν ἀπολύτ-σιν. Θεοτοκίον.

Νοῦν καὶ ψυχὴν καὶ σαρκὸς φύραμα, προσειληφὼς Θεοτ-ἐκ σῆς Μήτρας ἀχράντου, ὁ Θ-Λόγος κατ' ἀλήθειαν, ἄνθρω-ὤφθη, καὶ θείας οὐσίας, κοινω-τὸν ἄνθρωπον, σαφῶς ἐναπέφ-

Θεός

Τὰ λοιπὰ καὶ τὴν ἀπόλ. Ζήτε-φύλ. 37. Εἰς τὸν Ὄρθρον μετὰ ἑξάψαλμον, τὸ, Θεὸς Κύριος. Τὸ πολυτίκιον δίς· τὸ Θεοτοκίον ἀ-Τὸ Ψαλτήριον, καὶ μετὰ τὴν ἀ-τοῦ στιχολογίαν, Καθίσματα.

Ἡ ζωὴ ἐν τῷ τάφῳ ἀνέκε-καὶ σφραγὶς ἐν τῷ λίθῳ ἐπέκ-ὡς Βασιλέα ὑπνοῦντα στρατιὰ ἐφύλαττον Χριστόν· Ἄγγ-ἐδόξαζον, ὡς Θεὸν ἀθάνα-Γυναῖκες δὲ ἐκραύγαζον, Ἀνέ-ὁ Κύριος, παρέχων τῷ κόσμῳ μέγα ἔλεος.

Δόξα.

Τῇ τριημέρῳ ταφῇ σου σκυ-σας τὸν θάνατον, καὶ φθαρ-τὸν ἄνθρωπον, τῇ ζωηφόρῳ γέρσει σου, ἀναστήσας Χριστ-Θεὸς, ὡς φιλάνθρωπος, δόξα

Καὶ νῦν Θεοτοκίον.

Τὸν σταυρωθέντα ὑπὲρ ἡμῶν, ἀναστάντα Χριστὸν τὸν Θεὸν, καθελόντα σοῦ θανάτου τὸ κ-τος, ἀπαύστως ἱκέτευε, Θεο-Παρθένε, ἵνα σώσῃ τὰς ψυ-ἡμῶν.

Μετ

Μετὰ τὴν Β'. στιχολ. καθίσματα.

Ἐσφραγισμένου τοῦ μνήματος, ἡ ζωὴ ἐκ τάφου ἀνέτειλας Χριστέ ὁ Θεός· καὶ τῶν θυρῶν κεκλεισμένων, τοῖς Μαθηταῖς ἐπέστης, ἡ πάντων ἀνάστασις. Πνεῦμα εὐθὲς δὶ αὐτῶν ἐγκαινίζων ἡμῖν, κατὰ τὸ μέγα σου ἔλεος.

Δόξα.

Ἐπὶ τὸ μνῆμα ἔδραμον γυναῖκες, μετὰ δακρύων μῦρα φέρουσαι· καὶ στρατιωτῶν φυλασσόντων σε τὸν τῶν ὅλων Βασιλέα, ἔλεγον πρὸς ἑαυτάς: Τίς ἀποκυλίσει ἡμῖν τὸν λίθον; Ἀνέστη ὁ μεγάλης βουλῆς Ἄγγελος, πατήσας τὸν θάνατον. Παντοδύναμε Κύριε, δόξα σοι.

Καὶ νῦν Θεοτοκίον·

Χαῖρε Κεχαριτωμένη Θεοτόκε Παρθένε, λιμὴν καὶ προστασία τοῦ γένους τῶν ἀνθρώπων· ἐκ σοῦ γὰρ ἐσαρκώθη ὁ Λυτρωτὴς τοῦ κόσμου· μόνη γὰρ ὑπάρχεις, Μήτηρ καὶ Παρθένος, ἀεὶ εὐλογημένη καὶ δεδοξασμένη. Πρέσβευε Χριστῷ τῷ Θεῷ, εἰρήνην δωρήσασθαι πάσῃ τῇ Οἰκουμένῃ.

Μετὰ τὸν Ἄμωμον, τὰ Εὐλογητάρια, ἡ Αἴτησις, καὶ ἡ Ὑπακοή.

Ὁ ἡμετέραν μορφὴν ἀναλαβών, καὶ ὑπομείνας Σταυρὸν σωματικῶς, σῶσόν με τῇ Ἀναστάσει σου, Χριστὲ ὁ Θεός, ὡς φιλάνθρωπος.

Οἱ Ἀναβαθμοί. Ἀντίφωνον Α'.

Τὴν αἰχμαλωσίαν Σιὼν, ἐκ πλάνης ἐπιστρέψας, κἀμὲ Σωτὴρ ζώωσον, ἐξαίρων δουλοπαθείας.

Ἐν τῷ νότῳ ὁ σπείρων θλίψεις, νηστείας μετὰ δακρύων, οὗτος χαρᾶς δρέψεται, δράγματα ἀεὶ ζωοτροφίας.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι, πηγῇ τῶν θείων θησαυρισμάτων, ἐξ οὗ σοφία, σύνεσις, φόβος· αὐτῷ αἴνεσις, δόξα τιμή, καὶ κράτος.

Ἀντίφωνον Β'.

Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον τὸν τῆς ψυχῆς, μάτην κοπιῶμεν· πλὴν γὰρ αὐτοῦ, οὐ πρᾶξις, οὐ λόγος τελεῖται,

Τοῦ καρποῦ τῆς γαστρὸς οἱ Ἅγιοι πνευματοκινήτως, ἀναβλαστοῦσι πατρῷα δόγματα υἱοθεσίας.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι, τὰ σύμπαντα τὸ εἶναι ἔχει· πρὸ πάντων γὰρ Θεός, τῶν ὅλων Κυριότης, Φῶς ἀπρόσιτον, Ζωὴ τῶν πάντων.

Ἀντίφωνον Γ'.

Οἱ φοβούμενοι τὸν Κύριον, ὁδοὺς ζωῆς εὑρόντες, νῦν καὶ ἀεὶ μακαριοῦνται, δόξῃ ἀκηράτῳ.

Κύκλῳ τῆς τραπέζης σου, ὡς στελέχη βλέπων τὰ ἔγκονά σου, χαῖρε, εὐφραίνου, προσάγων ταῦτα, τῷ Χριστῷ ποιμενάρχα.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι, βυθὸς χαρισμάτων, πλοῦτος δόξης, κριμάτων

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

των βάθος μέγα, ὁμόδοξον Πατρὶ καὶ Υἱῷ, λατρευτὸν γάρ.

Προκείμενον. Ἀνάστηθι Κύριε ὁ Θεός μου, ὑψωθήτω ἡ χείρ σου. στίχ. Ἐξομολογήσομαί σοι Κύριε ἐνὸλῃ καρδίᾳ μου. Τὸ, πᾶσα πνοή. Καὶ ὑπὲρ τοῦ κατα ξιωθῆναι τὸ Εὐαγγέλ. καὶ τὰ λοιπὰ, ὡς εἰς φύλ. 132. Οἱ Κανόνες οὗτοι καὶ τοῦ Μηναίου. Ὠδὴ Α. Ὁ Εἱρμός.

Νεύσει σου πρὸς γεώδη, ἀντιτυπίαν μετήχθη, ἡ πρὶν εὐδιάχυτος, ὑδάτων φύσις Κύριε· ὅθεν ἀβρόχως πεζεύσας, ᾄδει Ἰσραὴλ σοι ᾠδὴν ἐπινίκιον.

Κέκριται τοῦ θανάτου, ἡ τυραννὶς διὰ ξύλου, ἀδίκῳ θανάτῳ σου, κατακριθέντος Κύριε· ὅθεν ὁ ἄρχων τοῦ σκότους, σοῦ μὴ κατισχύσας, δικαίως ἐκβέβληται.

Ἀδὴς σοι προσπελάσας, καὶ τοῖς ὀδοῦσι μὴ σθένων, συντρίψαι τὸ σῶμά σου, τὰς σιαγόνας τέθλασται. Ὅθεν Σωτὴρ τὰς ὀδύνας, λύσας τοῦ θανάτου, ἀνέστης τριήμερος. Θεοτοκίον.

Λέλυνται αἱ ὀδύναι, αἱ τῆς προμήτορος Εὔας· ὀδύνας λαθοῦσα γάρ, ἀπειρογάμως τέτοκας· ὅθεν σαφῶς Θεοτόκον, πάναγνε εἰδότες σε, πάντες δοξάζομεν.

Ἕτερος, ὅστις καταλιμπάνεται, εἰ ἑορτάζεται τῆς ἡμέρας ὁ Ἅγιος.

Σταυροαναστάσ. Πόντῳ ἐκάλυψε.

Δύω πηγὰς ἡμῖν, ἐν σταυρῷ ἀνέβλυσεν, ὁ Σωτὴρ ζωηφόρους, ἐκ τῆς αὐτοῦ νυγείσης πλευρᾶς. Ἄσωμεν αὐτῷ, ὅτι δεδόξασται.

Τάφον οἰκήσας, καὶ ἀναστὰς τριήμερος, ἀρθαρσίαν παρέσχεν, ἀπεκδοχὴν Χριστὸς τοῖς θνητοῖς. Ἄσωμεν αὐτῷ, ὅτι δεδόξασται.

Ἕτερος Κανὼν εἰς τὴν Ὑπεραγίαν Θεοτόκον. Κατὰ Ἀλφάβητον.

Νεύσει σου πρὸς γεώδη.

Ἀβυσσον ἡ τεκοῦσα, τῆς εὐσπλαγχνίας Παρθένε, ψυχήν μου κατάτηγασον, τῇ φωτοφόρῳ λάμψει σου, ὅπως ἀξίως ὑμνήσω, τῶν σῶν θαυμασίων τὴν ἄβυσσον.

Βέλει τῆς ἁμαρτίας, κατατρωθέντας ὁ Λόγος, ἡμᾶς θεασάμενος, ὡς εὐεργέτης ᾤκτειρεν· ὅθεν ἀῤῥάστως ἑνοῦται, Πάναγνε σαρκί, τῇ ἐκ σοῦ ὁ Ὑπέρθεος.

Γέγονε τῷ θανάτῳ, κατασχεθεῖσα ἡ φύσις, ῥωμαρτὴ καὶ ἐπίκηρος, ἡ τῶν ἀνθρώπων Πάναγνε· σὺ δὲ ζωὴν ἐπανήγαγες.

Ὠδὴ Γ'. Ὁ Εἱρμός.

Ὁ κατ' ἀρχὰς τοὺς Οὐρανοὺς, παντοδυνάμῳ σου Λόγῳ, στερεώσας Κύριε Σωτὴρ, καὶ τῷ παντουργῷ καὶ θείῳ Πνεύματι, πᾶσαν τὴν δύναμιν αὐτῶν, ἐν ἀσαλεύτῳ με πέτρᾳ, τῆς ὁμολογίας σου στερέωσον. Τροπάριον.

Σὺ ἀνελθὼν ἐπὶ ξύλου, ὑπὲρ ἡμῶν ὀδυνᾶσαι, ἑκουσίως εὐσπλαγχνε Σωτὴρ, καὶ φέρεις πληγὴν εἰρήνης πρόξενον, καὶ σωτηρίαν τοῖς πιστοῖς, δι' ἧς τῷ σῷ Ἐλεήμονι, πάντες κατηλλάγημεν Γεννήτορι.

Σὺ

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

Σὺ με καθῆρας τῆς πληγῆς, τὸν τῇ ψυχῇ τετρωμένον, ὁρακοντίῳ δήγματι Χριστὲ, καὶ ἔδειξας φῶς ἐν σκότει, πάλαι μοι κατῳκισμένῳ καὶ φθορᾷ· διὰ Σταυροῦ γὰρ εἰς Ἅδην, καταβεβηκώς με συνανέστησας.

Θεοτοκίον

Τῆς ἀπειράνδρου σου Μητρὸς, ταῖς ἱκεσίαις τῷ Κόσμῳ, τὴν εἰρήνην βράβευσον Σωτὴρ, καὶ τῷ βασιλεῖ τὴν νίκην δώρησαι, κατὰ βαρβάρων δυσμενῶν, καὶ τῆς ἀφράστου σου δόξης, τοὺς δοξολογοῦντάς σε ἀξίωσον.

Ἕτερος Σταυροαν. Ὁ Οὐρανοὺς τῷ

Λόγῳ στερεώσας

Ὁ ἐν Σταυρῷ τὰ πάθη ὑπομείνας, καὶ τῷ Ληστῇ τὸν Παράδεισον ἀνοίξας, ὡς εὐεργέτης καὶ Θεὸς, στερέωσόν μου τὸν νοῦν, εἰς τὸ θέλημά σου μόνε φιλάνθρωπε.

Ὁ ἀναστὰς τριήμερος ἐκ τάφου, καὶ τὴν ζωὴν τῷ Κόσμῳ ἀνατείλας, ὡς ζωοδότης καὶ Θεὸς, στερέωσόν μου τὸν νοῦν, εἰς τὸ θέλημά σου μόνε Φιλάνθρωπε.

Τῆς Θεοτόκου. Ὁ κατ' ἀρχὰς

τοὺς Οὐρανούς.

Δράκων ἑρπύσας ἐξ Ἅδου, ἐμὲ θεώσεως πόθῳ, δελεάσας ἔρριψεν εἰς γῆν· ἀλλ' ὁ συμπαθὴς καὶ φύσει εὔσπλαγχνος, κατοικτειρήσας θεουργεῖ, ἐν τῇ γαστρί σου σκηνώσας, καὶ ὁμοιωθεὶς μοι Μητροπάρθενε.

Εὐλογημένος ὁ Καρπὸς, τῆς σῆς κοιλίας Παρθένε Θεοτόκε, πάντων ἡ χαρά· χαρὰν γὰρ παντὶ τῷ Κόσμῳ τέτοκας, καὶ εὐφροσύνην ἀληθῶς, διασκεδάζουσαν λύπην, τὴν τῆς ἁμαρτίας Θεονύμφευτε.

Ζωὴν αἰώνιον καὶ φῶς, θεογεννῆτορ Παρθένε, καὶ εἰρήνην τέτοκας ἡμῖν, τὴν τὸν παλαιὸν ἀνθρώπων πόλεμον, πρὸς τὸν Πατέρα καὶ Θεὸν, καταπραΰνουσαν πίστει, καὶ ὁμολογίᾳ τῇ τῆς χάριτος.

Ὠδὴ Δ'. Ὁ Εἱρμός.

Ὁ πατρικοὺς κόλπους μὴ λιπὼν, καὶ καταβὰς ἐπὶ τῆς γῆς Χριστὲ ὁ Θεὸς, τὸ Μυστήριον ἀκήκοα τῆς οἰκονομίας σου, καὶ ἐδόξασά σε μόνε φιλάνθρωπε.

Τὸν ἑαυτοῦ νῶτον δεδωκὼς, ὁ ἐκ Παρθένου σαρκωθεὶς εἰς μάστιγας, δούλου πταίσαντος, αἰκίζεται Δεσπότης ἀνεύθυνος, διαλύων μου τὰ ἐγκλήματα.

Παρεστηκὼς βήματι κριτῶν παρανομούντων, ὡς κριτὸς εὐθύνεται, καὶ ῥαπίζεται πηλίνῃ χειρί, ὁ πλάσας τὸν ἄνθρωπον ὡς Θεός, καὶ κρίνων δικαίως τὴν γῆν.

Θεοτοκίον.

Ὡς ἀληθῶς Μήτηρ τοῦ Θεοῦ, τὸν ποιητήν σου, καὶ Υἱὸν ἱκέτευε πρὸς σωτήριον ἰθύναι με λιμένα πανάμωμε, τοῦ αὐτοῦ ἐνδόξου θελήματος. Σταυροανας.

Κατανυκτικὸν ὁ Προφήτης.

Ὁ μὴ εἰδὼς ἁμαρτίαν, καὶ διὰ τοῦτην γεγονὼς Κύριε, ὁ οὐκ ἦ-

σθα,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σθα, μορφοῦσαι λαβὼν τὸ ἀλλότριον, ἵνα σώσῃς τὸν Κόσμον, καὶ κτείνῃς δελεάσας τὸν τύραννον.

Ἐπὶ σταυροῦ ἀνηρτήθης, καὶ τοῦ Προπάτορος Ἀδὰμ ἐλυσας ἁμαρτίαν. Ὅτι πάντας τοῦ σῶσαι, τοὺς φθαρέντας ἐλήλυθας.

Τῆς Θεοτόκου. Ὁ Πατρικοὺς κόλπους.

Ἡ ἐκλεκτὴ ὅλη καὶ καλὴ, ἀναφανεῖσα τῷ Θεῷ πρὸ τῆς κτίσεως, τῇ λαμπρότητι πανύμνητε τῆς φωτοχυσίας σου, τοὺς ὑμνοῦντάς σε καταφαίδρυνον.

Θεὸν βροτοῖς τέτοκας ἀγνὴ, σεσαρκωμένον ἐξ ἀγνῶν αἱμάτων σου, τὸν λυτρούμενον πταισμάτων πολλῶν, τοὺς πόθῳ γεραίροντας, καὶ ὑμνοῦντάς σε Μητροπάρθενε.

Ἱερουργεῖ φύσις λογικὴ, τῷ ἀνατείλαντι ἐκ σοῦ πανύμνητε. Τὸ Μυστήριον τὸ ἄφραστον τῆς κυοφορίας σου, μυηθεῖσα νῦν παμμακάριστε.

Ὠδὴ Ε'. Ὁ Εἱρμός.

Νὺξ ἀφεγγὴς τοῖς ἀπίστοις Χριστὲ, τοῖς δὲ πιστοῖς φωτισμὸς, ἐν τῇ τρυφῇ τῶν θείων λόγων σου. Διὰ τοῦτο πρὸς σὲ ὀρθρίζω, καὶ ἀνυμνῶ σου τὴν Θεότητα.

Ὑπὲρ σῶν δούλων πιπράσκῃ, Χριστὲ, καὶ ῥαπισμὸν καρτερεῖς, ἐλευθερίας πρόξενον, τοῖς μελῳδοῦσι, Πρὸς σὲ ὀρθρίζω, καὶ ἀνυμνῶ σου τὴν Θεότητα.

τητι, καὶ φωτὶ τῷ τῆς Παρθενίας πανάμωμε, Νύμφην προσήκατο.

Ὠδὴ ς'. Ὁ Εἱρμός.

Ναυτιῶντα τῷ σάλῳ τῶν βιωτικῶν μελημάτων, συμπλόοις ποντούμενος, ἁμαρτίαις καὶ ψυχοφθόρῳ θηρὶ προσριπτούμενος, ὡς ὁ Ἰωνᾶς Χριστὲ βοᾷ σοι· ἐκ θανατηφόρου με βυθοῦ ἀνάγαγε.

Ἐμνημόνευόν σου αἱ κατακλεισθεῖσαι τῷ ᾅδῃ, ψυχαὶ καὶ ἐκλείπουσαι τῶν δικαίων, καὶ παρὰ σοῦ σωτηρίαν προσηύχοντο· ἣν διὰ σταυροῦ Χριστὲ παρέσχες, τοῖς καταχθονίοις, ἐπιβὰς ὡς εὔσπλαγχνος.

Πρὸς τὸν ἔμψυχόν σου καὶ ἀχειροποίητον δόμον λυθέντα παθήμασιν, ἐπιβλέψαι πάλιν χορὸς Ἀποστόλων ἀπήλπισεν· ἀλλ' ὑπὲρ ἐλπίδα προσκυνήσας, ἀνεγηγερμένον πανταχοῦ ἐκήρυξε.

Θεοτοκίον.

Τοῦ ἀφράστου τόκου, σοῦ τῆς παναμώμου τὸν τρόπον, Παρθένε Θεόνυμφε, τοῦ δι' ἡμᾶς, τίς ἑρμηνεῦσαι ἀνθρώπων δυνήσεται; ὅτι ὁ Θεὸς ἀπεριγράπτως, λόγος ἑνωθείς σοι, σὰρξ ἐκ σοῦ ἐγένετο.

Σταυροαναστ. Ὁ Ἰωνᾶς ἐκ κοιλίας.

Ἐν τῷ Σταυρῷ ὑψωθείς, Σωτὴρ ἑκουσίως, τὸ τοῦ ἐχθροῦ ἠχμαλώτευσας κράτος· ἐν τούτῳ προσηλώσας, ἁμαρτίας ἀγαθὲ τὸ χειρόγραφον.

Ἐκ τῶν νεκρῶν ἀναστὰς Σωτὴρ ἐξουσίᾳ, συνήγειρας τῶν ἀνθρώπων τὸ γένος· ζωὴν καὶ ἀφθαρσίαν, δωρησάμενος ἡμῖν ὡς φιλάνθρωπος.

Τῆς Θεοτόκου. Ναυτιῶντα τῷ σάλῳ.

Νομικοί σε τύποι, καὶ τῶν Προφητῶν αἱ προρρήσεις, σαφῶς προεμήνυον, τεξομένην τὸν εὐεργέτην, ἁγνὴ πάσης κτίσεως· τὸν πολυμερῶς καὶ πολυτρόπως εὐεργετηκότα, τοὺς πιστῶς ὑμνοῦντάς σε.

Ξενωθέντα πάλαι, ἐξ ἐπιβουλῆς βροτοκτόνου, Ἀδὰμ τὸν πρωτόπλαστον, τῆς ἐνθέου τοῦ Παραδείσου τρυφῆς Ἀπειρόγαμε, αὖθις ἐπανήγαγες τεκοῦσα, τὸν ἐκ παραβάσεως ἡμᾶς ῥυσάμενον.

Ὃ βουλήσει θείᾳ, δημιουργικῇ τε δυνάμει, τὸ πᾶν συστησάμενος ἐκ μὴ ὄντων, ἐκ τῆς γαστρός σου Ἁγνὴ προελήλυθε· καὶ τοὺς ἐν τῷ σκότει τοῦ θανάτου, θεαρχικωτάταις ἀστραπαῖς κατέλαμψε.

Κοντάκιον. Οὐκ ἔτι φλογίνη.

Οὐκ ἔτι τὸ κράτος τοῦ θανάτου, ἰσχύει κατέχειν τοὺς βροτούς. Χριστὸς γὰρ κατῆλθε συντρίβων, καὶ λύων τὰς δυνάμεις αὐτοῦ. Δεσμεῖται ὁ ᾅδης, Προφῆται συμφώνως ἀγάλλονται· Ἐπέστη, λέγοντες, Σωτὴρ τοῖς ἐν πίστει· ἐξέρχεσθε οἱ πιστοί εἰς τὴν ἀνάστασιν. Ὁ Οἶκος.

Ἔτρεμε κάτωθεν τὰ καταχθόνια σήμερον, ὁ ᾅδης καὶ ὁ θάνατος

τὸν

Δημόσια Κεντρική Βιβλιοθήκη Πάτρας

τὸν ἕνα τῆς Τριάδος. Ἡ γῆ ἐκλονεῖτο, πυλωροὶ δὲ ᾅδου ἰδόντες σε ἔπτηξαν, ἡ κτίσις δὲ πᾶσα σὺν τοῖς Προφήταις χαίρουσα, ψάλλει σοι, ἐπινίκιον ᾠδὴν τῷ Λυτρωτῇ ἡμῶν Θεῷ, τῷ καταλύσαντι νῦν θανάτου τὴν δύναμιν· ἀλλαλάξωμεν καὶ βοήσωμεν τῷ Ἀδάμ, καὶ τοῖς ἐξ Ἀδάμ: Ξύλον τοῦτον εἰσήγαγεν· ἐξέρχεσθε οἱ πιστοὶ εἰς τὴν ἀνάστασιν.

Ὠδὴ Ζ'. Ὁ Εἱρμός.

Κάμινον παῖδες πυρίφλεκτον πάλαι, δροσοβόλουσαν ὑπέδειξαν· ἕνα Θεὸν ἀνυμνοῦντες καὶ λέγοντες: Ὁ ὑπερυψούμενος τῶν Πατέρων Θεὸς καὶ ὑπερένδοξος.

Ξύλῳ νεκροῦται Ἀδὰμ ἑκουσίως, παρακοὴν ἐργασάμενος, ὑπακοῇ δὲ Χριστοῦ ἀναπέπλασται· δι' ἐμὲ σταυροῦται γάρ, ὁ Υἱὸς τοῦ Θεοῦ ὁ ὑπερένδοξος.

Σὲ ἀναστάντα Χριστὲ ἐκ τοῦ τάφου, ἡ κτίσις πᾶσα ἀνύμνησε. Σὺ γὰρ ζωὴν τοῖς ἐν ᾅδῃ ἐξήνθησας, τοῖς νεκροῖς ἀνάστασιν, τοῖς ἐν σκότει τὸ φῶς, ὁ ὑπερένδοξος.

Θεοτοκίον.

Χαῖρε θυγάτηρ Ἀδὰμ τοῦ φθαρέντος· χαῖρε ἡ μόνη Θεόνυμφος· χαῖρε δι' ἧς ἡ φθορὰ ἐξωστράκισται, ἡ Θεὸν κυήσασα· ὃν δυσώπει Ἁγνή, σωθῆναι πάντας ἡμᾶς.

Σταυροαναστ. Οἱ ἐν καμίνῳ τοῦ πυρός.

Ὁ ἐν τῷ ξύλῳ τῷ σταυροῦ, ἁμαρτίας κέντρον ἀμβλύνας, καὶ τῆς Ἀδάμ, παραβάσεως τὸ χειρόγραφον λύσας, λόγχῃ πλευρᾶς σου. Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Ὁ τὴν πλευρὰν διανυγείς, καὶ ῥανίσιν αἵματος θείου, τὴν γῆν καθάρας τοῖς αἵμασι, τῆς εἰδωλομανίας καταχρανθεῖσαν. Εὐλογητὸς εἶ Κύριε.

Τῆς Θεοτόκου. Κάμινον παῖδες.

Πεποικιλμένον, διάχρυσον κόσμον, σὲ κεκτημένην ἠγάπησεν, ὁ πλαστουργός σου Παρθένε καὶ Κύριος. Ὁ ὑπερυψούμενος, τῶν Πατέρων Θεὸς, καὶ ὑπερένδοξος.

Ῥύπτεται Κόρη, τὸν ἄνθρακα πάλαι, ὁ Ἡσαΐας δεξάμενος, συμβολικῶς τὸν σὸν τόκον θεώμενος, τὸν ὑπερένδοξον.

Σύμβολα πάλαι, τοῦ θείου σου τόκου, θεῖοι Προφῆται θεώμενοι, χαρμονικῶς ἀνυμνοῦντες ἐκραύγαζον, Ὁ ὑπερυψούμενος τῶν Πατέρων.

Ὠδὴ Η'. Ὁ Εἱρμός.

Ἀρλεκτον πυρὶ, ἐν Σινᾷ προσομιλοῦσαν, βάτον Θεὸν ἐγνώρισε, τῷ βραδυγλώσσῳ καὶ δυσήχῳ Μωσεῖ, καὶ παῖδας ζῆλος Θεοῦ, τρεῖς ἀναλώτους ἐν πυρὶ, ὑμνῳδοὺς ἔδειξε. Πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας.

Ἄχραντος ἀμνὸς, λογικὸς ὑπὲρ τοῦ κόσμου, σφαγιασθεὶς κατέπαυσε, τὰ κατὰ νόμον προσφερόμενα, καθάρας τοῦτον χωρὶς

προσ-

Δημόσια Κεντρική Βιβλιοθήκη Θεσσαλ

παραπτωμάτων ὡς Θεὸς, εἰς ἀεὶ κράζοντα, Πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον.

Ἄφθαρτος οὐκ οὖσα, πρὸ πάθους ἡ ληφθεῖσα, ὑπὸ τοῦ κτίστου σὰρξ ἡμῶν, μετὰ τὸ πάθος, καὶ τὴν ἔγερσιν, ἀπρόσιτος τῇ φθορᾷ κατεσκευάσθη, καὶ θνητοὺς καινουργεῖ κράζοντας: Πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε.

Θεοτοκίον.

Σοῦ τὸ καθαρὸν, καὶ πανάμωμον Παρθένε, τὸ ῥυπαρὸν καὶ ἔμμυσον, τῆς οἰκουμένης ἀπεκάθηρε· καὶ γέγονας τῆς ἡμῶν πρὸς τὸν Θεὸν, καταλλαγῆς αἰτία πάναγνε· Πάντα τὰ ἔργα δίωσε, Παρθένε εὐλογοῦμεν, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Σταυροναγ. Τὸν μόνον ἄναρχον.

Τὸν ὑπομείναντα ἑκουσίως τὰ πάθη, καὶ ἐν σταυρῷ προσηλωθέντα βουλήσει, καὶ λύσαντα τὰς τοῦ ᾅδου δυνάμεις, ὑμνεῖτε ἱερεῖς, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τὸν καταργήσαντα τοῦ θανάτου τὸ κράτος, καὶ ἀναστάντα ἐκ τοῦ τάφου ἐν δόξῃ, καὶ σώσαντα τῶν ἀνθρώπων τὸ γένος, ὑμνεῖτε ἱερεῖς, λαὸς ὑπερυψοῦτε.

Τῆς Θεοτόκου. Ἅρλεκτος πυρί.

Τῷ φέγγει τοῦ σοῦ τοκετοῦ, τὴν οἰκουμένην ξενοπρεπῶς ἐφώτισας Θεογεννήτωρ. Τὸν γὰρ ὄντως Θεὸν ἀγκάλαις φέρεις ταῖς σαῖς, καταλαμπρύνοντα πιστοὺς τοὺς ἀεὶ κράζοντας: Πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὑμνοῦμεν ἁγνὴ, εὐσεβῶς τὴν σὴν γαστέρα, τὴν τὸν Θεὸν χωρήσασαν, ἀνερμηνεύτως σωματούμενον. Τὸν ὄντα πᾶσι πιστοῖς θεογνωσίας φωτισμὸν, τοῖς ἀεὶ κράζουσι: Πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε.

Φωτὸς σου ταῖς μαρμαρυγαῖς, τοὺς σὲ ὑμνοῦντας φωτοειδεῖς ἀπέργασαι, φωτογεννῆτορ Θεοτόκε ἁγνὴ. Φωτὸς γὰρ ὥρθης σκηνὴ, καταραιδρύνουσα φωτὶ, τοὺς ἀεὶ κράζοντας: Πάντα τὰ ἔργα Κυρίου.

Ὠδὴ Θ'. Ὁ Εἱρμός.

Μὴ τῆς φθορᾶς διὰ πεῖραν κυοφορήσασα, καὶ παντεχνήμονι λόγῳ σάρκα δανείσασα, Μήτηρ ἀπείρανδρε, Παρθένε Θεοτόκε, δοχεῖον τοῦ ἀστέκτου, χωρίον τοῦ ἀπείρου, πλαστουργοῦ σου σὲ μεγαλύνομεν.

Οἱ τῇ θεότητι πάθη προσαρμόζαντες, ἐπιστομίζεσθαι πάντες ἀλλοτριόφρονες. Κύριον δόξης γὰρ σαρκὶ ἐσταυρωμένον, ἀσταύρωτον δὲ φύσει, τῇ θείᾳ ὡς ἐν δυὸ, ἕνα φύσεσι μεγαλύνομεν.

Οἱ τῶν σωμάτων τὴν ἔγερσιν ἀθετήσαντες, πρὸς τὸ Χριστοῦ πορευθέντες μνῆμα διδάχθητε· ὅτι νενέκρωται καὶ ἐγήγερται πάλιν, ἡ σὰρξ τοῦ Λωοδότου, εἰς πίστω-

σιν.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

σιν ἐσχάτης ἀναστάσεως, ἣν ἐλπίζομεν.

Τριαδικόν.

Οὐ Θεοτήτων Τριάδα, ἀλλ' ὑποστάσεων, οὐδὲ μονάδα προσώπων, ἀλλὰ θεότητος σέβοντες, τέμνομεν τοὺς ταύτην διαιροῦντας· συγχέομεν δὲ πάλιν τοὺς συγχυσιν τολμῶντας, κατὰ ταύτης, ἣν μεγαλύνομεν.

Σταυροανας. Μήτηρ Θεοῦ.

Φῶς ἐκ φωτὸς πατρικῆς ἀπαύγασμα δόξης, ἀχρόνως ἐκλάμψαν ὡς ἐν σκότει τῷ βίῳ, τῷ ἀνθρωπίνῳ Χριστὸς ἔλαμψε· καὶ τὸ διῶκον ἀπήλασε σκότος· ὃν ἀκαταπαύστως οἱ πιστοὶ μεγαλύνομεν.

Πάθη σαρκὸς, καὶ ἰσχὺν θεότητος, ἐν Χριστῷ καθορῶντες, οἱ φρονοῦντες τὴν μίαν σύνθετον φύσιν, αἰσχυνέσθωσαν. Ὁ γὰρ αὐτὸς, ὡς μὲν ἄνθρωπος θνήσκει, ὡς δὲ τοῦ παντὸς δημιουργὸς ἐξανίσταται.

Τῆς Θεοτόκου. Ὁ αὐτός.

Χαρᾶς ἡμῖν αἰωνίου προξενος, καὶ εὐφροσύνης ἐδείχθης, ἀειπάρθενε Κόρη, τὸν λυτρωτὴν κυοφορήσασα, τὸν ἀληθείᾳ καὶ Πνεύματι θείῳ, τοὺς αὐτὸν τιμῶντας, ὡς Θεὸν ἐκλυτρούμενον,

Ψάλλων Δαβὶδ σὸς προπάτωρ, πάναγνε σὲ κιβωτὸν ὀνομάζει, ἁγιάσματος θείου, ὑπερφυῶς Θεὸν χωρήσασαν, τὸν ἐν πατρῴοις καθήμενον κόλποις. Ὃν ἀκαταπαύστως οἱ πιστοὶ μεγαλύνομεν.

Ὡς ἀληθῶς ὑπερτέρα πέφυκας, πάσης τῆς κτίσεως κόρη· τὸν γὰρ κτίστην τῶν ὅλων, σωματικῶς ἡμῖν ἐγέννησας. Ὅθεν ὡς Μήτηρ τοῦ μόνου Δεσπότου, φέρεις κατὰ πάντων ἀρχικῶς τὸ ἐγκώμιον.

Μετὰ τὴν τιμιωτέραν ἐκρώνησις. Ὅτι σὲ αἰνοῦσι. Καὶ εὐθὺς τὸ, Ἅγιος Κύριος. Τὰ ἐξαποστειλάρια, καὶ οἱ Αἶνοι.

Ἀνέστη Χριστὸς ἐκ νεκρῶν, λύσας θανάτου τὰ δεσμά. Εὐαγγελίζου γῆ χαρὰν μεγάλην· αἰνεῖτε οὐρανοὶ Θεοῦ τὴν δόξαν.

Ἀνάστασιν Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν Ἅγιον Κύριον, Ἰησοῦν, τὸν μόνον ἀναμάρτητον.

Χριστοῦ τὴν Ἀνάστασιν, προσκυνοῦντες οὐ παυόμεθα· αὐτὸς γὰρ ἡμᾶς ἔσωσεν ἐκ τῶν ἀνομιῶν ἡμῶν. Ἅγιος, Κύριος, Ἰησοῦς, ὁ δείξας τὴν Ἀνάστασιν.

Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ, περὶ πάντων, ὧν ἀνταπέδωκεν ἡμῖν; Δι' ἡμᾶς Θεὸς ἐν ἀνθρώποις, διὰ τὴν καταφθαρεῖσαν φύσιν, ὁ Λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν· πρὸς τοὺς ἀχαρίστους ὁ Εὐεργέτης· πρὸς τοὺς αἰχμαλώτους ὁ Ἐλευθερωτής· πρὸς τοὺς ἐν σκότει καθημένους ὁ Ἥλιος τῆς δικαιοσύνης· ἐπὶ τὸν Σταυρὸν ὁ ἀπαθής· ἐπὶ τὸν Ἅδην τὸ φῶς· ἐπὶ τὸν θάνατον ἡ ζωὴ, ἡ Ἀνάστασις διὰ τοὺς πεσόντας. Πρὸς ὃν βοήσωμεν· Ὁ Θεὸς ἡμῶν δόξα σοι.

Ἔτε-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἕτερα Στιχηρὰ Ἀνατολίου.

Ἥδης Ἅιδου συνέτριψας Κύριε, καὶ θανάτου τὸ κράτος κατήργησας, τῇ κραταιᾷ δυνάμει σου, καὶ συνήγειρας νεκροὺς, τοὺς ἀπ' αἰῶνος ἐν σκότει καθεύδοντας, τῇ θείᾳ καὶ ἐνδόξῳ Ἀναστάσει σου, ὡς Βασιλεὺς τοῦ παντὸς, καὶ Θεὸς παντοδύναμος.

Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, καὶ εὐφρανθῶμεν ἐν τῇ Ἀναστάσει αὐτοῦ· ὅτι συνήγειρε νεκροὺς, ἐκ τῶν τοῦ Ἅιδου ἀλύτων δεσμῶν, καὶ ἐδωρήσατο τῷ Κόσμῳ ὡς Θεὸς, ζωὴν αἰώνιον, καὶ τὸ μέγα ἔλεος.

Ἐξαστράπτων Ἄγγελος, ἐν τῷ λίθῳ ἐκάθητο, τοῦ ζωοδόχου μνήματος, καὶ Γυναιξὶ Μυροφόροις εὐηγγελίζετο λέγων: Ἀνέστη ὁ Κύριος, καθὼς προεῖπεν ὑμῖν. Ἀπαγγείλατε τοῖς Μαθηταῖς αὐτοῦ, ὅτι προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν· τῷ δὲ Κόσμῳ παρέχει ζωὴν αἰώνιον, καὶ τὸ μέγα ἔλεος.

Τί ἀπεδοκιμάσατε τὸν λίθον τὸν ἀκρογωνιαῖον, ὦ παράνομοι Ἰουδαῖοι; Οὗτος ἐστὶν ὁ λίθος, ὃν ἔθετο ὁ Θεὸς ἐν Σιὼν, ὁ ἐκ πέτρας πηγάσας ἐν ἐρήμῳ τὸ ὕδωρ, καὶ ἡμῖν ἀναβλύζων ἐκ τῆς πλευρᾶς αὐτοῦ ἀθανασίαν· οὗτός ἐστιν ὁ λίθος, ὁ ἐξ Ὄρους παρθενικοῦ ἀποτμηθείς, ἄνευ θελήματος ἀνδρὸς, ὁ υἱὸς τοῦ ἀνθρώπου, ὁ ἐρχόμενος ἐπὶ τῶν νεφελῶν τοῦ Οὐρανοῦ, πρὸς τὸν Παλαιὸν τῶν ἡμερῶν, καθὼς εἶπε Δανιὴλ, καὶ αἰώνιος αὐτοῦ ἡ Βασιλεία.

Δόξα τὸ Καθιναν. καὶ νῦν. Ὑπερευλογημένη ὑπάρχεις, καὶ ἡ μεγάλη Δοξολογία. Μετὰ τὸ, Ἅγιος ὁ Θεός. Τὸ, Ἀναστὰς ἐκ τοῦ μνήματος, ὡς εἰς φύλ. 139.

Εἰς τὴν λειτουργίαν οἱ Μακαρισμοί.

Ὡραῖος ἦν καὶ καλὸς εἰς βρῶσιν, ὁ ἐμὲ θανατώσας καρπός. Χριστός ἐστι τὸ ξύλον τῆς ζωῆς, ἐξ οὗ φαγὼν, οὐ θνήσκω· ἀλλὰ βοᾷ σὺν τῷ Λῃστῇ: Μνήσθητί μου Κύριε, ἐν τῇ βασιλείᾳ σου.

Ἐν τῷ σταυρῷ ὑψωθεὶς οἰκτίρμων, τοῦ Ἀδὰμ τὸ χειρόγραφον, τῆς πάλαι ἁμαρτίας ἐξήλειψας, καὶ ἔσωσας ἐκ πλάνης, ἅπαν τὸ γένος τῶν βροτῶν. Ὅθεν ἀνυμνοῦμέν σε, εὐεργέτα Κύριε.

Προσήλωσας ἐν σταυρῷ οἰκτίρμων, τὰς ἡμῶν ἁμαρτίας Χριστέ. Καὶ διὰ τοῦ σοῦ θανάτου, τὸν θάνατον ἐνέκρωσας, ἐγείρας τοὺς τεθνεῶτας ἐκ νεκρῶν. Ὅθεν προσκυνοῦμέν σου, τὴν σεπτὴν ἀνάστασιν.

Ἐξέχεε τὸν ἴον ὁ ὄφις, ἀκοαῖς ταῖς τῆς Εὔας ποτέ. Χριστὸς δὲ ἐν τῷ ξύλῳ τοῦ σταυροῦ, ἐπήγασε τῷ κόσμῳ, τῆς ζωῆς τὸν γλυκασμόν. Μνήσθητί μου Κύριε, ἐν τῇ βασιλείᾳ σου.

Ἐν μνήματι ὡς θνητὸς ἐτέθης, ἡ ζωὴ τῶν ἁπάντων Χριστὲ, καὶ ἔθλα-

δημόσια Κεντρική Βιβλιοθήκη Θεσσαλονίκης

ἔθλασας τοῦ ᾅδου τοὺς μοχλούς. Καὶ ἀναστὰς ἐν δόξῃ τριήμερος ὡς δυνατός, πάντας κατεφώτισας· δόξα τῇ ἐγέρσει σου.

Ὁ Κύριος ἀναστὰς τριήμερος ἐκ νεκρῶν, ἐδωρήσατο εἰρήνην τὴν ἰδίαν τοῖς Μαθηταῖς· Καὶ τούτους εὐλογήσας, ἐξαπέστειλεν εἰπών: Πάντας προσαγάγετε εἰς τὴν βασιλείαν μου. Δόξα.

Φῶς ὁ Πατήρ, φῶς ὁ Υἱὸς καὶ Λόγος, φῶς τὸ Πνεῦμα τὸ ἅγιον. Ἀλλ' ἓν φῶς τὰ τρία. Εἷς γὰρ Θεὸς, ἐν τρισὶ μὲν προσώποις· μιᾷ δὲ φύσει καὶ ἀρχῇ, ἄτμητος, ἀσύγχυτος, πέλων προαιώνιος.

Καὶ νῦν.

Ἐκύησας τὸν Υἱὸν καὶ Λόγον τοῦ Πατρὸς, ἐν σαρκὶ ἐπὶ γῆς, ὡς οἶδε Θεοτόκε ὁ αὐτός. Διὸ Παρθενομήτωρ οἱ θεωθέντες διὰ σοῦ: Χαῖρέ σοι κραυγάζομεν, τῶν Χριστιανῶν ἡ ἐλπίς.

Τῇ Κυριακῇ ἑσπέρας, εἰς τὸ, Κύριε ἐκέκραξα. Στιχηρὰ προσόμ. Δεσποτ.

Σήμερον γρηγορεῖ.

Ἀρόν σου, ὦ ψυχή μου, τὸ ὄμμα, καὶ θεοῦ ἐνατένισον τῇ οἰκονομίᾳ, καὶ τῇ εὐσπλαγχνίᾳ· πῶς οὐρανοὺς κλίνας, ἦλθεν ἐπὶ γῆς, ἵνα ὑψώσῃ σε ἐκ τῆς ταλαιπωρίας σου τῶν παθῶν, καὶ στήσῃ σε ἐν πέτρᾳ τῆς πίστεως. Βαβαὶ φρικτοῦ θαύματος· δόξα τῇ κενώσει σου Φιλάνθρωπε.

Βλέψ
ὦ ψυχ
σε γῆ
νοῖ σε
ἐσθίου
λιας
οὐκ ἐπ
σον, β
τὸν σ

Ὦ σω
ριε τῶ
τῶν π
ἁμαρτ
ἵνα κ

Εἰς τὸ

Ὡς ὁ
Οἰκτί
τα, ὦ
Θεὸς

Ὡς ὁ
καὶ τε
γὼ πε
καὶ τε
ἡ ψυχ
ὑπεύθ
τὸν
τὸν ἰα
Θεὸς,

Δόξα
στόλω
γαλλί
ἡ Ὁμ

Δόξ

Τάγ
ὡς Θ

τους πάντας νικήσας ἁμαρτίαις, οἴμοι δέδοικα, καὶ τρέμω. Ὅθεν οὐδαμῶς ἀποτολμῶ παρακαλέσαι σε, Θεοτόκε Δέσποινα. Σὺ οὖν μή παρίδῃς με, ἀλλὰ σπεῦσον, σῶσόν με, ὁδὸν εἰς εὐθεῖαν ὁδηγοῦσά με.

Τῇ β'. εἰς τὸν ὄρθρον, Μετὰ τὴν α'. στιχολογίαν, Καθίσματα κατανυκτικά.

Ἔχουσα ψυχή μου τὸ ἰατρεῖον τῆς μετανοίας, πρόσελθε προσπίπτουσα, ἐν στεναγμοῖς κραυγάζουσα, τῷ ἰατρῷ ψυχῶν τε καὶ σωμάτων. Ἐλευθέρωσόν με φιλάνθρωπε, ἐκ τῶν ἐμῶν πλημμελημάτων, συναρίθμησόν με τῇ πόρνῃ, καὶ τῷ Λῃστῇ καὶ τῷ Τελώνῃ, καὶ δώρησαί μοι ὁ Θεὸς, τῶν ἀνομιῶν μου τὴν συγχώρησιν, καὶ σῶσόν με.

Τοῦ Τελώνου τὴν μετάνοιαν οὐκ ἐζήλωσα, καὶ τῆς Πόρνης τὰ δάκρυα οὐ κέκτημαι. Ἀπορῶ γὰρ ἐκ πωρώσεως, τῆς τοιαύτης διορθώσεως. Ἀλλὰ τῇ σῇ εὐσπλαγχνίᾳ, Χριστὲ ὁ Θεός, σῶσόν με ὡς φιλάνθρωπος.

Δόξα καὶ νῦν. Θεοτοκίον.

Τιμιωτέρα τῶν ἐνδόξων Χερουβὶμ ὑπάρχεις, Παναγία Παρθένε. Ἐκεῖνα γὰρ τὴν θείαν μὴ φέροντα ἔλλαμψιν, πτέρυξι κεκαλυμμένῳ προσώπῳ, τὴν λειτουργίαν ἐπιτελοῦσιν. Αὐτὴ δὲ σεσαρκωμένον τὸν Λόγον, αὐτόπτως ὁρῶσα φέρεις, ὃν ἀπαύστως ἱκέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Μετὰ τὴν β'. στιχολογίαν, Καθίσμ.

Ὁ τῆς Πόρνης τὰ δάκρυα, καὶ τοῦ Πέτρου προσδεξάμενος, καὶ Τελώνην στενάξαντα ἐκ βαθέων δικαιώσας, κἀμὲ ἐν μετανοίᾳ προσπίπτοντα, οἰκτείρησον Σωτὴρ, καὶ σῶσόν με. Μαρτυρικόν.

Ἅγιοι πρεσβεύσατε, ἄφεσιν δωρηθῆναι ἡμῖν, τῶν πλημμελημάτων ἡμῶν, καὶ τῶν προσδοκωμένων δεινῶν ῥυσθῆναι ἡμᾶς, καὶ πικροῦ θανάτου δεόμεθα.

Δόξα καὶ νῦν. Θεοτοκίον.

Ὑπερέβης τὰς δυνάμεις τῶν Οὐρανῶν, ὅτι ναὸς εἰδείχθης Θεϊκὸς, εὐλογημένη Θεοτόκε, ὡς τεκοῦσα Χριστὸν, τὸν Σωτῆρα τῶν ψυχῶν ἡμῶν.

Τὸ πρωῒ ἀπόστιχα τοῦ ἑσπερινοῦ.

Τῇ 6. Ἑσπέρας εἰς τὸ, Κύριε ἐκέκραξα, στιχηρὰ Δεσποτικά.

Σήμερον γρηγορεῖ.

Δέσποτα καὶ Θεὲ Πανοικτίρμον, οἷς ἐπίστασαι κρίμασι, δός μοι ἐν καρδίᾳ, τὸν σὸν φόβον ἔχειν. Δός μοι τὸ φιλεῖν σε, ἐξ ὅλης ψυχῆς μου. Δός μοι τὸ μυσάττεσθαι, τὰς πράξεις τοῦ Ἀλάστορος, καὶ ποιεῖν τὸ θέλημα, τὸ σὸν τὸ σωτήριον. Σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ὁ εἰπὼν, Αἰτεῖτε καὶ λαμβάνετε.

Γέγονα τῶν δαιμόνων μὲν γέλως, τῶν ἀνθρώπων δὲ ὄνειδος, τῶν δικαίων θρῆνος, τῶν Ἀγγέλων πένθος, μολυσμὸς ἄφρος, καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Πάτρας

γῆς καὶ ὑδάτων. Σῶμα γὰρ ἐμιάνα, ψυχὴν καὶ νοῦν ἐσπίλωσα, παραλόγοις πράξεσι, Θεῷ ἐχθρὸς πέφυκα. Οἴμοι Κύριε, ἥμαρτόν σοι, ἥμαρτον συγχώρησον.

Καταφρονήσαντες.

Ὦ Προφητῶν ἡ ἀκρότης, καὶ σφραγὶς τοῦ νόμου τοῦ τυπικοῦ. Ὦ τῶν ἁπάντων γηγενῶν, μείζων ἁγιότης. Ὦ Χριστοῦ παρουσίας, Θεῖος Κήρυξ καὶ Πρόδρομος. Ὦ διδάσκαλε μετανοίας. Ὦ ἁγνείας ἄγαλμα, τοὺς σοὺς δούλους περίσωζε, ἀπὸ πάσης ἀνάγκης, καὶ παριστάσεως ἡμᾶς λυτρούμενος.

Εἰς τὸν στίχον στιχ. Κατανυκτικά.

Ὡς ὁ ἄσωτος Υἱός, ἦλθον κἀγὼ οἰκτίρμων. Δέξαι με προσπίπτοντα, ὡς ἕνα τῶν μισθίων σου, ὁ Θεὸς καὶ ἐλέησόν με.

Ὡς ὁ περιπεσὼν εἰς τοὺς λῃστάς, καὶ τετραυματισμένος, οὕτω κἀγὼ περιέπεσα, ἐξ ἐμῶν ἁμαρτιῶν, καὶ τετραυματισμένη ὑπάρχει μου ἡ ψυχή. Πρὸς τίνα καταφύγω τοῦ θεραπευθῆναι, εἰμὴ πρὸς σὲ τὸν εὔσπλαγχνον, τῶν ψυχῶν τὸν ἰατρόν; Ἐπίχεε ἐπ' ἐμὲ ὁ Θεὸς τὸ μέγα σου ἔλεος.

Μαρτυρικόν.

Ἅγιοι Μάρτυρες, οἱ καλῶς ἀθλήσαντες, καὶ στεφανωθέντες, πρεσβεύσατε πρὸς Κύριον, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα καὶ νῦν. Θεοτοκίον.

Εἰρήνευσον πρεσβείαις τῆς Θεο-

μα σου, πρεσβείαις τοῦ σοῦ Προδρόμου μόνε Πολυέλεε.

Μαρτυρικόν.

Οἱ Ἅγιοί σου Κύριε, ἐπὶ τῆς γῆς ἀγωνισάμενοι, τὸν ἐχθρὸν κατεπάτησαν, καὶ τῶν εἰδώλων τὴν πλάνην κατήργησαν· διὸ καὶ τοὺς στεφάνους παρὰ σοῦ ἐκομίσαντο, τοῦ Φιλανθρώπου Δεσπότου, καὶ Ἐλεήμονος Θεοῦ, τοῦ παρέχοντος τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ὡς ἔχουσα τὸ συμπαθὲς, εἰς τὴν ταπείνωσιν ἡμῶν, καὶ σκέπουσα τοὺς ἐπὶ γῆς, εἰς ἀπερίστατον Λαὸν, σπλαγχνίσθητι εὐλογημένη Θεοτόκε· ἐπίμεινον πρεσβεύουσα, μὴ ἀπολλώμεθα δεινῶς, ἱκέτευε ὡς Ἄχραντος, τὸν εὐδιάλλακτον Θεόν, σωθῆναι τὰς ψυχὰς ἡμῶν, Παναγία Παρθένε.

Τῷ πρωὶ ἀπόστιχα τοῦ ἑσπερινοῦ.

Τῇ γ'. ἑσπέρας, εἰς τὸ, Κύριε ἐκέκραξα, στιχηρὰ προσόμ. Σταυρώσιμα.

Οὐκ ἔτι κωλυόμεθα.

Ἐν ξύλῳ σε προσήλωσαν Ἰουδαῖοι, ἵνα ξύλῳ τὸν θάνατον ἀναστείλῃς, Κύριε δόξα σοι.

Ἐχὼν ἐδέξω ῥάπισμα Ἐλεήμον, ἵνα ῥύσῃ τὸν ἄνθρωπον ἐκ δουλείας, Κύριε δόξα σοι.

Τῆς Θεοτόκου ὅμοιον.

Προσάξωμεν τὸ χαῖρε τῇ Θεοτόκῳ, ὡς ὁ Ἄγγελος, καὶ βοήσωμεν, Εὐλογημένη Πάναγνε, δόξα σοι.

Εἰς τὸν στίχ. στιχηρὰ Κατανυκτικά.

Οὐκ ἔτι κωλυόμεθα ξύλου ζωῆς, τὴν ἐλπίδα ἔχοντες, τοῦ Σταυροῦ σου, Κύριε δόξα σοι.

Κρεμάμενος ἀθάνατε ἐπὶ ξύλου, ἐθριάμβευσας, τὰς παγίδας τοῦ Διαβόλου, Κύριε δόξα σοι.

Μαρτυρικόν.

Καταφρονήσαντες πάντων τῶν ἐπὶ γῆς, Ἅγιοι Μάρτυρες, καὶ ἐν σταδίῳ τὸν Χριστὸν ἀνδρείως κηρύξαντες, ἀμοιβὰς τῶν βασάνων παρ' αὐτοῦ ἐκομίσασθε. Ἀλλ' ὡς ἔχοντες παῤῥησίαν, αὐτὸν ἱκετεύσατε, ὡς Θεὸν παντοδύναμον, τὰς ψυχὰς ἡμῶν σῶσαι, τῶν εἰς ὑμᾶς προστρεχόντων δεόμεθα.

Δόξα καὶ νῦν.

Νέκρωσιν καθυπέμεινας Λόγε, ἐπὶ Σταυροῦ προσηλούμενος, ἡ Παρθενομήτωρ ἐβόα θρηνοῦσα, σὺν ἠγαπημένῳ σεπτῷ Θεολόγῳ· ὧν ταῖς ἱκεσίαις, ὁ παθὼν ὑπὲρ ἡμῶν Χριστὲ, καὶ νεκρώσας θάνατον, τὰ πάθη μου νέκρωσον, καὶ ζωῆς με μέτοχον, τῆς θείας ἀπέργασαι καὶ σῶσόν με.

Τῇ δ' εἰς τὸν ὄρθρον, μετὰ τὴν ά. στιχολογίαν, Καθίσματα Σταυρώσιμα.

Πυρὸς φωτεινότερον, φλογὸς ἐναργέστερον τὸ ξύλον ἀνέδειξας, Χριστὲ τὸ ἐκ σταυροῦ σου, καταφλέγον ἁμαρτίας τῶν ἀνθρώπων,

καὶ

καὶ φωτίζον τὰς καρδίας τῶν ὑμνούντων, τὴν ἑκούσιόν σου Σταύρωσιν, Χριστὲ ὁ Θεὸς δόξα σοι.

Ἡ Ἐκκλησία βοᾷ σοι Χριστὲ ὁ Θεὸς, ἐν Πεύκῃ καὶ Κέδρῳ καὶ Κυπαρίσσῳ προσκυνοῦσά σε· νίκας τοῖς Βασιλεῦσιν ἡμῶν διὰ τῆς Θεοτόκου δωρούμενος, ἐλέησον ἡμᾶς. Δόξα, καὶ νῦν.

Τῷ Σταυρῷ τοῦ Υἱοῦ σου ἀεὶ φρουρούμενοι, τὰς προσβολὰς Παρθένε, τῶν δαιμόνων ἐκκλίνομεν· διό σε κατὰ χρέος ἀνυμνοῦντες δοξάζομεν, Θεοτόκε Πανύμνητε.

Μετὰ τὴν δ'. Στιχολογίαν, Καθίσμ.

Ὃ δι' ἡμᾶς ἐπονείδιστον, καταδεξάμενος Σταύρωσιν, δέξαι τοὺς ὑμνοῦντας, τὰ πάθη σου Χριστὲ ὁ Θεὸς, καὶ σῶσον ἡμᾶς.

Ἀγαλλιᾶσθε δίκαιοι, εὐφραινέσθω τὰ οὐράνια· ἐπὶ γῆς γὰρ οἱ Μάρτυρες ἀγωνισάμενοι, τὸν ἐχθρὸν κατεπάτησαν, καὶ τῶν εἰδώλων τὴν πλάνην κατήργησαν· σκιρτάτω ἡ Ἐκκλησία, τὰ νικητήρια ἑορτάζουσα, τῷ ἀθλοθέτῃ καὶ μόνῳ νικοποιῷ Χριστῷ τῷ Θεῷ, τῷ παρέχοντι τῷ Κόσμῳ, τὸ μέγα ἔλεος. Δόξα καὶ νῦν.

Τὸν Σταυρωθέντα ὑπὲρ ἡμῶν, Χριστὸν τὸν Θεὸν, καὶ καθελόντα τοῦ θανάτου τὸ κράτος, ἀπαύστως ἱκέτευε Θεοτόκε Παρθένε, ἵνα σώσῃ τὰς ψυχὰς ἡμῶν.

Τὸ πρωΐ ἀπόστιχα τοῦ ἑσπερινοῦ.

Τῇ δ'. Ἑσπέρας, εἰς τὸ, Κύριε ἐκέκραξα, στιχηρὰ προσόμοια τῶν Ἀποστόλων.

Οὐκ ἔτι κωλυόμεθα.

Ὁ φθόγγος τῶν ἁγίων Ἀποστόλων, εἰς τὰ πέρατα διεξῆλθε τῆς Οἰκουμένης, Κύριε δόξα σοι.

Εὐωδία ὀρθέντες Θεοῦ τοῦ Λόγου, πανσεβάσμιοι, μυρίσατέ με ὀσμῇ τοῦ Πνεύματος.

Λιμοῦ, σεισμοῦ, καὶ θλίψεων, καὶ ἀνάγκης ἐλευθέρωσον τοὺς ἱκέτας σου, ἱεράρχα σοφὲ Νικόλαε.

Εἰς τὸν στίχον, στιχηρὰ ἀποστολικά.

Ἀπόστολοι ἔνδοξοι, στύλοι τῶν Ἐκκλησιῶν, τῆς ἀληθείας κήρυκες, λαμπάδες ὑπάρχοντες φαεινοὶ, ὑμεῖς τῷ πυρὶ τοῦ Πνεύματος πᾶσαν τὴν πλάνην ἐφλέξατε, ἀνθρώπων τὸ γένος ἐφωτίσατε. Διὸ ἱκετεύσατε δεόμεθα, τῷ Σωτῆρι καὶ Θεῷ ἡμῶν, εἰρηνεῦσαι τὸν Κόσμον, καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

Ἀπόστολοι τοῦ Χριστοῦ, ἐργάται τοῦ Σωτῆρος· σταυρὸν γὰρ ὥσπερ ἄροτρον, ἐν τοῖς ὤμοις φέροντες, κεχερσωμένην τὴν γῆν, τῆς τῶν εἰδώλων πλάνης ἐκκαθάραντες, καὶ πίστεως τὸν λόγον σπείραντες, ἀξίως τιμᾶσθε, ἅγιοι τοῦ Χριστοῦ Ἀπόστολοι.

Πανεύφημοι Μάρτυρες, θρέμματα πνευματικὰ, ὁλοκαυτώματα λογικὰ, καὶ θυσία δεκτὴ, εὐάρεστος τῷ Θεῷ, ὑμᾶς οὐχ ἡ γῆ κατέ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

κατέκρυψεν, ἀλλ' Οὐρανὸς ὑπεδέξατο. Ἀγγέλων συμμέτοχοι γεγόνατε, μεθ' ὧν ἱκετεύσατε θεόμεθα τῷ Σωτῆρι, καὶ Θεῷ ἡμῶν, εἰρηνεῦσαι τὸν Κόσμον, καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

Δόξα καὶ νῦν. Θεοτοκίον.

Λύτρωσαι Θεοτόκε, τῶν συνεχουσῶν ἡμᾶς ἁμαρτιῶν, ὅτι ἄλλην ἐλπίδα οἱ πιστοὶ οὐκ ἔχομεν, εἰ μὴ σέ, καὶ τὸν ἐκ σοῦ τεχθέντα Θεόν.

Τῇ ε. εἰς τὸν ὄρθρον, Μετὰ τὴν ἁ. στιχολογίαν, καθίσματα ἀποστολικά.

Φωστῆρες ὑμεῖς ὄντες τοῦ Κόσμου, Ἀπόστολοι Κυρίου, ἀπαστράπτετε ἀεὶ τὸν λόγον τοῖς πιστοῖς, ἀπελαύνοντες σφοδρῶς, τῆς πλάνης τὴν ἀχλύν. Διό περ καὶ φωτίζετε τὰ ἔθνη τῷ βαπτίσματι, ὡς κήρυκες τῆς Τριάδος ὄντες ἀεισέβαστοι.

Προφῆται προεκήρυξαν, Ἀπόστολοι ἐδίδαξαν, Μάρτυρες ὡμολόγησαν, καὶ ἡμεῖς ἐπιστεύσαμεν, ὅτι σὺ εἶ Χριστέ, ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ Λυτρωτὴς τοῦ Κόσμου.

Δόξα καὶ νῦν. Θεοτοκίον.

Οὐρανὸν ἐπὶ γῆς σε ἐκήρυξαν, καινοφανῆ Παρθένε, οἱ αὐτόπται τῆς χάριτος, Θεὸν τὸν ἐπουράνιον ἐν γαστρί σου χωρήσασαν, οὐρανοῦντα τὸ πρόσλημα.

Μετὰ τὴν ϐ'. στιχολογ. Καθίσματα.

Τὴν τῆς γῆς ἐπὶ τῆς γῆς, δόξαν οὐκ ἠγαπήσατε ἔνδοξοι, Θεὸν τὸν ἐπουράνιον τοῖς ἀνθρώποις κηρύξαντες, τούτῳ πάντας ἠγάγετε. Μαρτυρικόν.

Οἱ Μάρτυρές σου Κύριε, τὸν ἐχθρὸν ἐτροπώσαντο, καὶ τὴν πλάνην τῶν εἰδώλων κατήσχυναν, καθοπλισάμενοι τοῦ σταυροῦ τὴν δύναμιν. Διό καὶ σὺν Ἀγγέλοις ἀνυμνοῦντές σε, κραυγάζουσι τὸν ἐπινίκιον ὕμνον, δοξολογοῦντές σε Χριστέ. Αὐτῶν ταῖς ἱκεσίαις δώρησαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα καὶ νῦν.

Ο καρπὸς τῆς γαστρός σου Θεόνυμφε, τοῖς ἀνθρώποις ἐδείχθη σωτηρίας πρόξενος. Διό σε Θεοτόκον γνώμῃ καὶ γλώσσῃ δοξάζοντες, οἱ πιστοὶ μεγαλύνομεν.

Τὸ πρωὶ ἀπόστιχα τοῦ Ἑσπερινοῦ.

Τῇ ε. Ἑσπέρας, εἰς τὸ, Κύριε ἐκέκραξα, Στιχηρὰ Σταυρώσιμα.

Οὐκ ἔτι κωλυόμεθα.

Ἵνα Θεὸν τὸν ἄνθρωπον ἀπεργάσῃ, βροτὸς γέγονας ὑπεράγαθε, καὶ σταυροῦσαι· δόξα τῇ δόξῃ σου.

Ὅτε Σταυρῷ σε δῆμος Ἑβραίων Λόγε, κατεδίκασε, γῆ ἐσείετο, καὶ Ἡλίου σέλας ἐκρύπτετο.

Σήμερον γρηγορεῖ.

Κλῖνόν μοι τὸ φιλάγαθον οὖς σου, δεομένῳ Πανάμωμε, καὶ μὴ ἀπορρίψῃς τοῦ σοῦ με προσώπου,

μὴ δὲ πόρρω πέμψῃς τῆς σῆς βοηθείας· δόλῳ γὰρ ὁ δόλιος, σπουδάζει ἀπολέσαι με· παραλόγοις πάθεσι, κοινεῖ τὴν καρδίαν μου· σὺ δέ με συντήρησον, ὅλον τῆς αὐτοῦ βλάβης ἀμέτοχον.

Εἰς τὸν στίχον, στιχηρὰ Σταυρώσιμα.

Οὐκ ἔτι κωλυόμεθα ξύλου ζωῆς, τὴν ἐλπίδα ἔχοντες τοῦ σταυροῦ σου. Κύριε δόξα σοι.

Κρεμάμενος ἀθάνατε ἐπὶ ξύλου, ἐθριάμβευσας τὰς παγίδας τοῦ Διαβόλου. Κύριε δόξα σοι.

Μαρτυρικόν.

Δόξα σοι Χριστὲ ὁ Θεὸς, Ἀποστόλων καύχημα, Μαρτύρων ἀγαλλίαμα, ὧν τὸ κήρυγμα Τριὰς ἡ ὁμοούσιος. Δόξα καὶ νῦν.

Σήμερον γρηγορεῖ.

Τέτρωμαι τῇ ῥομφαίᾳ τῆς λύπης, ἐν σταυρῷ καθορῶσά σε, τὸν ἐπὶ ὑδάτων τὴν γῆν στερεοῦντα, καὶ καθάπερ δέρριν ἐκτείναντα Πόλον· βλέπω γὰρ γυμνὸν κατεσφαγμένον σε κρεμάμενον, καὶ θανεῖν με πρότερον αἱροῦμαι παμφίλτατε· φρίξον γῆ καὶ σείσθητι, ἔλεγεν ἡ Πάναγνος δακρύουσα.

Τῇ Παρασκευῇ εἰς τὸν Ὄρθρον, μετὰ τὴν ά. στιχολογ. Καθίσματα Σταυρώσιμα.

Ὁ δὶ ἐμὲ ἀνασχόμενος, τῆς ἐν Σταυρῷ προσηλώσεως, δέξαι μου τὴν ἄγρυπνον αἴνεσιν, Χριστὲ ὁ Θεὸς, καὶ σῶσόν με ὡς φιλάνθρωπος.

Ὁ δεσπόζων τῶν Ἀσωμάτων Δυνάμεων, καὶ γινώσκων τῆς ψυχῆς μου τὸ ῥάθυμον, τῷ Σταυρῷ σου σῶσόν με, Χριστὲ ὁ Θεὸς, ὡς φιλάνθρωπος.

Δόξα, καὶ νῦν.

Θεοτόκε Ἀειπάρθενε, ἐν τῷ Σταυρῷ ὁρῶσα τὸν Υἱόν σου κρεμάμενον, ὡς Μήτηρ θρηνῳδοῦσα, τὴν αὐτοῦ ἐμεγάλυνες φοβερὰν συγκατάβασιν, Ἀπειρόγαμε Δέσποινα.

Μετὰ τὴν ϛ'. στιχολογίαν, Καθίσμ.

Ὁ τοῦ Ἀδὰμ τὸ κατάκριμα, ξύλῳ σταυροῦ ἰασάμενος, ἴασαι ἡμῶν τὰ συντρίμματα τῶν καρδιῶν, καὶ σῶσον ἡμᾶς.

Ἅγιοι πρεσβεύσατε, ἄφεσιν δωρηθῆναι ἡμῖν τῶν πλημμελημάτων ἡμῶν, καὶ τῶν προσδοκωμένων δεινῶν ῥυσθῆναι ἡμᾶς, καὶ πικροῦ θανάτου δεόμεθα.

Δόξα, καὶ νῦν.

Ἀσπόρως συνέλαβες, ἐν μήτρᾳ σου Παρθένε Θεοτόκε, ὃν περ κατεῖδες ἐν σταυρῷ κρεμάμενον· ἀπαύστως οὖν ἱκέτευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Τὸ πρωὶ ἀπόστιχα τοῦ ἑσπερινοῦ.

Τῇ παρασκευῇ ἑσπέρας, εἰς τὸ, Κύριε ἐκέκραξα, Στιχ. Μαρτυρικά.

Ἅγιοι Μάρτυρες οἱ καλῶς ἀθλήσαντες, καὶ στεφανωθέντες, πρεσβεύσατε πρὸς Κύριον, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Πανευ-

Πανεύφημοι Μάρτυρες, θρέμματα πνευματικά, ὁλοκαυτώματα λογικά, θυσία δεκτὴ εὐάρεστος τῷ Θεῷ, ὑμᾶς οὐχ ἡ γῆ κατέδυσεν, ἀλλ' Οὐρανὸς ὑπεδέξατο. Ἀγγέλων συμμέτοχοι γεγόνατε. Διὸ ὧν ἱκετεύσατε δεόμεθα, τῷ Σωτῆρι, καὶ Θεῷ ἡμῶν εἰρηνεῦσαι τὸν Κόσμον, καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

Νεκρώσιμον. Οὐκ ἔτι κωλυόμεθα.

Ἀνάπαυσον τοὺς πίστει κεκοιμημένους, ἐν αὐλαῖς σου Δέσποτα, καὶ βασιλείας σου ἀξίωσον.

Δόξα καὶ νῦν. Μήτηρ μὲν ἐγνώσθης κατὰ φύσιν Θεοτόκε.

Εἰς τὸν στίχον στιχηρὰ ἦχος βαρύς.

Δόξα σοι Χριστὲ ὁ Θεὸς, Ἀποστόλων καύχημα, Μαρτύρων ἀγαλλίαμα, ὧν τὸ κήρυγμα Τριὰς ὁμοούσιος.

Στίχ. Μακάριοι οὓς ἐξελέξω.

Κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν, πλαστουργήσας κατ' ἀρχὰς τὸν ἄνθρωπον, ἐν Παραδείσῳ τέθεικας, κατάρχειν σου τῶν κτισμάτων· ὁ δὲ δόλῳ διαβόλου ἀπατηθείς, τῆς βρώσεως μετέσχε, τῶν ἐντολῶν σου παραβάτης γεγονώς. Ὃν πάλιν αὐτὸν εἰς γῆν ἐξ ἧς ἐλήφθη, κατεδίκασας ἐπιστρέφειν Κύριε, καὶ αἰτεῖσθαι τὴν ἀνάπαυσιν.

Στίχ. Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς.

Ἀνάπαυσον Σωτὴρ ἡμῶν Ζωοδότας, οὓς μετέστησας ἀδελφοὺς ἡμῶν ἐκ τῶν προσκαίρων, κράζοντας· Κύριε δόξα σοι.

Δόξα καὶ νῦν Θεοτοκίον.

Ὄρος θεῖον Ἅγιον εἶδέ σε Δανιὴλ, καὶ Ἡσαΐας δὲ ὁ σοφὸς, Μητέρα Θεοῦ ἐκήρυξέ σε σεμνὴ, Θεὸν ἐν σαρκὶ χωρήσασαν, τὸν Ἀδὰμ πλαστουργήσαντα, ὃν τὰ Χερουβὶμ ἐτρόμαξαν σαρκούμενον, ὑμνοῦντα καὶ δοξάζοντα, ἀσιγήτῳ τρισαγίῳ φωνῇ· ἀλλὰ τοῦτον αἰτήσαι, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τῷ σαββάτῳ εἰς τὸν ὄρθρον μετὰ τὴν ἁ. στιχολογίαν, Καθίσματα Μαρτυρικά.

Οἱ Μάρτυρές σου Κύριε, τὸν ἐχθρὸν ἐτροπώσαντο, καὶ τῶν εἰδώλων τὴν πλάνην κατήργησαν, καθοπλισάμενοι τοῦ Σταυροῦ τὴν δύναμιν· διὸ καὶ σὺν Ἀγγέλοις ἀνυμνοῦντες κραυγάζουσι, τὸν ἐπινίκιον ὕμνον, δοξολογοῦντές σε Χριστὲ· αὐτῶν ταῖς ἱκεσίαις, δώρησαι ἡμῖν τὸ μέγα ἔλεος.

Οἱ ἅγιοί σου Κύριε, ἐπὶ τῆς γῆς ἀγωνισάμενοι, τὸν ἐχθρὸν κατεπάτησαν, καὶ τῶν εἰδώλων τὴν πλάνην κατήργησαν· διὸ καὶ τοὺς στεφάνους παρὰ σοῦ ἐκομίσαντο, τοῦ φιλανθρώπου Δεσπότου καὶ ἐλεήμονος Θεοῦ, τοῦ παρέχοντος τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Δόξα καὶ νῦν. Θεοτοκίον.

Ὡς τῆς ἡμῶν Ἀναστάσεως θησαύρισμα, τοὺς ἐπὶ σοὶ πεποιθότας Πανύμνητε, ἐκ λάκκου καὶ

βυθοῦ

βυθοῦ πταισμάτων ἀνάγαγε· σὺ γὰρ τοὺς ὑπευθύνους τῇ ἁμαρτίᾳ ἔσωσας, τεκοῦσα τὴν σωτηρίαν, ἡ πρὸ τόκου Παρθένος, καὶ ἐν τόκῳ Παρθένος, καὶ μετὰ τόκον πάλιν Παρθένος μείνασα.

Ἕτερα Καθίσματα μετὰ τὸν Ἅρμωμον.

Ἅγιοι πρεσβεύσατε, ἀφεσιν δοθῆναι ἡμῖν καὶ πλημμελημάτων ἡμῶν, καὶ τῶν προσδοκωμένων δεινῶν ῥυσθῆναι ἡμᾶς, καὶ πικροῦ θανάτου δεόμεθα.

Ὁ θάνατός σου Κύριε, τοῖς νεκροῖς ζωὴν ἐξήνθησε· τὸν γὰρ ᾅδην ἐσκύλευσας, ἀνακαλύπτων τοὺς ἐν σκότει καθεύδοντας· διό σε ζωοδότα, ὡς Θεὸν ἱκετεύομεν, οὓς ἐξ ἡμῶν προσελάβου, μετὰ δικαίων ἀνάπαυσον, ὅπως εὕρωσιν ἐν κρίσει, τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν.

Χαῖρε ἡ τὸν ἀχώρητον ἐν Οὐρανοῖς, χωρήσασα ἐν μήτρᾳ σου, χαῖρε Παρθένε τῶν Προφητῶν τὸ κήρυγμα, δι' ἧς ἔλαμψεν ὁ Ἐμμανουήλ· χαῖρε Μήτηρ Χριστοῦ τοῦ Θεοῦ.

Εἰς τὸν στίχον τῶν Αἴνων, στιχηρὰ προσόμοια τοῦ κυροῦ Θεοφάνους.

Καταφρονήσαντες.

Νενεκρωμένος ὡράθης ἐπὶ σταυροῦ, μόνε Ἀθάνατε, καὶ ἐν τάφῳ ὡς θνητὸς ἐτέθης νεκρώσεως καὶ φθορᾶς καὶ θανάτου, τοὺς ἀνθρώπους λυτρούμενος. Ἀλλ' ὡς πέλαγος εὐσπλαγχνίας ὑπάρχων ἀκένωτον, καὶ πηγὴ ἀναθότητος, τὰς ψυχὰς τῶν σῶν δούλων τῶν ἐξ ἡμῶν μεταστάντων ἀνάπαυσον.

Στίχ. Μακάριοι οὓς ἐξελέξω.

Τῷ ἀκηράτῳ σου κάλλει, καὶ γλυκασμῷ τῆς ὡραιότητος, καὶ ταῖς τοῦ θείου σου φωτὸς ἀκτῖσιν, ἐλλάμπεσθαι τοὺς πρὸς σὲ μεταστάντας, ἀγαθὲ καταξίωσον, ἐν αὐλῇ φωτοχυσίᾳ τῆς φωτοφανείας σου, σὺν Ἀγγέλοις χορεύοντας περὶ σὲ τὸν Δεσπότην, καὶ Βασιλέα τῆς δόξης καὶ Κύριον.

Στίχ. Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς.

Ὡς ἀδαπάνητον ἔχων, τῶν δωρεῶν τὴν μεγαλοπρέπειαν, ὡς θησαυρὸς ἀνελλειπὴς πλουσίας χρηστότητος, τοὺς πρὸς σὲ μεταστάντας, ὡς Θεὸς κατασκήνωσον ἐν τῇ χώρᾳ τῶν ἐκλεκτῶν σου, ἐν τόπῳ ἀνέσεως, ἐν τῷ οἴκῳ τῆς δόξης σου, ἐν τρυφῇ Παραδείσου, ἐν τῷ τῶν Παρθένων Νυμφῶνι, ὡς εὔσπλαγχνος.

Δόξα καὶ νῦν. Θεοτοκίον.

Νόμου τὸ πλήρωμα τίκτεις, τὸν Λυτρωτὴν σάρκα γενόμενον. Οὐ γὰρ ἐγένετο τοῖς πρὶν ἐν νόμῳ δικαίωσις. Δι' ἡμᾶς δὲ ὁ Χριστὸς σταυρωθεὶς ἐδικαίωσεν. Ὡς οὖν ἔχουσα παῤῥησίαν, Παρθένε ἱκέτευε, τὸν Υἱόν σου τὸν εὔσπλαγχνον, τὰς ψυχὰς ἀναπαῦσαι, τῶν εὐσεβῶς μεταστάντων πανύμνητε.

Οἱ Μακαρισμοί.

Ὡραῖος ἦν καὶ καλὸς εἰς βρῶσιν, ὁ ἐμὲ θανατώσας καρπὸς Χριστός ἐστι τὸ ξύλον τῆς ζωῆς, ἐξ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὗ φαγὼν οὐ θνήσκω, ἀλλὰ βοῶ σὺν τῷ Ληστῇ, μνήσθητί μου Κύριε, ἐν τῇ βασιλείᾳ σου.

Τελέσαντες τὸν καλὸν ἀγῶνα, καὶ τὴν πίστιν τηρήσαντες, στεφάνους ἀφθαρσίας παρὰ Θεοῦ, ἐδέξασθε καὶ δόξης, καταξιοῦσθε τῆς αὐτοῦ, Μάρτυρες πανεύφημοι, τῶν Ἀγγέλων σύσκηνοι.

Ἱεραρχῶν καὶ Ὁσίων θῆμοι προφητῶν καὶ σεπτῶν γυναικῶν, καταλογος τιμάσθω ὁ ἱερὸς σκηναῖς τῶν πρωτοτόκων, νῦν κατοικοῦντες ἐν χαρᾷ, καὶ συναγελάζοντες, Ἀσωμάτων τάξεσι.

Κατάταξον ἐν σκηναῖς δικαίων ἐξ ἡμῶν οὓς μετέστησας, τὰ τούτων παραβλέψας Λόγε Θεοῦ, ἐν γνώσει καὶ ἀγνοίᾳ, πεπραγμένα ἐπὶ γῆς, ψυχικὰ ἐγκλήματα. διὰ μέγα ἔλεος. Δόξα.

Οἰκέται σοι ὦ Τριὰς ἁγία, οἱ πλανόντες προσέρχονται, ῥυσθῆναι αἰτούμενοι ἐκ φλογός, τῆς φοβερᾶς ἐκείνης, καὶ τυχεῖν τῶν ἀγαθῶν, δόξης τῆς ἁγίας σου, ἐν ἡμέρᾳ κρίσεως. Καὶ νῦν.

Ἐσκήνωσεν ἐν τῇ σῇ Νηδύϊ, τοῦ Πατρὸς τὸ ἀπαύγασμα, καὶ τοὺς καθυπαχθέντας τοῦ ἐχθροῦ, κενίστῃ συμβουλίᾳ, καὶ ἐμπεσόντας εἰς φθοράν, Παναγία ἄχραντε, πάλιν ἀνεκαίνισε.

Τῷ Σαββάτῳ Ἑσπέρας, ὡς διετάχθη ἐν τῷ ἀ. ἤχῳ, φύλ. 126 εἰς τό, Κύριε ἐκέκραξα, στιχηρὰ ἀναστάσιμα ἦχος πλ. δ'.

Ἑσπερινὸν ὕμνον, καὶ λογικὴν λατρείαν, σοὶ Χριστὲ προσφέρομεν, ὅτι ηὐδόκησας τοῦ ἐλεῆσαι ἡμᾶς, διὰ τῆς ἀναστάσεως.

Κύριε, Κύριε, μὴ ἀπορρίψῃς ἡμᾶς, ἀπὸ τοῦ προσώπου σου· ἀλλὰ εὐδόκησον, τοῦ ἐλεῆσαι ἡμᾶς διὰ τῆς ἀναστάσεως.

Χαῖρε Σιὼν ἁγία, Μήτηρ τῶν Ἐκκλησιῶν, Θεοῦ κατοικητήριον. Σὺ γὰρ ἐδέξω πρώτη ἄφεσιν ἁμαρτιῶν, διὰ τῆς ἀναστάσεως.

Ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος, πρὸ τῶν αἰώνων γεννηθείς, ἐπ' ἐσχάτων δὲ τῶν χρόνων, ὁ αὐτὸς ἐκ τῆς ἀπειρογάμου σαρκωθείς, βουλήσει σταυρωσιν θανάτου ὑπέμεινε, καὶ τὸν πάλαι νεκρωθέντα ἄνθρωπον ἔσωσε, διὰ τῆς ἑαυτοῦ ἀναστάσεως.

Τὴν ἐκ νεκρῶν σου ἀνάστασιν, δοξολογοῦμεν Χριστέ, δι' ἧς ἠλευθέρωσας Ἀδαμιαῖον γένος, ἐκ τῆς τοῦ ᾅδου τυραννίδος. Καὶ ἐδωρήσω τῷ Κόσμῳ ὡς Θεὸς, ζωὴν αἰώνιον, καὶ τὸ μέγα ἔλεος.

Δόξα σοι Χριστὲ Σωτὴρ, Υἱὲ Θεοῦ Μονογενές, ὁ προσπαγεὶς ἐν τῷ σταυρῷ, καὶ ἀναστὰς ἐκ τάφου τριήμερος.

Σὲ δοξάζομεν Κύριε, τὸν ἑκουσίως δι' ἡμᾶς σταυρὸν ὑπομείναντα

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ναντα· καὶ σὲ προσκυνοῦμεν, παντοδύναμε Σωτὴρ, μὴ ἀποῤῥίψῃς ἡμᾶς ἀπὸ τοῦ προσώπου σου, ἀλλ' ἐπάκουσον καὶ σῶσον ἡμᾶς διὰ τῆς ἀναστάσεώς σου φιλάνθρωπε. Δόξα, καὶ νῦν. Θεοτ.

Ο βασιλεὺς τῶν Οὐρανῶν διὰ φιλανθρωπίαν, ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη· ἐκ Παρθένου γὰρ ἁγνῆς, σάρκα προσλαβόμενος, καὶ ἐκ ταύτης προελθὼν μετὰ τῆς προσλήψεως· εἷς ἐστιν Υἱός, διπλοῦς τὴν φύσιν, ἀλλ' οὐ τὴν ὑπόστασιν· διὸ τέλειον αὐτὸν Θεόν, καὶ τέλειον ἄνθρωπον, ἀληθῶς κηρύττοντες, ὑμνολογοῦμεν Χριστὸν τὸν Θεὸν ἡμῶν· ὃν ἱκέτευε, Μῆτερ ἀνύμφευτε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν στίχον στιχηρά.

Ἀνῆλθες ἐπὶ σταυροῦ, Ἰησοῦ ὁ καταβὰς ἐξ οὐρανοῦ, ἦλθες ἐπὶ θάνατον, ἡ ζωὴ ἡ ἀθάνατος· πρὸς τοὺς ἐν σκότει τὸ φῶς τὸ ἀληθινόν, πρὸς τοὺς πεσόντας ἡ πάντων ἀνάστασις, ὁ φωτισμὸς καὶ ὁ Σωτὴρ ἡμῶν δόξα σοι.

Τὰ κατὰ Ἀλφάβητον.

Χριστὸν δοξολογήσωμεν, τὸν ἀναστάντα ἐκ νεκρῶν· ψυχὴν καὶ σῶμα γὰρ ἀναλαβὼν, τῷ πάθει ἀπ' ἀλλήλων διέτεμε· τῆς ἀχράντου μὲν ψυχῆς, ἐν ᾅδου κατελθούσης, ὃν καὶ ἐσκύλευσε· τάφῳ δὲ διαφθοράν, οὐκ οἶδε τὸ ἅγιον σῶμα, τοῦ λυτρωτοῦ τῶν ψυχῶν ἡμῶν.

Ψαλμοῖς καὶ ὕμνοις, δοξολογοῦμεν Χριστὲ, τὴν ἐκ νεκρῶν σου ἀνάστασιν, δι' ἧς ἡμᾶς ἠλευθέρωσας, τῆς τυραννίδος τοῦ ᾅδου· καὶ ὡς Θεὸς ἐδωρήσω ζωὴν αἰώνιον, καὶ τὸ μέγα ἔλεος.

Ω Δέσποτα τῶν ἁπάντων, ἀκατάληπτε, ποιητὰ οὐρανοῦ καὶ γῆς, διὰ σταυροῦ παθὼν, ἐμοὶ ἀπαθειαν ἐπήγασας· ταφὴν δὲ καταδεξάμενος, καὶ ἀναστὰς ἐν δόξῃ, συναναστήσας τὸν Ἀδὰμ, χειρ παντοδυνάμῳ· δόξα τῇ σῇ τριημέρῳ ἐγέρσει· δι' ἧς θεδώρησαι ἡμῖν, τὴν αἰώνιον ζωὴν, καὶ ἔλεος ἁμαρτιῶν, ὡς μόνος εὐσπλαγχνος.

Δόξα καὶ νῦν. Θεοτοκίον.

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκὶ, Μῆτερ Θεοῦ τοῦ ὑψίστου, σῶν οἰκετῶν παράκλησεις δέχου πανάμωμε· ἡ πᾶσι χορηγοῦσα, καθαρισμὸν τῶν πταισμάτων· νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

Νῦν ἀπολύεις. Τρισάγιον, καὶ τὸ Ἀπολυτίκιον.

Ἐξ ὕψους κατῆλθες ὁ εὔσπλαγχνος, ταφὴν καταδέξῳ τριήμερον, ἵνα ἡμᾶς ἐλευθερώσῃς τῶν παθῶν, ἡ ζωὴ καὶ ἡ ἀνάστασις ἡμῶν, Κύριε δόξα σοι. Θεοτ.

Ο δι' ἡμᾶς γεννηθεὶς ἐκ Παρθένου, καὶ σταύρωσιν ὑπομείνας ἀγαθὲ· ὁ θανάτῳ τὸν θάνατον σκυλεύσας, καὶ ἔγερσιν δείξας ὡς

Θεὸς

Θεὸς, μὴ παρίδῃς οὓς ἔπλασας τῇ χειρί σου· δεῖξον τὴν φιλανθρωπίαν σου ἐλεήμων· δέξαι τὴν τεκοῦσάν σε Θεοτόκον, πρεσβεύουσαν ὑπὲρ ἡμῶν· καὶ σῶσον Σωτὴρ ἡμῶν, λαὸν ἀπεγνωσμένον.

ΤΗ ΚΥΡΙΑΚΗ

Ἐν τῷ μεσονυκτικῷ.

ΚΑΝΩΝ ΤΡΙΑΔΙΚΟΣ.

(Ποίημα Μητροφάνους.)

Τριὰς μονὰς, σῶσόν με τὸν σὸν οἰκέτην.

Ὠδὴ Α. Ἁρματηλάτην Φαραώ.

Τῷ τρισηλίῳ Βασιλεῖ καὶ πρυτάνει, καὶ προμηθεῖ τοῦ παντὸς, καὶ ἀγαθῷ μόνῳ, φυσικῶς ὑπάρχοντι· καὶ ἐνιαίαν ἔχοντι, τῆς Θεότητος δόξαν, Θεῷ Μονάρχῃ προσπίπτομεν, ὕμνον τὸν τρισάγιον ᾄδοντες.

Ῥήσεις τὰς θείας, καὶ χρησμοὺς τοὺς ἄνωθεν, μεμυημένοι σαφῶς, θεαρχικὴν φύσιν, ἑνικὴν δοξάζομεν, ἀίδιον συνάναρχον, ἐν τρισὶ τοῖς προσώποις, Πατρὶ Υἱῷ καὶ τῷ Πνεύματι, δημιουργικὴν παντοδύναμον.

Ἱερομύστης Ἀβραὰμ γενόμενος, ἱεροτύπως τὸ πρὶν, τὸν ποιητὴν πάντων, καὶ Θεὸν καὶ Κύριον, τρισὶ μὲν ὑποστάσεσιν, ὑπεδέξατο χαίρων, καὶ τῶν τριῶν ὑποστάσεων, κράτος ἑνιαῖον ἐγνώρισεν.

Θεοτοκίον.

Ἀπειρογάμως τὸν Χριστὸν ἐκύησας, τὸν καθ' ἡμᾶς δι' ἡμᾶς, εἰληφότα φύσιν, πάναγνε καὶ ἄτρεπτον, κατ' ἄμφω διαμείναντα· ὃν δυσώπει ἀπαύστως, ἁμαρτιῶν μοι δωρήσασθαι, καὶ τῶν πειρασμῶν ἀπολύτρωσιν.

Ὠδὴ Γ'. Ὁ στερεώσας κατ' ἀρχάς.

Σὲ τὸν ἀπρόσιτον Θεὸν, καὶ Βασιλέα τῆς δόξης, ἐπὶ θρόνου Ἡσαΐας κατεῖδεν ὑψηλοῦ, καὶ Χερουβὶμ, καὶ Σεραφὶμ δοξάζοντα, ἀκαταπαύστοις ὕμνοις, μοναδικὸν τρισυπόστατον.

Μόνον πατρόθεν ὡς ἐκ νοῦ, γεγεννημένον τὸν Λόγον, καὶ τὸ Πνεῦμα προελθὸν ἀπορρήτως, καταλλήλοις λογισμοῖς, καὶ γραφικοῖς διδάγμασι, κατειληφότες, ἕνα Θεὸν τρισήλιον σέβομεν.

Ὁ ὢν ἀγέννητος Πατὴρ, καὶ τῆς ἰδίας οὐσίας, τὸ ἀπαύγασμα γεννήσας ἀῤῥεύστως, τὸν Υἱὸν, φῶς ἐκ φωτὸς, ἐκπορευτῶς προβάλλεται, συμφυὲς φῶς τὸ Πνεῦμα, τὸ παντουργὸν καὶ ὁμότιμον.

Θεοτοκίον.

Ναὸς ἐδείχθης καθαρὸς, παρθενομήτωρ Μαρία, τοῦ τὰ πάντα πανσθενῶς καὶ πανσόφως, ὑποςήσαντος Χριστοῦ, καὶ τάξαντος καὶ φέροντος. Ὃν ἐξιλέωσαί μοι, ταῖς μητρικαῖς σου δεήσεσι.

Καθίσματα. Τὸ προσταχθέν.

Τῆς τρισηλίου καὶ σεπτῆς τε-

λεταρ-

Δημόσια Κεντρική Βιβλιοθήκη Δημοσίου

λεταρχίας, τὰς δυναστείας οἱ πιστοὶ νῦν εὐφημοῦμεν, ὅτι νεύματι μόνῳ τὸ πᾶν συνέστησε, τὰς ἄνω χοροστασίας Ἀγγελικὰς, τὰς κάτω ἱεραρχίας Ἐκκλησιῶν, τοῦ κραυγάζειν τὸ, Ἅγιος, Ἅγιος, Ἅγιος εἶ Θεὲ ὑπεράγαθε. Δόξα ὕμνος τῷ κράτει σου.

Δόξα καὶ νῦν. Θεοτοκίον ὅμοιον.

Τὸν ἀναλλοίωτον Θεὸν ἡ τεκοῦσα, ἀλλοιουμένην εἰς ἀεὶ τῇ ἁμαρτίᾳ, ταῖς προσβολαῖς τοῦ δολίου, καὶ τῇ ῥαθυμίᾳ, στερέωσον τὴν καρδίαν μου ἀγαθὴ, πρεσβείαις ταῖς μητρικαῖς σου, ὅπως κἀγὼ, εὐχαρίστως δοξάζω σε, Θεογεννῆτορ Μαριάμ, ἐλέησον τὴν ποίμνην σου, ἣν ἐκτήσω παναμωμε.

Ὠδὴ Δ'. Σὺ μου ἰσχὺς Κύριε.

Ἀνατολὴ ἐπιφανεῖσα Θεότητος, τοῖς ἐν σκότει πᾶσαν διεσκέδασε, τὴν ἀφεγγῆ νύκτα τῶν παθῶν, καὶ δικαιοσύνης, τὸν Ἥλιον ἐξανέτειλεν, ἁπλοῦν μὲν κατ' οὐσίαν, τριλαμπῆ δὲ προσώπους. Ὃν ὑμνοῦμεν ἀεὶ καὶ δοξάζομεν.

Σεραφικοῖς στόμασι τὸν ἀνυμνούμενον, τοῖς πηλίνοις, χείλεσι δοξάζομεν, μοναδικὸν καὶ τριαδικὸν, Κύριον τῆς δόξης, τῇ φύσει καὶ ὑποστάσεσι, βοῶντες: Ὦ πανταύναξ, τοῖς σοῖς δούλοις παράσχου ἱλασμὸν, καὶ ποικίλων πταισμάτων συγχώρησιν.

Συνεκτικὴ πάντων τῶν ὄντων ἁρπάτε, πανοικτίρμων, εὔσπλαγχνε, φιλάνθρωπε, Τριὰς σεπτὴ καὶ θεαρχικὴ, μή μου ἐπιλήσῃ, τοῦ σοῦ οἰκέτου τὸ σύνολον· μηδὲ διασκεδάσῃς, ἣν διέθου σοῖς δούλοις, διαθήκην δὶ ἄφατον ἔλεος. Θεοτοκίον.

Ὡραίαν σὲ, πάναγνε μόνην εὐράμενος ἐξ αἰῶνος, Λόγος ὁ προαναρχος, τὴν Ἰακὼβ Κόρη καλλονὴν, καὶ ἐν σοὶ σκηνώσας, δι' εὐσπλαγχνίαν ἀνέπλασε, τὴν φύσιν τῶν ἀνθρώπων· ὃν δυσώπει ἀπαύστως, ἀπὸ πάσης ῥυσθῆναι με θλίψεως.

Ὠδὴ Ε'. Ἵνα τί με ἀπώσω.

Συναΐδια τρία, πρόσωπα δοξάζομεν, ἕνα δὲ Κύριον, σὲ τὴν θείαν φύσιν, διαιροῦντες ἁπλῶς, καὶ συνάπτοντες· καὶ πιστῶς βοῶμεν: Θεαρχικὴ Τριὰς Ἁγία, τοὺς τοὺς δούλους ἐκ θλίψεως λύτρωσαι.

Ὀλοφύρομαι σρόδρα, διὰ τὴν ἀσθένειαν τῆς διανοίας μου, πῶς μὴ θέλων πάσχω, τὴν ἀβούλητον ὄντως ἀλλοίωσιν· διὰ τοῦτο κράζω: Ζωαρχικὴ Τριὰς ἁγία, τῶν καλῶν ἐν τῇ στάσει με σύνταξον.

Νυσταγμῷ βαρυνθέντα, τῷ τῆς ἁμαρτίας με καὶ συνωθούμενον, πρὸς θανάτου ὕπνον, ὡς φιλάνθρωπος καὶ ὑπεράγαθος, καὶ παντελεήμων, θεαρχικὴ Τριὰς ἁγία, κατοικτείρησον καὶ διανάστησον. Θεοτοκίον.

Μητροπάρθενε Κόρη, πάναγνε πανάμωμε θεοχαρίτωτε, ταῖς σαῖς ἱκε-

Δημόσιο Κεντρική Βιβλιοθήκη Πάτρας

ἱκεσίαις, τὸν Υἱὸν καὶ Θεόν σου καὶ Κύριον, ἐξιλέωσαί μοι, καὶ τῶν παθῶν καὶ τῶν πταισμάτων, τὸν σὸν δοῦλον ἐκλύτρωσαι τάχιον.

Ὠδὴ ΣΤ'. Ἱλαπθητί μοι Σωτήρ.

Ἐπουρανίων νοῶν, ταξιαρχίας μιμούμενοι, μοναρχικὴ τοῦ παντὸς, Τριὰς ὑπερούσιε, τρισαγίοις ᾄσμασι, σὲ δοξολογοῦμεν, τοῖς πηλίνοις ἡμῶν στόμασι.

Τὸν κατ' εἰκόνα τὴν σήν, τὸν ἄνθρωπον διαπλάσαντα, καὶ ἐξ οὐκ ὄντων τὸ πᾶν, σοφῶς ὑπόστήσαντα, Θεὸν τρισυπόστατον, προσκυνῶ καὶ σέβω, καὶ ὑμνῶ καὶ μεγαλύνω σε.

Ὁ παντοκράτωρ Θεὸς, καὶ μόνος ἀπεριόριστος, ἐνοίκησον ἐν ἐμοὶ, δι' ἄφατον ἔλεος, τρισήλιε Δέσποτα, καὶ καταύγασόν με, καὶ συνέτισον ὡς εὔσπλαγχνος.

Θεοτοκίον.

Ναὸς ἐδείχθης Θεοῦ, τοῦ ἀχωρήτου παναχράντε, Ναὸν κἀμὲ τῆς αὐτοῦ, δεῖξον θείας χάριτος, παναγία δέσποινα, ταῖς ἱκεσίαις, καὶ συντήρησον ἀλώβητον.

Κάθισμα. Τὸ προσταχθέν.

Πατέρα ἄναρχον πιστοί, Υἱὸν συνάναρχον, καὶ Πνεῦμα θεῖον ἀληθῶς ὑμνολογοῦμεν, ἀσυγχύτως ἀτρέπτως καὶ ἀναλλοιώτως. Τριάδα ἁπλῆν ἁγίαν καὶ συμφυῆ, βοῶντες σὺν τοῖς Ἀγγέλοις· Ἅγιος εἶ, Πάτερ Υἱὲ, σὺν τῷ Πνεύματι, τῷ παναγίῳ καὶ σεπτῷ, ἐλέησον οὓς ἔπλασας, κατ' εἰκόνα σου Δέσποτα.

Δόξα καὶ νῦν. Θεοτοκίον ὅμοιον.

Εὐχαριστοῦμέν σοι ἀεὶ Θεοτόκε, καὶ μεγαλύνομεν ἀγνή, καὶ προσκυνοῦμεν, ἀνυμνοῦντες τὸν τόκον σου κεχαριτωμένη, βοῶντες ἀκαταπαύστως· Σῶσον ἡμᾶς, παρθένε παντελεῆμον ὡς ἀγαθή, καὶ δαιμόνων ἐξάρπασον, λογοθεσίου φοβεροῦ, ἐν ὥρᾳ τῆς ἐτάσεως, μὴ αἰσχυνθῶμεν οἱ δοῦλοί σου.

Ὠδὴ Ζ'. Θεοῦ συγκατάβασιν.

Σοφίᾳ ἀῤῥήτῳ σου, καὶ τῷ πελάγει τῆς ἀγαθότητος, δωρεὰν τὸν σὸν δοῦλον, ἠλεημένον ἀνάδειξόν με, καὶ νῦν καθάπερ πάλαι, καὶ ῥῦσαι κακώσεως, Τριὰς Μονὰς ὁ Θεὸς, ἁμαρτιῶν καὶ παθῶν. Δίς.

Ὁ νοῦς ὁ ἀγέννητος, Πατὴρ καὶ Λόγος ὁ γεννηθεὶς ἐξ αὐτοῦ, καὶ τὸ Πνεῦμα τὸ θεῖον, ἀκαταλήπτως ἐκπορευτὸν πεφυκὸς, Θεὲ μονάρχα τρισήλιε ψάλλω σοι· Εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν. Θεοτοκίον.

Νενέκρωμαι πάναγνε, τῆς ἁμαρτίας πιὼν τὸ φάρμακον· καὶ προστρέχω σοι πίστει, τῇ τεκούσῃ τὸν ἀρχηγὸν τῆς ζωῆς. Ταῖς σαῖς πρεσβείαις τὸν δοῦλόν σου ζώωσον, καὶ πειρασμῶν καὶ παθῶν λύτρωσαι μόνη ἁγνή.

Ὠδὴ Η'. Ἐπταπλασίως κάμινον.

Ὁ φῶς ὑπάρχων ἀΐδιον, τρι-

λαμ-

λαμπὲς καὶ τρισήλιον, καὶ μοναρχικόν, μονοκρατὲς ἁπλούστατον, Θεὸς ἀκατάληπτος, καὶ μονοκράτωρ Κύριος. Νῦν τὴν σκοτεινήν, καὶ ζοφεράν μου καρδίαν, καταύγασον, καὶ δεῖξον φωταυγῆ καὶ φωσφόρον, ὑμνεῖν σε καὶ δοξάζειν, εἰς πάντας τοὺς αἰῶνας.

Ἱερωτάταις πτέρυξι, Σεραφὶμ οἱ θειότατοι, πρόσωπα καὶ πόδας, εὐλαβῶς καλύπτουσι, τὴν δόξαν σὺ φέροντες, τοῦ ἀμηχάνου κάλλους σου, ἀγαθαρχικὴ, θεαρχικὴ Μοναρχία, Τριὰς ὑπεραγία. Πλὴν ἡμεῖς ἀνυμνεῖν σε τολμῶμεν, καὶ δοξάζειν, πιστῶς εἰς τοὺς αἰῶνας.

Κυριαρχίαν ἄναρχον, πανσθενῆ καὶ πανάγαθον, τελεταρχικήν, ἀγαθουργὸν ἀόριστον, αἰτίαν ἀναίτιον, ποιητικὴν ἀΐδιον, προνοητικήν, καὶ σωστικὴν τῶν ἁπάντων, Μονάδα κατ' οὐσίαν, καὶ Τριάδα προσώποις, δοξάζω σε Θεέ μου, πιστῶς εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Ἐπὶ τῆς γῆς ἀνέτειλεν, ὁ ἀνέσπερος ἥλιος, διὰ τῆς ἐκ σοῦ παρθενικῆς γεννήσεως, πανάχραντε Δέσποινα· καὶ τοὺς βροτοὺς ἀπήλλαξε, τῆς εἰδωλικῆς, καὶ ζοφερᾶς σκοτομαίνης· διὸ καὶ νῦν με μᾶλλον, τῆς αὐτοῦ θεαρχίας, καταύγασον ταῖς αἴγλαις, καὶ φρούρει τὸν σὸν δοῦλον.

Ὠδὴ Θ΄. Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός.

Τὴν πάντων Βασιλίδα καὶ παντουργὸν, ὑπεράρχιον, φύσιν ὑπέρχρονον, ζωαρχικὴν, εὔσπλαγχνον φιλάνθρωπον ἀγαθὴν, ἐναρχικὴν Τριάδα σε, νῦν δοξολογοῦντες ἁμαρτιῶν, συγχώρησιν αἰτοῦμεν, τῷ Κόσμῳ τὴν εἰρήνην, καὶ Ἐκκλησίας τὴν ὁμόνοιαν. Δίς.

Ἡ μία κυριότης καὶ τριλαμπὴς, ἐνικὴ θεαρχία τρισήλιε, τοὺς ὑμνητάς πρόσδεξαι τοὺς σοὺς ἀγαθοπρεπῶς, καὶ τῶν πταισμάτων λύτρωσαι, καὶ τῶν πειρασμῶν καὶ τῶν δυσχερῶν· καὶ θᾶττον τὴν εἰρήνην παράσχου φιλανθρώπως, ταῖς Ἐκκλησίαις καὶ τὴν ἕνωσιν. Θεοτοκίον.

Νηδὺν Χριστὲ Σωτήρ μου παρθενικὴν, ἐνοικήσας ἐφάνης τῷ Κόσμῳ σου, θεανδρικῶς, ἄτρεπτος ἀσύγχυτος ἀληθῶς· καὶ καθυπέσχου πάντοτε, μετὰ τῶν σῶν δούλων εἶναι σαφῶς· διὰ τῆς σὲ τεκούσης, πρεσβείαις τὴν εἰρήνην, πάσῃ τῇ ποίμνῃ σου πρυτάνευσον.

Ὄρθος

Τὰ λοιπὰ, καὶ τὴν ἀπόλ. ζήτει εἰς Φύλ. 37. Εἰς τὸν ὄρθρον, μετὰ τὸν ἑξάψαλμον τὸ, Θεὸς Κύριος· τὸ ἀπολυτίκιον δίς· τὸ Θεοτοκίον ἅπαξ, τὸ ψαλτήριον· καὶ μετὰ τὴν ἁ. αὐτοῦ στιχολογίαν Καθίσματα.

Ἀνέστης ἐκ νεκρῶν, ἡ ζωὴ τῶν ἁπάντων, καὶ Ἄγγελος φωτὸς, ταῖς γυναιξὶν ἐβόα: Παύσασθε τῶν δακρύων, τοῖς Ἀποστόλοις Εὐαγγελίσασθε· κράζατε ἀνυμνοῦσαι, ὅτι ἀνέστη Χριστὸς ὁ Κύριος, ὁ

ὠδο-

εὐδοκήσας σῶσαι ὡς Θεός, τὸ γένος τῶν ἀνθρώπων.

Δόξα. Τὴν Σοφίαν καὶ Λόγον.

Ἀναστὰς ἐκ τοῦ τάφου ὡς ἀληθῶς, ταῖς ὁσίαις προσέταξας γυναιξί, κηρύξαι τὴν ἔγερσιν, Ἀποστόλοις ὡς γέγραπται. Καὶ ὁρμαῖος ὁ Πέτρος, ἐπέστη τῷ μνήματι, καὶ τὸ φῶς ἐν τῷ τάφῳ ὁρῶν κατεπλήττετο. Ὅθεν καὶ κατεῖδε, τὰ ὀθόνια μόνα. Οὐδεὶς γὰρ βλέπειν δύναται, ἐν νυκτὶ τὰ προκείμενα· καὶ πιστεύσας ἐβόησε: Δόξα σοι Χριστὲ ὁ Θεὸς, ὅτι σώζεις ἅπαντας Σωτὴρ ἡμῶν· τοῦ Πατρὸς γὰρ ὑπάρχεις ἀπαύγασμα.

Καὶ νῦν. Θεοτοκίον ὅμοιον.

Τὴν οὐράνιον πύλην καὶ κιβωτὸν, τὸ πανάγιον ὄρος τὴν φωταυγῆ, νεφέλην ὑμνήσωμεν, τὴν οὐράνιον κλίμακα, τὸν λογικὸν παράδεισον, τῆς Εὔας τὴν λύτρωσιν, τῆς οἰκουμένης ὅλης τὸ μέγα κειμήλιον. Ὅτι σωτηρία ἐν αὐτῇ διεπράχθη, τῷ Κόσμῳ καὶ ἄφεσις, τῶν ἀρχαίων ἐγκλημάτων. Διὰ τοῦτο βοῶμεν αὐτῇ: Πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς εὐσεβῶς προσκυνοῦσι, τὸν πανάγιον τόκον σου.

Μετὰ τὴν ϛ'. στιχολογίαν Καθίσματα.

Ἄνθρωποι τὸ μνῆμά σου Σωτὴρ ἐσφραγίσαντο. Ἄγγελος τὸν λίθον ἐκ τῆς θύρας ἀπεκύλισε. Γυναῖκες ἐθεάσαντο ἐγηγερμένον ἐκ νεκρῶν,, καὶ αὗται εὐηγγελίσαντο τοῖς Μαθηταῖς σου ἐν Σιὼν, ὅτι ἀνέστης ἡ ζωὴ τῶν ἁπάντων, καὶ διελύθη τὰ δεσμὰ τοῦ θανάτου, Κύριε δόξα σοι. Δόξα.

Τὰ μῦρα τῆς ταφῆς, αἱ γυναῖκες κομίσασαι, φωνῆς Ἀγγελικῆς, ἐκ τοῦ τάφου ἤκουον. Παύσασθε τῶν δακρύων, καὶ ἀντὶ λύπης χαρὰν κομίσασθε, κράξατε ἀνυμνοῦσαι, ὅτι ἀνέστη Χριστὸς ὁ Κύριος, ὁ εὐδοκήσας σῶσαι ὡς Θεὸς, τὸ γένος τῶν ἀνθρώπων,

Καὶ νῦν Θεοτοκίον.

Ἐπὶ σοὶ χαίρει κεχαριτωμένη, πᾶσα ἡ Κτίσις, Ἀγγέλων τὸ σύστημα, καὶ ἀνθρώπων τὸ γένος, ἡγιασμένε Ναὲ, καὶ Παράδεισε λογικὲ, Παρθενικὸν καύχημα. Ἐξ ἧς Θεὸς ἐσαρκώθη, καὶ παιδίον γέγονεν ὁ πρὸ αἰώνων ὑπάρχων Θεὸς ἡμῶν. Τὴν γὰρ σὴν μήτραν Θρόνον ἐποίησε, καὶ τὴν σὴν Γαστέρα πλατυτέραν οὐρανῶν ἀπειργάσατο. Ἐπὶ σοὶ χαίρει κεχαριτωμένη, πᾶσα ἡ Κτίσις· δόξα σοι.

Μετὰ τὸν Ἄμωμον, τὰ εὐλογητάρια, ἡ αἴτησις καὶ ἡ ὑπακοή.

Αἱ μυροφόροι τοῦ Ζωοδότου ἐπιστᾶσαι τῷ μνήματι, τὸν Δεσπότην ἐζήτουν ἐν νεκροῖς τὸν ἀθάνατον. Καὶ χαρᾶς εὐαγγέλια ἐκ τοῦ Ἀγγέλου δεξάμεναι, τοῖς Ἀποστόλοις ἐμήνυον, ὅτι ἀνέστη Χριστὸς ὁ Θεὸς, παρέχων τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βόλου

Οἱ ἀναβαθμοί Ἀντίφωνον ά.

Ἐκ νεότητός μου, ὁ ἐχθρός με πειράζει, ταῖς ἡδοναῖς φλέγει με. Ἐγὼ δὲ πεποιθὼς ἐν σοί, Κύριε, τροποῦμαι τοῦτον.

Οἱ μισοῦντες Σιών, γεννηθήτωσαν δὴ πρὶν ἐκσπαθῆναι ὡς χόρτος. Συγκόψει γὰρ Χριστὸς αὐχένας αὐτῶν τομῇ δασάνων.

Δόξα καὶ νῦν.

Ἁγίῳ Πνεύματι, τὸ ζῆν τὰ πάντα, φῶς ἐκ φωτὸς Θεὸς μέγας, σὺν Πατρὶ ὑμνοῦμεν αὐτὸ καὶ τῷ λόγῳ.

Ἀντίφωνον β'.

Ἡ καρδία μου τῷ φόβῳ σου σκεπέσθω, ταπεινοφρονοῦσα, μὴ ὑψωθεῖσα ἀποπέσῃ ἐκ σοῦ Πανοικτίρμων.

Ἐπὶ τὸν Κύριον ὁ ἐσχηκὼς ἐλπίδα, οὐ δείσει τότε, ὅτε πυρὶ τὰ πάντα κρινεῖ καὶ κολάσει.

Δόξα καὶ νῦν.

Ἁγίῳ Πνεύματι, πᾶς τις θεῖος βλέπει καὶ προλέγει, τερατουργεῖ ὕψιστα, ἐν Τρισὶν ἕνα Θεὸν μέλπων· εἰ γὰρ καὶ τριλαμπεῖ, μοναρχεῖ τὸ θεῖον.

Ἀντίφωνον γ'.

Ἐκέκραξά σοι Κύριε, πρόσχες κλίνόν μοι τὸ οὖς σου βοῶντι, καὶ κάθαρον πρὶν ἄρῃς με ἀπὸ τῶν ἐνθένδε.

Ἐπὶ τὴν Μητέρα αὐτοῦ γῆν δύνων πᾶς αὖθις ἀναλύσει, τοῦ λαβεῖν δασάνους, ἡ γέρα τῶν βεβιωμένων.

Δόξα καὶ νῦν.

Ἁγίῳ Πνεύματι, Θεολογία, Μονὰς Τρισαγία· ὁ Πατὴρ γὰρ ἄναρχος, ἐξ οὗ ἔφυ ὁ Υἱὸς ἀχρόνως, καὶ τὸ Πνεῦμα σύμμορφον, σύνθρονον, ἐκ Πατρὸς συνεκλάμψαν.

Ἀντίφωνον δ'.

Ἰδοὺ δὴ τί καλὸν, ἢ τί τερπνὸν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἅμα; ἐν τούτῳ γὰρ Κύριος ἐπηγγείλατο ζωὴν αἰωνίαν.

Τοῦ ἐνδύματος αὐτοῦ, ὁ τὰ κρίνα τοῦ ἀγροῦ κοσμῶν κελεύει, μὴ δεῖν φροντίζειν.

Δόξα καὶ νῦν.

Ἁγίῳ Πνεύματι, ἑνοειδεῖ αἰτίᾳ, πάντα ἔχεται εἰρηνοβραβεύτως. Θεὸς τοῦτο γάρ ἐστι, Πατρί τε καὶ Υἱῷ, ὁμοούσιον κυρίως.

Προκείμενον.

Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα ὁ Θεός σου. Στίχ. Αἶνει ἡ ψυχή μου τὸν Κύριον. Τὸ, πᾶσα πνοή· Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι, τὸ Εὐαγγέλιον καὶ τὰ λοιπά, ὡς εἰς φύλ. 47. Οἱ Κανόνες οὗτοι καὶ τοῦ Μηναίου.

Ὠδὴ Α'. Ὁ Εἱρμός.

Ἁρματηλάτην Φαραὼ ἐβύθισε, τερατουργοῦσα ποτέ, Μωσαϊκὴ ῥάβδος, σταυροτύπως πλήξασα, καὶ διελοῦσα θάλασσαν· Ἰσραὴλ δὲ φυγάδα, πεζὸν ὁδίτην διέσωσεν, ᾆσμα τῷ Θεῷ ἀναμέλποντα.

Τὴν παντοδύναμον Χριστοῦ Θεότητα, πῶς μὴ θαυμάσωμεν; ἐκ μὲν παθῶν πᾶσι, τοῖς πιστοῖς ἀπάθειαν, καὶ ἀφθαρσίαν βλύζουσαν·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐκ πλευρᾶς δὲ ὁγίας, πηγὴν ἀθάνατον στάζουσαν, καὶ ζωὴν ἐκ τάφου ἀἰδιον.

Ὡς εὐπρεπὴς ταῖς γυναιξὶν ὁ Ἄγγελος, νῦν ἐπεφάνισται, καὶ τηλαυγῆ φέρων, τῆς ἐμφύτου σύμβολα, ἀΰλου καθαρότητος, τῇ μορφῇ δὲ μηνύων, τὸ φέγγος τῆς Ἀναςάσεως, κράζων: Ἐξηγέρθη ὁ Κύριος. Θεοτοκ.

Δεδοξασμένα περὶ σοῦ λελάληνται ἐν γενεαῖς γενεῶν, ἡ τὸν Θεὸν Λόγον, ἐν Γαστρὶ χωρήσασα· ἀγνὴ δὲ μείνασα, Θεοτόκε Παρθένε· διό σε πάντες γεραίρομεν, τὴν μετὰ Θεὸν προστασίαν ἡμῶν.

Ἕτερος ὅστις καταλ. εἰ ἑορτάζ. τῆς ἡμέρας ὁ Ἅγιος. Ὑγρὰν διοδεύσας.

Ἐπῄρθησαν πύλαι ὀδυνηραί, καὶ ἔφριξαν ᾅδου, καθορῶντες οἱ πυλωροί, ἐν τοῖς κατωτάτοις, τὸν ἐν ὕψει τῆς τῶν ἁπάντων ἐπέκεινα φύσεως.

Ἐξέστησαν τάξεις Ἀγγελικαί, ὁρῶσαι ἐν θρώνῳ, ἱδρυμένην τῷ πατρικῷ, τὴν ἔκπτωτον φύσιν τῶν ἀνθρώπων, τὴν καθειργμένην ἐν τοῖς κατωτάτοις τῆς γῆς.

Τῆς Θεοτόκου κατὰ ἀλφάβητον.

Ἄσωμεν τῷ Κυρίῳ.

Ἀχραντε Θεοτόκε, ἡ σεσαρκωμένον τὸν ἀἰδιον, καὶ ὑπέρθεον Λόγον, ὑπὲρ φύσιν τεκοῦσα, ὑμνοῦμέν σε.

Βότρυν σε ζωηφόρον, τὸν τῆς παγκοσμίου ἀποστάζοντα, γλυκασμὸν σωτηρίας, ἡ Παρθένος Χριςὲ ἀπεκύησε.

Γένος Ἀδαμιαῖον, πρὸς τὴν ὑπὲρ νοῦν μακαριότητα, διὰ σοῦ ἀνηγμένον, Θεοτόκε ἀξίως δοξάζει σε.

Ὠδὴ Γ'. Ὁ Εἱρμός.

Ὁ στερεώσας κατ' ἀρχὰς τοὺς οὐρανοὺς ἐν συνέσει, καὶ τὴν γῆν ἐπὶ ὑδάτων ἐδράσας, ἐν τῇ πέτρᾳ με Χριστὲ, τῆς Ἐκκλησίας στήριξον· ὅτι οὐκ ἔστι πλήν σου, ἅγιος μόνε Φιλάνθρωπε.

Κατακριθέντα τὸν Ἀδὰμ, τῇ γεύσει τῆς ἁμαρτίας, τῆς σαρκός σου τὸ σωτήριον πάθος, ἐδικαίωσε Χριςέ· αὐτὸς γὰρ οὐχ ὑπεύθυνος, τῆς τοῦ θανάτου πείρας, πέφηνας ὁ ἀναμάρτητος.

Τῆς ἀναστάσεως τὸ φῶς, ἐξέλαμψε τοῖς ἐν σκότει, τοῦ θανάτου καὶ σκιᾷ καθημένοις, ὁ Θεός μου Ἰησοῦς, καὶ τῇ αὐτοῦ Θεότητι, τὸν ἰσχυρὸν δεσμεύσας, τούτου τὰ σκεύη διήρπασε.

Θεοτοκίον.

Τῶν Χερουβὶμ καὶ Σεραφὶμ, ἐδείχθης ὑψηλωτέρα, Θεοτόκε· σὺ γὰρ μόνη ἐδέξω, τὸν ἀχώρητον Θεόν, ἐν σῇ γαστρὶ ἀμόλυντε· διὸ πιστοί σε πάντες, ὕμνοις Ἀγνὴ μακαρίζομεν.

Σταυροναζ. Οὐρανίας ἀψῖδος.

Ἀπειθήσαντα πρώην τῇ ἐντολῇ Κύριε, τοῦ πεποιηκότος με ὄντως, σὺ ἀπεξένωσας· ὃν μορφωσάμενος, ὑπακοήν τε παιδεύσας, σεαυτῷ οἰκειώσας διὰ σταυρώσεως.

Ο σοφία τὰ πάντα προεγνωκὼς Κύριε, καὶ τῇ σῇ συνέσει, συμπήξας τὰ ὑποχθόνια, οὐκ ἀπηξίωσας, συγκαταβάσει σου Λόγε τοῦ Θεοῦ, ἀναστῆσαι τὸν κατ' εἰκόνα σου.

Τῆς Θεοτόκου. Σὺ εἶ τὸ στερέωμα.

Δὸς ἡμῖν βοήθειαν, ταῖς ἱκεσίαις σου πάναγνε, τὰς προσβολὰς ἀποκρουομένη, τῶν δεινῶν περιστάσεων.

Εὖας τῆς προμήτορος, σὺ ἐπανόρθωσις γέγονας, τὸν Ἀρχηγὸν τῆς ζωῆς τῷ κόσμῳ, Θεοτόκε κυήσασα.

Ζῶσον δυναστείαν με, ἡ ἀληθῶς Θεὸν Πάναγνε, τὴν τοῦ Πατρὸς, ἐν σαρκὶ τεκοῦσα, ἐνυπόστατον δύναμιν.

Ὠδὴ Δ'. Ὁ Εἱρμός.

Σύ μου ἰσχὺς Κύριε, σύ μου καὶ δύναμις, σὺ Θεός μου, σύ μου ἀγαλλίαμα, ὁ πατρικοὺς κόλπους μὴ λιπών, καὶ τὴν ἡμετέραν, πτωχείαν ἐπισκεψάμενος· διὸ σὺν τῷ Προφήτῃ Ἀββακοὺμ σοὶ κραυγάζω: Τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Σὺ δυσμενῆ, ὄντα με λίαν ἠγάπησας· σὺ κενώσει, ξένῃ καταβέβηκας, ἐπὶ τῆς γῆς, εὐσπλαγχνε Σωτὴρ, τῆς ἐσχατιᾶς μου, τὴν ὕβριν μὴ ἀνηνάμενος, καὶ μείνας ἐν τῷ ὕψει, τῆς ἀφράστου σου δόξης, τὸν πρὶν ἠτιμωμένον ἐδόξασας.

Τίς καθορῶν, Δέσποτα, νῦν οὐκ ἐξίσταται, διὰ πάθους θάνατον λυόμενον, διὰ σταυροῦ φεύγουσαν φθοράν, καὶ διὰ θανάτου τὸν ᾅδην πλούτου κενούμενον; ταῖς θείαις δυναστείαις, σοῦ τοῦ ἐσταυρωμένου, τὸ ἐξαίσιον ἔργον φιλάνθρωπε.

Θεοτοκίον.

Σὺ τῶν πιστῶν, καύχημα πέλεις Ἀνύμφευτε· σὺ προστάτις, σὺ καὶ καταφύγιον, Χριστιανῶν, τεῖχος καὶ λιμήν· πρὸς γὰρ τὸν Υἱόν σου, ἐντεύξεις φέρεις πανάμωμε, καὶ σώζεις ἐκ κινδύνων, τοὺς ἐν πίστει καὶ πόθῳ, Θεοτόκον ἀγνήν σε γινώσκοντας.

Σταυροαναγ. Εἰσακήκοα Κύριε.

Τῷ σταυρῷ σε προσήλωσαν, οἱ τῶν παρανόμων Παῖδες φιλάνθρωπε· δι' οὗ ἔσωσας ὡς εὔσπλαγχνος, τοὺς δοξάζοντάς σου τὰ παθήματα.

Αναστὰς ἐκ τοῦ μνήματος, πάντας συνανέστησας τοὺς ἐν ᾅδῃ νεκροὺς, καὶ ἐρώτισας ὡς εὔσπλαγχνος, τοὺς δοξάζοντάς σου τὴν ἀνάστασιν.

Τῆς Θεοτόκου. Ὁ αὐτός.

Η τὸν στάχυν βλαστήσασα, τὸν ζωοποιὸν ἀνήρωτος ἄρουρα, τὸν παρέχοντα τῷ κόσμῳ ζωὴν, Θεοτόκε σῶζε τοὺς ὑμνοῦντάς σε.

Θεοτόκον σε πάναγνε, οἱ πεφωτισμένοι πάντες γινώσκομεν. Τὸν γὰρ ἥλιον ἐκύησας, τῆς δικαιοσύνης ἀειπάρθενε.

Ιλασμὸν ἡμῖν δώρησαι, τῶν ἀγνοημάτων ὡς ἀναμάρτητος, καὶ εἰρήνευσον τὸν Κόσμον σου, ὁ Θεὸς πρεσβείαις τῆς τεκούσης σε.

Ὠδὴ

Ὠδὴ Ε'. Ὁ Εἱρμός.

Ἵνα τί με ἀπώσω, ἀπὸ τοῦ προσώπου σου, τὸ φῶς τὸ ἄδυτον, καὶ ἐκάλυψέ με, τὸ ἀλλότριον σκότος τὸ δεῖλαιον ; ἀλλ' ἐπίστρεψόν με, καὶ πρὸς τὸ φῶς τῶν ἐντολῶν σου, τὰς ὁδούς μου κατεύθυνον δέομαι.

Περιθέσθαι ἠνέσχου, χλαῖναν πρὸ τοῦ πάθους σου Σῶτερ παιζόμενος, τὴν τοῦ πρωτοπλάστου, περιστέλλων ἀσχήμονα γύμνωσιν, καὶ γυμνὸς παγῆναι, ἐν τῷ σταυρῷ ἁπαμφιάζων, τὸν χιτῶνα Χριστὲ τῆς νεκρώσεως.

Ἐκ χοὸς τοῦ Θανάτου. σὺ τὴν πεπτωκυῖάν μου ἀνῳκοδόμησας, ἀναστὰς οὐσίαν, καὶ ἀγήρω Χριστὲ κατεσκεύασας, ἀναδείξας πάλιν, Βασιλικὴν ὥσπερ εἰκόνα, ἀφθαρσίας φωτὶ ἀπαστράπτουσαν.

Θεοτοκίον.

Μητρικὴν παῤῥησίαν, τὴν πρὸς τὸν υἱόν σου κεκτημένη πάναγνε, συγγενοῦς προνοίας, τῆς ἡμῶν μὴ παρίδῃς δεόμεθα, ὅτι σὲ καὶ μόνην, χριστιανοὶ πρὸς τὸν Δεσπότην, ἱλασμὸν εὐμενῆ προβαλλόμεθα.

Σταυροαναστ. Φώτισον ἡμᾶς.

Ὁδήγησον ἡμᾶς τῇ δυνάμει τοῦ σταυροῦ σου Χριστέ. Δι' αὐτοῦ γάρ σοι προσπίπτομεν· τὴν σὴν εἰρήνην παράσχου ἡμῖν φιλάνθρωπε.

Κυβέρνησον ἡμῶν, τὴν ζωὴν νῦν ὁ Θεὸς ἡμῶν, τῶν ὑμνούντων σου τὴν ἔγερσιν· καὶ τὴν εἰρήνην παρά σχου ἡμῖν φιλάνθρωπε.

Τῆς Θεοτόκου. Ὀρθρίζοντες.

Κατεύνασον τὸν ἄστατον κλύδωνα τῶν παθῶν μου, ἡ Θεὸν κυήσασα, τὸν Κυβερνήτην καὶ Κύριον.

Λατρεύουσαι τῷ τόκῳ σου ἄχραντε Θεοτόκε, Ἀγγέλων τὰ τάγματα, καὶ τῶν βροτῶν τὰ συστήματα.

Μαρία Θεοτόκε ἀνύμφευτε, τὰς ἐλπίδας τῶν ἐχθρῶν ματαίωσον, καὶ τοὺς ὑμνοῦντάς σε εὐφραίνον.

Ὠδὴ ς'. Ὁ Εἱρμός.

Ἱλάσθητί μοι Σωτὴρ, πολλαί γαρ αἱ ἀνομίαι μου, καὶ ἐκ βυθοῦ τῶν κακῶν, ἀνάγαγε δέομαι· πρὸς σὲ γὰρ ἐβόησα, καὶ ἐπάκουσόν μου ὁ Θεὸς τῆς σωτηρίας μου.

Διὰ ξύλου κραταιῶς, καθεῖλέ με ὁ ἀρχέκακος. Αὐτὸς δὲ ἀναρτηθείς, Χριστὲ κραταιότερος, σταυρῷ καταβέβληκας, δειγματίσας τοῦτον, τὸν πεσόντα δὲ ἀνέστησας.

Σὺ ὤκτειρας τὴν Σιὼν, ἐξανατείλας τοῦ μνήματος, καινὴν ἀντὶ παλαιᾶς, τελέσας ὡς εὔσπλαγχνος, τῷ θείῳ σου αἵματι. Καὶ νῦν βασιλεύεις, ἐν αὐτῇ εἰς τοὺς αἰῶνας Χριστέ.

Θεοτοκίον.

Ρυσθείημεν τῶν δεινῶν, πταισμάτων ταῖς ἱκεσίαις σου Θεογενὴτορ ἁγνὴ, καὶ τύχοιμεν πάναγνε, τῆς θείας ἐλλάμψεως, τοῦ

ἐκ σοῦ ἀφράστως, σαρκωθέντος Υἱοῦ τοῦ Θεοῦ.

Σταυροαναστ. Τὴν δέησιν ἐκχεῶ.

Παλάμας ἐν τῷ σταυρῷ ἐξήπλωσας, ἰατρεύων τὴν ἀκρατῶς ταθεῖσαν, ἐν τῇ Ἐδέμ, χεῖρα τοῦ πρωτοπλάστου, καὶ τῆς ἰδίας χολῆς ἀντεγεύσω Χριστέ. Καὶ ἔσωσας ὡς δυνατός, τοὺς δοξάζοντάς σου τὰ παθήματα.

Θανάτου ὁ Λυτρωτὴς ἐγεύσατο, τῆς ἀρχαίας ἀποφάσεως, ὅπως καὶ τῆς φθορᾶς τὸ Βασίλειον λύσῃ, καὶ τοῖς ἐν ᾅδου φοιτήσας ἀνέστη Χριστός, καὶ ἔσωσεν ὡς κραταιός, τοὺς ὑμνοῦντας αὐτοῦ τὴν ἀνάστασιν.

Τῆς Θεοτόκου. Χιτῶνά μοι παράσχου φωτεινόν.

Ναόν σε τοῦ Θεοῦ, καὶ κιβωτόν, καὶ Παστάδα ἔμψυχον, καὶ πύλην Οὐράνιον, Θεοτόκε οἱ πιστοὶ καταγγέλλομεν.

Ξοάνων καταλύτης ὡς Θεός, γεγονὼς ὁ τόκος σου, Μαρία θεόνυμφε, προσκυνεῖται σὺν Πατρὶ καὶ τῷ Πνεύματι.

Ο Λόγος τοῦ Θεοῦ σὲ τοῖς βροτοῖς, Θεοτόκε ἔδειξεν, οὐράνιον κλίμακα. Διὰ σοῦ γὰρ πρὸς ἡμᾶς καταβέβηκε.

Κοντάκιον. Ἡ ἀπαρχὰς τῆς φύσεως.

Ἐξαναστὰς τοῦ μνήματος, τοὺς τεθνεῶτας ἤγειρας, καὶ τὸν Ἀδὰμ ἀνέστησας· καὶ ἡ Εὔα χορεύει ἐν τῇ σῇ ἀναστάσει. Καὶ Κόσμου τὰ πέρατα πανηγυρίζουσι, τῇ ἐκ νεκρῶν ἐγέρσει σου πολυέλεε.

Ὁ Οἶκος.

Τὰ τοῦ ᾅδου σκυλεύσας Βασίλεια, καὶ νεκροὺς ἀναστήσας μακρόθυμε, γυναιξὶ Μυροφόροις συνήντησας, ἀντὶ λύπης χαρὰν κομισάμενος. Καὶ Ἀποστόλοις σου ἐμήνυσας, τὰ τῆς νίκης σύμβολα, Σωτήρ μου ζωοδότα, καὶ τὴν κτίσιν ἐφώτισας φιλάνθρωπε· διὰ τοῦτο καὶ κόσμος συγχαίρει, τῇ ἐκ νεκρῶν ἐγέρσει σου πολυέλεε.

Ὠδὴ Ζ'. Ὁ Εἱρμός.

Θεοῦ συγκατάβασιν, τὸ πῦρ ἠδέσθη ἐν Βαβυλῶνι ποτέ. Διὰ τοῦτο οἱ Παῖδες, ἐν τῇ καμίνῳ ἀγαλλομένῳ ποδὶ, ὡς ἐν λειμῶνι χορεύοντες ἔψαλλον: Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ἡ ἔνδοξος κένωσις, ὁ θεῖος πλοῦτος τῆς σῆς πτωχείας Χριστέ, καταπλήττει Ἀγγέλους, σταυρῷ ὁρῶντάς σε καθηλούμενον, διὰ τὸ σῶσαι τοὺς πίστει κραυγάζοντας: Εὐλογητὸς ὁ Θεός ὁ τῶν Πατέρων ἡμῶν.

Τῇ θείᾳ καθόδῳ σου, φωτὸς ἐπλήσθη τὰ καταχθόνια, καὶ τὸ σκότος ἠλάθη, τὸ πρὶν δεῦρον ὄθεν ἀνέστησαν, οἱ ἀπ' αἰῶνος δεσμῶται κραυγάζοντες: Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Τριαδικόν.

Ἁπάντων μὲν Κύριον, ἑνὸς δὲ μόνου

Δημόσια Κεντρική Βιβλιοθήκη Βελλάς

μόνου μονογενοῦς Υἱοῦ, ὀρθοδόξως Πατέρα, θεολογοῦντές σε καταγγέλλομεν καὶ ἓν εἰδότες σοῦ ἐκπορευόμενον, Πνεῦμα εὐθές, συμφυὲς καὶ συναΐδιον.

Σταυροαναστ. Οἱ ἐκ τῆς Ἰουδαίας.

Σωτηρίαν εἰργάσω, μέσον τῆς οἰκουμένης Χριστέ, προφητικῶς βοῶμεν. Ὑψωθεὶς γὰρ ἐν ξύλῳ, πάντας ἀνεκαλέσω, τοὺς ἐν πίστει κραυγάζοντας· Εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ἀναστὰς ἐκ τοῦ τάφου, ὡς ἐξ ὕπνου, οἰκτίρμων κόσμον συνήγειρας. Ἡ κτίσις ἐπιστώθη, διὰ τῶν Ἀποστόλων, κηρυττόντων τὴν ἔγερσιν. Ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Τῆς Θεοτόκου. Ὁ αὐτός.

Παρθενικῆς ἐκ νηδύος, σαρκωθεὶς ἐπεφάνης εἰς σωτηρίαν ἡμῶν. Διό σου τὴν Μητέρα, εἰδότες Θεοτόκον, ὀρθοδόξως κραυγάζομεν, Ὁ τῶν Πατέρων ἡμῶν.

Ῥάβδος ἔφυς Παρθένε, Ἰεσσαὶ ἐκ τῆς ῥίζης ἡ παμμακάριστος, καρπὸν ἀνθηφοροῦσα, σωτήριον τοῖς πίστει τῷ Υἱῷ σου κραυγάζουσιν· ὁ τῶν Πατέρων ἡμῶν.

Σοφίας ἔμπλησον πάντας, καὶ δυνάμεως θείας ἡ ἐνυπόστατος σοφία τοῦ ὑψίστου, διὰ τῆς Θεοτόκου, τοὺς ἐν πίστει σοι ψάλλοντας, Ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ Η'. Ὁ Εἱρμός.

Ἐπταπλασίως κάμινον, τῶν Χαλδαίων ὁ Τύραννος, τοῖς Θεοσεβέστιν, ἐμμανῶς ἐξέκαυσε. Δυνάμει δὲ κρείττονι, περισωθέντας τούτους ἰδών, τῷ δημιουργῷ καὶ λυτρωτῇ ἀνεβόα: Οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὑῆς Ἰησοῦ Θεότητος, ἡ ὑπέρθεος δύναμις, ἐν τοῖς καθ' ἡμᾶς, θεοπρεπῶς ἐξέλαμψε. Σαρκὶ γὰρ γευσάμενος, ὑπὲρ παντὸς θανάτου σταυροῦ, ἔλυσε τοῦ ᾅδου τὴν ἰσχύν· ὃν ἀπαύστως οἱ παῖδες εὐλογεῖτε.

Ὁ σταυρωθεὶς ἐγήγερται, ὁ μεγάλαυχος πέπτωκεν, ὁ καταπεσὼν καὶ συντριβεὶς ἀνώρθωται, φθορὰ ἐξωστράκισται, καὶ ἀφθαρσία ἤνθησεν. Ὑπὸ τῆς ζωῆς γὰρ τὸ θνητὸν κατεπόθη. Οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε.

Τριαδικόν.

Τρισσοφαῆ Θεότητα, ἐνιαίαν ἐκλάμπουσαν, αἴγλην ἐκ μιᾶς τρισυποστάτου φύσεως, γεννήτορα ἄναρχον, ὁμοφυᾶτε Λόγον Πατρὸς, καὶ συμβασιλεῦον ὁμοούσιον Πνεῦμα· οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε.

Σταυροαναστ. Νικηταὶ τυράννου.

Τὸν ἐπὶ τοῦ ξύλου, χεῖράς μοι ἐκτείναντα τῷ γυμνωθέντι, προσκαλούμενόν με, τῇ αὐτοῦ εὐσχήμονι θάλψαι γυμνώσει· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον, καὶ ὑπερυψοῦτε.

Τὸν ἐκ κατωτάτου, ᾅδου με

ὑψώσαντα τὸν πεπτωκότα, καὶ τῇ ὑψιθρόνῳ, δόξῃ τοῦ γεννήτορος τετιμηκότα, εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Τῆς Θεοτόκου. Τὸν Βασιλέα τῶν Οὐρανῶν.

Τῶν ἐναντίων τὰς θελκτικὰς καὶ φλογώδεις, καθ' ἡμῶν κατάσβεσον βολίδας, ὅπως σὲ ὑμνοῦμεν ἀγνὴ εἰς τοὺς αἰῶνας.

Ὑπερφυῶς τὸν δημιουργὸν καὶ σωτῆρα, Θεὸν Λόγον τέτοκας Παρθένε. Ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Φωτιστικήν σε καὶ χρυσαυγῆ τὸ σκηνῶσαν, ἐν σοὶ φῶς ἀπρόσιτον Παρθένε, ἔδειξε λαμπάδα εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ Θ'. Ὁ Εἱρμός.

Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός, καὶ τῆς γῆς κατεπλάγη τὰ πέρατα, ὅτι Θεὸς ὤφθη τοῖς ἀνθρώποις σωματικῶς, καὶ ἡ γαστήρ σου γέγονεν εὐρυχωροτέρα τῶν οὐρανῶν. Διό σε Θεοτόκε, Ἀγγέλων καὶ ἀνθρώπων, ταξιαρχίαι μεγαλύνουσιν.

Τῇ θείᾳ καὶ ἀνάρχῳ φύσει ἁπλοῦς πεφυκὼς συνετέθης προσλήψει σαρκός, ἐν σεαυτῷ, ταύτην ὑποστήσας Λόγε Θεοῦ, καὶ πεπονθὼς ὡς ἄνθρωπος, ἔμεινας ἐκτὸς πάθους ὡς Θεός. Διό σε ἐν οὐσίαις ὑσὶν ἀδιαιρέτως, καὶ ἀσυγχύτως μεγαλύνομεν.

Πατέρα κατ' οὐσίαν τὴν θείκην, ὡς δὲ φύσει γενόμενος ἄνθρωπος, ἔφης Θεόν, ὕψιστε τοῖς δούλοις συγκατιών, ἐξαναστὰς τοῦ μνήματος, χάριτι Πατέρα τῶν γηγενῶν, τιθεὶς τὸν κατὰ φύσιν, Θεόν τε καὶ Δεσπότην· μεθ' οὗ σε πάντες μεγαλύνομεν. Θεοτοκίον.

Ὡράθης ὦ Παρθένε Μήτηρ Θεοῦ, ὑπὲρ φύσιν τεκοῦσα ἐν σώματι, τὸν ἀγαθὸν, λόγον ἐκ καρδίας τῆς ἑαυτοῦ, ὃν ὁ Πατὴρ ἠρεύξατο, πάντων πρὸ αἰώνων ὡς ἀγαθός· ὃν νῦν καὶ τῶν σωμάτων, ἐπέκεινα νοοῦμεν, εἰ καὶ τὸ σῶμα περιβέβληται.

Σταυροκανα. Ἐφριξε πᾶσα ἀκοή.

Θεοῦ σε φύσει τὸν Υἱόν, συλληφθέντα ἐν γαστρὶ ἐπιστάμεθα, τῆς Θεομήτορος, καὶ γεγονότα δι' ἡμᾶς ἄνθρωπον, καὶ καθορῶντες ἐν σταυρῷ, τῇ φύσει μὲν πάσχοντα τῆς ἀνθρωπότητος, ἀπαθῆ δὲ ὡς Θεὸν διαμείναντα.

Θεοτοκίον.

Ἔντεινε καὶ κατευοδοῦ, καὶ βασίλευε Υἱὲ Θεομήτορος, Ἰσμαηλίτην λαὸν, καθυποτάττων τὸν πολεμοῦντα ἡμᾶς, φιλευσεβοῦντι βασιλεῖ, ὡς ὅπλον ἀνίκητον ἐπαγομένῳ σοι, σὺν τῇ λόγχῃ τὸν σταυρὸν χαριζόμενος.

Τῆς Θεοτόκου. Κυρίως Θεοτόκον.

Χαρᾶς καὶ εὐφροσύνης, πλήρης σου ἡ μνήμη, τοῖς προσιοῦσιν ἱάματα βρύουσα, καὶ εὐσεβῶς Θεοτόκον σε καταγγέλλουσι.

Ψαλμοῖς ἀνυμνοῦμεν, κεχαριτωμένη, καὶ ἀσιγήτως τὸ χαῖρέ σοι

σοι κράζομεν· σὺ γὰρ ἐπήγασας πᾶσι τὴν ἀγαλλίασιν.

Ὡραῖος Θεοτόκε, ἔφυ ὁ καρπός σου, οὐχὶ φθορᾶς τοῖς μετέχουσι πρόξενος, ἀλλὰ ζωῆς τοῖς ἐν πίστει σὲ μεγαλύνουσι.

Μετὰ τὴν τιμιωτέραν, Ἐκφώνησις. Ὅτι σὲ αἰνοῦσι. Τὸ, Ἅγιος Κύριος. Τὰ Ἐξαποστειλάρια, καὶ οἱ Λῖνοι.

Κύριε, εἰ καὶ κριτηρίῳ παρέστης, ὑπὸ Πιλάτου κρινόμενος, ἀλλ' οὐκ ἀπελείφθης τοῦ θρόνου, τῷ Πατρὶ συγκαθεζόμενος· καὶ ἀναστὰς ἐκ νεκρῶν, τὸν κόσμον ἠλευθέρωσας, ἐκ τῆς δουλείας τοῦ ἀλλοτρίου, ὡς οἰκτίρμων καὶ φιλάνθρωπος.

Κύριε, εἰ καὶ ὡς νεκρὸν ἐν μνημείῳ Ἰουδαῖοί σε κατέθεντο, ἀλλ' ὡς βασιλέα ὑπνοῦντα, στρατιῶταί σε ἐφύλαττον· καὶ ὡς ζωῆς θησαυρὸν, σφραγῖδι ἐσφραγίσαντο· ἀλλὰ ἀνέστης καὶ παρέσχες, ἀφθαρσίαν ταῖς ψυχαῖς ἡμῶν.

Κύριε, ὅπλον κατὰ τοῦ διαβόλου, τὸν σταυρόν σου ἡμῖν δέδωκας· φρίττει γὰρ καὶ τρέμει, μὴ φέρων καθορᾶν αὐτοῦ τὴν δύναμιν, ὅτι νεκροὺς ἀνιστᾷ, καὶ θάνατον κατήργησε· διὰ τοῦτο προσκυνοῦμεν, τὴν ταφήν σου καὶ τὴν ἔγερσιν.

Ὁ Ἄγγελός σου Κύριε, ὁ τὴν ἀνάστασιν κηρύξας, τοὺς μὲν φύλακας ἐφόβησε, τὰ δὲ γύναια ἐφώνησε λέγων· Τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; ἀνέστη Θεὸς ὡν, καὶ τῇ οἰκουμένῃ ζωὴν ἐδωρήσατο.

Ἐπαθες διὰ σταυροῦ, ὁ ἀπαθὴς τῇ Θεότητι· ταφὴν κατεδέξω τριήμερον, ἵνα ἡμᾶς ἐλευθερώσῃς ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ, καὶ ἀθανατίσας, ζωοποιήσῃς ἡμᾶς Χριστὲ ὁ Θεὸς, διὰ τῆς ἀναστάσεώς σου φιλάνθρωπε.

Προσκυνῶ καὶ δοξάζω, καὶ ὑμνῶ Χριστὲ, τὴν σὴν ἐκ τάφου ἀνάστασιν· δι' ἧς ἠλευθέρωσας ἡμᾶς, ἐκ τῶν τοῦ ᾅδου ἀλύτων δεσμῶν· καὶ ἐδωρήσω τῷ κόσμῳ ὡς Θεὸς, ζωὴν αἰώνιον, καὶ τὸ μέγα ἔλεος.

Τὸ ζωοδόχον σου μνῆμα, φρουροῦντες οἱ παράνομοι, σὺν τῇ κουστωδίᾳ ἐσφραγίσαντο τοῦτο· σὺ δὲ ὡς ἀθάνατος Θεὸς καὶ παντοδύναμος, ἀνέστης τριήμερος.

Πορευθέντος σου ἐν πύλαις ᾅδου Κύριε, καὶ ταύτας συντρίψαντος, ὁ αἰχμάλωτος οὕτως ἐβόα: Τίς ἐστιν οὗτος, ὅτι οὐ καταδικάζεται ἐν τοῖς κατωτάτοις τῆς γῆς, ἀλλὰ καὶ ὡς σκηνὴν κατέλυσε τοῦ θανάτου τὸ δεσμωτήριον; ἐδεξάμην αὐτὸν ὡς θνητὸν, καὶ τρέμω ὡς Θεόν· παντοδύναμε Σωτὴρ ἐλέησον ἡμᾶς.

Δόξα. τὸ Ἑωθινὸν, καὶ νῦν. Ὑπερευλογημένη ὑπάρχεις, καὶ ἡ μεγάλη Δοξολογία. Μετὰ τὸ, Ἅγιος ὁ Θεός. Τὸ Ἀναστὰς ἐκ τοῦ μνήματος, ὡς εἰς φύλ. 61. Εἰς τὴν Λειτουργίαν. Οἱ Μακαρισμοί.

Μνή-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Μνήσθητι ἡμῶν, Χριστὲ Σωτὴρ τοῦ κόσμου, ὥσπερ τοῦ Λῃστοῦ ἐμνήσθης ἐπὶ ξύλου· καὶ καταξίωσον πάντας μόνε οἰκτίρμων, τῆς Οὐρανίου βασιλείας σου.

Ἄκουε Ἀδὰμ, καὶ χαῖρε σὺν τῇ Εὔᾳ, ὅτι ὁ γυμνώσας πρὶν τοὺς ἀμφοτέρους, καὶ δι' ἀπάτης λαβὼν ἡμᾶς αἰχμαλώτους, ἐν τῷ σταυρῷ Χριστοῦ κατήργηται.

Ξύλῳ προσπαγεὶς, Σωτὴρ ἡμῶν βουλήσει, ξύλου τὸν Ἀδὰμ κατάρας ἐλυτρώσω, ἀποδιδοὺς ὡς οἰκτίρμων τὸ κατ' εἰκόνα, καὶ Παραδείσου τὴν κατοίκησιν.

Σήμερον Χριστὸς, ἀνέστη ἐκ τοῦ τάφου, πᾶσι τοῖς πιστοῖς παρέχων ἀφθαρσίαν· καὶ τὴν χαρὰν ἐγκαινίζει ταῖς Μυροφόροις, μετὰ τὸ πάθος καὶ τὴν ἔγερσιν.

Χαίρετε σοφαὶ, γυναῖκες Μυροφόροι, πρῶται τὴν Χριστοῦ, ἀνάστασιν ἰδοῦσαι, καὶ τοῖς αὐτοῦ ἀπαγγείλασαι Ἀποστόλοις, παντὸς τοῦ κόσμου τὴν ἀνάκλησιν.

Φίλοι τοῦ Χριστοῦ, Ἀπόστολοι φανέντες, σύνθρονοι αὐτοῦ, ἐσόμενοι τῇ δόξῃ, ἐν παῤῥησίᾳ αὐτῷ ἡμᾶς παραστῆναι, ὡς μαθηταὶ αὐτοῦ πρεσβεύσατε. Δόξα.

Ἄναρχε Τριὰς, ἀμέριστε οὐσία, σύνθρονε μονὰς, ὁμότιμε τῇ δόξῃ, ἡ ὑπεράρχιος φύσις καὶ βασιλεία, σῶσε τοὺς πίστει ἀνυμνοῦντάς σε

Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε τοῦ Θεοῦ, εὐρύχωρον χωρίον· χαῖρε κιβωτὲ τῆς νέας διαθήκης· χαῖρε ἡ ἔγχρυσος ῥάμνος, ἐξ ἧς τὸ Μάννα, πᾶσιν ἐδόθη τὸ Οὐράνιον.

Τῇ Κυριακῇ Ἑσπέρας, εἰς τὸ, Κύριε ἐκέκραξα· στιχηρὰ προσόμοια Δεσποτικά.

Ὦ τοῦ παραδόξου θαύματος.

Ὦ πῶς διάγω ἀμέριμνος, τὸν τῆς ζωῆς μου καιρὸν, μετεώρως παρέρχομαι, μὴ εἰς νοῦν βαλλόμενος, τὰς πολλὰς ἁμαρτίας μου, μὴ τοῦ θανάτου, τὴν φοβερὰν ἀπειλὴν, καὶ τῆς ἐτάσεως, τὸ ἀδέκαστον· ὦ τίς με ῥύσεται, πυρὸς αἰωνίζοντος, εἰ μὴ Θεὲ, μόνε ὑπεράγαθε, σὺ οἰκτειρήσῃς με;

Ἕως καιρός σοι ἐνέσηκεν, ὁ τῆς παρούσης ζωῆς, ὦ ψυχὴ μετανόησον, καὶ ἐνταῦθα πόνησον, διὰ τὰς ἁμαρτίας σου, ἵνα ἐκεῖσε εὕρῃς ἀνάπαυσιν, καὶ αἰωνίου, ῥυσθῇς κολάσεως. Κύριε Κύριε, ἀγαθὲ καὶ εὐσπλαγχνε τῶν ἐκλεκτῶν, μοίρας με ἀξίωσον, γενέσθαι μέτοχον.

Τῶν Ἀσωμάτων. Κύριε εἰ καὶ κριτηρίῳ

Κύριε, σὲ τῶν Ἀσωμάτων οἱ δῆμοι, ἀκαταπαύστως δοξάζουσι, τῷ σῷ ἐνηδόμενοι κάλλει, καὶ τῇ ἀῤῥάστῳ ὡραιότητι, καὶ τρισηλίῳ αὐγῇ, πλουσίως αὐγαζόμενοι, ὧν ταῖς πρεσβείαις καὶ προστασίαις, σῶσον Σωτὴρ τὰς ψυχὰς ἡμῶν.

Εἰς

Δημόσια Κεντρική Βιβλιοθήκη Κέρκυρας

Εἰς τὸν στίχ. στιχ. Κατανυκτικά.

Σὲ τὸν Βασιλέα καὶ Δεσπότην Ἄγγελοι ἀπαύστως ὑμνοῦσιν· ἐγὼ δέ σοι προσπίπτω, ὡς ὁ Τελώνης κράζων, Ὁ Θεὸς ἱλάσθητί μοι καὶ σῶσόν με.

Ἀθάνατος ὑπάρχουσα ψυχή μου, τοῖς κύμασι τοῦ βίου μὴ καλύπτου· ἀνάνηψον βοῶσα πρὸς τὸν σὸν εὐεργέτην, ὁ Θεὸς ἱλάσθητί μοι καὶ σῶσόν με.

Μάρτυρες Κυρίου, πάντα τόπον ἁγιάζετε, καὶ πᾶσαν νόσον θεραπεύετε, καὶ νῦν πρεσβεύσατε, ῥυσθῆναι τῶν παγίδων τοῦ ἐχθροῦ, τὰς ψυχὰς ἡμῶν δεόμεθα.

Δόξα καὶ νῦν.

Ὦ τοῦ παραδόξου θαύματος.

Χαῖρε παλάτιον ἔμψυχον, Περιστερὰ λογική, χαῖρε πόλις τοῦ Κτίστου σου, χαῖρε καταφύγιον, τῶν πιστῶν καὶ προπύργιον, ἡ προστασία, τῶν πεποιθότων ἐν σοί, καὶ σωτηρία, καὶ ἀπολύτρωσις. Χαῖρε ἡ Γέφυρα, πάντας ἡ μετάγουσα, πρὸς Οὐρανόν, χαῖρε παντευλόγητε, ἁγία Δέσποινα.

Τῇ Θ'. εἰς τὸν ὄρθρον, μετὰ τὴν ἁ. στιχολογίαν. Καθίσματα κατανυκτικά.

Ὄμματι εὐσπλάγχνῳ Κύριε, ἴδε τὴν ἐμὴν ταπείνωσιν, ὅτι κατὰ μικρὸν ἡ ζωή μου δαπανᾶται, καὶ ἐξ ἔργων ἐμοὶ οὐχ ὑπάρχει σωτηρία. Διὰ τοῦτο δέομαι, ὄμματι εὐσπλάγχνῳ Κύριε, ἴδε τὴν ἐμὴν ταπείνωσιν, καὶ σῶσόν με.

Τὴν Σοφίαν καὶ Λόγον.

Τὴν ἡμέραν ἐκείνην τὴν φοβερὰν, ἐννοοῦσα ψυχή μου, γρηγόρησον, ἀνάπτουσα λαμπάδα σου, καὶ ἐλαίῳ φαιδρύνουσα· οὐ γὰρ οἶδας πότε, πρὸς σὲ ἐπελεύσεται, ἡ φωνὴ ἡ λέγουσα: Ἰδοὺ ὁ Νυμφίος· βλέπε οὖν ψυχή μου, μὴ νυστάξῃς, καὶ μείνῃς, ἔξωθεν κρούουσα, ὡς αἱ πέντε Παρθένοι, ἀλλ' ἀγρύπνως καρτέρησον, ἵνα ὑπαντήσῃς Χριστῷ τῷ Θεῷ, ἐν ἐλαίῳ πίονι, καὶ δώῃ σοι, τὸν Νυμφῶνα τὸν θεῖον τῆς δόξης αὐτοῦ. Δόξα, καὶ νῦν.

Ὁ τῶν ὅλων Δεσπότης καὶ Ποιητὴς, ἐξ Ἀχράντου σου Μήτρας σάρκα λαβὼν, προστάτιν σε ἔδειξε, τῶν ἀνθρώπων Πανάμωμε· διὰ τοῦτο πάντες, πρὸς σὲ καταφεύγομεν, ἱλασμὸν πταισμάτων, αἰτούμενοι Δέσποινα, καὶ αἰωνιζούσης, λυτρωθῆναι βασάνου, καὶ πάσης κολάσεως, τῆς ἐκεῖσε δεάμεθα, ἵνα πίσει βοῶμέν σοι: Πρέσβευε Χριστῷ τῷ Θεῷ, τοῦ δοθῆναι πᾶσι Κόρῃ ἄφεσιν, τοῖς πιστῶς προσιοῦσι τῇ σκέπῃ σου.

Μετὰ τὴν Θ'. Στιχ. Καθ. Τὴν Σοφίαν.

Ἕως πότε ψυχή μου ζῇς ἀμελῶς; ἕως πότε ῥαθύμως διατελεῖς; τοῦ ὕπνου ἐξεγέρθητι, ῥαθυμίας ταλαίπωρε, καὶ κατὰ νοῦν λαβοῦσα, τὰς πράξεις σου στέναξον, καὶ τοῦ δικαίου φρίξον, Κριτοῦ τὴν ἀπόφασιν· τί ἀπολογήσῃ, ἐν ἐκείνῃ τῇ ὥρᾳ; ἢ πῶς τῆς μελλούσης, λυτρωθήσῃ

φλο-

φλογώσεως, ἀδιόρθωτος μένουσα; βόησον πρὸ τέλους τῷ Κριτῇ, τῶν πταισμάτων δός μοι Σῶτερ ἄφεσιν· σὺ γὰρ μόνος ὑπάρχεις Μακροθυμος.

Φωτὶ Οὐρανίῳ καταλάμπεται σήμερον, ἅυτη ἡ Σκηνή· ἐν αὐτῇ γὰρ Στρατιαὶ Ἀγγέλων ἀγάλλονται, σὺν αὐτοῖς καὶ Δικαίων χοροὶ εὐφραίνονται, ἐπὶ τῇ μνήμῃ τῶν Ἀθλοφόρων· αὐτῶν ταῖς παρακλήσεσι, κατάπεμψον τῷ Κόσμῳ σου, τὴν εἰρηνην Χριστὲ, καὶ τὸ μέγα ἔλεος.

Τὸ προσταχθὲν μυστικῶς.

Τὸ προσταχθὲν μυστικῶς λαβὼν ἐν γνώσει, ἐν τῇ σκηνῇ τοῦ Ἰωσὴφ, σπουδῇ ἐπέστη, ὁ Ἀσώματος λέγων τῇ Ἀπειρογάμῳ· Ὁ κλίνας τῇ καταβάσει τοὺς Οὐρανοὺς, χωρεῖται ἀναλλοιώτως ὅλος ἐν σοί, ὃν καὶ βλέπων ἐν Μήτρᾳ σου, λαβόντα δούλου μορφὴν, ἐξίσταμαι κραυγάζειν σοι, χαῖρε Νύμφη Ἀνύμφευτε.

Τῷ πρωὶ ἀπόστιχα τοῦ ἑσπερινοῦ.

Τῇ Θ'. Ἑσπέρας· εἰς τὸ, Κύριε ἐκέκραξα στιχηρὰ Δεσποτικά.

Ὦ τοῦ παραδόξου θαύματος.

Τίνι ψυχὴ ἐξωμοίωσαι, ἐν ῥαθυμίᾳ πολλῇ, τὴν ζωήν σου ἐξάγουσα, ὕπνῳ βαθυτάτῳ τε, χαλεπῆς καταπτώσεως, βαρυνομένη; δράμε καὶ πρόφθασον, καὶ τῷ τὰ πάντα, εἰδότι πρόσπεσον· κλαῦσον καὶ αἴτησαι, καιρὸν μετανοίας σοι, πρὶν τοῦ πυρὸς, τοῦ ἀσβέστου τάλαινα, γένῃ ὑπέκκαυμα.

Οἶδας Χριστὲ τὴν ἀσθένειαν, τῆς ἀνθρωπίνης σαρκὸς, καὶ τὸ χαῦνον τῆς φύσεως, ἐπίστασαι Δέσποτα, ὡς Ποιητὴς καὶ Θεὸς, τὸν σάλον κόπασον, τῆς καρδίας μου, διδοὺς γαλήνην, τῇ ταπεινῇ μου ψυχῇ· δίδου διόρθωσιν, τῶν ἀτόπων ἔργων μου, καὶ τοῦ πυρὸς, τοῦ ἀσβέστου ῥῦσαί με. ὡς μόνος εὔσπλαγχνος.

Τῆς στειρευούσης τὸ βλάστημα, τὸ τῆς Ἀγνείας φυτὸν, τῶν βροτῶν ἐγκαλλώπισμα, τοῦ Δεσπότου Πρόδρομε, Ἰωάννη Πανεύφημε, φύλαξ ὁ Θεῖος, τῆς ταπεινῆς μου ψυχῆς, τὴν σὴν πρεσβείαν, καὶ τὴν βοήθειαν, δίδου λυτρούμενος, μηχανῶν τοῦ ὄφεως, καὶ πονηρᾶς, τούτου με κακώτεως, καὶ ἐπιθέσεως.

Εἰς τὸν στίχον, στιχηρὰ Κατανυκτικά.

Σὲ τὸν Βασιλέα καὶ Δεσπότην, Ἄγγελοι ἀπαύστως ἀνυμνοῦσιν· ἐγὼ δέ σοι προσπίπτω, ὡς ὁ Τελώνης κράζων: Ὁ Θεὸς ἱλάσθητί μοι καὶ σῶσόν με,

Αθάνατος ὑπάρχουσα ψυχή μου, τοῖς κύμασι τοῦ βίου μὴ καλύπτου· ἀνάνηψον βοῶσα πρὸς τὸν σὸν Εὐεργέτην, ὁ Θεὸς ἱλάσθητί μοι καὶ σῶσόν με. Μαρτ.

Μάρτυρες Κυρίου, ἱκετεύσατε τὸν Θεὸν ἡμῶν, καὶ αἰτήσασθε ταῖς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ταῖς ψυχαῖς ἡμῶν, πλῆθος οἰκτιρμῶν, καὶ τὸν ἱλασμόν, τῶν πολλῶν παραπτωμάτων δεόμεθα.

Δόξα καὶ νῦν.

Ἡσκέπη σου Θεοτόκε Παρθένε, ἰατρεῖον ὑπάρχει πνευματικόν· ἐν αὐτῇ γὰρ καταφεύγοντες, ψυχικῶν νοσημάτων λυτρούμεθα.

Τῇ γ'. εἰς τὸν Ὄρθρον, Μετὰ τὴν ά. στιχολογίαν Καθίσματα Κατανυκτ.

Ὡς τοῦ Κριτοῦ παρόντος, μερίμνησον ὦ ψυχή, καὶ τῆς φρικτῆς ἡμέρας τὴν ὥραν ἐννοοῦ· ἡ γὰρ κρίσις, ἀνήλεός ἐστι τοῖς μὴ πράξασιν ἔλεος· διὸ φεῖσαί μου Σωτήρ· μόνος γὰρ ὑπάρχεις ἀναμάρτητος.

Τὴν σοφίαν καὶ Λόγον.

Τῶν φρονίμων Παρθένων τὸ ἱλαρὸν, καὶ μωρῶν ἀσπλαγχνίαν βλέπε ψυχή, πεινῶσιν ἐπάρκεσον, καὶ τοὺς ξένους εἰσάγαγε, εὐποιίας ἐλαίῳ, τὴν λαμπάδα φαιδρύνουσα, καὶ μὴ μάτην φρόνει, μικροῖς κατορθώμασιν· ἔλεον γὰρ μᾶλλον, ἢ θυσίαν λαμβάνει, καὶ δίδωσι χρηστότητος, τὸν μισθὸν πολυπλάσιον, ὁ Δεσπότης ὁ εὔσπλαγχνος, πᾶσι τοῖς σκορπίζουσι καλῶς, ἐπὶ γῆς τὸν πλοῦτον, παρεχόμενος τὸν Νυμφῶνα, τὸν θεῖον τῆς δόξης αὐτοῦ.

Δόξα, καὶ νῦν.

Ἀνάστης ἐκ νεκρῶν

Εἰς πέλαγος δεινῆς, ἐμπεσὼν ἀθυμίας, ἐκ πλήθους πονηρῶν, καὶ ἀθέσμων μου ἔργων, ἦλθον εἰς ἀπορίαν, καὶ ἀπογνώσει νυνὶ συνέχομαι. Δέσποινα Θεοτόκε, αὐτή με σῶσον τῇ εὐσπλαγχνίᾳ σου· ἁμαρτωλῶν σὺ γὰρ εἶ βοηθὸς, καὶ κάθαρσις σωτήριος.

Μετὰ τὴν β'. στιχολογίαν Καθίσματα· Ἀνάστης ἐκ νεκρῶν.

Ψυχή μου ἀμελῶς, τὴν ζωὴν δαπανῶσα, ἀνάστηθι ποτέ, πρὸς μετάνοιαν βλέψον, κλαῦσον πικρῶς ἐκ βάθους, μήπως θρηνήσῃς ἐκεῖ ἀνόνητα, φρίξον κατανοοῦσα, τὴν τοῦ Δεσπότου δευτέραν ἔλευσιν, καὶ πρὸ τῆς δίκης δίκασον σαυτὴν, καὶ φύγῃς δίκην ἔνδικον.

Φωστῆρες νοεροὶ, ἀνεδείχθητε Ἅγιοι Μάρτυρες· τὴν γὰρ ἀχλὺν τῆς πλάνης κατηργήσατε διὰ τῆς πίστεως, τὰς ψυχικὰς ὑμῶν λαμπάδας ἐφαιδρύνατε, καὶ τῷ Νυμφίῳ μετὰ δόξης συνεισήλθετε, εἰς τὸν οὐράνιον Νυμφῶνα· καὶ νῦν ἱκετεύσατε, σωθῆναι δεόμεθα τὰς ψυχὰς ἡμῶν.

Τὴν Σοφίαν καὶ Λόγον.

Χαριστήριον αἶνον χρεωστικῶς, ὡς ἡ Χήρα ἐκείνη δύο λεπτὰ, προσφέρω σοι Δέσποινα, ὑπὲρ πασῶν τῶν χαρίτων σου· σὺ γὰρ ὠφθης σκέπη, ὁμοῦ καὶ βοήθεια, πειρασμῶν καὶ θλίψεων, ἀεί με ἐξαίρουσα· ὅθεν ὡς ἐκ μέσου, φλογιζούσης καμίνου, ῥυσθεὶς τῶν θλιβόντων με, ἐκ καρδίας κραυγάζω σοι, Θεοτόκε βοήθει μοι, πρεσβεύουσα τῷ σῷ Υἱῷ καὶ Θεῷ· τῶν πταισμάτων

ἄφι-

ἄφεσιν δοθῆναί μοι· σὲ γὰρ ἔχω ἐλπίδα ὁ δοῦλός σου.

Τὸ πρωῒ ἀπόστιχα τοῦ ἑσπερινοῦ.

Εἰς τὸν στίχον στιχηρὰ Σταυρώσιμα.

Ὑψώθης ἐν Σταυρῷ Χριστὲ ὁ Θεὸς, καὶ ἔσωσας τῶν ἀνθρώπων τὸ γένος, δοξάζομέν σου τὰ παθήματα,

Ἐπάγης ἐν Σταυρῷ Χριστὲ ὁ Θεὸς, καὶ ἤνοιξας Παραδείσου τὰς πύλας, δοξάζομέν σε Λυτρωτὰ ἡμῶν.

Οἱ Μάρτυρές σου Κύριε, ἐπιλαθόμενοι τῶν ἐν τῷ βίῳ, καταφρονήσαντες καὶ τῶν βασάνων, διὰ τὴν μέλλουσαν ζωὴν, ταύτης κληρονόμοι ἀνεδείχθησαν, ὅθεν καὶ Ἀγγέλοις συναγάλλονται· αὐτῶν ταῖς ἱκεσίαις, δώρησαι τῷ λαῷ σου, τὸ μέγα ἔλεος.

Δόξα καὶ νῦν.

Σταυρῷ σε καθηλούμενον, ὡς ἐθεάσατο ἡ σὲ τεκοῦσα, μόνε Μακρόθυμε, ὀδυρομένη δάκρυα ἔρρει κρουνηδὸν, καὶ τὸ ὑπερβάλον τῆς χρηστότητος, καὶ τὸ συμπαθὲς τὸ ὑπὲρ ἄνθρωπον, λίαν ἐκπληττομένη, ὕμνει τὸ κράτος σου.

Τῇ γ'. Ἑσπέρας, εἰς τὸ, Κύριε ἐκέκραξα. Στιχηρὰ προσόμοια. Σταυρώσιμα.

Ὦ τοῦ παραδόξου θαύματος.

Λόγε Θεοῦ ὑπεράγαθε, ὁ δι' ἡμᾶς ἐν Σταυρῷ, κρεμασθεὶς ὡς κατάκριτος, τοῦ πυρὸς τοῦ μέλλοντος, καὶ φρικτῆς ἀποφάσεως, καὶ πάσης ἄλλης, ποινῆς ἐξάρπασον, ἐκδυσωπούσης τῆς Θεομήτορος· σὲ γὰρ φιλάνθρωπε, καθ' ἑκάστην ἅπαντες ἐν λογισμοῖς, Χριστὲ παροργίζομεν τὸν ὑπεράγαθον.

Ὦ τῆς ἀπείρου χρηστότητος, τοῦ σαρκωθέντος ἐκ σοῦ, Θεοτόκε Πανύμνητε. Σταυρὸν γὰρ καὶ θάνατον, ἑκουσίως ὑπέμεινεν, ἵνα τὸν κόσμον, σώσῃ ὃν ἔπλασεν· ὃν ἐκδυσώπει, καὶ ἐκ τὸν ἄθλιον, καὶ πολυώδυνον, ῥύσασθαι κολάσεως, ἔνθα τὸ φῶς, λάμπει τὸ ἀνέσπερον, κατασκηνῶσαί με.

Χαῖρε Παρθένε Θεόνυμφε, χαῖρε πιστῶν ἡ ἐλπὶς, χαῖρε κόσμου καθάρσιον, χαῖρε πάσης θλίψεως, ἡ τοὺς δούλους σου σώζουσα, ἡ τοῦ θανάτου, χαῖρε κατάλυσις, ὁ ζωηφόρος χαῖρε Παράδεισος, χαῖρε ἀντίληψις, τῶν προσκαλουμένων σε, χαῖρε Θεοῦ, θεῖον ἐνδιαίτημα, καὶ ὄρος Ἅγιον.

Τῇ δ'. εἰς τὸν Ὄρθρον, μετὰ τὴν ἁ. στιχολογίαν, Καθίσματα Σταυρώσ.

Βλέπων ὁ Λῃστὴς τὸν ἀρχηγὸν τῆς ζωῆς, ἐπὶ Σταυροῦ κρεμάμενον ἔλεγεν, Εἰ μὴ Θεὸς ὑπῆρχε σαρκωθεὶς ὁ σὺν ἡμῖν Σταυρωθείς, οὐκ ἂν ὁ Ἥλιος τὰς ἀκτῖνας ἐναπέκρυψεν, οὐδὲ ἡ γῆ σειομένη ἐκυμαίνετο. Ἀλλ' ὁ πάντων ἀνεχόμενος, μνήσθητί μου Κύριε ἐν τῇ βασιλείᾳ σου.

Ἐν

Ἐν μέσῳ δύω λῃστῶν, ζυγὸς δικαιοσύνης εὑρέθη ὁ Σταυρός σου, τοῦ μὲν καταγομένου εἰς ᾅδην, τῷ βάρει τῆς βλασφημίας, τοῦ δὲ κουφιζομένου πταισμάτων, πρὸς γνῶσιν θεολογίας, Χριστὲ ὁ Θεὸς δόξα σοι.

Τὴν Σοφίαν καὶ Λόγον.

Τὸν Ἀμνὸν καὶ Ποιμένα καὶ Λυτρωτήν, ἡ Ἀμνὰς θεωροῦσα ἐν τῷ Σταυρῷ, ἠλάλαζε δακρύουσα, καὶ πικρῶς ἀνεκραύγαζεν, Ὁ μὲν Κόσμος ἀγάλλεται, δεχόμενος τὴν λύτρωσιν, τὰ δὲ σπλάγχνα μου φλέγονται, ὁρώσης σου τὴν Σταύρωσιν, ἥνπερ ὑπομένεις, διὰ σπλάγχνα ἐλέους, Θεὸ ὑπεράγαθε, ἀνεξίκακε Κύριε· ᾗ πιστῶς ἐκβοήσωμεν, Σπλαγχνίσθητι Παρθένε ἐφ' ἡμᾶς, καὶ πταισμάτων δώρησαι τὴν ἄφεσιν, τοῖς προσκυνοῦσιν αὐτοῦ τὰ παθήματα.

Μετὰ τὴν Ϛ'. στιχολογίαν καθίσματα. Τὸ προσταχθέν.

Ξύλον πικρίαν ἐν Ἐδὲμ, τὸ πρὶν ἐξήνεγκε, ξύλον Σταυροῦ δὲ γλυκερὰν ζωὴν ἐξήνθησεν. Ὁ Ἀδὰμ γὰρ φαγὼν, εἰς φθορὰν κατώλισθεν. Ἡμεῖς δὲ κατατρυφῶντες σαρκὸς Χριστοῦ, ζωούμεθα καὶ θεούμεθα μυστικῶς, Βασιλείαν λαμβάνοντες, ἄϊδιον τοῦ Θεοῦ. Διὸ καὶ πίστει κράζομεν, Δόξα Λόγε τῷ πάθει σου.

Δι' ἐγκρατείας τῶν παθῶν τὰς πυριφλέκτους, ἀποτερφώσαντες μορφὰς καὶ τὰς κινήσεις, τοῦ Χριστοῦ οἱ Μάρτυρες ἔλαβον τὴν χάριν, τὰς νόσους ἀποδιώκειν τῶν ἀσθενῶν, καὶ ζῶντες καὶ μετὰ τέλος θαυματουργεῖν. Ὄντως θαῦμα παράδοξον, ὅτι ὀστέα γυμνὰ, ἐκβλύζουσιν ἰάματα. Δόξα τῷ μόνῳ Θεῷ ἡμῶν.

Δόξα, καὶ νῦν. Ἀνέστης ἐκ νεκρῶν.

Ἡ ἄσπιλος Ἀμνὰς, τὸν Ἀμνὸν καὶ Ποιμένα, κρεμάμενον Σταυρῷ κατιδοῦσα ἐβόα: Τέκνον μου τί τὸ ξένον, καὶ παρ' ἐλπίδα νῦν τοῦτο θέαμα; Πῶς ἡ ζωὴ τῶν πάντων, βροτοῖς ὁμοίως καταδεδίκασαι; Ἀλλὰ ἀνάστα Λόγε ἐκ νεκρῶν, τριήμερος ὡς εἴρηκας.

Τὸ πρωῒ ἀπόστιχα τοῦ ἑσπερινοῦ.

Τῇ δ'. Ἑσπέρας εἰς τὸ, Κύριε ἐκέκραξα στιχηρὰ προσόμοια τῶν Ἀποστόλων.

Κύριε εἰ καὶ κριτηρίῳ.

Κύριε, σὺ τοῦ παρακλήτου τῇ αἴγλῃ, τοὺς Ἀποστόλους ἐφώτισας, καὶ φωστῆρας τέθεικας τούτους, τὴν Οἰκουμένην αὐγάζοντας, τῷ νοητῷ φωτισμῷ, τῆς γνώσεώς σου Δέσποτα. Διὰ τοῦτο προσκυνοῦμεν, τὴν πολλήν σου ἀγαθότητα.

Κύριε, σὺ τῶν Ἀποστόλων πρεσβείαις, περιτειχίζων τὴν ποίμνην σου, ταύτην ἐξ ἐχθρῶν ἐπηρείας, διασώζεις ἀστασίαστον, ἥνπερ τιμίῳ Σωτῆρι, ὠνησάμενός σου αἵματι, τῆς δουλείας τοῦ ἀλλοτρίου

ρίου, ἠλευθέρωσας ὡς εὔσπλαγχνος.

Κύριε, σὺ τοῦ Ἱεράρχου ταῖς θείαις, πανευπροσδέκτοις δεήσεσιν, ἐκ παντὸς κινδύνου καὶ πάσης, ἐλευθέρωσον κακώσεως, καὶ ἐπηρείας κακῶν, τοὺς δούλους σου φιλάνθρωπε, τοὺς ἐν πίστει προσκυνοῦντας, τὸ κράτος σου τὸ ἀνείκαστον.

Εἰς τὸν στίχον στιχηρά.

Κύριε εἰ καὶ κριτηρίῳ.

Κύριε, σὲ εἰλικρινῶς ἐπὶ τῆς γῆς, οἱ Ἀπόστολοι ποθήσαντες, σκύβαλα ἡγήσαντο πάντα, ἵνα σε μόνον κερδήσωσι, καὶ ὑπὲρ σοῦ αἱκισμοῖς, τὰ σώματα παρέδωκαν. Διὰ τοῦτο δοξασθέντες, πρεσβεύουσιν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Κύριε, σὺ τῶν Ἀποστόλων τὴν μνήμην, ἐπὶ τῆς γῆς ἐμεγάλυνας. Πάντες γὰρ ὁμοῦ συνελθόντες, ἐν αὐτῇ δοξολογοῦμέν σε, ὅτι παρέχεις ἡμῖν, δι' αὐτῶν τὰ ἰάματα, καὶ τῷ Κόσμῳ τὴν εἰρήνην, εὐχαῖς αὐτῶν, καὶ τὸ μέγα ἔλεος. Μαρτυρικόν.

Εἴτις ἀρετὴ καὶ εἴτις ἔπαινος, πρέπει τοῖς ἁγίοις. Ξίφεσι γὰρ ἔκλιναν τοὺς αὐχένας, διὰ σὲ τὸν κλίναντα οὐρανοὺς καὶ καταβάντα. Ἐξέχεαν τὸ αἷμα αὐτῶν, διὰ σὲ τὸν κενώσαντα ἑαυτὸν, καὶ μορφὴν δούλου λαβόντα. Ἐταπεινώθησαν ἕως θανάτου, τὴν πτωχείαν σου μιμούμενοι· Ὧν ταῖς εὐχαῖς, κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, ὁ Θεὸς ἐλέησον ἡμᾶς.

Δόξα καὶ νῦν.

Τί ὑμᾶς καλέσωμεν.

Νύμφην σε Παρθένον ἐκήρυξαν, τὰς ἀξίας τοῦ Πατρὸς, καὶ τῆς Θεότητος αὐτοῦ, οἱ Θεὸν ἀξιωθέντες, κατιδεῖν σωματικῶς, καὶ Λόγου καὶ Θεοῦ Κόρη γεννήτρια, καὶ Πνεύματος Ἁγίου οἰκητήριον. Ἐν σοὶ γὰρ πᾶν τῆς Θεότητος σωματικῶς κατεσκήνωσε, τὸ πλήρωμα πληρεστάτης οὔσης χάριτος.

Τῇ ε. εἰς τὸν ὄρθρον, μετὰ τὴν ἀ. στιχολογίαν καθίσματα.

Τὴν Σοφίαν καὶ Λόγον.

Τοὺς φωστῆρας τοῦ Κόσμου καὶ ὁδηγοὺς, τῆς ἡμῶν σωτηρίας τὰς ἀπαρχὰς, τοὺς θείους ὑμνήσωμεν, Μαθητὰς τοῦ Θεοῦ ἡμῶν, ὅτι φῶς τοῖς ἐν σκότει, ἡμῖν ἐξανέτειλαν, καὶ τὸν Ἥλιον πᾶσι, τῆς δόξης ἐγνώρισαν· ὅθεν καὶ τὴν πλάνην, τῶν εἰδώλων καθεῖλον, Τριάδα κηρύξαντες, ἐν μιᾷ τῇ Θεότητι. Πρὸς αὐτοὺς οὖν βοήσωμεν, Ἀπόστολοι Χριστοῦ τοῦ Θεοῦ, τῶν πταισμάτων ἄφεσιν αἰτήσασθε, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην ὑμῶν.

Εἰς τὰ πέρατα πάντα διαδραμὼν, ὁ σοφὸς ὑμῶν φθόγγος ὡς ἀληθῶς τοῦ Κόσμου πανεύφημοι, τοῦ Κυρίου Ἀπόστολοι, θεογνωσίαν πᾶσι, τρανῶς ἀνεκήρυξε, καὶ τῶν Ἐθνῶν τὴν ἄγνοιαν, εἰς γνῶσιν μετήγαγεν. Ὅθεν καὶ εἰδώλων, τὴν ἀχλὺν ἐκδιώξας, τὸ φῶς

τὸ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὸ τῆς γνώσεως, τοῖς ἐν σκότει κατέλαμψε. Διὰ τοῦτο δεόμεθα, πρεσβεύσατε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην ὑμῶν.

Δόξα, καὶ νῦν.

Τὴν ψυχήν μου Παρθένε τὴν ταπεινὴν, τὴν ἐν ζάλῃ τοῦ βίου τῶν δυσχερῶν, νῦν ὡς ἀκυβέρνητον, ποντουμένην τῷ κλύδωνι, ἁμαρτιῶν τε φόρτῳ, ὀρθεῖσαν ὑπέραντλον, καὶ εἰς πυθμένα Ἅδου, πεσεῖν κινδυνεύουσαν, φθάσον Θεοτόκε, τῇ θερμῇ σου πρεσβείᾳ, καὶ σῶσον παρέχουσα, σὸν λιμένα τὸν εὔδιον, ἵνα πίστει κραυγάζω σοι, Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων δοῦναί μοι τὴν ἄφεσιν· σὲ γὰρ ἔχω ἐλπίδα ὁ δοῦλός σου.

Μετὰ τὴν β'. στιχ. Καθ. Τὴν Σοφίαν.

Τῇ σαγήνῃ τῶν λόγων τῶν Θείων, ὡς ἰχθύας ζωγροῦντες τοὺς λογικοὺς, τούτους προσηγάγετε, ἀπαρχὴν τῷ Θεῷ ἡμῶν· καὶ τοῦ Χριστοῦ τὰ στίγματα, ποθοῦντες ἐνδύσασθαι, μιμηταὶ τοῦ πάθους, αὐτοῦ ἀνεδείχθητε· ὅθεν συνελθόντες, κατὰ χρέος τιμῶμεν, Ἀπόστολοι Ἔνδοξοι, τὴν ὑμῶν νῦν πανήγυριν, καὶ συμφώνως κραυγάζομεν, Πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν Ἁγίαν μνήμην ὑμῶν.

Οἰκουμένης φωστῆρες ἀειλαμπεῖς, ἀνεδείχθητε πίστει Μαρτυρικῇ, ὅλην ἀναθέμενοι, τὴν ἐλπίδα πρὸς Κύριον, καὶ νοητῷ ἐλαίῳ, τοῦ Πνεύματος Ἅγιοι, τὰς ψυχικὰς λαμπάδας, ὑμῶν ἐφαιδρύνατε· ὅθεν καὶ κρατῆρες, νοητοὶ τοῖς ἀνθρώποις, προχέοντες ἰάματα, ὥσπερ νάματα ὤφθητε, Ἀθλοφόροι Πανεύφημοι, πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν Ἁγίαν μνήμην ὑμῶν.

Δόξα, καὶ νῦν.

Ἡ νοητὴ πύλη τῆς ζωῆς ἡμῶν, Ἄχραντε Θεοτόκε, τοὺς προστρέχοντάς σοι πιστῶς, λύτρωσαι τῶν κινδύνων, ἵνα δοξάζωμεν τὸν Πανάγιον Τόκον σου, εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Τῷ πρωΐ ἀπόστιχα τοῦ ἑσπερινοῦ.

Τῇ ε. ἑσπέρας εἰς τὸ, Κύριε ἐκέκραξα στιχηρὰ Σταυρώσιμα.

Ὁ Ἄγγελός σου Κύριε.

Λαὸς ὁ ἀνομώτατος, μέσον κατέκρινεν ἀνόμων, Ἰησοῦ μου σταυρωθῆναί σε, τὸν Κύριον καὶ Κτίστην τοῦ παντὸς Κόσμου· καὶ ὁρῶσα τὸ τόλμημα, ἡ γῆ ἐσείετο ἅπασα, πάντων ποιητήν σε δεικνύουσα Δέσποτα.

Νόμου κατάρας ἅπαντες, λυτρούμεθα καὶ ἐγκλημάτων· ὁ γὰρ νόμου πέλων Κύριος, ἀνυψώθη ἐν τῷ σταυρῷ τῷ τιμίῳ, εὐλογίαν πηγάζων ἀνελλειπῆ, καὶ χάριν

ν καὶ ἔλεος, ἡμῖν τοῖς ὑμνοῦσιν αὐτοῦ, τὰ θεῖα παθήματα.

Ἁμαρτιῶν μου τὰ κύματα, ὡς ἐν πελάγει δεινῶν ὑπεράνω ὑψούμενα, κεφαλῆς ποντίζειν με, κατεπείγουσι· Δέσποινα, ἀλλ' ἔκτεινόν μοι, χεῖρα ὡς Πέτρῳ πρίν, βυθιζομένῳ, καὶ εἰς λιμένα μεσῶσον ὁδήγησον, μετανοίας δέομαι Μήτηρ Θεοῦ, Ἄχραντε πανύμνητε, ἐλπὶς τοῦ Κόσμου παντός.

Εἰς τὸν στίχον στιχηρὰ σταυρώσιμα.

Ὑψώθης ἐν Σταυρῷ Χριστὲ ὁ Θεός, καὶ ἔσωσας τῶν ἀνθρώπων τὸ γένος, δοξάζομέν σου τὰ παθήματα.

Ἐπάγης ἐν Σταυρῷ Χριστὲ ὁ Θεός, καὶ ἤνοιξας Παραδείσου τὰς πύλας· δοξάζομέν σε Λυτρωτὰ ἡμῶν.

Μάρτυρες Κυρίου, πάντα τόπον ἁγιάζετε, καὶ πᾶσαν νόσον θεραπεύετε, καὶ νῦν πρεσβεύσατε ῥυσθῆναι τῶν παγίδων τοῦ ἐχθροῦ, τὰς ψυχὰς ἡμῶν δεόμεθα.

Ὁρῶσά σε σταυρούμενον, καὶ θανατούμενον ἡ Θεοτόκος, Οἴμοι! ἐκραύγαζε, πῶς τὰς ὀδύνας φέρεις γλυκύτατε Υἱέ; βάλλει τὴν καρδίαν μου ἡ λόγχησον, φλέγει δὲ τὰ σπλάγχνα μου τὸ πάθος σου, ὅμως ὑμνολογῶ σε· θέλων γὰρ ταῦτα πάσχεις σῶσαι τὸν ἄνθρωπον.

Τῇ ς' εἰς τὸν ὄρθρον μετὰ τὴν ἁ. στιχολογίαν Καθίσματα Σταυρώσιμα.

Τὴν Σοφίαν καὶ Λόγον.

Ὁ Σταυρὸν ὑπομείνας ὡς ἀγαθὸς, τοῦ Ἀδὰμ τὴν πτωχείαν ἀναλαβὼν, μόνε ὑπεράγαθε, ἀναμάρτητε Κύριε, τοῦ θανάτου εὐσπλαγχνε τὸ κράτος κατέλυσας, καὶ τῷ πάθει σου Δέσποτα, τὸν Κόσμον διέσωσας. Ὅθεν ζωοδότα, τὴν πεσοῦσαν ψυχήν μου, οἰκτείρησον δέομαι, ὅταν κρίνῃς τὰ ἔργα μου, δικαιοκρίτα φιλάνθρωπε, καὶ δός μοι πανοικτίρμων ὁ Θεὸς, τῶν πταισμάτων ἄφεσιν ὡς εὔσπλαγχνος, ὅτι μόνος ὑπάρχεις ἀναμάρτητος.

Ἀνέστης ἐκ νεκρῶν.

Ἐν μέσῳ τῆς Ἐδὲμ, ξύλον θάνατον ἤνθησεν. Ἐν μέσῳ δὲ τῆς γῆς, ξύλον ζωὴν ἐβλάστησε. Τοῦ πρώτου καὶ γὰρ φαγόντες, ἄφθαρτοι ὄντες, φθαρτοὶ γεγόναμεν, σχόντες δὲ τοῦ δευτέρου, τῆς ἀφθαρσίας κατετρυφήσαμεν. Ἐν τῷ Σταυρῷ γὰρ ἔσωσε Χριστὸς, τὸ γένος τῶν ἀνθρώπων.

Δόξα καὶ νῦν. Τὸ Προσταχθέν.

Ἐκ τῶν αἱμάτων τῶν ἐμῶν, βροτὸς γεγέννησαι, ἐκ τῶν αἱμάτων δὲ τῶν σῶν, βροτοὺς ἐθέωσας, τοὺς βρώσει δὲ φθαρέντας, ζητῶν κατῆλθες ὡς ὑπεράγαθος, ἐβόα πάλαι ἡ ἄμεμπτος ἐν κλαυθμῷ, Χριστὸν θρηνοῦσα κρεμάμενον ἐν Σταυρῷ, ὃν ὁρῶσα νεκρούμενον, δακρύων ἔρρει κρουνούς, τὰς ὄψεις καταξαίνουσα, καὶ αὐτὸν μεγαλύνουσα.

Μετὰ τὴν ϐ'. στιχολογίαν καθίσματα.

Ἀνέ-

Ἀνέστης ἐκ νεκρῶν.

Θεώσεως ψευσθείς, ὁ γενάρχης ἐλπίδος, φθορᾶς τοῖς ἐξ αὐτοῦ, πᾶσιν αἴτιος ὤφθη. Σὺ δὲ διὰ Σταυροῦ σου, ζωὴν πηγάζεις ὡς ὑπεράγαθος· θέλων καὶ γὰρ ἐπάγγης, ἵνα τὸ πρῶτον λύσῃς κατάκριμα. Διὸ ὑμνοῦμέν σου Χριστὲ, τὸ πάθος τὸ ἑκούσιον.

Μαρτυρικόν.

Φωτὶ οὐρανίῳ καταλάμπεται σήμερον αὕτη ἡ σκηνή. Ἐν ταύτῃ γὰρ στρατιαὶ Ἀγγέλων ἀγάλλονται. Σὺν αὐταῖς καὶ δικαίων χοροὶ εὐφραίνονται, ἐπὶ τῇ μνήμῃ τῶν ἀθλοφόρων. Αὐτῶν ταῖς παρακλήσεσι, παράσχου ταῖς ψυχαῖς ἡμῶν τὴν εἰρήνην Χριστὲ, καὶ τὸ μέγα ἔλεος.

Δόξα καὶ νῦν.

Ἀνέστης ἐκ νεκρῶν.

Ω θαύματος καινοῦ, ὦ φρικτοῦ μυστηρίου, ἐβόα ἡ ἀμνὰς τὸν Υἱὸν καθορῶσα, ξύλῳ σταυροῦ παγέντα. Τί τοῦτο Λόγε Θεοῦ ἀθάνατε; Πῶς νεκρὸς ὁρᾶσαι, καὶ γῆν σαλεύεις ὡς παντοδύναμος; Ἀλλὰ ὑμνῶ σου τὴν φρικτὴν, καὶ θείαν συγκατάβασιν.

Τῷ πρωὶ ἀπόστιχα τοῦ ἑσπερινοῦ.

Τῇ παρασκευῇ Ἑσπέρας, εἰς τὸ, Κύριε ἐκέκραξα, στιχηρὰ Μαρτυρικά.

Μάρτυρες Κυρίου, πάντα τόπον ἁγιάζετε, καὶ πᾶσαν νόσον θεραπεύετε· καὶ νῦν πρεσβεύσατε ῥυσθῆναι τῶν παγίδων τοῦ ἐχθροῦ, τὰς ψυχὰς ἡμῶν δεόμεθα.

Εἴτις ἀρετὴ καὶ εἴτις ἔπαινος, πρέπει τοῖς Ἁγίοις· ξίφεσι γὰρ ἔκλιναν τοὺς αὐχένας, διὰ σὲ τὸν κλίναντα οὐρανοὺς καὶ καταβάντα· ἐξέχεαν τὸ αἷμα αὐτῶν, διὰ σὲ τὸν κενώσαντα ἑαυτὸν, καὶ μορφὴν δούλου λαβόντα· ἐταπεινώθησαν ἕως θανάτου, τὴν πτωχείαν σου μιμούμενοι· ὧν ταῖς εὐχαῖς κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, ὁ Θεὸς ἐλέησον ἡμᾶς.

Ὦ τοῦ παραδόξου θαύματος.

Οταν καθίσῃς ἐν δόξῃ σου, ὡς Βασιλεὺς τοῦ παντὸς, ἐπὶ θρόνου τῆς κρίσεως, παρεστώτων φόβῳ σοι, τῶν Ἁγίων Ἀγγέλων σου, καὶ παραστῇ σοι, ἡ φύσις ἅπασα, κριθησομένη, ἡ τῶν ἀνθρώπων Χριστὲ, τότε δεήσεσι, τῆς Μητρός σου Κύριε, ἀπὸ πασῶν, ῥῦσαι τῶν κολάσεων, τοὺς κοιμηθέντας πιστῶς.

Δόξα, καὶ νῦν. Ὁ Βασιλεὺς τῶν Οὐρανῶν.

Εἰς τὸν Στίχον, Στιχηρά.

Μάρτυρες Κυρίου, πάντα τόπον ἁγιάζετε, καὶ πᾶσαν νόσον θεραπεύετε· καὶ νῦν πρεσβεύσατε, ῥυσθῆναι τῶν παγίδων τοῦ ἐχθροῦ, τὰς ψυχὰς ἡμῶν δεόμεθα.

Στίχ. Μακάριοι οὓς ἐξελέξω.

Θρηνῶ καὶ ὀδύρομαι, ὅταν ἐννοήσω τὸν θάνατον, καὶ ἴδω ἐν τοῖς

τοῖς τάφοις κειμένην, τὴν κατ' εἰκόνα Θεοῦ πλασθεῖσαν ἡμῖν ὡραιότητα, ἄμορφον, ἄδοξον, μὴ ἔχουσαν εἶδος. Ὢ τοῦ θαύματος. Τί τὸ περὶ ἡμᾶς τοῦτο γέγονε μυστήριον; Πῶς παρεδόθημεν τῇ φθορᾷ; Πῶς συνεζεύχθημεν τῷ θανάτῳ; Οὕτως Θεοῦ προστάξει ὡς γέγραπται, τοῦ παρέχοντος, τοῖς μεταστᾶσι τὴν ἀνάπαυσιν.

Στίχ. Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς.

Ὁ θάνατός σου Κύριε, ἀθανασίας γέγονε πρόξενος. Εἰ μὴ γὰρ ἐν μνήματι κατετέθης, οὐκ ἂν ὁ Παράδεισος ἠνέῳκτο. Διὸ τοὺς μεταστάντας ἀνάπαυσον ὡς φιλάνθρωπος.

Δόξα καὶ νῦν.

Ἁγνὴ Παρθένε, τοῦ Λόγου Πύλη, τοῦ Θεοῦ ἡμῶν Μήτηρ, ἱκέτευε σωθῆναι ἡμᾶς.

Τῷ Σαββάτῳ εἰς τὸν ὄρθρον, μετὰ τὴν ἁ. στιχολογίαν, Καθίσματα Μαρτυρικά.

Φωστῆρες νοεροί, ἀνεδείχθητε ἅγιοι Μάρτυρες. Τὴν γὰρ ἀχλὺν τῆς πλάνης κατηργήσατε διὰ τῆς πίστεως. Τὰς ψυχικὰς ὑμῶν λαμπάδας ἐφαιδρύνατε, καὶ τῷ Νυμφίῳ μετὰ δόξης συνεισήλθετε, εἰς τὸν οὐράνιον Νυμφῶνα. Καὶ νῦν ἱκετεύσατε σωθῆναι δεόμεθα τὰς ψυχὰς ἡμῶν.

Τὸ προσταχθὲν μυστικῶς.

Διὰ ἐγκρατείας τῶν παθῶν τὰς πυριφλέκτους, ἀπονεκρώσαντες, μορφὰς καὶ τὰς κινήσεις, τοῦ Χριστοῦ οἱ Μάρτυρες ἔλαβον τὴν χάριν, τὰς νόσους ἀποδιώκειν τῶν ἀσθενῶν, καὶ ζῶντες καὶ μετὰ τέλος θαυματουργεῖν. Ὄντως θαῦμα παράδοξον, ὅτι ὀστέα γυμνά, ἐκβλύζουσιν ἰάματα. Δόξα τῷ μόνῳ Θεῷ ἡμῶν.

Δόξα καὶ νῦν. Θεοτοκίον.

Ὁ δι' ἡμᾶς γεννηθεὶς ἐκ Παρθένου, καὶ σταύρωσιν ὑπομείνας ἀγαθέ, ὁ θανάτῳ τὸν θάνατον σκυλεύσας, καὶ ἔγερσιν δείξας ὡς Θεός, μὴ παρίδῃς οὓς ἔπλασας τῇ χειρί σου. Δεῖξον τὴν φιλανθρωπίαν σου ἐλεήμων, δέξαι τὴν τεκοῦσάν σε Θεοτόκον, πρεσβεύουσαν ὑπὲρ ἡμῶν, καὶ σῶσον Σωτὴρ ἡμῶν, λαὸν ἀπεγνωσμένον.

Μετὰ τὴν ϛ'. Ἕτερα καθίσματα.

Τὸ προσταχθὲν μυστικῶς.

Προφῆται Μάρτυρες Χριστοῦ καὶ Ἱεράρχαι, οἱ τὸν ἀγῶνα τὸν καλὸν εὐσεβοφρόνως, καὶ νομίμως τελέσαντες, καὶ ἀπειληφότες, Στεφάνους ἀμαραντίνους παρὰ Θεοῦ, ἀπαύστως ἐκδυσωπεῖτε ὑπὲρ ἡμῶν, τὴν αὐτοῦ ἀγαθότητα. Ὅπως δωρήσηται ἡμῖν, πταισμάτων τὴν συγχώρησιν, ὡς Θεὸς εὐδιάλλακτος.

Τοὺς μεταστάντας εὐσεβῶς ἐκ τῶν προσκαίρων, ἐν ταῖς σκηναῖς τῶν ἐκλεκτῶν μετὰ δικαίων, συναρίθμησον Δέσποτα, τούτους ἀνάπαυσιν, ἐν τόποις ἑορταζόντων καὶ ἐν τρυφῇ, ἀλήκτῳ τοῦ Παραδείσου ὡς ἀγαθός, τὰ ἑκούσια πταίσματα, καὶ τὰ ἀκούσια αὐτῶν.

τῶν, δι' ἄκραν ἀγαθότητα, συγχωρήσας φιλάνθρωπε.

Ὁ βάθει σοφίας φιλανθρώπως πάντα οἰκονομῶν, καὶ τὸ συμφέρον πᾶσιν ἀπονέμων, μόνε Δημιουργέ, ἀνάπαυσον Κύριε τὰς ψυχὰς τῶν δούλων σου. Ἐν σοὶ γὰρ τὴν ἐλπίδα ἀνέθεντο, τῷ Ποιητῇ καὶ Πλάστῃ, καὶ Θεῷ ἡμῶν.

Δόξα καὶ νῦν. Θεοτοκίον.

Σὲ καὶ τεῖχος καὶ λιμένα ἔχομεν, καὶ πρέσβιν εὐπρόσδεκτον, πρὸς ὃν ἔτεκες Θεόν, Θεοτόκε Ἀνύμφευτε, τῶν πιστῶν ἡ σωτηρία.

Εἰς τὸν στίχον τῶν Αἴνων, στιχηρὰ προσόμοια νεκρώσιμα.

Ἦχος πρῶτος.

Βασιλικῶς μοι ὑπέγραψας, ἐλευθερίαν βαφαῖς, ἐρυθραῖς τοὺς δακτύλους σου, αἱματώσας Δέσποτα, καὶ φοινίξας σῷ αἵματι· καὶ νῦν ἐν πίστει καθικετεύομεν, τοῖς πρωτοτόκοις σου συναρίθμησον, καὶ τῶν δικαίων σου, τῆς χαρᾶς ἀξίωσον ἐπιτυχεῖν, τοὺς μεταφοιτήσαντας, πρὸς σὲ τὸν εὔσπλαγχνον.

Στίχ. Μακάριοι οὓς ἐξελέξω.

Ἱεραρχήσας ὡς ἄνθρωπος, σφαγιασθεὶς ὡς Ἀμνός, προσφορὰν προσενήνοχας, τῷ Πατρὶ τὸν ἄνθρωπον, τῆς φθορᾶς ἐξαιρούμενος· τοὺς μεταστάντας οὖν ὡς φιλάνθρωπος, ἐν τῇ τῶν ζώντων, χώρᾳ κατάταξον, ἔνθα οἱ χείμαρροι, τῆς τρυφῆς προχέονται, ἔνθα πηγαί, τῆς ἀϊδιότητος ἀναβλυστάνουσι.

Στίχ. Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς.

Βάθει Σοφίας ἀῤῥήτου σου, ὁροθετεῖς τὴν ζωὴν, καὶ προβλέπεις τὰ μέλλοντα, καὶ πρὸς βίον ἕτερον, μετοικίζεις τοὺς δούλους σου· οὓς προσελάβου τοίνυν κατάταξον, ἐπὶ ὑδάτων τῆς ἀναπαύσεως, ἐν τῇ λαμπρότητι, τῶν Ἁγίων Κύριε, ἔνθα φωνὴ, τῆς ἀγαλλιάσεως καὶ τῆς ἀνέσεως.

Στίχ. Καὶ τὸ μνημόσυνον αὐτῶν.

Λόγος ὑπάρχων ἀόρατος, ὁμοφυὴς τῷ Πατρί, καὶ τῷ Πνεύματι σύμμορφος, δι' ἐμὲ τὸν ἄνθρωπον, ἐν σαρκὶ πεφανέρωσαι· ὡς ἐλεήμων οὖν καὶ φιλάνθρωπος, τοὺς ἐκ τοῦ βίου μεταφοιτήσαντας, τῆς εὐπρεπείας σου, καὶ τῆς ὡραιότητος ταῖς καλλοναῖς, τούτους καταλάμπρυνον Ζωαρχικώτατε.

Δόξα, καὶ νῦν.

Ὡς συλλαβοῦσα τὸν Ἄναρχον, Λόγον Θεοῦ καὶ Πατρός, μητρικῇ παῤῥησίᾳ σου, ἐκτενῶς ἱκέτευε, κατατάξαι τοὺς δούλους σου, ἔνθα χορεία ἡ ἀκατάληκτος, εὐφραινομένων καὶ εὐφημούντων σε, ἔνθα λαμπρότητες, αἱ διαιωνίζουσαι, καὶ ὁ γλυκὺς, ἦχος ἑορτάζοντος Θεογεννήτρια.

Οἱ Μακαρισμοί.

Μνήσθητι ἡμῶν, Χριστὲ Σωτὴρ τοῦ Κόσμου, ὥσπερ τοῦ Λῃστοῦ, ἐμνήσθης ἐπὶ ξύλου, καὶ καταξίωσον

...ον πάντας μόνε Οἰκτίρμον, τῆς Οὐρανίου Βασιλείας σου.

Πᾶσιν ἀλγεινοῖς, στερρῶς προσομιλοῦντες, τραύμασιν ἡμῶν, Ἅγιοις Ἀθλοφόροι, ἐτραυματίσατε πάσας τὰς μυριάδας, τὰς τῶν δαιμόνων θείᾳ χάριτι.

Ὅσιοι Χριστοῦ, καὶ θεῖοι Ἱεράρχαι, στῖφος Προφητῶν· καὶ πάντων τῶν Ἁγίων, τῆς Οὐρανίου ἐπέτυχον κληρουχίας, οὓς ἐπαξίως μακαρίσωμεν.

Πάντας τοὺς πιστῶς, τοῦ βίου μεταστάντας, τάξον ὁ Θεὸς, ἐν χώρᾳ τῶν δικαίων, καὶ παραδείσου ἀνάδειξον κληρονόμους, θεοπρεπῶς ὑμνολογοῦντάς σε.

Δόξα.

Πάτερ καὶ Υἱὲ, καὶ Πνεῦμα ἡ μία φύσις· σὺ εἶ ὁ Θεὸς, ὁ κτίσας πάντα λόγῳ· σὲ προσκυνοῦσιν οἱ ἄνθρωποι, σὺν Ἀγγέλοις, ἀκαταπαύστως σὲ δοξάζοντες.

Καὶ νῦν. Θεοτοκίον.

Πάντων τῶν καλῶν, τὸ πλήρωμα τεκοῦσα, πλήρωσον ἡμῶν, Παρθένε τὰς ἐντεύξεις, ἁμαρτιῶν ἡμῶν λύτρωσιν αἰτουμένη, καὶ φωτισμὸν καὶ μέγα ἔλεος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΑΝΟΝΕΣ

ΠΑΡΑΚΛΗΤΙΚΟΙ ΚΑΙ ΚΑΤΑΝΥΚΤΙΚΟΙ

ἀναγινωσκόμενοι τὸ πρωῒ εἰς τὸν Ὄρθρον μετὰ τὰ καθίσματα.

Τῇ Δευτέρᾳ πρωὶ ἀναγινώσκομεν ἦχον β'. τῇ Τρίτῃ ἦχον γ'. τῇ Τετάρτῃ ἦχον δ'. τῇ Πέμπτῃ ἦχον πλ. α. τῇ Παρασκευῇ ἦχον πλ. β'. τῷ σαββάτῳ ἦχον πλ. δ'.

ΚΑΝΩΝ ΤΩΝ ΑΡΧΑΓΓΕΛΩΝ.

Τῇ Δευτέρᾳ πρωί, ἦχος β'.

Ἁρματηλάτην Φαραώ.

» Δεῦτε λαοί, ᾄσωμεν ᾆσμα Χριστῷ
» τῷ Θεῷ, τῷ διελόντι θάλασ-
» σαν, καὶ ὁδηγήσαντι τὸν λαόν,
» ὃν ἀνῆκε, δουλείας Αἰγυπτίων,
» ὅτι δεδόξασται.

Μόνος ἐγὼ, τῇ ἁμαρτίᾳ δεδούλωμαι, μόνος ἐγὼ, τοῖς πάθεσι θύραν ἠνέῳξα, εὐδιάλλακτε μόνε, ἐπίστρεψόν με, σῶσον τῇ εὐσπλαγχνίᾳ σου.

Ῥεῖθρον ἡμῖν, τῶν ἰαμάτων πηγάζοντες, οἱ ἀθλοφόροι μάρτυρες, τὰ ἀναβλύζοντα τῆς σαρκὸς ἡμῶν πάθη, ξηραίνουσι δυνάμει τοῦ θείου Πνεύματος.

Ἄτρεπτον ἀσυγχύτως.

Δύναμιν ἀφθαρσίας καὶ δόξαν κεκτημένοι ἀθανασίας, δεδωρημένοι ἄγγελοι Χριστὲ, τῇ πρὸς σὲ ἐγγύτητι καταφωτίζονται.

Ὤφθησαν λαμπροφόροι, τὴν αὐλὸν δεικνύοντες, καὶ κατὰ φύσιν, διὰ συμβόλων Ἄγγελοι Χριστὲ, αἰσθητῶς τυπούμενοι, τὴν καθαρότητα. Θεοτοκίον.

Τάγμα τῶν Ἀγγέλων, τῷ Τόκῳ σου Παρθένε τῷ ὑπὲρ φύσιν, ὑπηρετοῦσι χαίροντα σεμνή· τὸν γὰρ τούτων τέτοκας, Θεὸν καὶ Κύριον.

Ὠδὴ Γ'. Ὁ Εἱρμός.

» Στερέωσον ἡμᾶς ἐν σοὶ Κύριε,
» ὁ ξύλῳ νεκρώσας τὴν ἁμαρ-
» τίαν, καὶ τὸν φόβον σου ἐμφύ-
» τευσον, εἰς τὰς καρδίας ἡμῶν
» τῶν ὑμνούντων σε.

Ὁ μήτραν ὑποδὺς Χριστὲ ἄφθορον, φθαρεῖσαν τοῖς πάθεσι τὴν ψυχήν μου, μετανοίᾳ καινοποίη-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σον, καὶ φωτὸς ἀϊδίου δεῖξον ἐμπελων.

Ὑπήκουσα ἐχθροῦ παραπικραίνοντος, καὶ πᾶσαν, ἐτέλεσα ἁμαρτίαν, καὶ ἀφθόνως παρεπίκρανα, σὲ τὸν μόνον μακρόθυμον φιλάνθρωπε. Μαρτυρικά.

Σταυρῷ τετειχισμένοι οἱ ἀήττητοι, ὁπλῖται, καὶ Μάρτυρες τοῦ Σωτῆρος, ὥσπερ τείχη κατηδάφισαν, τὰ τῆς πλάνης γενναίως ὀχυρώματα.

Δυνάμει θεϊκῇ τὸ ἀσθενὲς ὑμῶν γενναῖοι, νευρώσαντες Ἀθλοφόροι, τὴν ἰσχὺν τοῦ πολεμήτορος, παντελεῖ ἀπωλείᾳ παρεδώκατε.

Θεοτοκίον.

Μαρία τὸ χρυσοῦν θυμιατήριον, παθῶν μου ἀπέλασον τὸ δυσῶδες, καὶ στερέωσον κλονούμενον, προσβολαῖς τοῦ δολίου πολεμήτορος.

Ὠδὴ Δ'. Ὁ Εἱρμός.

» Ὑμνῶ σε, ἀκοὴν γὰρ Κύριε,
» εἰσακήκοα καὶ ἐξέστην, ἐως ἐμοῦ
» ἦκεις γὰρ, ἐμὲ ζητῶν τὸν πλανη-
» θέντα, διὸ τὴν πολλήν σου συγ-
» κατάβασιν, τὴν εἰς ἐμὲ δοξάζω
» πολυέλεε.

Ἐλύϊ, ἁμαρτίας πέπτωκα, καὶ τὴν ἄνωθεν εὐμορφίαν ἀπώλεσα, Κύριε καὶ δέδοικα, τὴν τιμωρίαν· διὸ μετανοίας ὡραιότητι, τὴν ταπεινὴν ψυχήν μου καταφαίδρυνον.

Δολίαις λαλιαῖς ὁ δόλιος, ἀπὸ σοῦ με ἀποσυλήσας κατάβρωμα ἴδιον εἰργάσατο, Θεὲ τῶν ὅλων· αὐτοῦ τῆς κακίας με ἐξάρπασον, καὶ μετανοίας τρόποις ἀνακάλεσαι.

Ὁ χρόνος τῆς ζωῆς μου γέγονεν, ἐργασία μου ἀπωλείας, μιᾷ ῥοπῇ σῶσόν με, ὡς ἔσωσάς ποτε τὴν Πόρνην, Χριστὲ μεταγνοῦσαν τῇ κελεύσει σου, ἵνα ὑμνῶ σε μόνε ἀναμάρτητε.

Μονάδα τῇ οὐσίᾳ σέβοντες, καὶ τριάδα τοῖς χαρακτῆρσι, Θεότητα ἄκτιστον, τοῖς κτίσμασιν οὐδ' ὅλως σέβας ὑμεῖς, Χριστομάρτυρες ἐνείματε· ὅθεν κολάσεις πάσας ὑπεμείνατε.

Θεοτοκίον.

Σαρκοῦται ἐξ ἁγνῶν αἱμάτων σου, ἀνθρώποις ἑνοῦται θέλων ὁ Κύριος, ἄχραντε, καὶ δέχεται μετανοοῦντας τοὺς πρὶν ὑπαχθέντας ἁμαρτήμασι, ταῖς σαῖς λιταῖς ἀεὶ κατακαμπτόμενος.

Ὠδὴ Ε. Ὁ Εἱρμός.

» Ὁ τοῦ φωτὸς χορηγὸς, καὶ
» τῶν αἰώνων ποιητὴς Κύριος, ἐν
» τῷ φωτὶ τῶν σῶν προσταγμά-
» των ὁδήγησον ἡμᾶς· ἐκτός σου
» γὰρ ἄλλον Θεὸν οὐ γινώσκο-
» μεν.

Ὁ ὀμματώσας τυφλοὺς, τὴν τυφλωθεῖσάν μου ψυχὴν φώτισον, ἐπαγρυπνεῖν ταύτην ἐνισχύων εἰς πράξεις ἀγαθὰς, ὕπνον ἀμελείας τελείως μισήσασαν.

Ἴασαι μόνε Σωτὴρ, τὴν πληγωθεῖσάν μου ψυχὴν δήγματι, τῆς χα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σεως, τὰς ὑπὲρ τὴν φύσιν βασάνους ὑπέστητε· διὸ τῶν ὑπὲρ ἔννοιαν, ἀγαθῶν ἠξιώθητε Μάρτυρες.

Ὡς καλοί, ὡς ὡραῖοι, ὡς ἔντιμοι, τῷ καλλοποιῷ καὶ ὡραίῳ συνήφθητε, ὑπὲρ ἡμῶν πρεσβεύοντες, παναοίδημοι πάντοτε Μάρτυρες. Θεοτοκίον.

Ἐκ πασῶν γενεῶν ἐξελέξατο, σὲ τὴν καλλονὴν Ἰακὼβ, ἣν ἠγάπησεν ὁ Ποιητὴς, Πανάμωμε, καὶ ἐκ σοῦ ἀνατείλας ἐπέφανε.

Ὠδὴ Ζ'. Ὁ Εἱρμός

»Εἰκάνος χρυσῆς, ἐν πεδίῳ δεηρᾷ »λατρευομένης, οἱ τρεῖς σου Παῖ»δες κατεπάτησαν, ἀθεωτάτου προ»στάγματος· μέσον δὲ πυρὸς ἐμ»βληθέντες, δροσιζόμενοι ἐψαλλον, »Εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν »Πατέρων ἡμῶν. Τροπάριον.

Νοὸς ἐκτροπαῖς, καὶ δαιμόνων προσβολαῖς μακρὰν γεγένημαι, τῶν ἀγχαλῶν σου, ὡς ὁ Ἄσωτος, πάσης αἰσχύνης πληρούμενος· νῦν δὲ ἐπιστρέψας κραυγάζω, ὡς ἐκεῖνος τὸ ἥμαρτον· μήμε ὀδελύξῃ Ἰησοῦ, ὁ σαρκωθεὶς δι' ἐμέ.

Θεὲ τοῦ παντὸς, Νινευίτας, ἀπειλῆς γεννώσης θάνατον, μετανοήσαντας, πάλαι ἔσωσας· ὡσαύτως, μόνε φιλάνθρωπε, τὴν ὑπερβολὴ ἁμαρτίας, μολυνθεῖσαν καρδίαν μου, νῦν ἐπιστρέφουσαν, φρικτῆς ῥῦσαι κολάσεως.

Μαρτυρικά.

Ἐπλήγη δεινῶς, ὁ πληγῶσαι δου-

βουληθεὶς ὑμᾶς κακοῦργος, θεομακάριστοι θεῖοι Μάρτυρες, καὶ ἀνιάτρευτος ἔμεινε· πᾶσι δὲ πιστοῖς ἰατρεῖον αἱ πληγαὶ ὑμῶν ὤφθησαν, τοῖς πληγωθεῖσι προσβολαῖς τοῦ παλαιοῦ πτερνιστοῦ.

Οὐ θῆρας πικρούς, οὐ τυράννων ἀπειλάς, οὐ ξίφει τέμνοντα, οὐ τὰ πριστήρια κατεπτοήθητε ὄργανα, ὡς ἐν ἀλλοτρίῳ δὲ πάντα ὑπεμείνατε σώματι. Μεγαλομάρτυρες, διὸ ἐστεφανώθητε.

Θεοτοκίον.

Αὔλου φωτὸς οἰκητήριον, ἡ σὴ μήτρα γεγένηται, τοῦ φρυκτωρίαις θείας γνώσεως, τὴν ἀθείαν μειώσαντος, ἄχραντε Θεόνυμφε Κόρη· ὃν ὑμνοῦντες κραυγάζομεν, Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ὠδὴ Π. Ὁ Εἱρμός.

» Τὸν ἐν καμίνῳ τοῦ πυρὸς, τῶν » Ἑβραίων τοῖς Παισὶ συγκατα- » βάντα, καὶ τὴν φλόγα εἰς δρό- » σον μεταβαλόντα Θεὸν, ὑμνεῖτε » τὰ ἔργα ὡς Κύριον, καὶ ὑπερ- » υψοῦτε εἰς πάντας τοὺς αἰῶ- » νας. Τροπάριον.

Ὑποπεσὼν τῷ πονηρῷ, ταῖς ἐκείνου μηχαναῖς κατεδουλώθην, καὶ ὁρῶν με ὁ πλάνος, ἐν ἀπωλείᾳ πολλῇ καυχᾶται· τούτου με ἐξάρπασον ἡ τῶν πλανωμένων, ἐπιστροφὴ Οἰκτίρμον.

Λῦσον ἀλύτοις με δεσμοῖς, τῶν τοῦ σώματος παθῶν κεκρατημένον, ὁ τὰ ἄλυτα λύσας τῶν ἀπ' αἰώνων δεσμὰ, καὶ τρέχειν πρὸς τρίβους εὐόδωσον, τὰς σωτηριώδεις, Χριστὲ Σωτὴρ τοῦ Κόσμου.

Μαρτυρικόν.

Οἱ τῶν παθῶν δημιουργοὶ, ἐπ' ἐμοὶ τῷ ταπεινῷ πᾶσαν κακίαν, ἐτεκτήναντο ὄντως· τῶν παθημάτων Χριστοῦ, ὡς ὄντες μιμηταὶ, μακάριοι Μάρτυρες, τῆς τούτων λυτρώσασθέ με βλάβης.

Γόνυ μὴ κάμψαντες γλυπτοῖς, ἐν καμίνῳ αἰκισμῶν, ὥσπερ οἱ Παῖδες, ἐνεβλήθητε πάλαι, καὶ δροσισμῷ θεϊκῷ, ὀφθέντες, ἀφλεκτοι ἐμείνατε, Μάρτυρες ὑμνοῦντες, Χριστὸν εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Ἐξασθενήσασαν πολλαῖς, προσβολαῖς τοῦ πονηροῦ Θεογεννήτορ, τὴν ἀθλίαν ψυχήν μου ταῖς ῥωστικαῖς σου λιταῖς, Παρθένε ὑγιᾶ ἀπέργασαι, ἵνα σε δοξάζω εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ Θ'. Ὁ Εἱρμός.

» Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον, τὸν » ἀῤῥήτῳ σοφίᾳ, ἥκοντα καινουρ- » γῆσαι τὸν Ἀδὰμ, βρώσει φθορᾷ » πεπτωκότα δεινῶς, ἐξ ἁγίας » Παρθένου, ἀφράστως σαρκωθέν- » τα δι' ἡμᾶς, οἱ πιστοὶ ὁμοφρό- » νως ἐν ὕμνοις μεγαλύνομεν.

Τροπάριον.

Ἰδοὺ καιρὸς ἐργασίας, τί καθεύδεις ἀφρόνως, ψυχὴ ἐν ἀθυμίᾳ παντελεῖ; ἔγειραι, ὀάκρυσι φαίδρυνον τὴν λαμπάδα σου· σπεῦσον,

ἐγγίζει ὁ Νυμφίος τῶν ψυχῶν· μὴ βραδύνῃς, καὶ μείνῃς τῆς θείας θύρας ἔξωθεν.

Ω πῶς φρικτόν σου τὸ βῆμα, φανερῶν πᾶσαν πρᾶξιν, γυμνὴν ἐπὶ Ἀγγέλων καὶ βροτῶν· ὢ πῶς δεινὴ ἡ ἀπόφασις, ἣν τοῖς πταίσασι μέλλεις διδόναι· ἐξ ἧς ῥῦσαί με Χριστὲ, πρὸ τοῦ τέλους, παρέχων ἐπιστροφῆς μοι δάκρυα.

Μαρτυρικά.

Σημειωθέντες τῷ πάθῳ, τοῦ ἀμνοῦ καὶ ποιμένος, οἱ ἔνδοξοι καὶ θεῖοι ἀθληταί, αἵματι θύονται χαίροντες, ὥσπερ ἄκακοι ἄρνες, καὶ πᾶσαν πρωτοτόκον ἀληθῶς, Ἐκκλησίαν ἁγίαν ἐν οὐρανοῖς φαιδρύνουσιν.

Ηλιακαῖς λαμπηδόσιν, ὡς φωστῆρες δειχθέντες, τῷ φέγγει τῆς ἀθλήσεως ὑμῶν, πᾶσαν ψυχὴν καταυγάζητε, πάντα ζόφον τῆς πλάνης διώκετε, γενναῖοι ἀθληταί· διὰ τοῦτο ἐν πίστει ἀξίως μακαρίζεσθε.

Θεοτοκίον.

Φεῖσαί μου Κύριε φεῖσαι, ὅταν μέλλῃς με κρίναι, καὶ μὴ κατακρίνῃς με εἰς πῦρ, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, δυσωπεῖ σε Παρθένος, ἡ σὲ κυοφορήσασα Χριστὲ, τῶν μαρτύρων τὰ πλήθη καὶ τῶν Ἀγγέλων σύλλογος.

Τῇ Β΄. Μακαρισμοί.

Τὴν φωνήν σοι προσάγομεν, τοῦ Λῃστοῦ καὶ βοῶμέν σοι, Μνήσθητι ἡμῶν Σωτὴρ ἐν τῇ Βασιλείᾳ σου.

Τὰ πολλά μου ἐγκλήματα, παραβλέψας φιλάνθρωπε, δεῖξον μέτοχόν με τῆς σῆς λαμπρότητος δέομαι.

Τῶν Ἀγγέλων τὰ τάγματα, δυσωποῦσί σε Κύριε, ὑπὲρ πάντων τῶν πιστῶν, τῶν πόθῳ ὑμνούντων σε· Μαρτυρ.

Ταῖς λιταῖς τῶν Μαρτύρων σου Ἰησοῦ ὑπεράγαθε, ἵλεως φάνηθι τοῖς πιστοῖς ἐν ὥρᾳ τῆς κρίσεως.

Δόξα.

Τὸν Πατέρα δοξάσωμεν, τὸν Υἱὸν προσκυνήσωμεν, καὶ Πνεῦμα πάντες πιστοὶ τὸ θεῖον ὑμνήσωμεν.

Καὶ νῦν. Θεοτοκίον.

Ο καρπὸς τῆς κοιλίας σου, τοὺς καρπῷ ὁλισθήσαντας, τοῦ Παραδείσου Ἀγνὴ, πολίτας εἰργασατο.

ΚΑΝΩΝ ΤΟΥ ΠΡΟΔΡΟΜΟΥ

Τῇ Τρίτῃ πρωΐ, ἦχος Γ΄.

Ὠδὴ ά. Θαυμαστὸς ἐνδόξως.

Ἑαυτοὺς ἀδελφοὶ κλαύσωμεν, ἐξ ὅλης τῆς ψυχῆς· ἐγγίζει ὁ Νυμφίος, ἀνάψωμεν τὰς πράξεις, ὥσπερ φαιδρὰς λαμπάδας, ὅπως θείου νυμφῶνος τύχωμεν ἐκεῖ.

Μεταγνοὺς ἐξ ὅλης ψυχῆς σέσωσται, πάλαι Μανασσῆς· ἐβόησε γὰρ μέσον, δεσμῶν κατειλημμένος, πρὸς μόνον τὸν Δεσπότην· τοῦτον ζήλου ψυχή, καὶ σώζῃ εὐχερῶς. Μαρτυρικόν.

Οφθαλμῶν πηρώσεις χειρῶν στέρησιν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρησιν, γλώσσης ἐκκοπὴν, ποδῶν τε ἀφαιρέσεις, μηρῶν καὶ βραχιόνων, ὑπήνεγκαν οἱ Θεῖοι Ἀθλοφόροι, εὐχαριστοῦντες Ἰησοῦ Χριστῷ. Θεοτοκίον.

Ἀθανασίας μάννα Χριστὸν φέρουσα, Στάμνε λογικὴ, πικρίας ψυχοφθόρων, παθῶν ἐκλύτρωσαί με, Παρθένε Παναγία, ὅπως πίστει δοξολογῶ σε εὐσεβῶς.

Τοῦ Προδρόμου. Ὁ τὰ ὕδατα πάλαι.

Στειρευούσης νηδύος βλάστημα θεῖον, καρποὺς με τῶν ἀρετῶν ἐκβλαστάνειν, τῷ Θεῷ πρέσβευε, τῆς ἀκαρπίας μου, λύων τὴν κατήφειαν, καὶ ἀπελαύνων τὸν ζόφον, ἐκ τῆς διανοίας μου, Κυρίου Πρόδρομε.

Τοῦ Ἡλίου τῆς δόξης μέγιστος ὥσπερ, προτρέχων ἀστὴρ ἐν γῇ σὺ ἐφάνης, τοῦ τὴν γῆν ἅπασαν καταφαιδρύνοντος. Τοῦτον οὖν ἱκέτευε, τὴν σκοτισθεῖσαν ψυχήν μου φαύλαις ἐνθυμήσεσι, φωτίσαι Πρόδρομε.

Τὴν ζωὴν τοῖς ἐν Ἅδῃ Πνεύματι θείῳ ἐγγίζουσαν προμηνύσας Προφῆτα, τὴν ἐμὴν ζώωσον νενεκρωμένην ψυχὴν, σοῦ ταῖς παρακλήσεσι, καὶ ὡς ἐκ τάφου πταισμάτων, ἀνάστησον δέομαι, ἔνδοξε Πρόδρομε. Θεοτοκίον.

Μετὰ τῶν Ἀρχαγγέλων μετὰ τῶν Ἀγγέλων, Παρθένε μετὰ Ἁγίων ἁπάντων, τὸν ἐκ σοῦ Κύριον ἐπιφανέντα ἡμῖν, αἴτησαι δεόμεθα, τοὺς ἀληθῆ Θεοτόκον, καθομολογοῦντάς σε, κινδύνων ῥύσασθαι.

Ὠδὴ Γ'. Στεῖρα ψυχὴ καὶ ἄγονε.

Νόμον Θεοῦ ἠθέτησα, ὁ ἀσυνείδητος, καὶ μέλλω κατακρίνεσθαι, καὶ τί ποιήσω οὐκ ἐπίσταμαι. Κριτὰ Δικαιότατε, οἰκτειρον σῶσόν με τῇ εὐσπλαγχνίᾳ σου.

Ἀνατολὴ φιλάνθρωπε, ὑπάρχων ἀνατολῶν, ἀνάτειλόν μοι δέομαι δικαιοσύνης φῶς, ἐξαίρων με παθῶν ἀμαυρώσεως, καὶ σκότους κολάσεων Πολυέλεε.

Τοῦ νοητοῦ οἰκήτορες, ξύλα κατάκαρπα, τοῦ Παραδείσου Μάρτυρες, πηγαὶ τὸ θεῖον ὕδωρ ἔχουσαι, κρατῆρες προχέοντες, τὸ πόμα τὸ ἅγιον ἀνεδείχθητε.

Θεοτοκίον.

Παρθενομῆτορ Ἄχραντε, μετανοοῦντας ἡμᾶς, καὶ τῷ Χριστῷ προστρέχοντας, καὶ τῶν πταισμάτων λύσιν θέλοντας, λαβεῖν τοῦτον ἵλεων, τοῖς πᾶσιν ἀπέργασαι πάντων Δέσποινα.

Ἄλλος. Ὁ ἐκ μὴ ὄντων τὰ πάντα.

Φωνὴ τοῦ Λόγου γενόμενος Βαπτιστὰ, φωνὰς τῶν τιμώντων σε, πρὸς αὐτὸν νῦν κατεύθυνον, καὶ πταισμάτων ἄφεσιν, τῇ μεσιτείᾳ ἡμῖν τῇ σῇ παράσχου.

Ἡμάρτηκά σοι ἠνόμησα καὶ δεινῶς, Σωτὴρ ἐπλημμέλησα, καὶ ψυχὴν κατερρύπωσα. Διὰ τοῦτο δέομαι, διὰ τοῦ σοῦ Βαπτιστοῦ οἰκτείρησόν με.

Ἐν

Ἐν ἐρημίᾳ πλανώμενον ἠδονῶν, ἐρήμου τὸ θρέμμα σε, ὁδηγόν τε τοῦ νέου λαοῦ, ἱκετεύω Πρόδρομε, πρὸς μετανοίας ὁδὸν ὁδήγησόν με. Θεοτοκίον.

Σὺν Ἀποστόλοις Προφήταις Ἱερουργοῖς, σὺν Μάρτυσιν Ἀχραντε, σὺν ταῖς ἄνω δυνάμεσι, τῷ Υἱῷ σου πρέσβευε, τοῦ οἰκτειρῆσαι ἡμᾶς, τοὺς σὲ ὑμνοῦντας.

Ὠδὴ Δ'. Τὸ κατάσκιον ὄρος ὁ Ἀβακούμ.

Ὁ πηγάσας ἐκ πέτρας ὕδωρ πάλαι λαῷ ἀπειθοῦντι Χριστέ, καὶ ἀντιλέγοντι ὕδωρ τῆς δίψης ἴαμα, ἐκ τῆς ἀνίκμου ψυχῆς μου ὁ Θεὸς κατανύξεως σταγόνας, ἐκπλυνούσας με βλύσον.

Ἰατρὲ τῶν νοσούντων, τὰ τῆς καρδίας μου πάθη, ἰάτρευσον εὐσπλάγχνῳ ῥοπῇ, τῆς μετανοίας φάρμακα, προσεπιπλάττων ὡς ἀγαθὸς, δωρούμενός μοι ῥῶσιν τὴν ψυχικὴν ὡς οἰκτίρμων.

Συμπαθείας Ἀθλοφόροι, τῆς πρὸς τὸ σῶμα φιλίας, ἀποζευγνύντες τὸν λογισμόν, τοῖς τιμωρεῖν ἐθέλουσι, παραδεδώκατε ἑαυτοὺς, ὅπως γνήσιοι τοῦ Κτίστου χρηματίζητε φίλοι. Θεοτοκ.

Πολυώνυμε Κόρη χαῖρε, ἐξ ἧς ὁ Λόγος ἐτέχθη, ἀλογίας ἡμᾶς λύων ἀτόπων πράξεων. Χαῖρε Νεφέλη φωτεινὴ, ἡ σκεδάζουσα τὰ νέφη τῆς ἡμῶν ἀθυμίας.

Ἄλλος. Ἔθου πρός ἡμᾶς.

Λόγου σε φωνὴν τοῦ σαρκὶ φανέντος ὑπάρχουσαν, Πρόδρομε Κυρίου δυσωπῶ, ἀλογωτάτων ῥῦσαι πράξεων, τὸν λόγοις τιμῶντά σε, καὶ κατὰ χρέος πίστει μακαρίζοντα.

Στέναξον ψυχὴ, καὶ Θεῷ τῷ Κτίστῃ σου βόησον, ἥμαρτον ἱλάσθητι Χριστὲ, καὶ φοβερᾶς με ὀδύσαι κολάσεως, κινδύνων καὶ ὀλίψεων, ταῖς τοῦ Προδρόμου θείαις παρακλήσεσι.

Κύμασι πολλοῖς, χαλεπῶν παθῶν βυθιζόμενον, καὶ κλυδωνιζόμενον, δεινῶς, καὶ συνεχῶς ἀεὶ βυθιζόμενον, Βαπτιστὰ ἐξάρπασον, καὶ Σωτηρίας ὅρμῳ καθοδήγησον. Θεοτοκίον.

Μήτηρ τοῦ Θεοῦ, Σεραφὶμ ὑπέρτερον ὄχημα, μετὰ τῶν ἀΰλων Λειτουργῶν, μετὰ ἁγίων ἁπάντων ἱκέτευε, Χριστὸν ὃν ἐκύησας, ἀπεγνωσμένον σῶσαί με Πανάμωμε.

Ὠδὴ Ε'. Ὀρθρίζοντες ἀνυμνοῦμέν σε.

Ραντίσας με μετανοίας ὑσσώπῳ, κάθαρον ῥύπου τῶν παθῶν, ἵνα ὀρθῶ σοι καθαρῶς, ὅταν μέλλῃς Ἰησοῦ, κρῖναι τὰ σύμπαντα, τῇ δικαίᾳ σου κρίσει.

Οἱ μώλωπες συνεσάπησαν Λόγε, τῆς παναθλίας μου ψυχῆς. Ἰατρὲ τῶν ἀσθενῶν, καὶ Δοτὴρ τῶν ἀγαθῶν, ἴασαι σῶσόν με, διὰ πλῆθος ἐλέους.

Μαρτυ-

Μαρτυρικόν.

Χεόμενον τῶν ἁγίων τὸ αἷμα, πᾶσαν ἡγίασε τὴν γῆν, καὶ κατήρδευσε ψυχὰς, καὶ ἐξήρανε σαφῶς, τῆς ματαιότητος, θολεροὺς τοὺς χειμάῤῥους. Θεοτοκίον.

Τῷ τόκῳ σου ἀπεστείρωσας Κόρη, τὴν τοῦ Προπάτορος ἀράν, καὶ ἐπήγασας ἡμῖν εὐλογίας ποταμοὺς, τοῖς εὐλογοῦσί σε, καὶ δοξάζουσι πίστει.

Ἄλλος. Ἐπὶ τῆς γῆς.

Ἐπὶ τῆς γῆς ὥσπερ Ἄγγελος Μάκαρ, ἐπολιτεύσω σαφῶς μετὰ σαρκὸς, διό σου δέομαι, σαρκικοῦ φρονήματος, τὴν ψυχήν μου ἐλευθέρωσον.

Τὸν εἰς βυθὸν ἁμαρτίας πεσόντα, καὶ ἡδοναῖς τὴν ψυχὴν μολυνθέντα, καὶ κινδυνεύοντα, τοῦ Κυρίου Πρόδρομε, προσφυγόντα σοι διάσωσον.

Σὺ Προφητῶν περισσότερος ὤφθης. Καὶ γὰρ αὐτὸν ἐθεάσω, Προφῆτα τὸν κηρυττόμενον, ὃν ἀπαύστως αἴτησαι, τοῦ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Θεοτοκίον.

Τῶν Οὐρανῶν πλατυτέρα σὺ ὤφθης, ὡς ἀληθῶς Θεοτόκε Παρθένε Θεοχαρίτωτε, τῆς στενοχωρούσης με ἁμαρτίας ἐλευθέρωσον.

Ὠδὴ ς'. Βυθός μοι τῶν παθῶν.

Ἡμβλύνθην ἁμαρτίας ὁμίχλῃ, καὶ κεῖμαι ἀνενέργητος ὅλος. Ὁ πληγωθεὶς δι' ἐμὲ λόγχῃ ποτὲ Χριστὲ ὁ Θεὸς, οἰκτείρησόν με σῇ εὐσπλαγχνίᾳ.

Στενάζω, καὶ κακοῖς ἐπιμένω, δακρύω, καὶ τὴν κρίσιν οὐ φρίττω, ἀναισθησίαν νοσῶν, Λόγε Θεοῦ οἰκτείρησόν με, καὶ σῶσον τοῖς ἀγαθοῖς κρίμασί σου.

Ὡς ἄρνες οὐκ ἐρίζοντες ὅλως, οὐ λόγον, οὐ φωνὴν ἀφιέντες, πανευκλεεῖς Ἀθληταὶ πρὸς τὴν σφαγὴν, καὶ τοὺς αἰκισμοὺς προσήγεσθε, τὸν Χριστὸν ἀνυμνοῦντες.

Θεοτοκίον.

Ἡ θύρα τῶν πιστῶς σωζομένων, ἡ πύλη ἣν διώδευσε μόνος, ὁ σαρκωθεὶς δι' ἡμᾶς, πύλας ἡμῖν δικαισσύνης, ὑπάνοιξον τοῖς πιστῶς σε ὑμνοῦσι.

Ἄλλος. Ἄβυσσος ἐσχάτη ἁμαρτιῶν.

Ὕδατι χειμάῤῥουν τὸν τῆς τρυφῆς, ὑποχλιθέντα, τῇ χειρί σου ἐβάπτισας. Ἀλλ' αὐτὸν ἱκέτευε, καταπέμψαι μοι ὕδωρ, σοφὲ καταγνύξεως, τῷ πολλὰ πλημμελήσαντι.

Ἄβυσσον ἐλέους ἐν ποταμῷ, Προφῆτα λούεις, ὑπερῷα τοῖς ὕδασιν, Οὐρανοὺς στεγάζοντα, Ἰησοῦν τὸν φιλάνθρωπον, ὃν δυσώπησον, ἐπομβρῆσαί μοι ἄφεσιν.

Ἤγγικεν ἡ Βασιλεία τῶν οὐρανῶν, μετανοεῖτε, ἀνεκραύγαζες Πρόδρομε· ἧς τυχεῖν ἀξίωσον, τοὺς πόθῳ σε γεραίροντας, καὶ τῇ σκέπῃ σου, τῇ σεπτῇ καταφεύγοντας. Θεοτοκίον.

Ἄχραντε ἡ σάρκα τῷ Πλαστουργῷ

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

γῷ ἀνεισαμένη, σὺν ταῖς ἄνω Δυνάμεσι, σὺν Προφήταις ἅπασιν Ἀποστόλοις καὶ Μάρτυσι, τοῦτον πρέσβευε, οἰκτειρῆσαι καὶ σῶσαί με.

Ὠδὴ Ζ'. Ὁ τὴν φλόγα δροσίσας.

Ἐγυμνώθην χιτῶνα ἀφθαρσίας. Ἐνεδύθην δὲ ἔργα ἀτιμίας. Διὸ βοῶ σοι Οἰκτίρμων Θεὲ ἀρετῶν στολαῖς με καταφαίδρυνον.

Ὀφθαλμοῖς ἀκολάστοις ἐσπιλώθην· ἐπαφῇ ἀκρασίας ἐρρυπώθην, καὶ ἐβδελύχθην ἐνώπιόν σου Ἰησοῦ, ὡς τὸν ἄσωτον δέξαι με.

Μαρτυρικόν.

Λαμπρυνθέντες τῇ αἴγλῃ τῶν βασάνων, ἀπηστράψατε πλέον τοῦ Ἡλίου, καὶ πάντα ζόφον τῆς ἀθείας ἐδιώξατε, Ἅγιοι Μάρτυρες. Θεοτοκίον.

Ὡς τὸν πάντων τεκοῦσα συνοχέα, τοῦ συνέχοντος ζόφου τῆς ἀγνοίας, καὶ ἁμαρτίας ἀπάλλαξόν με, Ἁγνὴ Ἀειπάρθενε.

Ἄλλος. Τρεῖς παῖδες ἐν καμίνῳ.

Ὁ λύχνος τοῦ Ἡλίου, τὴν ψυχήν μου καταύγασον, ἐσβεσμένην ῥαθυμίᾳ καὶ τυφλώττουσαν, μετανοίας πρὸς τρίβους, καθοδηγῶν με Βαπτιστὰ Κυρίου Πρόδρομε.

Τῆς κρίσεως τὴν ὥραν, ἐννοῶν ὅλος δέδοικα, περικείμενος πληθὺν ἀτόπων πράξεων, Βαπτιστὰ τοῦ Σωτῆρος· πρόστηθι ῥῦσαί με πυρὸς ἀποκειμένου μοι.

Προστάτα τῆς ζωῆς μου, ἀντιλήπτωρ μου Πρόδρομε, ἐξ ἐχθρῶν μου ἀοράτων ὁρωμένων τε, περιφύλαττε σκέπε, καὶ Βασιλείας οὐρανῶν μέτοχον ποίησον.

Θεοτοκίον.

Παρθένε Θεοτόκε, τὸν Υἱόν σου ἱκέτευε, σὺν Προφήταις Ἀποστόλοις τε καὶ Μάρτυσι, τῆς μελλούσης ἀνάγκης, ἀπολυτρώσασθαι ἡμᾶς τοὺς σὲ τιμῶντας ἀεί.

Ὠδὴ Η'. Τὸν ὑπ' Ἀγγέλων.

Ὅτι τὸν φόβον σου οὐκ ἔχω, ἐνοικοῦντα τῇ καρδίᾳ μου, πᾶσαν ἐτέλεσα σαρκὸς, ἁμαρτίαν ὁ ἀσυνείδητος, καὶ τρέμω σου τὴν δίκην Παμβασιλεῦ· μή με βδελύξῃ νυνὶ μεταγνόντα.

Γῆς με Ἁγίας ἐπιβῆναι, Πολυέλεε ἀξίωσον, ἣν κατοικοῦσιν οἱ πρᾳεῖς, μετανοίᾳ ἀποπλύνας με γηίνης ἁμαρτίας, ὁ ἐπὶ γῆς ἀναμαρτήτως, γεννηθεὶς ἐκ Παρθένου.

Μαρτυρικόν.

Ἐν τῷ οἰκείῳ ὑμῶν αἵματι, κατεβάφησαν οἱ πόδες ὑμῶν, ὑποσκελίζοντες ἐχθροὺς, καὶ πορείαν τὴν Οὐράνιον, ποιούμενοι ὁσίως, Πανευκλεεῖς Χριστοῦ, τοῦ πάντων Θεοῦ Ἀθλοφόροι. Θεοτοκ.

Τοῦ Ἰακὼβ τὴν καλλονὴν, ὃ ὡραῖος κάλλει Κύριος ἠγαπηκώς σου, τὴν νηδὺν Παναμώμητε, κατῴκησεν ἀνθρώπων, τὴν οὐσίαν ταῖς καλλοναῖς φαιδρύνων, τῶν ὑπὲρ νοῦν δωρημάτων.

Ἄλλος. Ἀστέκτῳ πυρὶ ἐνωθέντες.

Ἀμνὸν τοῦ Θεοῦ κηρύξας, τὸν

τὰς

τὰς ἁμαρτίας τῶν ἀνθρώπων ἀφαιροῦντα, Ἰωάννῃ Θεῖε Προφῆτα, τοῦτον ἐκδυσώπησον, τὸ φορτίον λῦσαι τῶν ἁμαρτημάτων μου, καὶ τῶν σωζομένων μερίδος ἀξιῶσαι.

Καμίνου φλογὸς καιομένης, σκότους ἀφεγγοῦς τε ἐξωτέρου λύτρωσαί με, τὸν ἐν σκότει πονηρῶν ἔργων, ὅλον συνεχόμενον, δυσωπῶ σε Λόγε τοῦ Θεοῦ προάναρχε, διὰ τοῦ ἐνδόξου καὶ Θείου Βαπτιστοῦ σου.

Ἐρήμοις ψυχαῖς χερσωθείσαις, διὰ μετανοίας εὐκαρπίαν ὁ κηρύξας, τοῦ Κυρίου Θεῖε Προφῆτα, ἀκανθηφορήσασαν, τὴν ψυχήν μου πάσαις ἡδοναῖς καθάρισον, ὅπως ἐκβλαστήσω ἀγαθῶν ἔργων στάχυν. Θεοτοκίον.

Ὡς Μήτηρ Θεοῦ ἐκδυσώπει, μετὰ τῶν Ἁγίων Ἀγγέλων Προφητῶν τε Ἀποστόλων καὶ τῶν Μαρτύρων, κινδύνων καὶ θλίψεων, καὶ μελλούσης πάντας κολάσεως ῥύσασθαι, τοὺς σὲ Θεοτόκον ἀεὶ ὁμολογοῦντας.

Ὠδὴ Θ'. Εὐλογητὸς Κύριος.

Ἰδοὺ καιρὸς εὐπρόσδεκτος, καὶ ἡμέρα ἱλασμοῦ· ἐπιστρέψαι θέλησον λοιπόν, ὦ ψυχή, ποιοῦσα καρπὸν μετανοίας· μὴ ἄκαρπόν σε εὕρῃ, θανάτου ἀξίνη φοβερά, καὶ ὡς συκῆν τὴν πάλαι, ἐκτεμοῦσα τῷ πυρί, τῷ ἐκεῖθεν πέμψῃ.

Ὡς ὁ ποτὲ πλούσιος, ἐπαγάλλομαι τρυφαῖς, ἀσπλαγχνίαν ἔχων πρὸς τὸν πέλας πολλήν, καὶ πῦρ δειλιῶ τὸ ἀκοίμητον· δὸς μου τὴν λιθώδη, ἀπόπλυνον Δέσποτα ψυχήν, ὅπως κἂν ἐπὶ τέλους, εὐσπλαγχνίᾳ λαμπρυνθῶ, ὁ ἐσκοτισμένος.

Μαρτυρικόν.

Σημειωθέντες αἵματι, Θεῖοι Μάρτυρες Χριστοῦ, ἐν σημείοις πίστει ἐναθλοῦντες στερρῶς, ἀπίστους ἐχθροὺς ἐτροπώσασθε, καὶ πλάνης ἀνιέρου, πολλοὺς ἀφηρπάσατε λαούς, μεταβολαῖς ἐνθέοις, λαμπρυνθέντες τῷ φωτί, τῆς θεογνωσίας. Θεοτοκ.

Φωτοειδῆ Νεφέλην σε ὁ Προφήτης προορᾷ, ἐξ ἧς μέγας Ἥλιος ἐπέφανεν ἡμῖν, Χριστὸς ὁ Θεὸς καὶ ἐφώτισε, τὰ πρὶν ἐσκοτισμένα· αὐτὸν οὖν δυσώπει Ἀγαθή, τὰ τῶν παθῶν μου νέφη, ἐκδιῶξαι καὶ φωτί, θείῳ φαιδρυνθῆναι.

Ἄλλος. Ἐν νόμῳ σκιᾷ καὶ γράμματι.

Ἐκ νόμου σκιᾶς προκύψας, τὴν αἴγλην τῆς θείας χάριτος, πλουσίως ἐθεάσω, τὰ τῆς γῆς πληρώματα Σοφέ, φωταγωγοῦσαν καὶ σκότος, ἀποδιώκουσαν, τῆς ἀγνωσίας Προφῆτα, διὰ τοῦτό σε γεραίρομεν.

Ὡς Μάρτυς Χριστοῦ, ὡς Θεῖος Βαπτιστής, ὡς μετανοίας λαμπτήρ, ὡς ὄρθρος εὐσεβείας, παλαιᾶς μεσίτης καὶ καινῆς, παλαιωθεῖσαν κακίᾳ, τὴν ταπεινήν μου ψυχήν, δι' ἐπιγνώσεως θείας, καινουργήσας φωταγώγησον.

Ἐν ὥρᾳ φρικτῇ, ἐν ὥρᾳ φοβερᾷ, ἐν ὥρᾳ δίκης Σοφέ, κρινόμενόν με ῥῦσαι, ἀπειλῆς μενούσης με ἐκεῖ, καθυπακούοντα ἔχων τῶν σῶν δεήσεων, οἷά περ φίλος νυμφίον, τὸν Σωτῆρα τῶν ψυχῶν ἡμῶν. Θεοτοκίον.

Ὡς Μήτηρ Θεοῦ, ὡς Μήτηρ τοῦ ἐκ σοῦ τεχθέντος Λόγου Θεοῦ, μετὰ τῶν Ἀσωμάτων, Ἀποστόλων τε καὶ Προφητῶν, Ἱεραρχῶν καὶ Μαρτύρων, τοῦτον δυσώπει ἀεί, τοῦ εἰρηνεῦσαι τὸν Κόσμον, Παναγία Μητροπάρθενε.

Εἰς τὸν στίχον τῶν Αἴνων, Στιχηρὰ κατανυκτικά.

Τὸν διεσπαρμένον μου νοῦν συνάγαγε Κύριε, καὶ τὴν χερσωθεῖσάν μου καρδίαν καθάρισον, ὡς τῷ Πέτρῳ διδούς μοι μετάνοιαν, ὡς τῷ Τελώνῃ στεναγμόν, καὶ ὡς τῇ Πόρνῃ δάκρυα, ἵνα μεγάλῃ τῇ φωνῇ κραυγάζω σοι, Ὁ Θεός σῶσόν με, ὡς μόνος εὔσπλαγχνος καὶ Φιλάνθρωπος.

Πολλάκις τὴν ὑμνῳδίαν ἐκτελῶν, εὑρέθην τὴν ἁμαρτίαν ἐκπληρῶν, τῇ μὲν γλώττῃ ἄσματα φθεγγόμενος, τῇ δὲ ψυχῇ ἄτοπα λογιζόμενος· ἀλλ' ἑκάτερα διόρθωσον, Χριστὲ ὁ Θεός, διὰ τῆς μετανοίας καὶ σῶσόν με.

Μαρτυρικόν.

Βασιλέων καὶ Τυράννων τὸν φόβον, ἀπώσαντο οἱ Χριστοῦ Στρατιῶται, καὶ εὐθαρσῶς καὶ ἀνδρείως αὐτὸν, ὡμολόγησαν τῶν ἁπάντων Κύριον, Θεὸν καὶ βασιλέα, καὶ πρεσβεύουσιν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα, καὶ νῦν Θεοτοκίον·

Ἀσπόρως συνέλαβες ἐκ Πνεύματος Ἁγίου, καὶ δοξολογοῦντες ἐκβοῶμέν σοι, χαῖρε, Παναγία Παρθένε.

Τῇ Γ'. Μακαρισμοί.

Ἀθετήσαντα Χριστὲ τὴν ἐντολήν σου τὸν προπάτορα Ἀδάμ, τοῦ Παραδείσου ἐξώρισας, τὸν δὲ Λῃστὴν οἰκτίρμον, ὁμολογήσαντά σε ἐν σταυρῷ, ἐν αὐτῷ εἰσώκησας κράζοντα, Μνήσθητί μου σωτὴρ ἐν τῇ βασιλείᾳ σου.

Ταῖς τοῦ βίου ἡδοναῖς, ἐσπιλωμένη, κεκτημένος τὴν ψυχήν, τοῖς οἰκτιρμοῖς σου προσέρχομαι, κατεγνωσμένος· ὅλος καὶ ἠττημένος κράζω σοι, Σωτὴρ, τῷ εἰδότι μόνῳ τὰ κρύφια, κάθαρόν με τῇ σῇ εὐσπλαγχνίᾳ Χριστέ.

Ὡς μεσίτης παλαιᾶς, καὶ τῆς καινῆς, γενόμενος, θεῖε Βαπτιστά, παλαιωθέντα με πταίσμασι ἀνακαινίσας δίδου, σαῖς ἱκεσίαις βαίνειν ἀσφαλῶς, πρὸς μετανοίας τρίβους πανεύφημε, εἰσαγούσας καλῶς, πρὸς βασιλείαν Χριστοῦ.

Μαρτυρικόν.

Τὸν ἀγῶνα τὸν καλὸν ἀγωνισάμενοι γενναῖοι ἀθληταί, μυρίους πόνους ἠνέγκατε, καὶ διὰ τοῦτο πάντα πόνον κουφίζετε διηνεκῶς, καὶ Πνευμάτων λώβην διώκετε· ὅθεν πίστει ἡμᾶς, ἅγιοι δοξάζομεν.

Δόξα.

ς καὶ ζωὴ καὶ παντουργός, ἡ Τρισυπόστατος Μονάς, ὡς ἀληθῶς ὑπάρχει, ἣν περ δοξάζομεν. Πατὴρ γὰρ Υἱὸς καὶ Πνεῦμα, ἡ ἐνιαία καὶ συνεκτική, τῶν ἁπάντων Δεσπότης καὶ Κύριος, εἷς Θεὸς ἐν τρισὶ, προσώποις γνωρίζεται. Καὶ νῦν. Θεοτοκίον.

Ἁμαρτάνοντα ἀεὶ, καὶ παροργίζοντα Θεὸν τὸν ἀγαθὸν, Παρθενομῆτορ οἰκτείρησον· καὶ μετανοίας τρόποις, ὡς ἀγαθὴ βελτίωσον ἀγνὴ, ὅπως τὰς μελλούσας κολάσεις ἐκφεύξωμαι, ἀνυμνῶν ἐκτενῶς, Κόρη τὴν πρεσβείαν σου.

ΚΑΝΩΝ ΤΗΣ ΘΕΟΤΟΚΟΥ.

Τῇ Τετάρτῃ, Ἦχος δ'.

Ὠιδὴ ά. Θαλάσσης τὸ ἐρυθραῖον.

Ὁ τείνας τὸν Οὐρανὸν ἐξέτεινας, ἐπὶ Σταυροῦ Ἰησοῦ, τὰς σὰς παλάμας ἑθνη τὰ μακραν, ἀπὸ σοῦ χρηματίσαντα, ὡς ἀγαθός, καὶ εὐσπλαγχνος, περιφανῶς ἀγκαλιζόμενος.

Σταυρῷ με τῷ σῷ Χριστέ μου τείχισον, ὅπως μὴ γένωμαι, θήραμα λύκου Λόγε, τὴν ἐμὴν ἐκζητοῦντος ἀπώλειαν, καὶ καθ' ἑκάστην λόχους μοι, καὶ τὰς ἐνέδρας ἑτοιμάζοντος.

Μαρτυρικά.

Τοῖς πόνοις πόνου παντὸς τὸν πρόξενον, κατηδαφίσατε, καὶ νῦν κληροῦσθε ἄπονον ζωὴν, πάντα πόνον κουφίζοντες, ἐκ τῶν ψυχῶν

Ρομφαῖαι τοῦ ὑσμενοῦς, σοῦ λογχευθέντος τὴν πλευρὰν ἠμβλύνται, καὶ ἡ Ἐδὲμ ᾤκισται, Λόγε τοῦ Πατρὸς ἐνυπόστατε.

Οἱ πύρινοι ποταμοί, τοὺς τῆς ἀπάτης ποταμοὺς ἔπαυσαν, καὶ τὴν πυρὰν ἔσβεσαν, τῆς πολυθείας οἱ Μάρτυρες.

Σταυρούμενοι καὶ εἰς γῆν, τυμπανιζόμενοι Χριστοῦ Μάρτυρες, τὸν ὑσμενῆ δράκοντα, ξίφει καρτερίας ἐσφάξατε. Σταυροθεοτ.

Ἡ ἄμωμός σε Ἀμνάς, ἀναρτηθέντα ἐν Σταυρῷ βλέπουσα, ὀδυνηρῶς Δέσποτα, ἔκλαιεν ὑμνοῦσα τὸ κράτος σου.

Ἄλλος. Οὐκ ἐν σοφια.

Τὴν ἀνωτέραν, Χερουβὶμ ἱκετεύω σε Δέσποινα, συμπτωθέντα μου τὸν νοῦν, τοῖς ἐπηρείαις τοῦ Ὄφεως, παθῶν τῶν τοῦ σώματος θεῖξον ἀνώτερον.

Ἐν τῇ ἐτάσει, τῇ φρικτῇ ὅταν μέλλῃ με Κύριος, κατακρῖναι τὸν πολλὰ, ἡμαρτηκότα Πανάμωμε, εὔρω ῥυομένην σε, τῆς κατοδίκης με.

Τοῖς Οἰκτιρμοῖς σου, τοὺς ἀσπλάγχνους μου τρόπους μετάβαλε, συμπαθείᾳ σου Χριστὲ, ἀσυμπαθῆ με ὑπάρχοντα, σῶσον παρακλήσεσι, τῆς κυησάσης σε.

Ὠδὴ Δ'. Ἐπαρθένια σε ἰδοῦσα.

Ἐπαρθένια σε ἐν ξύλῳ ἐθελουσίως, κατανοῶν ὁ Ἥλιος, Ἥλιε τῆς δόξης, σκότους ἐνεδύσατο, καὶ πέτραι ἐρρήγνυντο, καὶ τὸ τοῦ Ναοῦ καταπέτασμα.

Σταυρουμένου σου, καὶ λόγχῃ ἐκκεντουμένου, ἡ στερφομένη Κύριε, ῥομφαία ἐδίδου, νῶτα τῇ κελεύσει σου, Λῃστῇ τῷ εὐγνώμονι, ἀνυμνολογοῦντι τὸ κράτος σου.

Μαρτυρικόν.

Τειχιζόμενοι τῷ ὅπλῳ τῷ τοῦ σταυροῦ σου, οἱ Ἀθλοφόροι Κύριε, ἀτρωτοι τῷ βέλει, τῆς κακίας ὤφθησαν, καὶ τείχη κατέστρεψαν, εἰδωλομανίας ἀνίδρυτα.

Ἱερεῖα ὥσπερ ἄμωμα καὶ θυσίαι, καὶ προσφοραὶ ὁλόκληροι, τῷ δι' εὐσπλαγχνίαν Μάρτυρες πτωχεύσαντι, Κυρίῳ προσίχθητε, πόνων ἀμοιβὰς κομιζόμενοι.

Σταυροθεοτοκίον.

Ἡ τὸν ἄχρονον ἐν χρόνῳ ἀποτεκοῦσα, καὶ Παρθενίαν ἄμωμον ἡ μόνη κεκτημένη, ξύλῳ ἀναρτώμενον, ὡς ἔγνως τὸν Κύριον, πόνοις τὴν ψυχὴν κατεμέριζες.

Τῆς Θεοτόκου. Ὁ αὐτός.

Ἁγιάσματος ὑπάρχουσα θεῖος οἶκος, τοῦ κενωθέντος Ἄχραντε ἐπ' εὐεργεσίᾳ, τοῦ ἰδίου πλάσματος, ψυχήν μου ἁγίασον, καὶ τὸν λογισμὸν ῥυταγώγησον.

Ῥιπιζόμενον τῷ λαίλαπι τῆς κακίας, τὸν λογισμόν μου Δέσποινα, καὶ τῇ ἀμελείᾳ, ὅλον θυθιζόμενον, πρεσβείαις σου στήριξον, καὶ τῶν συμπτωμάτων ἐξάρπασον.

Τὸ παλάτιον Παρθένε τοῦ Βα-

σι-

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

σιλέως, τὸν Οὐρανὸν τὸν ἔμψυχον· νῦν ἐκδυσωπῶ σε, οἶκον τῆς Τριάδος με, εὐχαῖς σου ἀνάδειξον, σπήλαιον λῃστῶν χρηματίσαντα.

Ὠδὴ Ε'. Σὺ Κύριέ μου φῶς.

Νυγείσης σου τῆς πλευρᾶς, ἀφθαρσίας προχέεις μοι, ὦ Δέσποτα θεῖα ῥεῖθρα, τῷ πλευρᾶς παραινέσει, εἰς ῥθοραν ὀλισθήσαντι.

Ο Τίμιος σταυρός, κατ' ἐχθρῶν ἐστι τρόπαιον, ὃν δέδωκας ἡμῖν Λόγε, εἰς ψυχῶν σωτηρίαν, τοῖς πίστει ἀνυμνοῦσί σε.

Μαρτυρικά.

Πυρίνοις οἱ θνητοί, λειτουργοῖς νῦν συνήφθησαν, πῦρ ἔνυλον διελθόντες, τῶν μεγίστων βασάνων ὡς Μάρτυρες ὑπέρλαμπροι.

Λυόμενον πολλοῖς, τὸ σαρκίον παθήμασι, τὴν ἄλυτον πρὸς τὸν Κτίστην, τῆς ψυχῆς ἐβεβαίου, τῶν Μαρτύρων διάθεσιν.

Σταυροθεοτοκίον.

Ο μόνος ἀγαθὸς, ὑποδὺς μήτραν ἄφθορον, σαρκούμενος καθωράθη, καὶ Σταυρούμενος ὅπως, φθορᾶς ἡμᾶς λυτρώσηται.

Τῆς Θεοτόκου. Ἀσεβεῖς οὐκ ὄψονται.

Η ἀμνὰς ἡ τέξασα, Ἀμνὸν τὸν τοῦ Θεοῦ, τὴν ἐμὴν ζώωσον ψυχὴν φαρμαχθεῖσαν ὀήγματι τῷ τοῦ Ὄφεως, καὶ εἰς ὀρη Δέσποινα, πλανωμένην παραβάσεως.

Τῇ θερμῇ πρεσβείᾳ σου, τῷ κράτει τῶν δεινῶν, πηγνυμένην μου τὴν ψυχὴν, εἰς θερμὴν τοῦ Κτίσαντος, θείαν ἀγάπησιν, εὐσεβῶς συγκίνησον, Θεοτόκε Παναμώμητε.

Η καλὴ καὶ ἄμωμος, ἀγνὴ ἐν γυναιξὶ, τὴν ταλαίπωρόν μου ψυχὴν, ἐμπαθοῦς μωμήσεως, νῦν ἐλευθέρωσον, καὶ ἁγνῶς διῶσαί με, μεσιτείαις σου εὐόδωσον.

Ὠδὴ ς'. Θύσω σοι μετὰ φωνῆς.

Ο πάσης, ἀνωτάτω τιμῆς ὢν ἐπέκεινα, ἀτιμασθῆναι ἠνέσχου, ὅπως με κακίστως ἀτιμασθέντα, καὶ τιμήσῃς καὶ Σταυρῷ διασώσῃς φιλάνθρωπε.

Νεκρὸς μὲν ἐχρημάτισας ξύλῳ ὑψούμενος, τὸν νεκρωτὴν δὲ εἰργάσω, καὶ νεκρὸν καὶ πάσης πεπληρωμένον, νῦν αἰσχύνης, Ποιητά μου ὑμνῶ σου τὴν δύναμιν.

Μαρτυρικά.

Ετρώθη, τῷ τιτρώσκειν ὑμᾶς ὁ παμπόνηρος, τοῖς ἀνεικέστοις βασάνοις, καὶ ποσὶν ὑμῶν καταβέβληται, καὶ ὁρᾶται, ὑπὸ πάντων γελώμενος Μάρτυρες.

Ιάσεις, ἀναβλύζει Μαρτύρων τὰ λείψανα, κόνις κειμένη ἐν τάφῳ, ὡσεὶ κόνιν δαίμονας διαλύει, καὶ ποικίλα, θεραπεύει σωμάτων νοσήματα. Σταυροθεοτοκ.

Ηλοις σε, ὁ παράνομος δῆμος προσήλωσε, καὶ λύπης νῦν τῇ

ὁμ-

νεύφημοι Ἀθληταί, ἐχωρίσθητε δεσμούμενοι, καὶ συντριβόμενοι, καὶ τὸν ἐχθρὸν ἀεὶ συμποδίζοντες.

Τείχη τῆς πλάνης, ἀναμοχλεύσει θείᾳ κατέαξαν, θείων παθημάτων ὄντως οἱ Ἀθληταί, καὶ πιστοῖς τεῖχος ἐδείχθησαν, καὶ φυλακτήριον, τοῖς εὐσεβῶς αὐτοὺς μακαρίζουσιν.

Σταυροθεοτοκίον.

Τὸν ἐν καμίνῳ, δρόσον ὀφθέντα Χριστὸν τὸν Θεὸν, Κόρη μηδαμῶς δὲ φλέξαντα τὴν σὴν βλέπουσα κρεμάμενον, ξύλῳ ἐδόξαζες, τὴν ὑπὲρ νοῦν αὐτοῦ συγκατάβασιν. Ὁ αὐτός.

Τὸ θεῖον ὄρος, ἐξ οὗ ὁ λίθος τέτμηται, Κόρη ὁ συντρίψας στήλας δαιμονικὰς, τῆς ψυχῆς μου τὰ ἐνδάλματα, καὶ τῆς καρδίας μου, τὴν λιθώδη ἀπέλασον πώρωσιν.

Οὐκ ἐσαλεύθης, ὡς δεξαμένη ἐν τῇ μήτρᾳ σου, Κόρη τὸν προσβλέψει γῆν καὶ τὰ ἐν αὐτῇ, ὅτε βούλεται σαλεύοντα, διό με στήριξον, ταῖς προσβολαῖς ἐχθροῦ σαλευόμενον.

Καταβαλοῦσα, τὰ σαρκικά μου φρονήματα, ὅλον Θεοτόκε δεῖξον Πνευματικόν, ἀρεταῖς κατακοσμοῦσά με, ὃν ὁ παμπόνηρος, ἡδονῶν ἀκοσμίᾳ ἠμαύρωσεν.

Ὠδὴ Π'. Χεῖρας ἐκπετάσας Δανιήλ.

Ἥπλωσας παλάμας ἐν Σταυρῷ, χειρὸς ἁμάρτημα, ἀκρατοῦς Δε-

σποτα, θέλων ἰάσασθαι ἥλοις δὲ, προσηλώθης ἅπαν νόσημα, τοῦ Πρωτοπλάστου ἐξελών, ἐμπαθὲς Κύριε, μελῳδοῦντος, πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Ῥήγνυται χειρόγραφον τῆς σῆς, νυγείσης θείας πλευρᾶς, τοῦ Πρωτοπλάστου Ἀδάμ. Ῥανίσιν αἵματος Δέσποτα, ἁγιάζεται ἡ σύμπασα, εὐχαριστίας ἐν φωναῖς, ἀεὶ κραυγάζουσα, Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἰσαντο ἐν μέσῳ τοῦ πυρὸς, ὡς δροσιζόμενοι, οὐ φλογιζόμενοι, οἱ Παναοίδιμοι Μάρτυρες, καὶ τῶν Παίδων ἀναμέλποντες, ἐν συμφωνίᾳ μυστικῇ, τὴν θείαν ὄντως ᾠδὴν, Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἀνύσταχτον φέροντες πυρσὸν, τῆς προαιρέσεως, σκότει κολάσεων, οὐ παρετράπητε Μάρτυρες, ἀλλ' ἐνθέως δυναμούμενοι, ἐπανεδράμετε πρὸς φῶς, βοῶντες ἄδυτον, Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον. Σταυροθ.

Νεκρούμενον βλέπουσα Χριστὸν, καὶ τὸν νεκρώσαντα, βροτοὺς νεκροῦντα ἐχθρὸν, ἡ πολυύμνητος Δέσποινα, ὡς Δεσπότην ὕμνει κλαίουσα, καὶ τὸ μακρόθυμον αὐτοῦ ἀποθαυμάζουσα, ἀνεβόα, Πάντα τὰ ἔργα, ὑμνεῖτε τὸν Κύριον.

Ὁ αὐτός.

Ὡριμον ἐκύησας καρπὸν, ἐξ οὗ ὁ θάνατος, φαγὼν ἀπώλετο, διὸ κραυγάζω σοι Δέσποινα, τῷ καρπῷ τῆς ἁμαρτίας με, θανατωθέντα ὀλερῶς, ζώωσον μέλποντα, Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Κοίμισον κινήσεις ἐμπαθεῖς, τῆς διανοίας μου, τῇ ἀκοιμήτῳ σου, πρεσβείᾳ Πάναγνε Δέσποινα, καὶ ἀνάστησον ἐξ ὕπνου με, τῆς ῥᾳθυμίας μελῳδεῖν ἐγρηγορώσῃ ψυχῇ, Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Οὐχ ἕξεις ταλαίπωρε ψυχὴ, ἐκεῖ συνήγορον, κατηγορούσης σου, τῆς φαύλης πράξεως ἄμετρα· διὰ τοῦτο μετανόησον, καὶ συνεργὸν πρὸς τὸ καλὸν, τὴν μόνην Ἀχραντον, προσλαμβάνου· μόνη γὰρ πέλει βροτῶν καταφύγιον.

Ὠδὴ Θ'. Λίθος ἀχειρότμητος Ὄρους.

Ἰδοὺ ἡ ζωὴ κρεμαμένη, ἐπὶ Σταυροῦ πᾶσιν ὡράθη. Ἥλιος δὲ τοῦτο μὴ φέρων, ἀκτῖνας παύει, καὶ γῆ σαλεύεται, καὶ λογισμοὶ στηρίζονται, ἐπ' εὐσεβείᾳ καὶ σεμνότητι.

Ὢ πῶς σὲ ὁ ἄνομος δῆμος, τὸν Νομοδότην κατακρίνει, ξύλῳ Ἰησοῦ μου τεθνᾶναι, ζωὴν τῶν ὅλων, ὄντα καὶ Κύριον, καὶ διὰ πάθους ἅπασι, βροτοῖς παρέχοντα ἀπάθειαν.

Μαρτυρικόν.

Στόμασιν ὑμῶν θεολόγοις, ἀνεκηρύξατε πανσόφως, σάρκωσιν τοῦ Λόγου ἐν μέσῳ, παρανομοῦντων ἐχθρῶν Πανεύφημοι, καὶ ἱε-

Δημόσιο Κεντρική Βιβλιοθήκη Αθηνών

γὰρ ἐλπίδα οἱ πιστοὶ οὐκ ἔχομεν, εἰμὴ σὲ τὸν ἐν αὐτῷ σαρκὶ προσηλωθέντα, καὶ παρέχοντα ἡμῖν τὸ μέγα ἔλεος.

Ἔδωκας σημείωσιν, τοῖς φοβουμένοις σε Κύριε, τὸν Σταυρόν σου τὸν τίμιον, ἐν ᾧ ἐθριάμβευσας, τὰς ἀρχὰς τοῦ σκότους, καὶ τὰς ἐξουσίας, καὶ ἐπανήγαγες ἡμᾶς, εἰς τὴν ἀρχαίαν μακαριότητα· διό σου τὴν φιλάνθρωπον, Οἰκονομίαν δοξάζομεν, Ἰησοῦ Παντοδύναμε, ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν. Μαρτυρικόν.

Πῶς ὑμῶν θαυμάσωμεν, τοὺς ἀγῶνας Ἅγιοι Μάρτυρες, ὅτι σῶμα θνητὸν περικείμενοι, τοὺς ἀσωμάτους ἐχθροὺς ἐτροπώσασθε; οὐκ ἐφόβησαν ὑμᾶς τῶν Τυράννων αἱ ἀπειλαί, οὐ κατέπτηξαν ὑμᾶς τῶν βασάνων αἱ προσβολαί· ὄντως ἀξίως παρὰ Χριστοῦ ἐδοξάσθητε, καὶ ταῖς ψυχαῖς ἡμῶν αἰτεῖσθε τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. Ὢ γενναίαν ἐν Μάρτυσιν.

Ἐν Σταυρῷ σε τεινόμενον, καὶ τοῖς ἥλοις πηγνύμενον, καὶ πλευράν τῇ λόγχῃ σε τιτρωσκόμενον, κατανοοῦσα ἡ Μήτηρ σου, θρηνοῦσα ἐκραύγαζεν, Οἴμοι Τέκνον ποθεινόν, πῶς σε δῆμος ὁ ἄνομος, ἐθανάτωσε, τὴν ζωὴν τοῖς ἐν Ἅδῃ χορηγοῦντα; ἀλλ' ἀνάστηθι συντόμως, χαροποιῶν οὓς ἠγάπησας.

Τῇ Δ'. Μακαρισμοί.

Διὰ ξύλου ὁ Ἀδάμ, Παραδείσου γέγονεν ἄποικος, διὰ ξύλου δὲ

Σταυροῦ, ὁ Λῃστὴς Παράδεισον ὤκησεν, ὁ μὲν γὰρ γευσάμενος, ἐντολὴν ἠθέτησε τοῦ ποιήσαντος, ὁ δὲ συσταυρούμενος, Θεὸν ὡμολόγησε τὸν κρυπτόμενον, Μνήσθητί μου βοῶν ἐν τῇ βασιλείᾳ σου.

Τοῦ Ποιμένος καὶ Ἀμνοῦ, λογικὰ ὑπάρχοντες θρέμματα, μέσον λύκων παρ' αὐτοῦ, ὡς ἀμνοί, σοφοὶ ἀπεστάλητε, τῷ θείῳ κηρύγματι, τὴν αὐτῶν μετάγοντες ἀγριότητα, πρὸς τὴν ἡμερότητα, τῆς πίστεως κράζοντες, ἀκλινεῖ λογισμῷ, Μνήσθητι καὶ ἡμῶν Σωτήρ, ἐν τῇ βασιλείᾳ σου.

Διελθόντες τὰ τῆς γῆς, Μαθηταὶ Κυρίου πληρώματα, ὡς ἀστέρες φαεινοί, τὸν σκοτασμὸν τῆς πλάνης ἐλύσατε, καὶ φέγγος σωτήριον τοῖς πεπλανημένοις ἐναπηστράψατε· διὸ μακαρίζομεν, ἡμᾶς χριστοκήρυκες ἐξαιτούμενοι, πρεσβεύειν ὑπὲρ ἡμῶν πάντοτε πρὸς Κύριον.

Μαρτυρικά.

Θανατούμενοι Σοφοί, καὶ πυρὶ ἐνύλῳ φλεγόμενοι, κατεφλέξατε πικρᾶς, πολυθείας ὕλην Μακάριοι· καὶ νῦν ἀναβλύζετε, ἰαμάτων ῥεῖθρα τοῖς προσπελάζουσι, ὑμῖν μετὰ πίστεως, θερμῶς ἀνακράζουσι καὶ βοῶσι Χριστῷ, Μνήσθητι καὶ ἡμῶν ἐν τῇ Βασιλείᾳ σου. Δόξα.

Ἀποσκοποῦντες λογισμῷ, διανοίας νήφοντες εἴπωμεν, τῷ ἐν Ὑψίστοις σὺν Πατρὶ, καθεζομένῳ ἅμα καὶ Πνεύματι· Τριὰς ἡ ἀχώριστος, ἡ τὸ πᾶν τῷ λόγῳ πρὶν ὑποστήσασα, καὶ πάντας φωτίζουσα, τοὺς πίστει σοι κράζοντας, Μνήσθητι καὶ ἡμῶν ἐν τῇ Βασιλείᾳ σου.

Καὶ νῦν. Θεοτοκίον.

Ἀποστόλων χαρμονὴ, καὶ Ἀθλοφόρων στέφος ἀμάραντον, χρηματίζεις ἀληθῶς, Θεογεννῆτορ, Κόρη πανάμωμε· μεθ' ὧν ἡμῖν αἴτησαι, τῶν πταισμάτων Δέσποινα ἀπολύτρωσιν, καὶ βίου διόρθωσιν, τοῖς πίστει αἰτοῦσί σε καὶ βοῶσί σοι· χαίροις παναληθῶς ἀγαθῶν θησαύρισμα.

ΚΑΝΩΝ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ.

Τῇ Πέμπτῃ ἦχος πλ. ά.

Ὠδὴ Α'. Ἵππον καὶ ἀναβάτην.

Ἐλλαμψιν πρωτοδότως τὴν φωτοδότιδα, τοῦ σαρκὶ ὁμιλῆσαι, βροτοῖς καταξιώσαντος, πλουτήσαντες ἔνδοξοι, τῆς ψυχῆς μου λύσατε, πάντα ζόφον θεῖοι Ἀπόστολοι.

Τείνας καθάπερ βέλη, τὸ θεῖον τόξον ὑμᾶς, εἰς τὸν σύμπαντα Κόσμον, ἀπέστειλεν Ἀπόστολοι, τὰ βέλη συντρίβοντας, τοῦ Βελίαρ ἅπαντα, καὶ ἰωμένους πιστῶν τὰ τραύματα.

Ἔχοντες τὴν Σοφίαν αὐτὴν διδάσκαλον, ἐσοφίσατε πάντα, Ἀπόστολοι τὰ πέρατα. Διό με φωτίσατε

σατε, τοῦ δυσμενοῦς ἅπασαν, κακουργίαν ἀποκρουόμενοι.

Μόνη εὐλογημένη Θεοχαρίτωτε, εὐλογίσις ἀνθρώπων, τὸ γένος χαριτώσασα, Χριστὸν καθικέτευε, σὺν τοῖς θείοις Ἀχραντε, Ἀποστόλοις ἐλεηθῆναι ἡμᾶς.

Τοῦ ἁγίου Νικολάου, παρὰ Ἰωσήφ.

Ἦπον καὶ ἀναβάτην.

Πίστει καὶ πόθῳ Πάτερ οἰκειωθεὶς τῷ Θεῷ, τὰ πανάγια τούτου, ἐπλήρωσας θελήματα. Δι' ὧν ἐχρημάτισας, κατὰ πάντα ἅγιος, Θεοφόρε Πάτερ Νικόλαε.

Ἐχοντές σε προστάτην πρὸς τὸν Οἰκτίρμονα, περιστάσεσι Μάκαρ, καὶ θλίψεσι κλονούμενοι, πρὸς σὲ καταφεύγομεν, δίδου χεῖρα σώζουσαν, ἀπὸ πάσης ἡμᾶς στενώσεως.

Μύρων Ἀρχιερέα Χριστός σε ἔχρισεν, εὐωδίαις Θαυμάτων ἡμᾶς εὐωδιάζοντα. Ὅθεν δυσωποῦμέν σε, δυσωδίας λύτρωσαι, ἁμαρτίας ἡμᾶς Νικόλαε.

Πάλαι τῶν Προφητῶν σε χορὸς ἐκάλεσεν, ὄρος θεῖον Παρθένε, καὶ πύλην ἀδιόδευτον. Ὅθεν δυσωποῦμεν, μετανοίας πύλας, Παρθενομῆτορ ἡμῖν ὑπάνοιξον.

Ὠδὴ Γ' Ὁ πήξας ἐπ' ὕδατος.

Ο σάρκα ὑπερβολῇ πτωχεύσας χρηστότητος, δι' αὐτῶν πτωχεύσαντας κατεπλούτισεν, ἔνδοξοι Ἀπόστολοι ὑμᾶς, χαρίσμασι παντοίοις, καταφωτίζοντας τὰ πέρατα, θείαις καὶ σεπταῖς ἐπιγνώσεσι.

Ἐπλήγην τῷ ἰοβόλῳ Ὄφεως δήγματι, καὶ τραυματισθεῖσαν καρδίαν κέκτημαι. Ὅθεν σοι βοῶ τῷ δι' ἐμὲ, Χριστὲ τραυματισθέντι, Τῶν Ἀποστόλων σου δεήσεσιν ἴασαι, καὶ σῶσόν με δέομαι.

Σαγήνῃ τῶν πρεσβειῶν ὑμῶν Παμμακάριστοι, ἐκ βυθοῦ κακίας τοῦ πολεμήτορος, καὶ ἐκ τρικυμίας λογισμῶν, παθῶν τε ψυχοφθόρων, ἀναγαγόντες με προσάξατε, τῷ Θεῷ τῶν ὅλων σωζόμενον.

Τὸν ὄμβρον δεξαμένη τὸν ἐπουράνιον, σὺν τοῖς Ἀποστόλοις τοῦτον ἱκέτευε, στῆσαί μου τοὺς ὄμβρους τῶν παθῶν, τὸ πέλαγος ξηρᾶναι τῆς ὁμαρτίας μου, καὶ σῶσαί με, τὸν εἰλικρινῶς σε δοξάζοντα. Ὁ αὐτός.

Τὰ βέλη τοῦ πονηροῦ ἀπήμβλυνας Ὅσιε, ταῖς ἀντιτυπίαις τῶν θείων πόνων σου. Ἀλλὰ ταῖς πρεσβείαις σου Σοφὲ, τῆς τούτου κακουργίας, καὶ ἐπηρείας διατήρησον, μέγιστε ἀτρώτους Νικόλαε.

Ο βίον Ἀγγελικὸν ἐν γῇ ἐνδειξάμενος, νῦν σὺν τοῖς Ἀγγέλοις ἀεὶ παρίστασαι, θρόνῳ τῆς Τριάδος ἱερῶς, ἡμῶν ἁμαρτημάτων, καὶ πειρασμῶν λύσιν αἰτούμενος, Πάτερ ἱεράρχα Νικόλαε.

Νοός μου τὰς ἀμαυρώσεις πάσας ἀπέλασον, σοῦ ταῖς σελα-

σφά-

Δημόσιο Κεντρική Βιβλιοθήκη Πάτρας

σφόροις εὐχαῖς Νικόλαε. Κόπασον τὸν σάλον τῶν παθῶν. Κυβέρνησόν με Πάτερ, πρὸς ἀπαθείας ὅρμον δέομαι, ὅπως ἐν αἰνέσει δοξάζω σε.

Θεοτοκίον.

Παρέστης ἐκ δεξιῶν Χριστοῦ ὡς Βασίλισσα, κροσσωτοῖς χρυσέοις Θεοχαρίτωτε, περιβεβλημένη ἀληθῶς, ἡμῖν τὴν Βασιλείαν, τῶν Οὐρανῶν τῇ μεσιτείᾳ σου, Κόρη προξενοῦσα πρεσβείαις σου.

Ὠδὴ Δ'. Τὴν θείαν ἐννοήσας σου.

Η θύρα Ἰησοῦς ὁ Θεὸς ἡμῶν, καθυπανοίξας τὴν αὐτοῦ τοῖς Ἀποστόλοις ἐπίγνωσιν, πᾶσι τοῖς ἔθνεσι θύραν, διήνοιξε τοῖς τούτων διδάγμασι.

Υἱὲ Θεοῦ, υἱοὺς κατὰ μέθεξιν, τοῦ οὐρανίου σου Πατρὸς, τοὺς Ἀποστόλους ἀνέδειξας, ταῖς παρακλήσεσι τούτων, υἱοὺς φωτὸς ἡμᾶς πάντας ποίησον.

Οἱ θρόνων ἐπὶ δώδεκα μέλλοντες, σὺν τῷ Κριτῇ καὶ Βασιλεῖ, δεδοξασμένως καθέζεσθαι, τῆς φοβερᾶς καὶ φρικτῆς με Ἀπόστολοι λυτρώσασθε κρίσεως.

Τοῦ θείου Κιβωτὲ ἁγιάσματος, ἁγίασόν μου τὴν ψυχὴν, τὸν λογισμὸν φωταγώγησον, διαπαντὸς δυσωποῦσα, Χριστὸν σὺν Ἀποστόλοις σωθῆναί με. Ὁ αὐτός.

Ρεόντων ἀντηλλάξω τὰ μέλλοντα, ὧν κληρονόμους καὶ ἡμᾶς, εὐχαῖς ἁγίαις σου ποίησον, πετρατηρίων παντοίων, λυτρούμενος τοῦ βίου Νικόλαε.

Ο Μύρων προεδρεύσας Νικόλαε, πάσας αἰσθήσεις τῆς ἐμῆς, καρδίας μύρισον Ἅγιε, παθη δυσώδη ἐκ ταύτης, εὐχαῖς σου ἐκδιώκων ἑκάστοτε.

Συντρίψας τοῦ ἐχθροῦ μηχανήματα, τοὺς ὁρατοὺς ἡμῶν ἐχθροὺς καὶ ἀοράτους Νικόλαε, διηνεκῶς πολεμοῦντας, τελείᾳ ἀφανίᾳ παράπεμψον. Θεοτοκίον.

Ἁγία Θεοτόκε βοήθει μοι, ταῖς ἡδοναῖς διηνεκῶς, βυθιζομένῳ τοῦ σώματος, καὶ ῥαθυμίας ἐν κλίνῃ ἀεὶ κατακειμένῳ καὶ στένοντι.

Ὠδὴ Ε'. Ὁ ἀναβαλλόμενος.

Οἱ πνευματορήτορες σοφοὶ Ἀπόστολοι, ἐν ὑπερῴῳ πυρὸς ἐν εἴδει, τὸ Πνεῦμα τὸ Ἅγιον, αὐτοῖς προσφοιτῆσαν, φρικτῶς καθυπεδέξαντο.

Βέλη ἐκλεκτὰ ὑμᾶς Χριστὸς ἀπέστειλε, συνθλῶντας βέλη τῆς πονηρίας. Διό με ἰάσασθε, τετραυματισμένον, τοῦ δυσμενοῦς τοῖς βέλεσι.

Οἱ καταστρεψάμενοι τῆς ἀσεβείας τὴν γῆν, καταστραφεῖσαν ταῖς πλημμελείαις, τὴν ἐμὴν διάνοιαν, δρόσῳ ἰαμάτων, Ἀπόστολοι ἰάσασθε. Θεοτοκίον.

Μὴ καταδικάσῃς με μὴ ἀπορρίψῃς με, τοῦ σοῦ προσώπου, ἐκδυσωπεῖ σε, ἡ ἀγνῶς τεκοῦσά σε, καὶ τῶν Ἀποστόλων, ὁ δῆμος Πολυέλεε.

Ξάνα

Ξόανα κατέαξας Εἰδώλων Ἅγιε, βουλὰς ἀπράκτους, αἱρετιζόντων, ἔδειξας Νικόλαε, καὶ ἀπαγομένους, πρὸς θάνατον ἐξήρπασας.

Ὀρθρισας πρὸς Κύριον ἐκ βρέφους Ὅσιε, καὶ ταῖς ἐκεῖθεν, φωτοχυσίαις, ὅλως κατηγλάϊσαι, διὸ τῆς ψυχῆς μου, τὰ νέφη ἀποδίωξον.

Σὲ καθικετεύομεν Πάτερ Νικόλαε, τῇ ὥρα ταύτῃ ἐν μέσῳ πάντων, γενοῦ τῶν καλούντων σε τὰ πρὸς σωτηρίαν, δίδους ἡμῖν αἰτήματα.

Θεοτοκίον.

Ὁ ἀπερινόητος Θεοχαρίτωτε, περιοχὴν σε, σωματοφόρος, γενόμενος ἔσχηκε, βροτοὺς ἀπαλλάττων, περιεχούσης θλίψεως.

Ὠδὴ ϛ'. Μαινομένην κλύδωνι.

Νεμομένην ἔστησας, τῆς κακίας σῆψιν τῶν Ἐθνῶν, τὰς ψυχὰς φιλάνθρωπε τῷ ἅλατι, τῶν δισταχῶν τῶν ἱερῶν Ἀποστόλων σου.

Τὸν βυθὸν ἐπίστασαι, τῶν κακῶν μου Δέσποτα Χριστὲ· δὸς μοι χεῖρα σῶσόν με φιλάνθρωπε, ἱκεσίαις τῶν Ἱερῶν Ἀποστόλων σου.

Κριτὰ Δικαιότατε, ἐν ἡμέρᾳ δίκης φοβερᾶς, τῆς φρικτῆς με ῥῦσαι κατακρίσεως, τῶν εὐκλεῶν σου Ἀποστόλων δεήσεσι.

Θεοτοκίον.

Τὸν ἀπεγνωσμένον με, ἀπὸ πλήθους τῶν ἀνομιῶν, σωτηρίας Κύριε ἀξίωσον, τῶν Μαθητῶν καὶ τῆς Μητρός σου δεήσεσιν.

Ὁ αὐτός.

Ἴλεων ἀπέργασαι, τὸν Δεσπότην σοῦ ταῖς προσευχαῖς, πᾶσι τοῖς τιμῶσί σε Νικόλαε, ὅπως ἡμῖν λύσιν πταισμάτων δωρήσηται.

Νοσημάτων λύτρωσαι, καὶ σκανδάλων τῶν βιωτικῶν, πειρασμῶν καὶ θλίψεων Νικόλαε, τοὺς πρεσβευτὴν σε κεκτημένους πρὸς Κύριον.

Ἰατρὸν σε ἄριστον, ὁ Δεσπότης ἔδειξε Χριστὸς· διὸ τὰ νοσήματα θεράπευσον, τῶν εὐσεβῶς σοι προσιόντων Νικόλαε.

Θεοτοκίον.

Κυοφόρος ἀνανδρος, Θεομήτωρ πέφηνας Ἁγνή· διὰ τοῦτο πίστει ἱκετεύω σε, τῆς ψυχῆς μου τὴν ῥαθυμίαν ἀπέλασον.

Ὠδὴ ζ'. Ὁ ὑπερυψούμενος τῶν Πατέρ.

Ὁ ὑπερυψούμενος, τῶν Πατέρων Κύριος, ὑμᾶς ὑπερύψωσε, καὶ πᾶσαν κατέῤῥαξεν, ἐχθροῦ τὴν δυναστείαν, Μαθηταὶ Χριστοῦ Θεόπται.

Ῥύπον τῆς κακίας μου, ῥείθροις κατανύξεως, ὑμῶν παρακλήσεσιν, Ἀπόστολοι πλύνατε, διδάσκοντες κραυγάζειν, ὁ Θεὸς εὐλογητὸς εἶ.

Πυρὶ θείου Πνεύματος, ὕλην καταφλέξατε, πάσης ματαιότητος· διὸ φλογιζούσης με, λυτρώσασθε γεέννης, Μαθηταὶ Θεοῦ τοῦ Λόγου. Θεοτοκ.

Ἡ τῆς καταπτώσεως τοῦ Ἀδὰμ ἀνόρθωσις, ἔγειρον πεσόντα με, κακίας

κακίας πρὸς βάραθρα, πρεσβείαις σου Παρθένε, καὶ τῶν θείων Ἀποστόλων. Ὁ αὐτός.

Ὅλος ἀνακείμενος, τῷ Θεῷ Νικόλαε, ὅλον με διάσωσον, τοῦ βίου τοῖς πάθεσιν, ἀθλίως καθ' ἑκάστην, περιπίπτοντα Θεόφρων.

Λαμπτὴρ θεαυγέστατε, τὸν νοῦν μου καταύγασον, παθῶν ἀμαυρότησιν, ἀεὶ σκοτιζόμενον, καὶ δίδου εὐσχημόνως, προσδεύειν ἐν τῷ βίῳ.

Ἅπαν ἀνοιγόμενον, κατ' ἐμοῦ Νικόλαε, εὐχαῖς σου ἀπόφραξον, στόμα πονηρότατον, καὶ ῥῦσαι ὁρατῶν με, δυσμενῶν καὶ ἀοράτων.

Θεοτοκίον.

Ἐκ σοῦ ἡμῖν ἔλαμψεν, ἀνέσπερος Ἥλιος, Νεφέλη ὁλόφωτε, Χριστὸς ὁ Θεὸς ἡμῶν φωτίζων τοὺς ἐν σκότει, ἀγνωσίας Θεοτόκε.

Ὠδὴ Η'. Σοὶ τῷ Παντουργῷ.

Σὺ τὰς νοητὰς τῶν Ἀποστόλων Λόγε, νεφέλας ἐξήπλωσας, ἐπιῤῥαινούσας ἡμῖν, ὄμβρους πανσόφων, καὶ θείων διδαγμάτων, καὶ καταρδευούσας ἡμᾶς εἰς τοὺς αἰῶνας.

Οἱ περικαλλεῖς τῆς Ἐκκλησίας στῦλοι, οἱ ταύτην βαστάζοντες, πίστεως δόγμασι, σεσαθρωμένην, ψυχῆς μου τὴν οἰκίαν, θεία τεχνουργίᾳ, στηρίξατε Θεόπται.

Στέναξον ψυχὴ καὶ ὀχετοὺς δακρύων ἐξ ὅλης προσάγαγε, καρδίας κράζουσα, Μόνε Οἰκτίρμων, σῶσον ἱλάσθητί μοι, ταῖς τῶν μαθητῶν σου πρεσβείαις, εὐπροσδέκτοις. Θεοτοκ.

Σιὼν ἐκλεκτὴ τοῦ Βασιλέως πόλις, τῆς ἄνω πολίτην με ποίησον Πόλεως, μετὰ τῶν θείων Μαθητῶν, δυσωποῦσα. Ἄχραντε Παρθένε, τὸν ἄχρονον Υἱόν σου.

Ὁ αὐτός.

Μύρων γεγονὼς Ἀρχιεράρχης μέγας ψυχῆς μου Νικόλαε, αἰσθήσεις μύρισον, ὅπως ἐκφύγω, ποθῶν τὴν δυσωδίαν, καὶ τοῦ παρακλήτου, εἰσδέξωμαι τὴν χάριν.

Λύτρωσαι ὑμᾶς ἁμαρτιῶν εὐχαῖς σου, Δαιμόνων κακώσεως, ἐθνῶν ἀλώσεως, πάντων ἀνθρώπων, πονηροτάτης βλάβης, ἵνα σε ὡς ῥύστην, ἡμῶν ἀνευφημῶμεν.

Τριαδικόν.

Οἱ τριαδικῶς τὴν μοναρχίαν πίστιν, ἀπαύστως δοξάζοντες, ἀναβοήσωμεν, Πάτερ καὶ Λόγε καὶ Πανάγιον Πνεῦμα, σὲ ὑμνολογοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Σάρκα δι' ἡμᾶς ἐκ σοῦ Θεὸς φορέσας, ἁγνήν σε Πανάμωμον, παντὸς τοῦ γένους ἡμῶν, θείαν Παρθένε, δεικνύει προστασίαν. Ὅθεν σε ὑμνοῦμεν, πιστοὶ μεγαλοφώνως.

Ὠδὴ Θ'. Ἡσαΐα χόρευε.

Οὐρανοὶ κατάστεροι, ἀγλαΐας θείων ἀρετῶν, ἐδείχθητε νοητῶς,

μέσον

μέσον τὸν Χριστὸν, ὡς Ἥλιον ἔχοντες, καὶ τὸ τῆς γῆς, πλήρωμα σοφοὶ, κατενεώσατε. Διὰ τοῦτο μακαρίζεσθε.

Τοῦ Χριστοῦ τὰ στίγματα, ἐν τῷ θείῳ σώματι ὑμῶν, ὡς Κόσμον πανευπρεπῆ, φέροντες σοφοὶ, τὴν κατατακεῖσάν μου, δαιμονικοῖς βέλεσι ψυχὴν, ταῖς πρὸς τὸν Κύριον μεσιτείαις θεραπεύσατε.

Λάκκῳ κατωτάτῳ με, ἁμαρτίας κείμενον Χριστὲ, καὶ ῥαθυμίας δεινῆς, ὕπνῳ τὴν ψυχὴν, ἐπιβαρυνόμενον, διὰ τῶν σῶν, Λόγε Μαθητῶν, ὥσπερ τὸν Λάζαρον, ἐξεγείρας σῶσον Κύριε.

Θεοτοκίον.

Τῆς ψυχῆς μου εὔθυνον, τὰς πορείας Λόγε τοῦ Θεοῦ, πρὸς τρίβους τῶν ἐντολῶν, σοῦ τῶν ἁπλανῶν, ἔχων τὴν τεκοῦσάν σε, δυσωποῦσαν, ἄχραντον ἁγνὴν, καὶ τοὺς πανσόφους σου, Ἀποστόλους Πολυέλεε.

Ὁ αὐτός.

Ἱεράρχης ἔνθεος, χρηματίσας πάσας τοῦ Χριστοῦ, ἐφύλαξας ἐντολάς. Ὅθεν τῶν πιστῶν, φύλαξ θεῖος γέγονας, ἀπὸ πάσης, τούτους συντηρῶν, Πάτερ Νικόλαε, ἐπηρείας καὶ κακώσεως.

Σὲ τὸν μέγαν Ἥλιον, τὸν ἐν ὕψει κείμενον ἀεὶ, τῆς Ἐκκλησίας Χριστοῦ, Ὅσιε Ποιμὴν, πιστῶς ἱκετεύομεν, σελασφόροις λάμψεσι φωτὸς, σκότος ἀπέλασον, ἁμαρτίας, τῶν ψυχῶν ἡμῶν.

Ἤγγικεν ὡς γέγραπται, ἡ ἡμέρα ἡ περιφανὴς, τῆς παρουσίας Χριστοῦ, ἄγονε ψυχὴ, ἀπόθου τὸ ῥᾳθυμον, καὶ προθύμως, βόησον Χριστῷ, Κύριε σῶσόν με, Νικολάου παρακλήσεσι.

Θεοτοκίον.

Φαεινὴν Λυχνίαν σε, ὁ Προφήτης ἔβλεψεν Ἁγνὴ, Λαμπάδιον νοητὸν, φέρουσαν Χριστὸν, ἐξ οὗ ἐφωτίσθημεν, οἱ ἐν σκότει, κείμενοι κακῶν, σὲ μακαρίζοντες, Θεοτόκε Ἀειπάρθενε.

Εἰς τὸν στίχον τῶν Αἴνων στιχηρὰ Ἀποστολικά.

Μαθηταὶ τοῦ Σωτῆρος, Μυστηρίων αὐτόπται γενόμενοι, τὸν μὴ θεωρούμενον, καὶ ἀρχὴν μὴ ἔχοντα ἐκηρύξατε, λέγοντες, Ἐν ἀρχῇ ἦν ὁ Λόγος· οὐκ ἐκτίσθητε πρὸ τῶν Ἀγγέλων, οὐκ ἐμάθετε παρὰ ἀνθρώπων, ἀλλ' ἐκ τῆς ἄνωθεν Σοφίας· διὸ παῤῥησίαν ἔχοντες, πρεσβεύσατε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Τοὺς Ἀποστόλους Κυρίου, μελῳδικῶς ἐν ᾠδαῖς ἀνευφημήσωμεν· ἐνδυσάμενοι γὰρ τὴν τοῦ Σταυροῦ πανοπλίαν, τὴν τῶν Εἰδώλων πλάνην κατήργησαν, καὶ νικηφόροι ἀνεδείχθησαν στεφανῖται, ὧν ταῖς πρεσβείαις ὁ Θεὸς ἐλέησον ἡμᾶς.

Μαρτυρικόν.

Ἐν ταῖς βασάνοις ὄντες οἱ Ἅγιοι, ἀγαλλόμενοι ἐβόων, συναλλάγματα ὑμῖν ἐστι ταῦτα πρὸς τὸν Δεσπότην· ἀντὶ γὰρ τῶν ἐπανι-

στα-

σταμένων μωλώπων τῷ σώματι, φωτεινὸν ἔνδυμα ἐν τῇ Ἀναστάσει ἐπανθήσει ἡμῖν· ἀντὶ δεσμωτηρίων, ὁ Παράδεισος· καὶ ἀντὶ τῆς μετὰ τῶν κακούργων καταδίκης, ἡ μετὰ Ἀγγέλων διαγωγή· εὐχαῖς αὐτῶν Κύριε, σῶσον τὰς ψυχὰς ἡμῶν.

Δόξα καὶ νῦν. Θεοτοκίον.

Ἡ προεκλελεγμένη, εἰσάκουσον τῆς φωνῆς ἡμῶν, καὶ δώρησαι τὰ αἰτήματα ταῖς ψυχαῖς ἡμῶν· λύτρωσαι ἡμᾶς παθῶν καὶ τῶν ὀδυνῶν, διὰ τῶν Ἀποστόλων, πάντα δυναμένη ὡς Μήτηρ Θεοῦ.

Τῇ πέμπτῃ, Οἱ Μακαρισμοί.

Ὁ Ληστὴς ἐν τῷ Σταυρῷ, Θεὸν εἶναί σε πιστεύσας Χριστέ, ὡμολόγησέ σε, εἰλικρινῶς ἐκ καρδίας, Μνήσθητί μου Κύριε βοῶν ἐν τῇ Βασιλείᾳ σου.

Ὥσπερ νεφέλαι φωτειναί, τὴν γῆν διήλθετε, τὸ ὕδωρ τὸ ζῶν ἐπιῤῥαίνοντες, καὶ καρδίας τακείσας ἁμαρτίαις, θεῖοι Μαθηταί, πλουσίως ἠρδεύσατε.

Ὥσπερ ἀκτῖνες μυστικαί, Ἡλίου λάμψαντος ἐκ Κόρης ἁγνῆς, ἐφωτίσατε τοὺς ἐν σκότει ἀγνοίας καθημένους θεῖοι Μαθηταί, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν. Μαρτυρικόν.

Τὰς πυρακτώσας τῶν δεινῶν, καθυπομείναντες προθύμῳ ψυχῇ· Καταφλέξατε τῶν εἰδώλων τὴν πλάνην, καὶ πρὸς θείαν ἐπαναψυχὴν, μετήλθετε Μάρτυρες.

Δόξα.

Ἵνα ὀραχμὴν τὴν ἐν βυθῷ, τῷ τῶν πταισμάτων συγχωσθεῖσαν, Χριστὲ ἐξάρῃς, καὶ Πατρὶ προσαγάγῃς, Ἀποστόλους κήρυκας τελεῖς, διὰ θείου Πνεύματος.

Καὶ νῦν. Θεοτοκίον.

Τῶν Ἀποστόλων καλλονή, Θεοχαρίτωτε ὑπάρχουσα, ἀμαυρούμενον ἡδοναῖς με τοῦ βίου, μετανοίας λάμπρυνον αὐγαῖς, ὅπως μακαρίζω σε.

ΚΑΝΩΝ ΣΤΑΥΡΩΣΙΜΟΣ.

Τῇ Παρασκευῇ ἦχος πλ. δ'.

Ὠδὴ α'. Κύματι θαλάσσης.

Πάθει σου τιμίῳ, τὴν ἀτιμασθεῖσαν, φύσιν ἐτίμησας, τῆς ἀνθρωπότητος· διὸ τιμῶντές σε φόβῳ, μεγαλύνομεν τὸ κράτος σου, καὶ πιστῶς δοξάζομεν· ἐνδόξως γὰρ δεδόξασται.

Αἵματί σου Λόγε, αἱμάτων ἀδίκων, χύσιν ἀνέστειλας, καὶ ἀπεκάθηρας, ῥύπου κακίας τὴν φύσιν, τῶν ἀνθρώπων Παντοδύναμε· διὸ νῦν δοξάζομεν, σωζόμενοι τὸ κράτος σου. Μαρτυρ.

Θῆρας αἱμοβόρους, ἐνίκησεν ὄντως ἡ ἀξιέπαινος, Μαρτύρων ἔνστασις, πυρὸς ὑπέταξε φύσιν δροσισμῷ ἐνθέου χάριτος, καὶ σφοδρὸν κλυδώνιον, πολυθείας ἔπαυσε.

Ὄμβροις τῶν αἱμάτων, ὀμβρήματα πλάνης, ἀποξηράναντες, ὄμ-

βροις

βροις ἱάσεων, ἐποχετεύετε Κόσμῳ, καὶ φλογμὸν παθῶν διώκετε, ἀθείας Μάρτυρες, ἐντεῦθεν μακαρίζεσθε. Σταυροθεοτ.

Κάλλος ἐν τῷ πάσχειν, ὡραῖον ἐν κάλλει, οὐδ' εἶδος ἔχοντα, ἡ Ἀπειρόγαμος, κατανοοῦσά σε Κόρη, τῶν πιστῶν τὸ ἐγκαλλώπισμα, μητρικῶς ἠλάλαζε, καὶ πόθῳ σε ἐδόξαζε.

Εἰς τὴν Θεοτόκον. Ὁ αὐτός.

Ἀχραντε Παρθένε, κεχαριτωμένη, Μαρία ἔνδοξε τῆς χαρᾶς, πρόξενε, τοὺς ὑμνητάς σου ἐνθέως, θείαις χάρισι χαρίτωσον, ὅπως χαριστήριον, ᾠδὴν σοι ἀναπέμψωμεν.

Βαθαὶ Θεομῆτορ, τῶν σῶν μυστηρίων· τῶν ποιημάτων γὰρ, ἐδείχθης Δέσποινα, ὃν οὐ τολμᾷ ἀτενίσαι, τῶν Ἀγγέλων τὰ στρατεύματα, ἐν ἀγκάλαις φέρουσα· διό σε μακαρίζομεν.

Γένος βροτῶν ἅπαν, φθορᾷ τοῦ θανάτου, καταδεδίκασται, τῇ τῆς Προμήτορος, ἀπογεύσει τοῦ ξύλου· διὰ σοῦ δὲ ἀνακέκληται, ὡς ζωὴν τεκούσης σου, Ἀγνὴ τὴν ἀδιάφθορον.

Ὠδὴ Γ'. Σὲ τὸν ἐπὶ ὑδάτων.

Σὲ τὸν ἐπὶ ὑδάτων, κρεμάσαντα πᾶσαν τὴν γῆν ἀσχέτως, ἐν ξύλῳ ὑψωθέντα, καὶ τὴν πλευρὰν ὀρυττόμενον, κατανοῶν ὁ Ἥλιος συνεσκοτίζετο, πάντων φωτισμὸν γινώσκων σε.

Τέτρωταί σου τοῖς ἥλοις, Μακρόθυμε ὁ Παραδείσῳ πάλαι, τρώσας Ἀδὰμ κακοῦργος, καὶ πληγωθεὶς ἀνιάτρευτος, εἰς τὸν αἰῶνα ἔμεινε· πιστοὶ δὲ εὕρομεν, πάντων τῶν τραυμάτων ἰασιν.

Οτε χορὸς Ἀγγέλων, ἑώρακε Μαρτύρων τὰς ἀγέλας, ὑπὲρ ἀμνοῦ τυθέντος, συγκοπτομένας ἐθαύμαζε, πῶς δυσμενεῖς οἱ ἔνυλοι, ἀύλους ἔτρεπον, νίκης στέφος κομιζόμενοι.

Σθένος ἐνδεδυμένοι, οἱ Ἅγιοι τοῦ ἐν ἰσχύϊ μόνου, τὰ πάντα δυναμοῦντος, τῷ δυσμενεῖ συνεπλέκοντο, καὶ τὴν αὐτοῦ ἀνίσχυρον, ἐπάτουν δύναμιν, στέφος ἐκ Θεοῦ δεχόμενοι.

Σταυροθεοτοκίον.

Σὺ τὸν ἐκ σοῦ τεχθέντα, ὡς ἔβλεψας τιτρωσκόμενον λόγχῃ, ἐτρώθης τὴν καρδίαν ὑπεραγία Πανάμωμε, καὶ θαμβουμένη ἔλεγες, Τί σοι ἀπέδωκε Τέκνον, δῆμος ὁ παράνομος;

Τῆς Θεοτόκου. Ὁ αὐτός.

Δόλῳ με δελεάσας, Θεώσεως ἐχθρὸς τῷ πόθῳ πάλαι, ἐξ Ἐδὲμ Θεομῆτορ εἰς γῆν ἐρπύσας συνέτριψεν· ἀλλ' ὁ Χριστὸς οἰκτείρας με, τῆς Νηδύος σου, σάρκα προσλαβὼν ἀνέπλασε.

Ἐλύθη ἡ τῆς κατάρας, τῆς ἔκπαλαι ἡ δίκη Θεομῆτορ, ἐν τῇ σῇ μεσιτείᾳ· ἐπιφανεὶς γάρ σοι Κύριος, πᾶσιν ἀφθόνως ἔβλυσεν, ὡς ὑπεράγαθος, πᾶσαν εὐλογίαν Πάναγνε.

Ζωῆς

Ζωῆς ὡράθης πύλη, Προφήτῃ πρὶν Ἰεζεκιὴλ Κόρῃ, ἣν ὁ Κύριος μόνος σεσαρκωμένος διῴδευσε, καὶ κεκλεισμένην πάλιν σε, Ἁγνὴ τετήρηκεν, ὡς αὐτὸς οἶδεν ὁ Ὕψιστος.

Ὠδὴ Δ'. Τὴν ἐν Σταυρῷ σου θείαν.

Εκτεταμένης χειρὸς Κύριε, ἀκρατὲς ἀναιρῶν, πρὸς τὴν τοῦ ξύλου γεῦσιν, νεκροὺς ἐν ξύλῳ τέθυσαι, σῶσαι βουληθείς, ἐκ πλευρᾶς δ' ἀποστάζεις, δεσμώταις ἄφεσιν.

Παθεῖν ἠνέσχου ὑπεράγαθε, ὅπως λύσῃς ἡμᾶς, παθῶν τῆς ἀλογίας· χολῆς ἐγεύσω βρύων μοι, θεῖον γλυκασμόν· ἐνεκρώθης ζωήν μοι, παρέχων Δέσποτα.

Μαρτυρικά.

Τὸ πῦρ τῆς θείας ἀγαπήσεως, ἐν ψυχῇ λογικῇ, προσφέροντες τὴν φλόγα, παρανομούντων ἔσβεσαν καὶ φωτιστικαί, οἱ Χριστοῦ Ἀθλοφόροι, λαμπάδες ὤφθησαν.

Οἱ θεῖοι φίλοι τοῦ Παντάνακτος σαρκικῆς ἑαυτοὺς, χωρίσαντες φιλίας, πρὸς ἅπασαν ἐχώρησαν βάσανον στερρῶς, καὶ νικήσαντες δόξῃ ἐστεφανώθησαν. Σταυροθ.

Εκτός σε πάθους ἀπεκύησα, καὶ πῶς βλέπω σε νῦν πάθει προσομιλοῦντα; Πῶς φέρεις τοῦτο ἔκραζεν Ἄναρχε Υἱέ; ἢ Παρθένος; δοξάζω σου τὸ μακρόθυμον.

Τῆς Θεοτόκου. Ὁ αὐτός.

Η ἐκλεκτή τε καὶ ὑπέρτιμος, ἐκ πασῶν γενεῶν, ἀναφανεῖσα μόνη, ἡ ἀρεταῖς ἐκλάμψασα Ἀχραντε σεμνή, τοὺς σὲ ὑμνολογοῦντας αἴγλῃ σου λάμπρυνον.

Θεὸν σαρκὶ Παρθένε τέτοκας, ἐξ ἀγνῶν σου σεμνῆ, αἱμάτων Θεομῆτορ, Σωτῆρα τὸν λυτρούμενον, πάντας ἐκ δεινῶν, τοὺς ὑμνοῦντάς σε Κόρῃ θεοχαρίτωτε.

Ιερουργεῖ τῷ θείῳ Τόκῳ σου, Θεοτόκε ἁγνὴ, ἡ τῶν αὐλῶν φύσις, καὶ τῶν βροτῶν τὸ σύστημα πόθῳ σὲ ὑμνεῖ. Ἀλλὰ σοῦ τῇ ἐλλάμψει ἡμᾶς καταύγασον.

Ὠδὴ Ε'. Πρὸς σὲ ὀρθρίζω.

Νεκρὸς ὁρᾶσαι, ἐπὶ τοῦ Κρανίου, ὁ νεκρώσας τὸν ᾅδην, τῷ πάθει τῆς σαρκός σου, καὶ εἶδος Χριστὲ, οὐδὲ κάλλος σὺ εἶχες κρεμάμενος, καλλωπίσαι με θέλων ὡς φιλάνθρωπος.

Αδὰμ τοῦ πρώτου, ἐξηλῶσαι θέλων, ἐμπαθεῖς διαθέσεις, τοῖς ἥλοις προσηλοῦσαι, καὶ λόγχῃ τρωθείς, τὴν φλογίνην ῥομφαίαν κωλύεις Χριστὲ, μὴ κωλύειν τὴν εἴσοδον τοῖς δούλοις σου.

Μαρτυρικά.

Ιχνηλατοῦντες, πάθη τοῦ Δεσπότου, οἱ χοροὶ τῶν Μαρτύρων, ἐν ξύλῳ προσηλοῦνται, καὶ χεῖρας ὁμοῦ ἁφαιροῦνται, καὶ πόδας πρὸς τρίβον σεπτοῦ Μαρτυρίου ἐνθέως εὐθυνούμενοι.

Νοῒ τελείῳ, νοῦν τὸν ἀλαζόνα, ἐπαιρόμενον θρασος, καθείλετε τελείως, ταπεινωθέντες, ἐν μιμήσει τοὺς

τοὺς πάντας ὑψώσαντος, ταπεινώσει καρδίας Χριστομάρτυρες.

Σταυροθεοτοκίον.

Ἐκ ῥίζης Κόρη, Ἰεσσαὶ βλαστάνεις, ὡς ἄνθος προσφέρεις τὸν φυτουργὸν τοῦ Κόσμου, παραδρυάδας ξηράναντα, θείῳ φυτῷ τοῦ Σταυροῦ, ὃν σαρκὶ κατεδέξατο, ὡς εὔσπλαγχνος.

Τῆς Θεοτ. Ἄλλος. Θεοφανείας σου Χριστέ

Κλίμαξ φανεῖσα, τυπικῶς τῷ Ἰακὼβ, πρὸς ὕψος ἐπηρμένη, τοῦ σοῦ Θεονύμφευτε ὑπέφηνε, τοκετοῦ τὸ ὄντως ἐξαίσιον· διὰ σοῦ γὰρ ὄντως Θεὸς, ἡμῖν ὡμίλησε τῇ συγκαταβάσει τῇ θείᾳ, καὶ τὴν ζωὴν παρέσχε βροτοῖς.

Λελυτρωμένοι διὰ σοῦ, τῆς μητρικῆς λύπης Θεοκυήτορ, θυμηδίας ἐμπλεοι γεγόναμεν, εὐφροσύνην πᾶσι κυήσασα, καὶ παγκόσμιον χαρμονήν· διὸ Πανύμνητε τοὺς σοὺς ὑμνολόγους κινδύνων, ταῖς σαῖς πρεσβείαις διαφύλαξον.

Μυσταγωγούμενος τὴν σὴν, Θεοπτικῶς ὁ Μωϋσῆς εἰκόνα, προεώρα Βάτον ἀκατάφλεκτον, τῷ πυρὶ Παρθένε Πανάμωμε. Ἐν σοὶ γὰρ ὁ Πλαστουργὸς οἰκῶν, οὐκ ἔφλεξέ σε τὴν ἀνωτέραν, ἁπάντων τῶν ποιημάτων Θεονύμφευτε.

Ὠδὴ ς'. Συνεσχέθη ἀλλ' οὐ κατεσχέθη.

Ἐναλλάττων χεῖρας προετύπου, πάλαι Σταυρὸν ὁ Ἰακὼβ, ἐπευλογῶν τοὺς παῖδας· ὅθεν ὑψίστε ἐν τούτῳ βαίνων, ἀρᾶς τῆς πάλαι λύεις τὸ ἀνθρώπινον, καὶ πηγάζεις νῦν τὴν εὐλογίαν, τοῖς εὐλογοῦσί σε μόνε εὐλογητὲ, καὶ δημιουργὲ καὶ ὑπεράγαθε.

Σοῦ τὸ πάθος, προτυπῶν ὁ μέγας, Λόγε Μωϋσῆς ἀνυψοῖ, χαλκοῦν τὸν Ὄφιν πάλαι, ἐξαιρούμενον τοὺς καθορῶντας, τοῦ ἰοβόλου δήγματος τῶν ὀφεων. Καὶ γὰρ Δέσποτα σοῦ σταυρωθέντος, βλάβης τοῦ ὄφεως ἅπαντες οἱ πιστοὶ, τοῦ θεοστυγοῦς ἀπελυτρώθημεν. Μαρτυρικά.

Ὥσπερ ἄλλου, πάσχοντος οἱ θεῖοι, πάλαι καὶ σεπτοὶ Ἀθληταὶ, διέκειντο ἀθλοῦντες, προσορώμενοι τὰς ἀντιδόσεις, τὰς αἰωνίους καὶ τὴν ἀγαλλίασιν· ταῖς εὐχαῖς αὐτῶν Χριστὲ Οἰκτίρμων, τοὺς ἀνυμνοῦντάς σε λύτρωσαι πειρασμῶν καὶ ἁμαρτιῶν καὶ περιστάσεων.

Τοὺς χειμάῤῥους, ἔπαυσαν τῆς πλάνης, ῥείθροις αἱμάτων οἱ σεπτοὶ, καὶ θεῖοι Ἀθλοφόροι, καὶ πηγαὶ πιστοῖς θεογνωσίας, βλύζουσαι ὕδωρ, ὄντως ἀνεδείχθησαν. Ταῖς αὐχαῖς αὐτῶν Σωτὴρ τοῦ Κόσμου, ὄμβρησον ἄφεσιν ἅπασι καὶ ζωὴν, καὶ τὸν ἱλασμὸν καὶ μέγα ἔλεος. Σταυροθ.

Τὸν Ποιμένα, πάντων καὶ Δεσπότην, ξύλῳ ὁρῶσα ἡ ἀμνὰς, ἐναπῃωρημένον, θρηνῳδοῦσα μητρικῶς ἐβόα, Τί τοῦτο Τέκνον τὸ καινὸν Μυστήριον; Πῶς ἀθάνατος τὸ κατ' οὐσίαν ὑπάρχων, θάνατον δέδεξαι τοὺς βροτοὺς, θέλων ἐκ φθορᾶς ἀπολυτρώσασθαι;

Τῆς Θεοτόκου. Ὁ αὐτός.

Νομικοί σε, τύποι Θεοτόκε, καὶ αἱ προρρήσεις σαφῶς, τῶν Προφητῶν ἐδήλουν, τεξομένην τὸν τοῦ Κόσμου ῥύστην, καὶ εὐεργέτην ἁπάσης τῆς Κτίσεως, τὸν πολυμερῶς καὶ πολυτρόπως εὐεργετήσαντα, τοὺς πίστει τε καὶ στοργῇ, Δέσποινα ἁγνὴ δοξολογοῦντάς σε.

Ξενωθέντας, πάλαι ἐξ ἀπάτης, τοῦ ἀνθρωποκτόνου ἐχθροῦ, Θεοῦ τοὺς πρωτοπλάστους, τῆς τρυφῆς τοῦ Παραδείσου μόνη, Θεογεννήτωρ αὖθις ἐπανήγαγες, πρὸς Παράδεισον ἀποτεκοῦσα, Σωτῆρα Κύριον, Σταύρωσιν καὶ ταφήν, θείᾳ ἐξουσίᾳ ὑπομείναντα.

Ὁ βουλήσει, θείᾳ καὶ δυνάμει, δημιουργικῇ ἑαυτοῦ, τὰ πάντα ἐκ μὴ ὄντων, συστησάμενος ἁγνὴ, προῆλθεν, ἐκ σῆς Νηδύος καὶ Θεὸς καὶ ἄνθρωπος, καὶ τοὺς ἐν σκότει τῆς ἀγνοίας, τὸ πρὶν ὑπάρχοντας λάμψεσι θεϊκαῖς, Δέσποινα ἁγνὴ φαιδρῶς κατηύγασεν.

Ὠδὴ Ζ'. Ἄφραστον θαῦμα.

Ὅτε Σταυρῷ σε, δῆμος Ἑβραίων κατέκρινε, θεωροῦσα ἔφριξεν ἡ γῆ. Ἥλιος τὸ φῶς τὸ ἴδιον ἔπαυσε, καὶ οἱ ἐν σκότει φῶς εἶδον μελῳδοῦντες, Λυτρωτὰ ὁ Θεὸς εὐλογητὸς εἶ.

Ὑβριν ὑπέστης, καλάμῳ Σῶτερ τυπτόμενος, καὶ ἀκάνθαις οἷα Βασιλεύς, βουλήσει Χριστὲ ὁ Θεὸς στεφόμενος, εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων, Λυτρωτὰ ὁ Θεὸς εὐλογητὸς εἶ.

Μαρτυρικά.

Δεσμεῖσθε πᾶσαν, τοῦ Διαβόλου πανεύφημοι, τὴν ἀπάτην λύοντες σαφῶς, φέρετε ποινὰς καὶ θάνατον ἄδικον, ζωὴν ποθοῦντες τὴν ἄνω καὶ βοῶντες, Λυτρωτὰ ὁ Θεὸς εὐλογητὸς εἶ.

Ἑστητε μέσον, φλογὸς Πανεύφημοι Μάρτυρες, τὴν ἀπάτην φλέγοντες σαφῶς, καὶ τῷ δροσισμῷ τῆς ἐνθέου χάριτος, μὴ φλογισθέντες βοᾶτε, μελῳδοῦντες, Λυτρωτὰ ὁ Θεὸς εὐλογητὸς εἶ.

Σταυροθεοτοκίον.

Σταυροῦσαι θέλων, ἡ Θεοτόκος ἐκραύγαζε, καὶ ὁρῶσα ἀναρχε Υἱὲ, λύπῃ τὴν ψυχὴν νῦν καταβαπτίζομαι. Θνήσκεις παρέχων ζωὴν τοῖς μελῳδοῦσι, Λυτρωτὰ ὁ Θεὸς εὐλογητὸς εἶ.

Τῆς Θεοτόκου. Ὁ αὐτός.

Περοικιλμένην, σὲ κεκτημένην διάχρυσον, Θεομῆτορ Κόσμον εὐπρεπῆ, ἔστερξεν ὁ σὸς Υἱός τε καὶ Κύριος, εἰς σωτηρίαν ἡμῶν τῶν σοὶ βοώντων, ὁ καρπός σου ἁγνὴ εὐλογημένος.

Ῥόδον ἐν μέσῳ, τῶν ἀκανθῶν εὑρὼν Ἄχραντε, ὁ Δεσπότης ἔπλησεν ἡμᾶς, ὀδμαῖς σου τερπναῖς χαρίτων τοῦ Πνεύματος, τοὺς ἐκβοῶντας αὐτῷ ἐν κατανύξει, Λυτρωτὰ ὁ Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ

Ὠδὴ Η'. Ἐκστηθι φρίττων Οὐρανέ.

Πίνεις ποτήριον Χριστέ, ὁ ἐπεθύμησας, διά πάθους τοῦ Σταυροῦ, πηγάς μοι προχέων ἀφέσεως, ἐκ ζωηφόρου πλευρᾶς τῷ διά πλευρᾶς θανατωθέντι. Ὑμνῶ σε ἀναμέλπων, Ἱερεῖς εὐλογεῖτε, Λαός, ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὅτε σε ἄνομος Λαός, μέσον κατέκρινε, Σταυρωθῆναι Ἰησοῦ, ἀνόμων Ζωοδότα Κύριε, διεδονήθη ἡ γῆ, καί πάντες ἀνέμελπον ἐν φόβῳ, οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, Λαός ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Μαρτυρικά.

Τίμιος ἔναντι Θεοῦ, ὑμῶν ὁ θάνατος, ἀπεφάνθη Ἀθληταί· πολλοῖς γάρ ὁμιλοῦντες πάθεσι, πάθους σεπτοῦ κοινωνοί, βοῶντες ἐδείχθητε ἐμφρόνως, οἱ Παῖδες εὐλογετε, Ἱερεῖς ἀνυμνεῖτε, Λαός ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Οὕτως οὐ σαρκικά ὑμῶν, τά ὅπλα Μάρτυρες, πρός παράταξιν ἐχθρῶν· ἐλπίς δὲ πίστις καί ἀλήθεια, δι' ὧν τυχόντες Θεοῦ, Ἀγγέλων χοροῖς συναριθμεῖσθε, βοῶντες τῷ Δεσπότῃ, Ἱερεῖς εὐλογεῖτε, Λαός ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Σταυροθεοτοκίον.

Ὑψιστε ἄναρχε Υἱέ, φέρεις ἐμπτύσματα, καί ὀνείδη καί Σταυρόν, καλάμῳ παικτικῶς τυπτόμενος, ἡ Θεοτόκος ἐβόα, δοξάζω τήν σήν μακροθυμίαν· ὃν Παῖδες εὐλογοῦσιν, Ἱερεῖς ἀνυμνοῦσι, Λαοί ὑπερυψοῦσιν εἰς πάντας τοὺς αἰῶνας.

Τῆς Θεοτόκου. Ὁ αὐτός.

Τῷ θεολήπτῳ Δανιήλ, σύ προτεθέασαι, ἀλατόμητον ὄρος· ἐκ σοῦ γάρ Κόρη λίθος τέτμηται, Χριστός, ὁ μόνος Θεός Παρθένε, ἄνευ χειρός ἀνθρώπου, ὃν Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, Λαός ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὑμνοις τόν Τόκον σου Ἁγνή, ἀεί δοξάζουσιν, οἱ τῶν ἄνω Στρατηγοί, καί σέ δέ Κόρη Ἀειπάρθενε, χαρμονικῶς σύν ἡμῖν, ὡς Θεομήτορα ἀνυμνοῦσιν, ἣν Παῖδες εὐλογοῦσιν, Ἱερεῖς ἀνυμνοῦσι, Λαοί ὑπερυψοῦσιν εἰς πάντας τοὺς αἰῶνας.

Φέγγους σου ταῖς μαρμαρυγαῖς, τοὺς σέ φρονοῦντας νῦν, Θεοτόκον ἀληθῆ Μαρία φωταυγεῖς ἀπέργασαι, Φωτογεννήτωρ, Ἁγνή· φωτός γάρ σκηνή ὤφθης Παρθένε, τοῖς πίστει σοι βοῶσι, χαῖρε Εὐλογημένη, καί δεδοξασμένη εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ Θ'. Μὴ ἐποδύρου μου Μῆτερ.

Ἵνα τῇ βρώσει φθαρέντα, ἐνηδόνῳ τοῦ ξύλου, μόνε Σωτήρ ὡς ἀγαθός, λυτρώσῃ τῆς φθορᾶς, σταυρωθῆναι σαρκί, θανατωθῆναί τε καταδέξω· ὑμνοῦμεν ἀπαύστως

Ἰησοῦ

Ἰησοῦ, τὴν πολλὴν εὐσπλαγχνίαν καὶ δυναστείαν σου.

Ὦ πῶς ὑπέστης ὀδύνας, ἐν σαυρῷ ἡπλωμένος, τῶν ὀδύνων τῶν χαλεπῶν, ἐξαίρων με Σωτήρ; πῶς ἀκάνθας στεφθείς, ἐπανέκαυσας τῶν παθῶν τὰς ἀκάνθας; πῶς ὄξος ποτισθείς, εὐφροσύνης κρατῆρα ἡμῖν ἐκέρασας;

Μαρτυρικά.

Στενοχωρούμενοι πάντες, καὶ εἰρκταῖς ὁμιλοῦντες, καὶ μεληδὸν οἱ Ἀθληταί, τεμνόμενοι δεινῶς, καὶ τροχοῖς ἀπηνῶς κατατεινόμενοι, καὶ βορὰ τοῖς θηρίοις, διδόμενοι Χριστόν, τὸν ἁπάντων Δεσπότην οὐκ ἐξηρνήσασθε.

Ἡλιακῶν λαμπηδόνων, πλειοτέρως ἐκλάμπει, τῶν Ἀθλητῶν ἡ παμφανὴς, καὶ εὔσημος μνήμη, καὶ ψυχας εὐσεβῶν φωτίζει πάντοτε, καὶ διώκει τὸ σκότος παθῶν καὶ πειρασμῶν, καὶ δαιμόνων σκεδάζει ζόφον βαθύτατον.

Σταυροθεοτοκίον.

Φέρεις τὸν φέροντα πάντα, καὶ κατέχεις ὡς βρέφος, ἐν ταῖς χερσὶ τὸν ἐκ χειρὸς ῥυσάμενον ἡμᾶς, πολεμίου ἐχθροῦ Ἄχραντε Δέσποινα, καὶ ὁρᾷς ἐπὶ ξύλου, ὑψούμενον Σταυροῦ, τὸν ἐκ βάθρου κακίας ἡμᾶς ῥυσάμενον.

Τῆς Θεοτόκου. Ὁ αὐτός.

Χαρᾶς ἡμῖν αἰωνίου, καὶ ζωῆς ἀνεδείχθης, ὑπερφυῶς Θεογεννήτωρ, πρόξενος Ἁγνὴ, τὸν Σωτῆρα πάντων κυοφορήσασα, τὸν τῆς γῆς ἐκ προσώπου, πᾶν δάκρυον σαφῶς, ἀφελόντα καὶ πᾶσι χαρὰν βραβεύσαντα.

Ψάλλων Δαβὶδ σὸς Προπάτωρ, Κιβωτόν σε προέφη, συμβολικῶς καὶ θείου Μάννα, χρυσῆν Στάμνον Μωϋσῆς· Θεὸν Λόγον μόνη καὶ γὰρ ἐχώρησας, τὸν ἐν κόλποις Πατρῴοις, ὑπάρχοντα ἀεί, Θεοτόκε· διό σε ὕμνοις δοξάζομεν.

Ὡς ἀληθῶς ὑπερτέρα, πάσης Κτίσεως πέλεις· τὸν γὰρ Θεὸν τῶν ἁπάντων ἐκύησας σαρκί· διό σε προστάτιν ἔχομεν Δέσποινα, καὶ ἐλπίδα βεβαίαν, καὶ τεῖχος ὀχυρὸν, διὰ σοῦ σωτηρίας ἐπιτυχεῖν ἐλπίζοντες.

Εἰς τὸν στίχον τῶν Αἴνων, στιχηρὰ σταυρώσιμα.

Ἐν τῷ Σταυρῷ τὴν ἐλπίδα κέκτημαι, καὶ ἐν αὐτῷ καυχώμενος βοῶ, Φιλάνθρωπε Κύριε τὴν ἀλαζονείαν κατάβαλε, τῶν μὴ ὁμολογούντων σε Θεὸν καὶ ἄνθρωπον.

Οἱ τῷ Σταυρῷ τειχιζόμενοι, τῷ ἐχθρῷ ἀντιτασσόμεθα, μὴ δειλιῶντες τὰς αὐτοῦ μεθοδείας καὶ ἐνέδρας. Ὡς γὰρ ὑπερήφανος κατήργηται, καὶ καταπεπάτηται, τῇ δυνάμει τοῦ ἐν ξύλῳ προσπαγέντος Χριστοῦ. Μαρτυρικόν.

Κύριε, ἐν τῇ μνήμῃ τῶν ἁγίων σου πᾶσα ἡ Κτίσις ἑορτάζει. Οὐρανοὶ ἀγάλλονται σὺν τοῖς Ἀγγέλοις, καὶ ἡ γῆ εὐφραίνεται

σὺν

σὺν τοῖς ἀνθρώποις· αὐτῶν ταῖς παρακλήσεσιν ἐλέησον ἡμᾶς.

Δόξα καὶ νῦν.

Ἐπάγην μὲν ὡς ἄνθρωπος, ἐν ξύλῳ καὶ νενέκρωμαι, καὶ ἐν τάφῳ κατετέθην ὡς θνητός· ἀλλ' ὡς Θεὸς ἐν δόξῃ, Μῆτερ ἀγνὴ Παρθένε, πάλιν ἀνίσταμαι τριήμερος.

Τῇ παρασκευῇ οἱ Μακαρισμοί.

Μνήσθητί μου ὁ Θεὸς ὁ Σωτὴρ μου, ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου, καὶ σῶσόν με ὡς μόνος φιλάνθρωπος.

Ὑφαπλώσας τὰς παλάμας ἐπὶ ξύλου, ἠγκαλίσω τὰ ἔθνη ὑμνοῦντά σου, τὴν εὐσπλαγχνίαν, Χριστὲ ὁ Θεὸς ἡμῶν.

Προσηλώθης ἑκουσίως ἐπὶ ξύλου, καὶ τὰ κέντρα Χριστὲ τοῦ ἀλάστορος, τῇ σῇ δυνάμει τελείως ἐξείλῃψας.

Μαρτυρικόν.

Ταῖς βασάνοις ἐντρυφῶντες Ἀθλοφόροι, Παραδείσου τρυφῆς ἠξιώθητε, ὑπὲρ τοῦ Κόσμου ἀπαύστως δεόμενοι. Δόξα.

Ἀπὸ πάσης ἐξελοῦ ἡμᾶς βασάνου, ὁ Πατὴρ καὶ ὁ Υἱὸς, τὸ σύνθρονόν τε, Πνεῦμα τοὺς δούλους σου Κύριε.

Καὶ νῦν. Σταυροθεοτοκίον.

Καθορῶσά σε Σταυρῷ ἐφηπλωμένον, ἡ Παρθένος δακρύουσα ἔστενεν· ἧς ταῖς πρεσβείαις, σῶσον ἡμᾶς Κύριε.

ΚΑΝΩΝ

ΕΙΣ ΠΑΝΤΑΣ ΤΟΥΣ ΑΓΙΟΥΣ.

Τῷ Σαββάτῳ, ἦχος πλ. δ'.

Ὠδὴ Α'. Ἄσωμεν τῷ Κυρίῳ.

Τίμιοι μαργαρῖται, ὤφθητε, τὸν στέφανον φαιδρύνοντες, τῆς σεπτῆς Ἐκκλησίας, Ἀθλοφόροι Χριστοῦ γενναιότατοι.

Ἠστραψαν τῶν δογμάτων, καὶ τῶν ἀρετῶν θείαις λαμπρότησιν, οἱ σοφοὶ Ἱεράρχαι, καὶ πιστῶν τὰς καρδίας ἐφώτισαν.

Σὲ τὸν ἐν τοῖς Προφήταις, καὶ ἐν τοῖς Ὁσίοις θαυμαζόμενον, ἱκετεύομεν Λόγε, ταῖς αὐτῶν ἡμᾶς σῶσον δεήσεσιν.

Νεκρώσιμον.

Ὅταν κρίσιν δικαίαν, ἔλθῃς τοῦ ποιῆσαι Δικαιότατε, ἀκατακρίτους Λόγε, ταῖς αὐτῶν ἡμᾶς σῶσον δεήσεσι.

Θεοτοκίον.

Κύριον τετοκυῖαν, γυναικῶν χορός σε ἐπιστάμενος, σοῦ ὀπίσω Παρθένε, ἐναθλήσας αὐτῷ προσενήνεκται.

Ἕτερος Κανὼν εἰς κοιμηθέντας.

Θανάτῳ τὸν θάνατον τοῦ Χριστοῦ, καὶ πάθεσι Πάθος, μιμησάμενοι τὸ σεπτὸν, οἱ Μάρτυρες πάντες τῆς ἐνθέου, καὶ μακαρίας ζωῆς ἔτυχον.

Νεότητος πταίσματα παρορῶν, καὶ τὰς ἁμαρτίας ὑπερβαίνων Χριστὲ Σωτὴρ, τῶν προκοιμηθέν-

των οἰκετῶν σου, τοῖς ἐκλεκτοῖς σου συναρίθμησον.

Ἧς ἔτυχον δόξης τε καὶ χαρᾶς, οἱ τὴν μακαρίαν, κεκτημένοι διαγωγήν, μετάδος πλουσίως τοῖς σοῖς δούλοις, οὓς προσελάβου Πολυέλεε. Θεοτοκίον.

Συνέλαβες Λόγον τὸν τοῦ Πατρὸς, σαρκὶ ἑνωθέντα, καθ' ὑπόστασιν τῇ ἐκ σοῦ, Πανάμωμε Κόρη, τὸν τὸν Ἀδὴν, θείᾳ δυνάμει καταργήσαντα.

Ὠδὴ Γ'. Ὁ στερεώσας Λόγε.

Τὰς μυσαρὰς θυσίας οἱ Ἀθληταὶ, στερροτάτῃ γνώμῃ ἀποσεισάμενοι, θυσίαν καθαρωτάτην, Λόγῳ τῷ τυθέντι γεγόνασιν.

Ἀνανεοῦντες λόγοις ἱερουργοῖς, τοὺς παλαιωθέντας παντοίοις παθήμασι, τοῦ ἀναπλάσαντος Κόσμον, θεῖοι Μαθηταὶ ἀπεφάνθητε.

Ἣ τοῖς Προφήταις πρότερον προφανῶς, δεδομένη χάρις τοῦ Παναγίου Πνεύματος, τοὺς ἀσκητὰς ἐπ' ἐσχάτων, θείων χαρισμάτων ἐνέπλησε.

Νεκρώσιμον.

Χοροῖς ἁγίοις σύνταξον ὁ Θεὸς, τοὺς πιστῶς τοῦ βίου μεταχωρήσαντας, καὶ Παραδείσου πολίτας ποίησον, δι' ἄφατον ἔλεος.

Θεοτοκίον.

Ὁ μηδαμοῦ χωρούμενος Ἰησοῦς, ἀστενοχωρήτως τὴν σὴν κατῴκησεν, ἡγιασμένην Γαστέρα, ἄχραντε Παρθένε, καὶ Κύριος.

Ἄλλος. Οὐρανίας ἀψίδος.

Καθαρθέντες τῆς πάλαι προγονικῆς πτώσεως, διὰ τοῦ Βαπτίσματος καὶ τῆς ἀναγεννήσεως, ῥείθροις αἱμάτων τε, τοῖς ἑαυτῶν ῥαντισθέντες, τῷ Χριστῷ μακάριοι συμβασιλεύετε.

Ὁ νεκρὸς ἐκουσίως κατατεθεὶς ἐν μνήματι, καὶ τοὺς κατοικοῦντας ἐν τάφοις ἀνακαλούμενος, Σῶτερ, εὐδόκησον, οὓς ἐξ ἡμῶν προσελάβου, ἐν σκηναῖς δικαίων σου τούτους αὐλίζεσθαι.

Ἐκ τῆς εὐσπλαγχνίας τῆς Θείας Δέσποτα, καὶ τῆς συμφυῶς νοουμένης σου ἀγαθότητος, παρακαλοῦμενος, ἁμαρτημάτων τὴν λύσιν, παρασχὼν τοῖς δούλοις σου, Σῶτερ ἀνάπαυσον.

Θεοτοκίον.

Σαρκωθεὶς ἐκ γαστρός σου, καὶ γεγονὼς ἄνθρωπος, ὁ διαφερόντως ὑπάρχων μόνος φιλάνθρωπος, σώζει τὸν ἄνθρωπον, ἐκ τῶν πυλῶν τοῦ θανάτου, Θεομῆτορ Ἄχραντε, μόνη Πανύμνητε.

Ὠδὴ Δ'. Εἰσακήκοα Κύριε.

Ὑπελθόντες τὸ στάδιον, τὸ τῆς μαρτυρίας, ζέοντι Πνεύματι, Ἀθληταὶ θεομακάριστοι, τὴν ὑλώδη πλάνην κατεφλέξατε.

Τοὺς Ὁσίους σου Κύριε, καὶ τοὺς ἱεράρχας λαμπρῶς ἐδόξασας· Τούτων θείαις παρακλήσεσι, κοινωνόν με δόξης τῆς σῆς ποίησον.

Δημόσιο Μουσείο Βιβλιοθήκη Βέροιας

Ἡ τοῦ θείου ἐπίπνοια, Πνεύματος Προφήτας καταλαμπρύνασα, Γυναιξὶν ἰσχὺν δεδώρηται, τοῦ ἐχθροῦ ὀλέσαι τὰ φρυάγματα.

Νεκρώσιμον.

Συγχορεύειν ἀξίωσον, πᾶσι τοῖς ἁγίοις οὓς περ, μετέστησας, ὑπεράγαθε, οἰκέτας σου, ἐν Σκηναῖς ἁγίων δυσωπούμενος.

Θεοτοκίον.

Νόμου θεῖον τὸν πάροχον, φύσεως νομίμων ἄνωθεν τέτοκας, ἀναπλάττοντα Πανάμωμε, τῶν βροτῶν τὴν φύσιν ὀλισθήσασαν.

Ἄλλος. Σύ μου Χριστὲ Κύριος.

Ἵνα τὴν σὴν, Δέσποτα, δόξαν θεάσωνται, καὶ τῆς αἰγλης, σοῦ τῆς φωτοδότιδος, ἐν Οὐρανοῖς τύχωσι φαιδρῶς, ἅπασαν βασάνων, ἰδέαν φέρειν ὑπήνεγκαν, οἱ Μάρτυρες οἱ θεῖοι, σοὶ Χριστὲ μελῳδοῦντες· τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Πολλαὶ Μοναί, παρὰ σοὶ Σῶτερ πεφύκασι, κατ' ἀξίαν, πᾶσι μεριζόμεναι, κατὰ τὸ μέτρον τῆς ἀρετῆς· Ταύτας οὖν Οἰκτίρμον, πλῆρωσαι τούτους ἀξίωσον, τοὺς πίστει μεταστάντας, εὐσεβῶς σοι βοῶντας, Τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Ἴσος ἡμῖν, ἄνθρωπος ὤφθης Ἀθάνατε, πᾶσιν ἴσον, θάνατον ὑπέμεινας, καὶ τῆς ζωῆς ἔδειξας ὁδούς. Ἧς τοὺς μεταστάντας, ἀξίωσον ὡς φιλάνθρωπος, συγχώρησιν πταισμάτων, ὡς Δεσπότης παρέχων, καὶ φωτὸς μετουσίαν δωρούμενος. Θεοτοκίον.

Σὺ τῶν πιστῶν, καύχημα πέλεις ἀνύμφευτε, σὺ προστάτις, σὺ καὶ καταφύγιον, Χριστιανῶν, τεῖχος καὶ λιμήν. Πρὸς γὰρ τὸν Υἱόν σου, ἐντεύξεις φέρεις Πανάμωμε, καὶ σώζεις ἐκ κινδύνων, τοὺς ἐν πίστει καὶ πόθῳ, Θεοτόκον ἀγνὴν σε γινώσκοντας.

Ὠδὴ Ε. Φώτισον ἡμᾶς.

Ἔφερον πληγὰς, τῆς σαρκὸς οἱ θεῖοι Μάρτυρες· καὶ διὰ τοῦτο τὰς πληγὰς ἡμῶν, ἀεὶ ἰῶνται, τραυματίζοντες τοὺς δαίμονας.

Ἅγιοι Θεοῦ, Ἱεράρχαι ἱκετεύσατε, μετὰ πάντων τῶν Ὁσίων Χριστὸν, ἁμαρτημάτων δωρηθῆναι ἡμῖν ἄφεσιν.

Σάρκα αἰκισμοῖς, καὶ ἀσκήσει δαπανήσασαι, Γυναικῶν Ὅσιαι φιλάνθρωποι, τῶν ἐν ἐλπίσιν ἀγαθῶν κατηξιώθησαν. Νεκρώσιμον.

Θάνατον ἐλὼν, τῷ θανάτῳ σου Ἀθάνατε, τοὺς θανέντας ἐλπίδι ζωῆς, πιστούς σου δούλους, ὡς φιλάνθρωπος ἀνάπαυσον.

Θεοτοκίον.

Ἔπαυσας Ἁγνὴ, Προπατόρων τὸ κατάκριμα, τὸν τοὺς πάντας δικαιώσαντα, σαρκὶ τεκοῦσα, Ἰησοῦν τὸν μόνον Κύριον.

Ἄλλος. Ἵνα τί με ἀπώσω.

Τῆς ἀφράστου σου δόξης, καὶ τῆς ὑπὲρ λόγον σου μακαριότητος, ἐν σκηναῖς ἁγίων, ἔνθα ἦ-

χος τερπνὸς ἑορτάζοντος, τοὺς μεταθεμένους, πρὸς ἀπαθῆ ζωὴν οἰκτείρας, καταξίωσον μόνε φιλάνθρωπε.

Ὅπου τάξεις Ἀγγέλων, ὅπου τῶν Δικαίων οἱ δῆμοι ἀγάλλονται, Ἀβραὰμ ἐν κόλποις, κατασκήνωσον Σῶτερ τοὺς δούλους σου· καὶ σὺν παῤῥησίᾳ, τῷ φοβερῷ καὶ θείῳ Θρόνῳ, παριστᾶναι εὐδόκησον Εὔσπλαγχνε.

Ἱλασμὸς ἡμῖν ὤφθης, καὶ δικαιοσύνη τε καὶ ἀπολύτρωσις, καὶ τῷ μώλωπί σου τὰς ἡμῶν ἀσθενείας ἰάτρευσας. Αὐτὸς οὖν Οἰκτίρμον, ὡς ἀγαθὸς τοὺς μεταστάντας, ἐν τρυφῇ Παραδείσου κατάταξον. Θεοτοκίον.

Συμπαθῶς ἐλεῆμον, τὸ τῆς ἀνθρωπότητος μέτρον ἀνέλαβες, ὁ τῆς θείας δόξης, ὑπερτάτοις ἐμπρέπων ὑψώμασιν, ἐκ Παρθένου Μήτρας, σάρκα λαβὼν ἐμψυχωμένην, λογικὴν δι' ἧς θάνατον ὤλεσας.

Ὠδὴ ς'. Ἱλάσθητί μοι Σωτήρ.

Ἰχῶρσιν ὑμῶν σεπτοῖς, ψυχῶν ἰᾶσθε νοσήματα, καὶ σηπεδόνας ἀεί, σωμάτων ἐξαίρετε, κατατραυματίζοντες, πονηρῶν δαιμόνων, τὴν πληθύν, ἅγιοι Μάρτυρες.

Ὁ τῶν Ὁσίων χορὸς, ἱεραρχῶν τε ὁ σύλλογος, καὶ Γυναικῶν ἱερῶν, ὁ θεῖος κατάλογος, στερρῶς ἐναθλήσαντες, ἐν ἐπουρανίοις, ἀπολαύσεις ἐκληρώσαντο.

Νεκρώσαντες ἀσκηταὶ, τὴν σάρκα ζωῆς ἐτύχετε. Ποιμάναντες δὲ καλῶς, Κυρίου τὸ ποίμνιον, ἱεράρχαι πάνσοφοι, ἀθανάτου δόξης, μετὰ τέλος ἠξιώθητε.

Νεκρώσιμον.

Τῶν ζώντων Λόγε ζωὴ, καὶ τῶν θανόντων ἀνάπαυσις, ὑπάρχων τοὺς ἐξ ἡμῶν, τῷ θείῳ σου νεύματι, μεταστάντας δούλους σου, Ἀβραὰμ ἐν κόλποις, τοῦ θεράποντός σου σκήνωσον.

Θεοτοκίον.

Ἐσκήνωσεν ἐπὶ σοὶ, Πατρὸς ἀγνὴ τὸ ἀπαύγασμα, καὶ ταῖς ἀΰλοις αὐγαῖς, αὐτοῦ τῆς Θεότητος, τὸ σκότος διέλυσε, τῆς πολυθείας, καὶ τὸν Κόσμον κατεφώτισε.

Εἱρμὸς ὁ αὐτός.

Οἱ Μάρτυρές σου Σωτὴρ, πολλὰς βασάνους ὑπέμειναν, τῷ πόθῳ σου τὰς ψυχὰς, τρωθέντες οἱ ἅγιοι, τῆς σῆς ὀρεγόμενοι, ἀϊδίου δοξης, καὶ γλυκείας μεθέξεως.

Γαστέρα τοῦ δυσμενοῦς, θανάτου Σῶτερ διέῤῥηξας, καὶ πάντας τοὺς ἐν αὐτῇ, δεσμώτας ἀνέστησας, ζωὴν χαρισάμενος· ἧς τοὺς μεταστάντας, εὐεργέτα καταξίωσον.

Δακρύων καὶ στεναγμῶν, τῶν ἐν τῷ ᾅδῃ τοὺς δούλους σου, ἐλευθέρωσον Σωτήρ. Ὡς μόνος γὰρ εὔσπλαγχνος, ἀφεῖλες πᾶν δάκρυον, ἐκ παντὸς προσώπου, τῶν πιστῶς θεολογούντων σε.

Θεοτοκ.

Θεοτοκίον.

Ο φύσει Δημιουργὸς, δημιουργεῖται ἐν μήτρᾳ σου· ὁ πλήρης καθὸ Θεὸς, κενοῦται Πανάμωμε· ὁ μόνος ἀθάνατος, τὸν ὑπὲρ τῆς πάντων, σωτηρίας θνήσκει θάνατον.

Ὠδὴ Ζ'. Παῖδες θεοσεβεῖς.

Λύσαντες τὸν φραγμὸν τῆς δυσσεβείας, δεσμοῖς ἱεροῖς ἡμῶν Πανεύφημοι, τῶν ἐγκλημάτων φορτία σκορπίσατε, καὶ βοῶντας Μάρτυρες σώσατε, Εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν πατέρων ἡμῶν.

Ομβρῳ τῶν ἱερῶν ὑμῶν αἱμάτων, αἱρέσεων πῦρ ἐναπεσβέσατε, καὶ φλογὶ ἱεράρχαι Σοφοὶ κατεφλέξατε, ἀσεβείας πλάνης ζιζάνια, καὶ τῶν πιστῶν τὰς ψυχὰς κατεφωτίσατε.

Σάρκα οἱ ἀσκηταὶ δι' ἐγκρατείας, νεκρώσαντες, ζῶσι μετὰ θάνατον, Προφητῶν τε Δικαίων χορὸς, καὶ κατάλογος γυναικῶν ἀθλήσας, δεδόξασται. Αὐτῶν πρεσβείαις Χριστὲ, κινδύνων ῥῦσαι ἡμᾶς. Νεκρώσιμον.

Πάντων τῶν ἐπ' ἐλπίδι κοιμηθέντων, ζωῆς τὰς ψυχὰς Χριστὲ ἀνάπαυσον, παρορῶν τὰ ἐν βίῳ αὐτῶν πλημμελήματα, διὰ τὴν πολλὴν εὐσπλαγχνίαν σου, εὐσπλαγχνε μόνε Σωτὴρ, ὁ τῶν Πατέρων Θεός.

Θεοτοκίον.

Ολη ὡς καθαρὰ καθυπεδέξω, ἐν μήτρᾳ τὸν Λόγον σωματούμενον. Αὐτὸν ἐκδυσώπει καθάραι πταισμάτων με, καὶ ψυχῆς καὶ σώματος Πάναγνε, τὸν ἐπὶ σοὶ καθαρᾷ πίστει προστρέχοντα.

Ἄλλος. Παῖδες Ἑβραίων ἐν καμίνῳ.

Ολος ὁ πόθος τῶν Μαρτύρων, ἀνατέτακται πρὸς μόνον τὸν Δεσπότην, δι' ἀγάπης αὐτῷ ἑνούμενος καὶ μέλπων, Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Νέμοις τοῖς πίστει μεταστᾶσι, τὴν φαιδρότητα τῆς θείας Βασιλείας, ἀφθαρσίας στολὴν δωρούμενος βοῶσιν, Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Πλῆσον χαρᾶς καὶ εὐφροσύνης, οὓς μετέστησας οἰκέτας σου Οἰκτίρμον, ἀξιώσας αὐτοὺς κραυγάζειν σοι καὶ μέλπειν, Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Νύων τῆς Εὔας τὴν κατάραν, τὴν Πανάμωμον κατῴκησας Παρθένον, εὐλογίας πηγὴν βλυστάνων τοῖς βοῶσιν, Εὐλογημένος Πάναγνε, ὁ καρπὸς τῆς σῆς κοιλίας.

Ὠδὴ Η'. Οἱ θεοφρόνημονες Παῖδες.

Ναοὺς Εἰδώλων καθείλετε ἀθλοῦντες, καὶ ἑαυτοὺς τῆς Τριάδος, θείους ναοὺς ἐδομήσασθε, ἀθλοφόροι Κυρίου Ἀγγέλων συνόμιλοι.

Οἱ ἱερεῖς σου Χριστὲ δικαιοσύνην, ἐνδεδυμένοι ὁσίως, τοῖς ἀπ' αἰῶνος νῦν συναγάλλονται, σοῦ τὸ

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

τὸ κάλλος ὁρῶντες, τὸ θεῖον τρανώτερον.

Ἱερωτάτων πρεσβείαις Προφητῶν σου, καὶ γυναικῶν ἀοιδίμων, τῶν ἀπ' αἰῶνος Δικαίων τε, τὰ ἐλέη σου Λόγε τῷ Κόσμῳ σου δώρησαι.

Νεκρώσιμον.

Δικαιοκρίτα ἡνίκα μέλλεις κρῖναι, οὓς ἐξ ἡμῶν προσελάβου, ἀκατακρίτους συντήρησον, παραβλέψας τὰ τούτων, ἐγκλήματα Δέσποτα. Θεοτοκίον.

Ἐπιφανεῖσα Παρθένε τῆς ψυχῆς μου, τὰ σκοτεινότατα νέφη, τῷ φωτισμῷ σου ἀπέλασον, ἡ τῆς δικαιοσύνης, τεκοῦσα τὸν Ἥλιον.

Εἱρμὸς ἄλλος. Μουσικῶν ὀργάνων.

Ἐπιγείους ἄθλους διελθόντες, οὐρανίους ἔλαβον στεφάνους, οἱ Μάρτυρες οἱ ἀληθεῖς βοῶντές σοι ἀπαύστως, Τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Καταβὰς ἐν λάκκῳ κατωτάτῳ, τοὺς ἐν τοῖς μνημείοις κατοικοῦντας, ἀνέστησας ζωαρχικῇ παλάμῃ, καὶ παρέσχες, τοῖς δούλοις σου τοῖς πίστει, προκεκοιμημένοις, ἀνάπαυσιν οἰκτίρμον.

Ὡς πηγὴ ζωῆς τῆς ἀϊδίου, ὡς τρυφῆς ὑπάρχων ὁ χειμάρρους, τοὺς δούλους σου τοὺς εὐσεβῶς, πρὸς σὲ μετατεθέντας, ἀξίωσον ὑμνεῖν σε, καὶ δοξολογεῖν σε, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Μαρία Παρθένε Θεοτόκε, ἡ Θεὸν Σωτῆρα τοῖς ἀνθρώποις, γεννήσασα σωματικῶς, περίσωζε τοὺς πίστει, ὑμνοῦντάς σου τὸν τόκον, καὶ ὑπερυψοῦντας, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ Θ'. Σὲ τὴν ἀπειρόγαμον.

Ἱσταντο οἱ Μάρτυρες, πρὸ τῶν ἀδίκων Κριτηρίων, πᾶσαν ἀδικίαν χάριτι, τοῦ Χριστοῦ κατακρίναντες, καὶ τοὺς ὑπ' αὐτῶν κεκρατημένους ἐλέγχοντες, καὶ στεφάνους, δικαιοσύνης κομιζόμενοι.

Ὤρθητε ὡς οἴακες, τῆς Ἐκκλησίας τὴν ὁλκάδα, πᾶσαν εὐσεβῶς ἰθύναντες, εἰς λιμένα Θεοῦ ἐντολῶν, πάντες ἱεράρχαι καὶ Ποιμένες μακάριοι. Διὰ τοῦτο, ὡς κυβερνήτας ὑμᾶς σέβομεν.

Στῖφος ἱκετεύει σε, τῶν Προφητῶν καὶ τῶν Ὁσίων, σύλλογος Γυναίων Κύριε, ἀθλησάντων λαμπρότατα, καὶ διαπρεψάντων ἐν ἀσκήσει φιλάνθρωπε, δυσωπεῖ σε, τοὺς οἰκτιρμούς σου ἡμῖν δώρησαι.

Νεκρώσιμον.

Ἧς κατηξιώθησαν, τιμῆς καὶ δόξης αἰωνίου, ἅπαντες Χριστοῦ οἱ ἅγιοι, τοὺς πιστῶς ἐκδημήσαντας τοῦ ματαίου βίου, μετασχεῖν καταξίωσον, ἐλεῆμον, ταῖς ἱκεσίαις τῶν ἁγίων σου.

Θεοτοκίον.

Φέρουσα τὸ πλήρωμα, τῶν ἀγαθῶν ἐν ταῖς ἀγκάλαις, πλήρωσον ἡμῶν Πανάμωμε, τὰς ἐντεύ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ξεις τῶν δούλων σου, καὶ τὰς
τρὸς Θεὸν ἡμῶν πορείας κατεύ-
θυνον, εὐαρέτως ἐνδυναμοῦσα πο-
λιτεύεσθαι.

Εἱρμὸς ἄλλος. Ἔρριξε πᾶσα ἀκοή.

Ἔχοντες Μάρτυρες Χριστοῦ, τὴν
ἀνίκητον ἰσχὺν καὶ ἀήττητον, ἐξε-
ραυλίσατε τὸ τῶν Τυράννων ἄθεον
πρόσταγμα, καὶ Βασιλείας Οὐρα
νῶν σαφῶς ἠξιώθητε, καταλαμ-
πόμενοι τῆς Τριάδος ταῖς αὐγαῖς
ἀξιάγαστοι.

Ἐλύσατο ἀδὴς ὁ πικρός, κατα-
λύσαντος αὐτὸν σου φιλάνθρωπε,
καὶ ἀναστήσαντος τοὺς ἀπ' αἰῶ-
νος ἐκεῖ καθεύδοντας. Ἀλλὰ καὶ
νῦν ὡς ἀγαθὸς, τοὺς μεταχωρή-
σαντας πρὸς σὲ τὸν εὔσπλαγχνον
ἀνεσπέρου σου φωτὸς καταξίωσον.

Ὅλος εἶ Σῶτερ γλυκασμὸς, ὅλος
εἶ ἐπιθυμία καὶ ἔφεσις, ὄντως
ἀκόρεστος, ὅλος ὑπάρχεις κάλ-
λος ἀμήχανον. Τοὺς μεταστάν-
τας οὖν πρὸς σὲ, τῆς σῆς ὡραιό-
τητος, τρυφᾷν εὐδόκησον, καὶ
τῆς θείας καλλονῆς σου ἀξίωσον.

Θεοτοκίον.

Σῶσόν με Μήτηρ τοῦ Θεοῦ, ἡ
γεννήσασα Χριστὸν τὸν Σωτῆρά
μου, Θεὸν καὶ ἄνθρωπον, διπλοῦν
τὴν φύσιν, οὐ τὴν ὑπόστασιν.
Μονογενῆ μὲν ἐκ Πατρὸς, ἐκ σοῦ
δὲ Πρωτότοκον πάσης τῆς Κτί-
σεως· ὃν ἐν φύσεσι διτταῖς με-
γαλύνομεν.

Εἰς τοὺς Αἴνους στιχηρὰ Μαρτυ-
ρικὰ, ἦχος πλ. δ'.

Μεγάλως ἠγωνίσασθε ἅγιοι, τὰς
βασάνους τῶν ἀνόμων ὑπομείναντες γενναίως, καὶ Χριστὸν ὁμολογοῦντες ἐναντίον Βασιλέων· καὶ πάλιν μεταστάντες ἐκ τοῦ βίου, δυνάμεις ἐνεργεῖτε ἐν τῷ Κόσμῳ, καὶ ἀσθενεῖς θεραπεύετε, ἐκ τῶν παθῶν αὐτῶν ἅγιοι, πρεσβεύοντες τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Μάρτυρες Χριστοῦ οἱ ἀήττητοι, οἱ νικήσαντες τὴν πλάνην τῇ δυνάμει τοῦ Σταυροῦ, ἀπολαύετε τὴν χάριν αἰωνίως τῆς ζωῆς. Τυράννων ἀπειλὰς οὐκ ἐπτοήθητε, βασάνοις αἰκιζόμενοι εὐφραίνεσθε. Καὶ νῦν τὰ αἵματα ὑμῶν, γέγονεν ἰάματα ταῖς ψυχαῖς ὑμῶν. Πρεσβεύσατε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τὸν θώρακα τῆς πίστεως ἐνδυσάμενοι καλῶς, καὶ τῷ τύπῳ τοῦ Σταυροῦ καθοπλίσαντες ἑαυτοὺς, στρατιῶται εὐσθενεῖς ἀνεδείχθητε, τοῖς τυράννοις ἀνδρείως ἀντικατέστητε, καὶ διαβόλου τὴν πλάνην κατηδαφίσατε. Νικηταὶ γενόμενοι τῶν στεφάνων ἠξιώθητε, πρεσβεύοντες ἀεὶ ὑπὲρ ἡμῶν εἰς τὸ σωθῆναι ἡμᾶς. Νεκρώσιμον.

Ἀμέτρητος ὑπάρχει, τοῖς ἀσώτως βιοῦσιν ἡ κόλασις. Βρυγμὸς ὀδόντων, καὶ κλαυθμὸς ἀπαράκλητος, γέεννα πυρὸς, καὶ σκότος ἐξώτερον, καὶ σκώληξ ἀκοίμητος, δάκρυα ἀνενέργητα, καὶ Κριτὴς ἀσυμπάθητος. Διὰ τοῦτο πρὸ τοῦ τέλους βοήσωμεν λέγοντες, Δέ-

σπατα

σποτα Χριστὲ, οὓς ἐξελέξω, μετὰ τῶν ἐκλεκτῶν σου ἀνάπαυσον.

Δόξα καὶ νῦν Θεοτοκίον.

Ἐγὼ Παρθένε ἁγία Θεοτόκε, τῇ σκέπῃ σου προστρέχω. Οἶδα ὅτι τεύξομαι τῆς σωτηρίας· δύνασαι γὰρ ἁγνὴ βοηθῆσαί μοι.

Τῷ Σαββάτῳ, οἱ Μακαρισμοί.

Μνήσθητι ἡμῶν, Χριστὲ Σωτὴρ τοῦ κόσμου, ὥσπερ τοῦ Λῃστοῦ, ἐμνήσθης ἐπὶ ξύλου, καὶ καταξίωσον πάντας μόνε οἰκτίρμον, τῆς οὐρανίου Βασιλείας σου.

Πᾶσιν ἀλγεινοῖς, στερρῶς προσομιλοῦντες, τραύμασιν ὑμῶν, ἁγίοις Ἀθλοφόροι, ἐτραυματίσατε πάσας τὰς μυριάδας, τὰς τῶν δαιμόνων θείᾳ χάριτι.

Οσιοι Χριστοῦ, καὶ θεῖοι Ἱεράρχαι, στίφος Προφητῶν, καὶ πάντων τῶν ἁγίων, τῆς οὐρανίου ἐπέτυχον κληρουχίας· οὓς ἐπαξίως μακαρίσωμεν. Νεκρώσιμον.

Πάντας τοὺς πιστῶς, τοῦ βίου μεταστάντας, τάξον ὁ Θεὸς, ἐν χώρᾳ τῶν Δικαίων, καὶ Παραδείσου ἀνάδειξον κληρονόμους θεοπρεπῶς ὑμνολογοῦντάς σε.

Δόξα.

Πάτερ καὶ Υἱὲ, καὶ Πνεῦμα, ἡ μία φύσις, σὺ εἶ ὁ Θεὸς, ὁ κτίσας πάντα λόγῳ· σὲ προσκυνοῦσιν οἱ ἄνθρωποι σὺν Ἀγγέλοις, ἀκαταπαύστως σὲ δοξάζοντες.

Καὶ νῦν. Θεοτοκίον.

Πάντων τῶν καλῶν τὸ πλήρωμα τεκοῦσα, πλήρωσον ἡμῶν, Παρθένε τὰς ἐντεύξεις, ἁμαρτιῶν ἡμῶν λύτρωσιν αἰτουμένη, καὶ φωτισμὸν καὶ μέγα ἔλεος.

ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ
ΤΗΣ
ΘΕΟΤΟΚΟΥ.

Οὗτος ψάλλεται εἰς τὸν ὄρθρον, ὅταν ἑορτάζεται ἅγιος. Κὺλογήσαντος δὲ τοῦ ἱερέως, λέγομεν τὸ, Κύριε εἰσάκουσον τῆπροσευχῆς μου. Εἶτα τὸ, Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν· καὶ τὰ παρόντα Τροπάρια. Ἦχος δ'.

Τῇ Θεοτόκῳ ἐκτενῶς νῦν προσδράμωμεν, ἁμαρτωλοὶ καὶ ταπεινοὶ καὶ προσπέσωμεν, ἐν μετανοίᾳ κράζοντες ἐκ βάθους ψυχῆς, Δέσποινα, βοήθησον ἐφ'ἡμῖν σπλαγχνισθεῖσα· σπεῦσον ἀπολλύμεθα, ὑπὸ πλήθους πταισμάτων, μὴ ἀποστρέψῃς σοὺς δούλους κενούς· σὲ γὰρ καὶ μόνην ἐλπίδα κεκτήμεθα.

Δόξα τὸ αὐτὸ, Καὶ νῦν.

Οὐ σιωπήσομεν ἀεὶ Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰμὴ γὰρ σὺ προίστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ· σοὺς γὰρ δούλους σώζεις ἀεὶ, ἐκ παντοίων δεινῶν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

(ὁ Ν'. Ψαλμὸς εἶτα ὁ Κανών.)

Ὠδὴ, ἀ· ἦχος· πλ· δ'. Ὁ Εἱρμός·

» Ἁρματηλάτην Φαραὼ ἐβύθισε,
» τερατουργοῦσα ποτὲ, Μωσαϊκὴ
» ῥάβδος, σταυροτύπως πλήξασα,
» καὶ διελοῦσα θάλασσαν, Ἰσρα-
» ὴλ δὲ φυγάδα, πεζὸν ὁδίτην διέ-
» σωσεν, ᾆσμα τῷ Θεῷ ἀναμέλ-
» ποντα. Δίς.

Τῶν λυπηρῶν ἐπαγωγαί χειμάζουσι, τὴν ταπεινήν μου ψυχήν, καὶ συμφορῶν νέφη, τὴν ἐμὴν καλύπτουσι, καρδίαν Θεονύμφευτε· ἀλλ' ἡ φῶς τετοκυῖα, τὸ θεῖον καὶ προαιώνιον, λάμψον μοι τὸ φῶς τὸ χαρμόσυνον.

Ἐξ ἀμετρήτων ἀναγκῶν καὶ θλίψεων, καὶ ἐξ ἐχθρῶν δυσμενῶν, καὶ συμφορῶν βίου, λυτρωθεὶς Πανάχραντε, τῇ κραταιᾷ δυνάμει σου, ἀνυμνῶ μεγαλύνω, τὴν ἄμετρόν σου συμπάθειαν, καὶ τὴν εἰς ἐμέ σου παράκλησιν. Δόξα.

Νῦν πεποιθὼς ἐπὶ τὴν σὴν κατέφυγον, ἀντίληψιν κραταιάν, καὶ πρὸς τὴν σὴν σκέπην, ὁλοψύχως ἔδραμον, καὶ γόνυ κλίνω Δέσποινα, καὶ θρηνῶ καὶ στενάζω, μή με παρίδῃς τὸν ἄθλιον, τῶν Χριστιανῶν καταφύγιον.

Καὶ νῦν.

Οὐ σιωπήσω τοῦ βοᾶν τρανώτατα, τὰ μεγαλεῖα τὰ σά· εἰ μὴ γὰρ σὺ Κόρη, πάντοτε προίστασο, ὑπὲρ ἐμοῦ πρεσβεύουσα, τῷ Υἱῷ καὶ Θεῷ σου, τίς ἐκ τοσούτου με κλύδωνος, καὶ δεινῶν κινδύνων ἐρρύσατο ;

Ὠδὴ Γ'. Ὁ Εἱρμός.

» Οὐρανίας ἀψῖδος, ὀρροφουργὲ
» Κύριε, καὶ τῆς Ἐκκλησίας δο-
» μῆτορ, σύ με στερέωσον, ἐν τῇ
» ἀγάπῃ τῇ σῇ, τῶν ἐφετῶν ἡ ἀκρό-
» της, τῶν πιστῶν τὸ στήριγμα,
» μόνε Φιλάνθρωπε. Δίς.

Ἀπορήσας ἐκ πάντων, ὀδυνηρῶς κράζω σοι, Πρόφθασον θερμὴ προστασία, καὶ σὴν βοήθειαν, δός μοι τῷ δούλῳ σου, τῷ ταπεινῷ καὶ ἀθλίῳ, τῷ τὴν σὴν ἀντίληψιν ἐπιζητοῦντι θερμῶς.

Ἐθαυμάστωσας ὄντως, νῦν ἐπ' ἐμοὶ Δέσποινα, τὰς εὐεργεσίας σου Κόρη, καὶ τὰ ἐλέη σου· ὅθεν δοξάζω σε, καὶ ἀνυμνῶ καὶ γεραίρω, τὴν πολλὴν καὶ ἄμετρον κηδεμονίαν σου. Δόξα.

Καταιγὶς με χειμάζει, τῶν συμφορῶν Δέσποινα, καὶ τῶν λυπηρῶν τρικυμίαι καταποντίζουσιν· ἀλλὰ προφθάσασα, χεῖρά μοι δὸς βοηθείας, ἡ θερμὴ ἀντίληψις καὶ προστασία μου· Καὶ νῦν.

Ἀληθῆ Θεοτόκον, ὁμολογῶ Δέσποινα, σὲ τὴν τοῦ θανάτου τὸ κράτος, ἐξαφανίσασαν· ὡς γὰρ φυσίζωος, ἐκ τῶν δεσμῶν τῶν τοῦ Ἅδου, πρὸς ζωὴν ἀνήγαγες, εἰς γῆν με ῥεύσαντα.

Τὰ τροπάρια ταῦτα λέγονται, ὅταν γίνεται Παράκλησις περίτινος.

Διάσωσον ἀπὸ κινδύνων, τοὺς δού-

δούλους σου Θεοτόκε· ὅτι πάντες μετὰ Θεὸν εἰς σὲ καταφεύγομεν, ὡς ἄῤῥηκτον τεῖχος, καὶ προστασίαν.

Ἐπίβλεψον ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σωματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Αἴτησις παρὰ τοῦ Ἱερέως· εἶτα Τροπάρια· ἦχος· β'.

Τὰ ἄνω ζητῶν.

Πρεσβεία θερμὴ, καὶ τεῖχος ἀπροσμάχητον, ἐλέους πηγὴ, τοῦ Κόσμου καταφύγιον· ἐκτενῶς βοῶμέν σοι, Θεοτόκε Δέσποινα πρόφθασον, καὶ ἐκ κινδύνων λύτρωσαι ἡμᾶς, ἡ μόνη ταχέως προστατεύουσα.

Ὠδὴ Δ'. Ὁ Εἱρμός.

» Σύ μου ἰσχὺς Κύριε, σύ μου » καὶ Δύναμις· σὺ Θεός μου, σύ » μου ἀγαλλίαμα, ὁ Πατρικοὺς » κόλπους μὴ λιπών, καὶ τὴν ἡμε- » τέραν πτωχείαν ἐπισκεψάμενος· » διὸ σὺν τῷ Προφήτῃ, Ἀββα- » κούμ σοι κραυγάζω, Τῇ Δυνά- » μει σου δόξα φιλάνθρωπε. Δίς.

Καὶ ποῦ λοιπὸν, ἄλλην εὑρήσω ἀντίληψιν; ποῦ προσφύγω; ποῦ δὲ καὶ σωθήσομαι; τίνα θερμὴν, ἔξω βοηθὸν, θλίψεσι τοῦ βίου, καὶ ζάλαις οἴμοι κλονούμενος· εἰς σὲ μόνην ἐλπίζω, καὶ θαῤῥῶ καὶ καυχῶμαι, καὶ προστρέχω τῇ σκέπῃ σου, σῶσόν με.

Τὸν ποταμὸν, τὸν γλυκερὸν τοῦ ἐλέους σου, τὸν πλουσίαις, δωρεαῖς ὁρασίαντα, τὴν παναθλίαν καὶ ταπεινὴν, Πάναγνε ψυχήν μου, τῶν συμφορῶν καὶ τῶν θλίψεων, καμίνῳ φλογισθεῖσαν, μεγαλύνω κηρύττω, καὶ προστρέχω τῇ σκέπῃ σου, σῶσόν με. Δόξα.

Σὲ τὴν Ἀγνὴν, σὲ τὴν Παρθένον καὶ ἄσπιλον, μόνην φέρω, τεῖχος ἀπροσμάχητον, καταφυγὴν, σκέπην κραταιὰν, ὅπλον σωτηρίας, μὴ με παρίδῃς τὸν ἄσωτον, ἐλπὶς ἀπηλπισμένων, ἀσθενῶν συμμαχία, θλιβομένων χαρὰ, καὶ ἀντίληψις. Καὶ νῦν.

Πῶς ἐξειπεῖν, σοῦ κατ' ἀξίαν δυνήσομαι, τοὺς ἀμέτρους οἰκτιρμοὺς ὦ Δέσποινα, τοὺς τὴν ἐμὴν πάντοτε ψυχὴν, δεινῶς θλιβομένην, ὡς ὕδωρ περικυκλώσαντας, ἀλλ' ὦ τῆς σῆς προνοίας, καὶ τῆς εὐεργεσίας, ἧς ἀφρόνως ὁ τάλας ἀπώλεσα.

Ὠδὴ Ε'. Ὁ Εἱρμός.

» Ἵνα τί με ἀπώσω, ἀπὸ τοῦ » προσώπου σου, τὸ φῶς τὸ ἄδυ- » τον, καὶ ἐκάλυψέ με, τὸ ἀλλό- » τριον σκότος τὸν δείλαιον; ἀλλ' » ἐπίστρεψόν με, καὶ πρὸς τὸ » φῶς τῶν ἐντολῶν σου, τὰς ὁδοὺς » μου κατεύθυνον δέομαι.

Εὐχαρίστως βοῶ σοι, Χαῖρε Μητροπάρθενε, Χαῖρε Θεόνυμφε, Χαῖρε θεία σκέπη, Χαῖρε ὅπλον καὶ τεῖχος ἀπόρθητον, Χαῖρε προστασία, καὶ βοηθὲ, καὶ σωτηρία, τῶν εἰς σὲ προστρεχόντων ἐκ πιστεως.

Οἱ

Δημόσια Κεντρική Βιβλιοθήκη Βαρείου

Οἱ μισοῦντές με μάτην, βέλεμνα καὶ ξίφη, καὶ λάκκον ηὐτρέπισαν, καὶ ἐπιζητοῦσι, τὸ πανάθλιον σῶμα σπαράξαι μου· καὶ καταβιβάσαι, πρὸς γῆν Ἅγνὴ ἐπιζητοῦσιν· ἀλλ' ἐκ τούτων προφθάσασα σῶσόν με. Δόξα.

Ἀληθῶς Θεοτόκον, πάντες ἐπιγνόντες σε, Πάναγνε Δέσποινα, τὸν ἐκ σοῦ τεχθέντα, Θεὸν Λόγον, εἰδότες κηρύττομεν, ἐν δυσὶν οὐσίαις, θελητικαῖς αὐτεξουσίαις, ὑπὲρ λόγον καὶ νόμον τῆς φύσεως. Καὶ νῦν.

Τί σοι δῶρον προσάξω, τὰς εὐχαριστίας ἀνθ' ὧν περ ἀπήλαυσα, τῶν σῶν δωρημάτων, καὶ τῆς σῆς ἀμετρήτου χρηστότητος· τοιγαροῦν δοξάζω, ὑμνολογῶ, καὶ μεγαλύνω, σοῦ τὴν ἄφατον πρός με συμπάθειαν.

Ὠδὴ Ϛ'. Ὁ Εἱρμός.

» Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον, » καὶ αὐτῷ ἀπαγγελῶ μου τὰς » θλίψεις, ὅτι κακῶν ἡ ψυχή μου » ἐπλήσθη, καὶ ἡ ζωή μου τῷ Ἅδῃ » προσήγγισε, καὶ δέομαι ὡς Ἰωνᾶς, ἐκ φθορᾶς ὁ Θεός με ἀνάγαγε. Δίς.

Τὰ νέφη τῶν λυπηρῶν ἐκάλυψαν, τὴν ἀθλίαν μου ψυχὴν καὶ καρδίαν, καὶ σκοτασμὸν ἐμποιοῦσί μοι Κόρη· ἀλλ' ἡ γεννήσασα φῶς τὸ ἀπρόσιτον, ἀπέλασον ταῦτα μακρὰν, τῇ ἐμπνεύσει τῆς θείας πρεσβείας σου.

Παράκλησιν ἐν ταῖς θλίψεσιν οἶδα, καὶ τῶν νόσων ἰατρόν σε γινώσκω, καὶ παντελῆ συντριμμὸν τοῦ θανάτου, καὶ ποταμὸν τῆς ζωῆς ἀνεξάντλητον, καὶ πάντων τῶν ἐν συμφοραῖς, ταχινὴν καὶ ὀξεῖαν ἀντίληψιν. Δόξα.

Οὐ κρύπτω σου τὸν βυθὸν τοῦ ἐλέους, καὶ τὴν βρύσιν τῶν ἀπείρων θαυμάτων, καὶ τὴν πηγὴν, τὴν ἀέννασον ὄντως, τῆς πρὸς ἐμὲ συμπαθείας σου Δέσποινα· ἀλλ' ἅπασιν ὁμολογῶ, καὶ βοῶ, καὶ κηρύττω, καὶ φθέγγομαι.

Καὶ νῦν.

Ἐκύκλωσαν αἱ τοῦ βίου με ζάλαι, ὥσπερ μέλισσαι κηρίον Παρθένε, καὶ τὴν ἐμὴν, κατασχοῦσαι καρδίαν, κατατιτρώσκουσι βέλει τῶν θλίψεων. Ἀλλ' εὑροιμί σε βοηθὸν, καὶ διώκτην καὶ ῥύστην Πανάχραντε.

Διάσωσον ἀπὸ κινδύνων. φύλ. 361.

Ἀχραντε ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Λίτησις παρὰ τοῦ ἱερέως. Εἶτα τὸ Κοντάκιον· Ἦχος Ε'.

Προστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν Ποιητὴν ἀμετάθετε, μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς· ἀλλὰ πρόφθασον ὡς ἀγαθὴ, εἰς τὴν βοήθειαν ἡμῶν τῶν πιστῶς κραυγαζόντων σοι· Τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προ-

προστατεύουσα ἀεί, Θεοτόκε τῶν τιμώντων σε.

Καὶ εὐθὺς τὸ προκείμενον. Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ στίχ. Ἄκουσον Θύγατερ, καὶ ἴδε. Εἶτα ὁ ἱερεύς. Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι. Τὸ Εὐαγγέλιον· ζήτει Σεπτεμβρίου 8. Δόξα.

Πάτερ, Λόγε, Πνεῦμα, Τριὰς ἡ ἐν Μονάδι, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν.

Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Εἶτα εἰς ἦχ. πλ. δ'. Ἐλέησόν με ὁ Θεός.

Μὴ καταπιστεύσῃς με ἀνθρωπίνῃ προστασίᾳ, Παναγία Δέσποινα, ἀλλὰ δέξαι δέησιν τοῦ ἱκέτου σου· θλίψις γὰρ ἔχει με, φέρειν οὐ δύναμαι, τῶν δαιμόνων τὰ τοξεύματα· σκέπην οὐ κέκτημαι, οὐδὲ ποῦ προσφύγω ὁ ἄθλιος, πάντοθεν πολεμούμενος, καὶ παραμυθίαν οὐκ ἔχω πλήν σου· Δέσποινα τοῦ Κόσμου, ἐλπὶς καὶ προστασία τῶν πιστῶν, μή μου παρίδῃς τὴν δέησιν, τὸ συμφέρον ποίησον.

Οὐδεὶς προστρέχων ἐπὶ σοί, κατῃσχυμένος ἀπὸ σοῦ ἐκπορεύεται, Ἁγνὴ Παρθένε Θεοτόκε· ἀλλ' αἰτεῖται τὴν χάριν, καὶ λαμβάνει τὸ δώρημα, πρὸς τὸ συμφέρον τῆς αἰτήσεως.

Μεταβολὴ τῶν θλιβομένων, ἀπαλλαγὴ τῶν ἀσθενούντων, ὑπάρχουσα Θεοτόκε Παρθένε· σῶζε πόλιν καὶ λαόν, τῶν πολεμουμένων ἡ εἰρήνη, τῶν χειμαζομένων ἡ γαλήνη, ἡ μόνη προστασία τῶν πιστῶν.

Ὁ Ἱερεύς.

Σῶσον ὁ Θεὸς τὸν Λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου· ἐπίσκεψαι τὸν Κόσμον σου ἐν ἐλέει καὶ οἰκτιρμοῖς· ὕψωσον κέρας Χριστιανῶν ὀρθοδόξων, κατάπεμψον ἐφ' ἡμᾶς τὰ ἐλέη σου τὰ πλούσια· πρεσβείαις τῆς Παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ Ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων ἀσωμάτων, τοῦ ἐντίμου ἐνδόξου Προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου· τῶν Ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τῶν ἐν Ἁγίοις Πατέρων ἡμῶν, καὶ Οἰκουμενικῶν μεγάλων Διδασκάλων καὶ Ἱεραρχῶν, Βασιλείου τοῦ μεγάλου, Γρηγορίου τοῦ Θεολόγου, καὶ Ἰωάννου τοῦ Χρυσοστόμου· τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Νικολάου Ἀρχιεπισκόπου Μύρων τῆς Λυκίας τοῦ θαυματουργοῦ· τῶν Ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων· τῶν Ὁσίων καὶ Θεοφόρων Πατέρων ἡμῶν· τῶν Ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακείμ, καὶ Ἄννης· τοῦ Ἁγίου (τῆς ἡμέρας) καὶ πάντων σου τῶν Ἁγίων· ἱκετεύομέν σε πολυέλεε Κύριε, ἐπάκου-

σον

σον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου, καὶ ἐλέησον ἡμᾶς.

Τὸ, Κύριε ἐλέησον ιβ'. καὶ τὴν ἐκφώνησιν, Ἐλέει καὶ οἰκτιρμοῖς.

Ὠδὴ Ζ'. Ὁ Εἱρμός.

» Παῖδες Ἑβραίων ἐν καμίνῳ, » κατεπάτησαν τὴν φλόγα θαρ» σαλέως, καὶ εἰς ὄρσον τὸ πῦρ » μετέβαλλον βοῶντες, Εὐλογη» τὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς » αἰῶνας.

Φῶς ἡ τεκοῦσα Θεοτόκε, σκοτισθέντα με νυκτὶ ἁμαρτημάτων, φωταγώγησον σὺ, φωτὸς οὖσα δοχεῖον, τὸ καθαρὸν καὶ ἄμωμον, ἵνα πόθῳ σε δοξάζω.

Σκέπη γενοῦ καὶ προστασία, καὶ ἀντίληψις, καὶ καύχημα Παρθένε, γυμνωθέντι μοι νῦν, ἁπάσης βοηθείας, ἀβοηθήτων δύναμις, καὶ ἐλπὶς ἀπηλπισμένων.

Ὅλῃ ψυχῇ καὶ διανοίᾳ, καὶ καρδίᾳ σε καὶ χείλεσι δοξάζω, ἀπολαύσας τῶν σῶν, μεγάλων χαρισμάτων· ἀλλ' ὢ τῆς σῆς χρηστότητος, καὶ ἀπείρων σου θαυμάτων.

Βλέψον ἱλέῳ ὄμματί σου, καὶ ἐπίσκεψαι τὴν κάκωσιν ἣν ἔχω, καὶ δεινῶν συμφορῶν, καὶ βλάβης καὶ κινδύνων, καὶ πειρασμῶν με λύτρωσαι, ἀμετρήτῳ σου ἐλέει.

Ὠδὴ Η'. Ὁ Εἱρμός.

» Τὸν ἐν ὄρει Ἁγίῳ δοξασθέν» τα, καὶ ἐν βάτῳ, πυρὶ τὸ τῆς » Ἀειπαρθένου, τῷ Μωϋσῇ μυ» στήριον γνωρίσαντα, Κύριον ὑ» μνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάν» τας τοὺς αἰῶνας.

Διὰ σπλάγχνα, ἐλέους σου Παρθένε, μὴ παρίδῃς σεμνὴ, ποντούμενόν με σάλῳ, βιωτικῶν κυμάτων· ἀλλὰ δίδου μοι, χεῖρα βοηθείας, καταπονουμένῳ, κακώσεσι τοῦ βίου.

Περιστάσεις καὶ θλίψεις καὶ ἀνάγκαι, εὗροσάν με Ἁγνὴ, καὶ συμφοραὶ τοῦ βίου, καὶ πειρασμοί με πάντοθεν ἐκύκλωσαν· ἀλλὰ πρόστηθί μοι, καὶ ἀντιλαβοῦ μου, τῇ κραταιᾷ σου σκέπῃ. Δόξα.

Ἐν ταῖς ζάλαις ἐφεῦρόν σε λιμένα· ἐν ταῖς λύπαις χαρὰν καὶ εὐφροσύνην· καὶ ἐν ταῖς νόσοις ταχινὴν βοήθειαν· καὶ ἐν τοῖς κινδύνοις ῥύστην, καὶ προστάτιν ἐν τοῖς πειρατηρίοις. Καὶ νῦν.

Χαῖρε θρόνε πυρίμορφε Κυρίου· Χαῖρε θεῖα καὶ μανναδόχε στάμνε. Χαῖρε χρυσῆ λυχνία λαμπὰς ἄσβεστε. Χαῖρε τῶν Παρθένων δόξα, καὶ Μητέρων ὡράϊσμα καὶ κλέος.

Ὠδὴ Θ'. Ὁ Εἱρμός.

» Ἐξέστη ἐπὶ τούτῳ ὁ Οὐρανὸς, » καὶ τῆς γῆς κατεπλάγη τὰ πέ» ρατα, ὅτι Θεὸς ὤφθη τοῖς ἀν» θρώποις σωματικῶς, καὶ ἡ γα» στήρ σου γέγονεν, εὐρυχωροτέρα » τῶν οὐρανῶν· διό σε Θεοτόκε, » Ἀγγέλων καὶ ἀνθρώπων, Τα» ξιαρχίαι μεγαλύνουσιν. Δίς.

Πρὸς

Πρὸς τίνα καταφύγω ἄλλην Ἁγνή; ποῦ προσδράμω λοιπὸν καὶ σωθήσομαι; ποῦ πορευθῶ; ποίαν δὲ ἐφεύρω καταφυγήν; ποίαν θερμὴν ἀντίληψιν, ποίαν ἐν ταῖς θλίψεσι βοηθόν; εἰς σὲ μόνην ἐλπίζω, εἰς σὲ μόνην καυχῶμαι, καὶ ἐπὶ σὲ θαρρῶν κατέφυγον.

Οὐκ ἔστιν ἀριθμήσασθαι δυνατὸν, μεγαλεῖα τὰ σὰ Θεονύμφευτε, καὶ τὸν βυθὸν, τὸν ἀνεξερεύνητον ἐξειπεῖν, τῶν ὑπὲρ νοῦν θαυμάτων σου, τῶν τετελεσμένων διηνεκῶς, τοῖς πόθῳ σε τιμῶσι, καὶ πίστει προσκυνοῦσιν, ὡς ἀληθῆ Θεοῦ λοχεύτριαν.

Ἐν ὕμνοις εὐχαρίστοις δοξολογῶ, καὶ γεραίρω τὸ ἄμετρον ἔλεος, καὶ τὴν πολλὴν, δύναμίν σου πᾶσιν ὁμολογῶ· καὶ τὰς εὐεργεσίας σου, ἃς ὑπερεκένωσας εἰς ἐμὲ, κηρύττω μεγαλύνω, ψυχῇ τε καὶ καρδίᾳ, καὶ λογισμῷ, καὶ γλώσσῃ πάντοτε.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν δέησίν μου δέξαι τὴν πενιχρὰν, καὶ κλαυθμὸν μὴ παρίδῃς καὶ δάκρυα, καὶ στεναγμόν· ἀλλ' ἀντιλαβοῦ μου ὡς ἀγαθὴ, καὶ τὰς αἰτήσεις πλήρωσον· δύνασαι γὰρ πάντα ὡς πανσθενοῦς, Δεσπότου Θεοῦ Μήτηρ, εἰ νεύσεις ἔτι μόνον, πρὸς τὴν ἐμὴν οἰκτρὰν ταπείνωσιν.

Καὶ εὐθὺς, Ἄξιόν ἐστιν ὡς ἀληθῶς. Καὶ, ὁ Ἱερεὺς θυμιᾷ ἐνῶ ἡμεῖς ψάλλομεν τὰ παρόντα Θεοτοκία.

Τὴν ὑψηλοτέραν τῶν οὐρανῶν, καὶ καθαρωτέραν λαμπηδόνων ἡλιακῶν, τὴν λυτρωσαμένην ἡμᾶς ἐκ τῆς κατάρας· τὴν Δέσποιναν τοῦ κόσμου, ὕμνοις τιμήσωμεν.

Ἀπὸ τῶν πολλῶν μου ἁμαρτιῶν, ἀσθενεῖ τὸ σῶμα, ἀσθενεῖ μου καὶ ἡ ψυχή· πρός σὲ καταφεύγω τὴν κεχαριτωμένην· ἐλπὶς ἀπηλπισμένων, σύ μοι βοήθησον.

Δέσποινα καὶ Μήτηρ τοῦ Λυτρωτοῦ, δέξαι παρακλήσεις ἀναξίων σῶν οἰκετῶν, ἵνα μεσιτεύσῃς πρὸς τὸν ἐκ σοῦ τεχθέντα· ὦ Δέσποινα τοῦ κόσμου, γενοῦ μεσίτρια.

Ψάλλομεν προθύμως σοὶ τὴν ᾠδὴν, νῦν τῇ πανυμνήτῳ, Θεοτόκῳ χαρμονικῶς· μετὰ τοῦ Προδρόμου, καὶ πάντων τῶν Ἁγίων, δυσώπει Θεοτόκε τοῦ οἰκτειρῆσαι ἡμᾶς.

Ἀλαλα τὰ χείλη τῶν ἀσεβῶν, τῶν μὴ προσκυνούντων, τὴν Εἰκόνα σου τὴν σεπτὴν, τὴν ἱστορηθεῖσαν ὑπὸ τοῦ Ἀποστόλου, Λουκᾶ ἱερωτάτου τὴν Ὁδηγήτριαν.

Ἔχει τὸ σὸν Πνεῦμα ὁ οὐρανὸς, σῶμα δὲ τὸ θεῖον τεθησαύρισται ἐν Σινᾷ, αἷμα μαρτυρίου ἐν Ἀλεξάνδρου πόλει, σοφὴ Αἰκατερίνα σκέπε τοὺς δούλους σου.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαὶ, Πρόδρομε Κυρίου· Ἀποστόλων ἡ δωδεκὰς, οἱ Ἅγιοι πάντες μετὰ τῆς Θεοτόκου, ποιήσατε

σατε πρεσβείαν εἰς τὸ σωθῆναι ἡμᾶς.

Τρισάγιον. Ὅτι σοῦ ἐστι. Καὶ τὰ Τροπάρια. Ἐλέησον ἡμᾶς, Κύριε ἐλέησον ἡμᾶς . . . . Δόξα. Κύριε ἐλέησον ἡμᾶς . . . Καὶ νῦν Τῆς εὐσπλαγχνίας . . . . Ὁ Ἱερεύς. Ἐλέησον ἡμᾶς ὁ Θεός. Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως, καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τοῦ δούλου τοῦ Θεοῦ . . . . Ἔτι δεόμεθα καὶ ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν μονὴν ταύτην (ἢ τὸν οἶκον τοῦτον) καὶ τὰ λοιπὰ, καὶ ἀπόλυσις.

Εἰ μὲν ὅμως ἐστὶ Δεκαπενταύγουστος, μετὰ τὸ Τρισάγιον ἀντὶ τῶν ἄνωθι Τροπαρίων. λέγονται ταῦτα τὰ Ἐξαποστειλάρια.

Ἀπόστολοι ἐκ περάτων, συναθροισθέντες ἐνθάδε, Γεθσημανῇ τῷ χωρίῳ, κηδεύσατέ μου τὸ σῶμα· καὶ σὺ Υἱὲ καὶ Θεέ μου παράλαβέ μου τὸ Πνεῦμα.

Ὁ γλυκασμὸς τῶν Ἀγγέλων, τῶν θλιβομένων ἡ χαρὰ, Χριστιανῶν ἡ προστάτις, Παρθένε Μῆτηρ Κυρίου, ἀντιλαβοῦ ἡμᾶς ῥῦσαι, τῶν αἰωνίων βασάνων.

Καὶ σὲ μεσίτριαν ἔχω, πρὸς τὸν φιλάνθρωπον Θεὸν, μὴ μου ἐλέγξῃ τὰς πράξεις, ἐνώπιον τῶν Ἀγγέλων· παρακαλῶ σε Παρθένε, βοήθησόν μοι ἐν τάχει.

Χρυσοπλοκώτατε πύργε, καὶ δωδεκάτειχε πόλις, ἡλιοστάλακτε Θρόνε, καθέδρα τοῦ Βασιλέως, ἀκατανόητον θαῦμα, πῶς γαλουχεῖς τὸν Δεσπότην;

ΕΤΕΡΟΣ ΚΑΝΩΝ

ΤΗΣ

ΘΕΟΤΟΚΟΥ.

Ὠδὴ, ά. ἦχος πλ. δ'. Ὁ Εἱρμός.

Γραὰν διωδεύσας ὡσεὶ ξηρὰν, » καὶ τὴν Αἰγυπτίαν, μοχθηρίαν » διαφυγὼν, ὁ Ἰσραηλίτης ἀνε- » βόα, Τῷ Λυτρωτῇ καὶ Θεῷ » ἡμῶν ᾄσωμεν. Δίς.

Πολλοῖς συνεχόμενος πειρασμοῖς πρὸς σὲ καταφεύγω, σωτηρίαν ἐπιζητῶν· ὦ Μῆτερ τοῦ Λόγου καὶ Παρθένε, τῶν δυσχερῶν καὶ δεινῶν με διάσωσον.

Παθῶν με ταράττουσι προσβολαὶ, πολλῆς ἀθυμίας, ἐμπιπλῶσαί μου τὴν ψυχὴν, εἰρήνευσον Κόρη τῇ γαλήνῃ, τῇ τοῦ Υἱοῦ καὶ Θεοῦ σου Πανάμωμε.

Δόξα.

Σωτῆρα τεκοῦσά σε καὶ Θεὸν, δυσωπῶ Παρθένε, λυτρωθῆναί με τῶν δεινῶν. Σοὶ γὰρ νῦν προσφεύγων ἀνατείνω, καὶ τὴν ψυχὴν καὶ τὴν διάνοιαν. Καὶ νῦν.

Νοσοῦντα τὸ σῶμα καὶ τὴν ψυχὴν, ἐπισκοπῆς θείας, καὶ προνοίας τῆς παρὰ σοῦ, ἀξίωσον μόνη Θεομῆτορ, ὡς ἀγαθὴ ἀγαθοῦ τε λοχεύτρια.

Ὠδὴ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὠδὴ Γ'. Ὁ Εἱρμός.

Οὐρανίας ἀψῖδος, ὑροφουργὲ Κύ-
» ριε, καὶ τῆς Ἐκκλησίας δομῆτορ,
» σύ με στερέωσον, ἐν τῇ ἀγάπῃ
» τῇ σῇ, τῶν ἐφετῶν ἡ ἀκρότης,
» τῶν πιστῶν τὸ στήριγμα, μόνε
» φιλάνθρωπε.

Προστασίαν καὶ σκέπην, ζωῆς ἐμῆς τίθημι, σὲ Θεογεννῆτορ Παρθένε, σύ με κυβέρνησον, πρὸς τὸν λιμένα σου, τῶν ἀγαθῶν ἡ αἰτία, πιστῶν τὸ στήριγμα, μόνη Πανύμνητε.

Ἱκετεύω Παρθένε, τὸν ψυχικὸν τάραχον, καὶ τῆς ἀθυμίας τὴν ζάλην διασκεδάσαι μου. Σὺ γὰρ Θεόνυμφε, τὸν ἀρχηγὸν τῆς γαλήνης, τὸν Χριστὸν ἐκύησας, Θεομακάριστε. Δόξα.

Εὐεργέτην τεκοῦσα, τὸν τῶν καλῶν αἴτιον, τῆς εὐεργεσίας τὸν πλοῦτον πᾶσιν ἀνάβλυσον. Πάντα γὰρ δύνασαι, ὡς δυνατὸν ἐν ἰσχύϊ, τὸν Χριστὸν κυήσασα, μόνη πάναχραντε. Καὶ νῦν.

Χαλεπαῖς ἀῤῥωστίαις, καὶ νοσεροῖς πάθεσιν, ἐξεταζομένῳ Παρθένε, σύ μοι βοήθησον. Τῶν ἰαμάτων γὰρ, ἀνελλιπῆ σε γινώσκω, θησαυρὸν Πανάμωμε, τὸν ἀδαπάνητον.

Διάσωσον ἀπὸ κινδύνων. κτλ. Ἐπίβλεψον ἐν εὐμενείᾳ· κτλ. ἡ Αἴτησις παρὰ τοῦ Ἱερέως. Τὸ Κοντάκιον. Προστασία τῶν Χριστιανῶν.

Εἰσακήκοα Κύριε, τῆς Οἰκονο-
» μίας σου τὸ μυστήριον, κατε-
» νόησα τὰ ἔργα σου, καὶ ἐδό-
» ξασά σου τὴν Θεότητα. Δίς.

Τῶν παθῶν μου τὸν τάραχον, ἡ τὸν κυβερνήτην τεκοῦσα Κύριον, καὶ τὸν κλύδωνα κατεύνασον, τῶν ἡμῶν πταισμάτων Θεονύμφευτε.

Εὐσπλαγχνίας τὴν ἄβυσσον, ἐπικαλουμένῳ τῆς σῆς παράσχου μοι, ἡ τὸν εὔσπλαγχνον κυήσασα, καὶ Σωτῆρα πάντων τῶν ὑμνούντων σε. Δόξα.

Ἀπολαύοντες Πάναγνε, τῶν σῶν δωρημάτων εὐχαριστήριον, ἀναμέλπομεν ἐφύμνιον, οἱ γινώσκοντές σε Θεομήτορα.

Καὶ νῦν.

Οἱ ἐλπίδα καὶ στήριγμα, καὶ τῆς σωτηρίας τεῖχος ἀκράδαντον, κεκτημένοι σε Πανύμνητε, δυσχερείας πάσης ἐκλυτρούμεθα.

Ὠδὴ Ε'. Ὁ Εἱρμός·

» Φώτισον ἡμᾶς, τοῖς προστάγ-
» μασί σου Κύριε, καὶ τῷ βραχίο-
» νί σου τῷ ὑψηλῷ, τὴν σὴν εἰ-
» ρήνην παράσχου ἡμῖν φιλάν-
» θρωπε, Δίς·

Ἐμπλησον Ἁγνὴ εὐφροσύνης τὴν ζωὴν ἡμῶν, τὴν σὴν ἀκήρατον διδοῦσα χαρὰν, τῆς εὐφροσύνης ἡ γεννήσασα τὸν αἴτιον.

Λύτρωσαι ἡμᾶς, ἐκ κινδύνων Θεοτόκε Ἁγνὴ, ἡ αἰωνίαν τεκοῦσα λύτρωσιν, καὶ τὴν εἰρήνην τὴν πάντα νοῦν ὑπερέχουσαν.

Λῦσον τὴν ἀχλὺν, τῶν πταισμά-

των

των μου Θεόνυμφε, τῷ φωτισμῷ τῆς σῆς λαμπρότητος, ἡ φῶς τεκοῦσα, τὸ θεῖον καὶ προαιώνιον.

Καὶ νῦν.

Ἴασαι Ἁγνὴ, τῆς ψυχῆς μου τὴν ἀσθένειαν, ἐπισκοπῆς σου ἀξιώσασα, καὶ τὴν ὑγείαν, τῇ πρεσβείᾳ σου παράσχου μοι,

Ὠδὴ ΣΤ'. Ὁ Εἱρμός.

» Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον, » καὶ αὐτῷ ἀπαγγελῶ μου τὰς » θλίψεις· ὅτι κακῶν ἡ ψυχή μου » ἐπλήσθη, καὶ ἡ ζωή μου τῷ ᾅδῃ » προσήγγισε, καὶ δέομαι ὡς » Ἰωνᾶς, Ἐκ φθορᾶς ὁ Θεός με » ἀνάγαγε.

Θανάτου καὶ τῆς φθορᾶς ὡς ἔσωσεν, ἑαυτὸν ἐκδεδωκὼς τῷ θανάτῳ, τὴν τῇ φθορᾷ, καὶ θανάτῳ μου φύσιν, κατασχεθεῖσαν Παρθένε δυσώπησον, τὸν Κύριόν σου καὶ Υἱόν, τῆς ἐχθρῶν κακουργίας με ῥύσασθαι.

Προστάτιν σε τῆς ζωῆς ἐπίσταμαι, καὶ φρουρὰν ἀσφαλεστάτην Παρθένε, τῶν πειρασμῶν, διαλύουσαν ὄχλον, καὶ ἐπηρείας δαιμόνων ἐλαύνουσαν, καὶ δέομαι διὰ παντὸς, Ἐκ φθορᾶς τῶν παθῶν μου ῥυσθῆναί με. Δόξα.

Ὡς τεῖχος καταφυγῆς κεκτήμεθα, καὶ ψυχῶν σε παντελῆ σωτηρίαν, καὶ πλατυσμὸν, ἐν ταῖς θλίψεσι Κόρη, καὶ τῷ φωτί σου ἀεὶ ἀγαλλόμεθα. Ὦ Δέσποινα καὶ νῦν ἡμᾶς, τῶν παθῶν καὶ κινδύνων διάσωσον. Καὶ νῦν.

Ἐν κλίνῃ νῦν ἀσθενῶν κατάκειμαι, καὶ οὔκ ἐστιν ἴασις τῇ σαρκί μου. Ἀλλ' ἡ Θεόν, καὶ Σωτῆρα τοῦ Κόσμου, καὶ τὸν λυτῆρα τῶν νόσων κυήσασα, σοῦ δέομαι τῆς ἀγαθῆς, ἐκ φθορᾶς νοσημάτων ἀνάστησον.

Διάσωσον ἀπὸ κινδύνων. κτλ. Ἄχραντε ἡ διὰ λόγου. κτλ. Αἴτησις παρὰ τοῦ ἱερέως. Προκείμενον. Μνησθήσομαι τοῦ ὀνόματός σου. Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου. Σοφία ὀρθοί. Ἐκ τοῦ κατὰ Λουκᾶν. Εἰς φύλ. 36. Δόξα. Πάτερ, Λόγε. Πνεῦμα καὶ τὰ λοιπά, ὡς εἰς φύλ. 364.

Ὠδὴ Ζ'. Ὁ Εἱρμός.

» Οἱ ἐκ τῆς Ἰουδαίας, καταντήσαντες Παῖδες ἐν Βαβυλῶνι » ποτὲ, τῇ πίστει τῆς Τριάδος, » τὴν φλόγα τῆς Καμίνου, κατε» πάτησαν ψάλλοντες, ὁ τῶν Πα» τέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Δίς.

Τὴν ἡμῶν σωτηρίαν, ὡς ἠθέλησας Σῶτερ οἰκονομήσασθαι, ἐν Μήτρᾳ τῆς Παρθένου, κατῴκησας τῷ Κόσμῳ, ἣν προστάτιν ἀνέδειξας, ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Θελητὴν τοῦ ἐλέους, ὃν ἐγέννησας Μῆτερ ἁγνὴ δυσώπησον, ῥυσθῆναι τῶν πταισμάτων, ψυχῆς τε μολυσμάτων, τοὺς ἐν πίστει κραυ-

γάζοντας, ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ. Δόξα.

Σωμάτων μαλακίας, καὶ ψυχῶν ἀῤῥωστίας Θεογεννήτρια, τῶν πόθῳ προσιόντων, τῇ σκέπῃ σου τῇ θείᾳ θεραπεύειν ἀξίωσον, ἡ τὸν Σωτῆρα Χριστόν, ἡμῖν ἀποτεκοῦσα. Καὶ νῦν.

Θησαυρὸν σωτηρίας, καὶ πηγὴν ἀφθαρσίας, τὴν σὲ κυήσασαν, καὶ πύργον ἀσφαλείας, καὶ θύραν μετανοίας, τοῖς κραυγάζουσιν ἔδειξας, ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ Η'. Ὁ Εἱρμός.

Τὸν Βασιλέα τῶν οὐρανῶν, ὃν » ὑμνοῦσι Στρατιαὶ τῶν Ἀγγέ» λων, ὑμνεῖτε καὶ ὑπερυψοῦτε, » εἰς πάντας τοὺς αἰῶνας.

Τοὺς βοηθείας τῆς παρὰ σοῦ δεομένους, μὴ παρίδῃς Παρθένε ὑμνοῦντας, καὶ ὑπερυψοῦντάς σε, Κόρη εἰς αἰῶνας.

Τῶν ἰαμάτων τὸ ταμιεῖον ἐπιχέεις, τοῖς πιστῶς ὑμνοῦσί σε Παρθένε, καὶ ὑπερυψοῦσιν, εἰς πάντας τοὺς αἰῶνας. Δόξα.

Τὰς ἀσθενείας μου τῆς ψυχῆς ἰατρεύεις, καὶ σαρκὸς τὰς ὀδύνας Παρθένε, ἵνα σε δοξάζω, εἰς πάντας τοὺς αἰῶνας. Καὶ νῦν.

Τῶν πειρασμῶν σὺ τὰς προσβολὰς ἐκδιώκεις, καὶ παθῶν τὰς ἐφόδους Παρθένε. Ὅθεν σε δοξάζω, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ Θ'. Ὁ Εἱρμός.

Κυρίως Θεοτόκον, σὲ ὁμολογοῦ» μεν, οἱ διὰ σοῦ σεσωσμένοι » Παρθένε ἀγνὴ, σὺν ἀσωμάτοις » χορείαις, σὲ μεγαλύνοντες.

Ῥοὴν μου τῶν δακρύων, μὴ ἀποποιήσῃς, ἡ τοῦ παντὸς ἐκ προσώπου πᾶν δάκρυον, ἀφῃρηκότα Παρθένε Χριστὸν κυήσασα.

Χαρᾶς μου τὴν καρδίαν, πλήρωσον Παρθένε, ἡ τῆς χαρᾶς δεξαμένη τὸ πλήρωμα, τῆς ἁμαρτίας τὴν λύπην ἐξαφανίσασα.

Δόξα.

Λιμὴν καὶ προστασία, τῶν σοὶ προσφευγόντων, γενοῦ Παρθένε καὶ τεῖχος ἀκράδαντον, καταφυγή τε καὶ σκέπη, καὶ ἀγαλλίαμα.

Καὶ νῦν.

Φωτός σου ταῖς ἀκτῖσι λάμπρυνον παρθένε, τὸ ζοφερὸν τῆς ἀγνοίας διώκουσα, τοὺς εὐσεβῶς Θεοτόκον σὲ καταγγέλλοντας.

Θυμιᾷ ὁ ἱερεὺς καὶ ἡμεῖς ψάλλομεν τὸ

Ἄξιόν ἐστιν ὡς ἀληθῶς καὶ τὰ λοιπὰ ὅρα φύλ. 366.

ΑΚΟΛΟΥΘΙΑ
ΤΟΥ
ΜΙΚΡΟΥ ΑΓΙΑΣΜΟΥ.

Εὐλογήσαντος τοῦ ἱερέως, ἀρχόμεθα τοῦ, Κύριε εἰσάκουσον τῆς προσευχῆς μου. Εἶτα τὸ, Θεὸς Κύριος, εἰς ἦχον δ'. τὰ τροπάρια. Τῇ Θεοτόκῳ ἐκτε-

νῶς;

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νῶς νῦν προσδράμωμεν. Δόξα τὸ αὐτό. Καὶ νῦν. Οὐ σιωπήσομεν ἀεὶ Θεοτόκε ἴδε φύλ. 360. Τὸν Ν'. Εἶτα ψάλλομεν τὰ τροπάρια ταῦτα.

Ἦχος πλ. β'. ὁ Εἱρμός.

„ Ἡ τὸ χαῖρε δι' Ἀγγέλου δε-
„ ξαμένη, καὶ τεκοῦσα τὸν κτί-
„ στην τὸν ἴδιον, Παρθένε σῶζε
„ τοὺς σὲ μεγαλύνοντας. Δίς.

Ἀνυμνοῦμεν τὸν υἱόν σου Θεοτόκε, καὶ βοῶμεν πανάχραντε δέσποινα, Παντὸς κινδύνου, ῥῦσαι τοὺς οἰκέτας σου.

Βασιλέων Προφητῶν καὶ Ἀποστόλων, καὶ Μαρτύρων ὑπάρχεις τὸ καύχημα, καὶ προστασία, τοῦ Κόσμου πανάμωμε.

Γλῶσσα πᾶσα εὐφημεῖ καὶ μακαρίζει, καὶ δοξάζει τὸν ἄχραντον τόκον σου, τῶν ὀρθοδόξων, Μαρία Θεόνυμφε.

Δός Χριστέ μου, καὶ ἐμοὶ τῷ ἀναξίῳ, ὀφλημάτων τὴν ἄφεσιν δέομαι, τῆς σὲ τεκούσης, πρεσβείαις ὡς εὔσπλαγχνος.

Ἐπί σέ μου τὰς ἐλπίδας ἀνεθέμην, Θεοτόκε σῶσον ταῖς πρεσβείαις σου, καὶ δώρησαί μοι, πταισμάτων τὴν ἄφεσιν.

Ζώωσόν με ἡ τεκοῦσα ζωοδότην καὶ σωτῆρα, σῶσον ταῖς πρεσβείαις σου, εὐλογημένη, ἐλπὶς τῶν ψυχῶν ἡμῶν.

Ἡ τὸν Κτίστην τῶν ἁπάντων, ἐν γαστρί σου συλλαβοῦσα, Παρθένε πανάμωμε, ταῖς σαῖς πρεσβείαις, σῶσον τὰς ψυχὰς ἡμῶν.

Θεοτόκε ἡ τεκοῦσα διὰ λόγου, ὑπὲρ λόγον τὸν Λόγον πανύμνητε· αὐτὸν δυσώπει, σῶσαι τὰς ψυχὰς ἡμῶν.

Ἱλεών μοι, τὸν κριτήν τε καὶ υἱόν σου, ἐπταικότι ὑπὲρ πάντα ἄνθρωπον, ταῖς σαῖς πρεσβείαις, ἀπέργασαι Δέσποινα.

Κατὰ χρέος ἐκβοῶμέν σοι τὸ χαῖρε, Θεοτόκε ἁγνὴ ἀειπάρθενε, ἐκδυσωποῦντες πρεσβείαις σου, σώζεσθαι.

Λύτρωσαί με τοῦ πυρὸς τοῦ αἰωνίου, καὶ βασάνων τῶν ἀποκειμένων μοι, θεογεννήτωρ, ὅπως μακαρίζω σε.

Μὴ παρίδῃς τὰς δεήσεις τῶν σῶν δούλων, δυσωποῦμεν Δέσποινα πανύμνητε, ἵνα ῥυσθῶμεν, πάσης περιστάσεως.

Νοσημάτων καὶ παντοίων ἀλγηδόνων, καὶ κινδύνων ἡμᾶς ἐλευθέρωσον, τῇ ἱερᾷ σου, σκέπῃ καταφεύγοντας.

Ξένον θαῦμα τὸ ἐν σοὶ Θεοκυῆτορ· δι' ἡμᾶς γαρ καθ' ἡμᾶς γεγέννηται, ὁ πάντων κτίστης, ἐκ σοῦ καὶ Θεὸς ἡμῶν.

Ὁ ναός σου Θεοτόκε ἀνεδείχθη, ἰατρεῖον νοσημάτων ἁμίσθον, καὶ θλιβομένων, ψυχῶν παραμύθιον.

Παναγία Θεοτόκε ἡ τεκοῦσα τὸν Σωτῆρα, κινδύνων διάσωσον, καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πάσης ἄλλης, ἀνάγκης τοὺς δούλους σου.

Ῥῦσαι πάσης ἀπειλῆς ἐπερχομένης, τοὺς σοὺς δούλους παναγία Δέσποινα, καὶ πάσης βλάβης, ψυχῆς τε καὶ σώματος.

Σῶσον πάντας ταῖς πρεσβείαις σου, Παρθένε Θεοτόκε, τοὺς εἰς σὲ προστρέχοντας, καὶ ῥῦσαι πάσης, ἀνάγκης καὶ θλίψεως.

Τίς προστρέχων τῷ ναῷ σου Θεοτόκε, οὐ λαμβάνει ταχέως τὴν ἴασιν, ψυχῆς ὁμοῦ τε, καὶ σώματος Ἄχραντε;

Ὑπὸ πάντων δυσωπούμενος οἰκτίρμων, τῶν ἁγίων καὶ τῶν ἄνω τάξεων, ἱλάσθητί μοι, διὰ τῆς τεκούσης σε.

Φεῖσαι Σῶτερ τῶν ψυχῶν τῶν τεθνεώτων, ἐπ' ἐλπίδι ζωῆς ἀδελφῶν ἡμῶν, καὶ ἄνες ἄφες, αὐτοῖς τὰ ἐγκλήματα.

Χαῖρε κόσμου ἱλαστήριον Παρθένε, χαῖρε στάμνε, καὶ λυχνία πάγχρυσε, τοῦ θείου μάννα, καὶ φωτὸς θεόνυμφε. Δόξα.

Ψάλλομέν σοι τῷ Θεῷ τῷ ἐν τριάδι, ἐκβοῶντες, φωνὴν τὴν τρισάγιον, ἐκδυσωποῦντες, σωτηρίας τεύξασθαι. Καὶ νῦν Θεοτ.

Ω Παρθένε, ἡ τέκουσα τὸν σωτῆρα, καὶ Δεσπότην τοῦ κόσμου καὶ Κύριον· αὐτὸν δυσώπει, σῶσαι τὰς ψυχὰς ἡμῶν.

Χαῖρε ὄρος, χαῖρε βάτε, χαῖρε πύλη, χαῖρε κλίμαξ, χαῖρε θεία τράπεζα, ἡ πάντων χαῖρε, βοήθεια Δέσποινα.

Ταῖς πρεσβείαις ἐλεήμων τῆς μητρός σου τῆς ἀχράντου, καὶ πάντων ἁγίων σου, τὰ σὰ ἐλέη, τῷ λαῷ σου δώρησαι.

Τῇ πρεσβείᾳ τῶν ἐνδόξων Ἀρχαγγέλων καὶ Ἀγγέλων, καὶ τῶν ἄνω τάξεων, τοὺς δούλους Σῶτερ, καλῶς διαφύλαξον.

Τῇ πρεσβείᾳ τοῦ τιμίου καὶ ἐνδόξου Βαπτιστοῦ σου, Προφήτου προδρόμου τε, Χριστέ μου Σῶτερ, τοὺς δούλους σου φύλαξον.

Τῇ πρεσβείᾳ τῶν ἐνδόξων Ἀποστόλων καὶ Μαρτύρων, καὶ πάντων ἁγίων σου, τὰ σὰ ἐλέη τῷ λαῷ σου δώρησαι.

Τῇ πρεσβείᾳ τῶν ἐνδόξων Ἀναργύρων Θεοτόκε, τοὺς δούλους σου φύλαττε, ὡς προστασία, τοῦ κόσμου καὶ στήριγμα. Δόξα.

Τὸν Πατέρα καὶ Υἱὸν δοξολογοῦμεν, καὶ τὸ Πνεῦμα τὸ ἅγιον λέγοντες, Τριὰς ἁγία, σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Η ἀῤῥήτως ἐπ' ἐσχάτων συλλαβοῦσα, καὶ τεκοῦσα τὸν κτίστην τὸν ἴδιον, Παρθένε σῶζε, τοὺς σὲ μεγαλύνοντας.

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς σὲ μὴ ἀστοχήσ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σωμεν, ῥυσθείημεν δ᾽ ἀ σοῦ τῶν
ριστάσεων. Σὺ γάρ εἶ ἡ σωτη-
α, τοῦ γένους τῶν χριστιανῶν.

Τοῦ Κυρίου δεηθῶμεν. Ὅτι ἅγιος
ὁ Θεὸς ἡμῶν. Εἶτα τὰ παρόντα
απάρια, ἦχος πλ. δ΄.

ῦν ἐπέστη ὁ κτιστὸς ὁ πάντας
ιάζων, καὶ ὁ δίκαιος ἡμᾶς ἀνα-
νει κριτής· ἀλλ᾽ ἐπίστρεψον
ψυχὴ πρὸς μετάνοιαν, ὡς ἡ πόρνη
άζουσα σὺν δάκρυσι, Κύριε ἐ-
ησόν με.

Ἁμάρτιν ἐπομβρήσας Χριστέ,
ηγὴν τῶν ἰάσεων, ἐν τῷ παν-
πτῳ ναῷ τῆς παρθένου σήμε-
ν, καὶ τῷ τῆς σῆς εὐλογίας
ντισμῷ, φυγαδεύεις τὰς νό-
ους τῶν ἀσθενούντων, ἰατρὲ τῶν
υχῶν καὶ τῶν σωμάτων ἡμῶν.

Παρθένος ἔτεκες ἀπειρόγαμε,
αὶ παρθένος ἔμεινας μήτηρ ἀνύμ-
ευτε, Θεοτόκε Μαρία, Χριστὸν
ν Θεὸν ἡμῶν ἱκέτευε, σωθῆναι
μᾶς.

Παναγία Θεοτόκε παρθένε, τῶν
ειρῶν ἡμῶν τὰ ἔργα κατεύθυνον,
αὶ συγχώρησιν τῶν πταισμά-
ων ἡμῶν αἴτησαι, ἐν τῷ ψάλ-
αν ἡμᾶς τῶν Ἀγγέλων τὸν ὕ-
νον. Εἶτα.

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός,
γιος ἀθάνατος, ἐλέησον ἡ-
ᾶς. γ΄.

Δόξα, καὶ νῦν. Ἅγιος ἀθάνατος
έησον ἡμᾶς. Δύναμις. Ἅγιος ὁ Θεός,
ἅγιος, ἰσχυρός... Εἶτα προκείμενον
ἦχος δ΄. Κύριος φωτισμός μου καὶ
Σωτήρ μου. Στίχ. Κύριος ὑπερασπι-
στὴς τῆς ζωῆς μου.

Πρὸς Ἑβραίους. Ἐπιστολὴ
Παύλου, τὸ ἀνάγνωσμα.

Ἀδελφοί, ὁ ἁγιάζων καὶ οἱ ἁγια-
ζόμενοι, ἐξ ἑνὸς πάντες· δι᾽ ἣν
αἰτίαν οὐκ ἐπαισχύνεται ἀδελφοὺς
αὐτοὺς καλεῖν, λέγων, Ἀπαγγελῶ
τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ Ἐκκλησίας ὑμνήσω σε·
καὶ πάλιν· Ἐγὼ ἔσομαι πεποιθὼς
ἐπ᾽ αὐτῷ· καὶ πάλιν· Ἰδοὺ ἐγὼ
καὶ τὰ παιδία, ἅμοι ἔδωκεν ὁ
Θεός. Ἐπεὶ οὖν τὰ παιδία κεκοι-
νώνηκε σαρκὸς καὶ αἵματος, καὶ
αὐτὸς παραπλησίως μετέσχε τῶν
αὐτῶν, ἵνα διὰ τοῦ θανάτου κα-
ταργήσῃ τὸν τὸ κράτος ἔχοντα
τοῦ θανάτου, τοῦτέστι τὸν διά-
βολον· καὶ ἀπαλλάξῃ τούτους, ὅσοι
φόβῳ θανάτου διὰ παντὸς τοῦ
ζῆν ἔνοχοι ἦσαν δουλείας· οὐ γὰρ
δήπου Ἀγγέλων ἐπιλαμβάνεται,
ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπι-
λαμβάνεται· ὅθεν ὤφειλε κατὰ
πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι,
ἵνα ἐλεήμων γένηται, καὶ πιστὸς
ἀρχιερεὺς τὰ πρὸς τὸν Θεὸν, εἰς
τὸ ἱλάσκεσθαι τὰς ἁμαρτίας τοῦ
λαοῦ· ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς
πειρασθείς, δύναται τοῖς πειρα-
ζομένοις βοηθῆσαι.

Ἀλληλούϊα ἦχος πλ. δ΄.

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ἰωάννην.

Τῷ καιρῷ, ἐκείνῳ ἀνέβη ὁ Ἰησοῦς
εἰς Ἱεροσόλυμα· ἔστι δὲ ἐν τοῖς Ἱε-

ρο-

ερσολύμοις ἐπὶ τῇ προβατικῇ κολυμβήθρᾳ, ἡ ἐπιλεγομένη ἑβραϊστὶ Βηθεσδὰ, πέντε στοὰς ἔχουσα· ἐν ταύταις κατέκειτο πλῆθος πολὺ τῶν ἀσθενούντων, τυφλῶν, χωλῶν, ξηρῶν, ἐκδεχομένων τὴν τοῦ ὕδατος κίνησιν. Ἄγγελος γὰρ κατὰ καιρὸν κατέβαινεν ἐν τῇ κολυμβήθρᾳ, καὶ ἐτάραττε τὸ ὕδωρ· ὁ οὖν πρῶτος ἐμβὰς μετὰ τὴν ταραχὴν τοῦ ὕδατος, ὑγιὴς ἐγίνετο, ᾧ δήποτε κατείχετο νοσήματι.

Εἶτα ὁ Διάκονος.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν. Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος. Ὑπὲρ τοῦ ἁγίου Οἴκου τούτου. Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου. Ὑπὲρ τῶν εὐσεβεστάτων. Ὑπὲρ τῆς Πόλεως ταύτης. Ὑπὲρ εὐκρασίας ἀέρων. Ὑπὲρ πλεόντων, ὁδοιπορούντων.

Ὑπὲρ τοῦ ἁγιασθῆναι τὸ ὕδωρ τοῦτο, τῇ δυνάμει καὶ ἐνεργείᾳ, καὶ ἐπιφοιτήσει τοῦ ἁγίου Πνεύματος, τοῦ Κυρίου δεηθῶμεν (γ΄.)

Ὑπὲρ τοῦ καταφοιτῆσαι τῷ ὕδατι τούτῳ, τὴν καθαρτικὴν τῆς ὑπερουσίου Τριάδος ἐνέργειαν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ γενέσθαι τὸ ὕδωρ τοῦτο, ἰαματικὸν ψυχῶν καὶ σωμάτων, καὶ πάσης ἀντικειμένης δυνάμεως ἀποτρεπτικὸν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ καταπεμφθῆναι αὐτῷ τὴν χάριν τῆς ἀπολυτρώσεως,

εἰργάσω, καὶ νίψασθαι κελεύσας, τὸ φῶς οἰκῆσαι παρασκευάσας λόγῳ, ὁ τὰς τῶν ἐναντίων παθῶν σπιλάδας ταράττων, καὶ τὴν τοῦ βίου τούτου ἀλμυρὰν θάλασσαν καταστείλας, καὶ τὰ ἀχθηφόρα τῶν ἡδονῶν κατευνάσας κύματα. Αὐτὸς φιλάνθρωπε Βασιλεῦ, πάρεσο καὶ νῦν διὰ τῆς ἐπιφοιτήσεως τοῦ Ἁγίουσου Πνεύματος, καὶ ἁγίασον τὸ ὕδωρ τοῦτο. (ἐκ γ'.) Καὶ δὸς αὐτῷ τὴν χάριν τῆς ἀπολυτρώσεως, τὴν εὐλογίαν τοῦ Ἰορδάνου, καὶ τὴν σὴν εὐλογίαν κατάπεμψον ἡμῖν καὶ δεόμεθά σου, Βασιλεῦ ἅγιε, ἐπάκουσον ἡμῶν δεομένων σου, καὶ ἁγίασον τὸ ὕδωρ τοῦτο τῷ πνεύματί σου τῷ ἁγίῳ (ἐκ τρίτου εὐλογεῖ)· ἐπίσκεψαι ἡμῶν τὴν ἀσθένειαν καὶ ἴασαι· ὁ δοὺς ἡμῖν χιονοφεγγόφωτον φορέσαι στολὴν ἐξ ὑδατός τε καὶ Πνεύματος, καὶ διὰ τῆς τοῦ ὑδατος τούτου μεταλήψεώς τε καὶ ῥαντισμοῦ, τὴν σὴν εὐλογίαν ἡμῖν κατάπεμψον, τὸν ῥύπον τῶν παθῶν ἀποσμήχουσαν. Ναί, δεόμεθα, ἐπίσκεψαι ἡμῶν ἀγαθὲ τὴν ἀσθένειαν, καὶ ἴασαι ἡμῶν τὰς νόσους ψυχῆς τε καὶ σώματος τῷ ἐλέει σου, Πρεσβείαις τῆς Παναχράντου ὑπερευλογημένης, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας. Δυνάμει τοῦ τιμίου, καὶ ζωοποιοῦ σταυροῦ. Προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων ἀσωμάτων. Τοῦ τιμίου, ἐνδόξου, Προφήτου, Προδρόμου, καὶ Βαπτιστοῦ Ἰωάννου. Τῶν ἁγίων ἐνδόξων, καὶ πανευφήμων Ἀποστόλων. Τῶν ὁσίων καὶ Θεοφόρων Πατέρων ἡμῶν. Τῶν ἐν ἁγίοις Μεγάλων Ἱεραρχῶν, καὶ Οἰκουμενικῶν Διδασκάλων, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου, καὶ Ἰωάννου τοῦ Χρυσοστόμου. Τῶν ἐν ἁγίοις Πατέρων ἡμῶν Ἀθανασίου καὶ Κυρίλλου, Πατριαρχῶν Ἀλεξανδρείας. Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Σπυρίδωνος Τριμυθοῦντος τοῦ θαυματουργοῦ. Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Νικολάου, ἐπισκόπου Μύρων τῆς Λυκίας τοῦ θαυματουργοῦ. Τοῦ ἁγίου καὶ ἐνδόξου Μεγαλομάρτυρος Γεωργίου τοῦ Τροπαιοφόρου. Τοῦ ἁγίου καὶ ἐνδόξου Μεγαλομάρτυρος Δημητρίου τοῦ Μυροβλύτου. Τῶν ἁγίων καὶ Καλλινίκων Μαρτύρων. Τῶν ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακείμ, καὶ Ἄννης. Τῶν ἁγίων ἐνδόξων καὶ θαυματουργῶν Ἀναργύρων, Κοσμᾶ καὶ Δαμιανοῦ, Κύρου καὶ Ἰωάννου, Παντελεήμονος, καὶ Ἑρμολάου, Σαμψὼν, καὶ Διομήδους, Μωκίου, καὶ Ἀνικήτου, Θαλαλαίου καὶ Τρύφωνος. Τοῦ ἁγίου (τοῦδε) οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων σου τῶν ἁγίων. Καὶ φύλαττε Κύριε τοὺς δούλους σου τοὺς πιστοὺς Βασιλεῖς ἡμῶν, (γ'.) Χάρισαι αὐτοῖς ψυχῆς καὶ σώματος τὴν ὑγείαν, καὶ τῇ δουλικῇ σου ταύτῃ τῶν χριστιανῶν πολιτείᾳ ποίησον κατὰ πάντα ἐπιεικεῖς. Μνήσθητι Κύριε πάσης ἐπισκοπῆς ὀρθοδόξων, τῶν ὀρθοτομούντων

τὸν

τὸν λόγον τῆς σῆς ἀληθείας, καὶ παντὸς ἱερατικοῦ καὶ μοναχικοῦ τάγματος, καὶ τῆς σωτηρίας αὐτῶν. Μνήσθητι Κύριε τῶν μισούντων καὶ ἀγαπώντων ἡμᾶς. Τῶν διακονούντων ἀδελφῶν ἡμῶν τῶν περιεστώτων, καὶ τῶν δι' εὐλόγους αἰτίας ἀπολειφθέντων, καὶ τῶν ἐντειλαμένων ἡμῖν τοῖς ἀναξίοις εὔχεσθαι ὑπὲρ αὐτῶν. Μνήσθητι Κύριε τῶν ἐν αἰχμαλωσίᾳ καὶ θλίψεσιν ὄντων ἀδελφῶν ἡμῶν, καὶ ἐλέησον αὐτοὺς κατὰ τὸ μέγα σου ἔλεος, πάσης ἀνάγκης ῥυόμενος. Ὅτι σὺ εἶ ἡ πηγὴ τῶν ἰαμάτων Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ Παναγίῳ καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἰρήνη πᾶσι. Τὰς Κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

Εἶτα λέγει Μυστικῶς.

Κλῖνον Κύριε τὸ οὖς σου, καὶ ἐπάκουσον ἡμῶν, ὁ ἐν Ἰορδάνῃ βαπτισθῆναι καταδεξάμενος, καὶ ἁγιάσας τὰ ὕδατα. Καὶ εὐλόγησον πάντας ἡμᾶς, τοῦ διὰ τῆς κλίσεως τοῦ ἑαυτῶν αὐχένος σημαίνοντας τὸ τῆς δουλείας πρόσχημα· καὶ καταξίωσον ἡμᾶς ἐμπλησθῆναι τοῦ ἁγιασμοῦ σου, διὰ τῆς τοῦ ὕδατος τούτου μεταλήψεώς τε καὶ ῥαντισμοῦ, καὶ γενέσθω ἡμῖν Κύριε, εἰς ὑγείαν ψυχῆς τε καὶ σώματος.

Παναμωμε, παύουσα δεινῶν ἡμῶν ἐπαναστάσεις, πάσης θλίψεως ἡμᾶς ἀπαλλάττουσα. Σὲ γὰρ μόνην ἀσφαλῆ, καὶ βεβαίαν ἄγκυραν ἔχομεν, καὶ τὴν σὴν προστασίαν κεκτήμεθα. Μὴ αἰσχυνθῶμεν Δέσποινα, σὲ προσκαλούμενοι. Σπεῦσον εἰς ἱκεσίαν τῶν σοὶ πιστῶς βοώντων, Χαῖρε Δέσποινα, ἡ πάντων βοήθεια, χαρὰ, καὶ σκέπη, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Δέσποινα πρόσδεξαι κλπ. Αἴτησις καὶ ἀπόλυσις.

ΑΚΟΛΟΥΘΙΑ

ΤΗΣ

ΜΕΤΑΛΗΨΕΩΣ,

Ἣν ἀναγινώσκει ὁ Ἱερεὺς ἀφ' ἑσπέρας καὶ τὸ πρωΐ.

Μετὰ τὸν στίχον λέγομεν τὸ, Βασιλεῦ οὐράνιε, Τρισάγιον, Παναγία Τριὰς. Πάτερ ἡμῶν. Ὅτι σοῦ. Κύριε ἐλέησον ιβ'. Δεῦτε προσκυνήσωμεν. γ'. τὸν Ν'. καὶ εὐθὺς τὸν Κανόνα, κατ' Ἀλφάβητον. Ἦχος β'.

Ὠδὴ Α'. Δεῦτε λαοὶ ἄσωμεν.

Ἄρτος ζωῆς, αἰωνιζούσης γενέσθω μοι, τὸ Σῶμά σου τὸ Ἅγιον, εὔσπλαγχνε Κύριε, καὶ τὸ τίμιον Αἷμα, καὶ νόσων πολυτρόπων ἀλεξητήριον. Δόξα,

Βεβηλωθείς, ἔργοις ἀτόποις ὁ δείλαιος, τοῦ σοῦ ἀχράντου Σώματος, καὶ Θείου Αἵματος, ἀνάξιος ὑπάρχω, Χριστὲ τῆς μετουσίας, ἧς με ἀξίωσον.

Καὶ νῦν. Θεοτοκίον.

Γῆ ἀγαθὴ, εὐλογημένη Θεόνυμφε, τὸν στάχυν ἡ βλαστήσασα τὸν ἀγεώργητον, καὶ σωτήριον Κόσμῳ, ἀξίωσόν με τούτου, τρώγοντα σώζεσθαι.

Ὠδὴ Γ'. Ὁ Εἱρμός.

» Ἐν πέτρᾳ με τῆς Πίστεως » στερεώσας, ἐπλάτυνας τὸ στό- » μα μου ἐπ' ἐχθρούς μου· εὐ- » φράνθη γὰρ τὸ πνεῦμά μου ἐν » τῷ ψάλλειν, Οὐκ ἔστιν Ἅγιος » ὡς ὁ Θεός ἡμῶν, καὶ οὐκ ἔστι » δίκαιος, πλὴν σου Κύριε.

Τροπάριον.

Δακρύων μοι παράσχου Χριστὲ ῥανίδας, τὸν ῥύπον τῆς καρδίας μου καθαιρούσας, ὡς ἂν εὐσυνειδότως κεκαθαρμένος, πίσει προσέρχωμαι, καὶ φόβῳ Δέσποτα, ἐν τῇ Μεταλήψει τῶν θείων δώρων σου.

Δόξα.

Εἰς ἄφεσιν γενέσθω μοι τῶν πταισμάτων, τὸ ἀχραντόν σου Σῶμα καὶ θεῖον Αἷμα, εἰς Πνεύματος Ἁγίου τε κοινωνίαν, καὶ εἰς αἰώνιον ζωὴν φιλάνθρωπε, καὶ παθῶν καὶ θλίψεων ἀλλοτρίωσιν.

Καὶ νῦν. Θεοτοκίον.

Ζωῆς τοῦ Ἄρτου τράπεζα Παναγία, τοῦ ἄνωθεν δι' ἔλαιον καταβάντος, καὶ Κόσμῳ καινοτέραν ζωὴν διδόντος, κἀμὲ ἀξίωσον νῦν τὸν ἀνάξιον, μετα φόβου γεύσασθαι τούτου, καὶ ζήσεσθαι.

Δημόσια Κεντρική Βιβλιοθήκη

Ὠδὴ δ'. Ἐλήλυθας ἐκ Παρθένου.

Ἠθέλησας, δι' ἡμᾶς σαρκωθεὶς πολυέλεε, τυθῆναι ὡς πρόβατον διὰ βροτῶν ἁμαρτήματα· ὅθεν ἱκετεύω σε, καὶ τὰ ἐμὰ ἐξαλεῖψαι πλημμελήματα. Δόξα.

Θεράπευσον τῆς ψυχῆς μου τὰ τραύματα Κύριε, καὶ ὅλον με ἁγίασον, καὶ καταξίωσον Δέσποτα, ὅπως κοινωνήσω σου, τοῦ μυστικοῦ θείου Δείπνου ὁ ταλαίπωρος.

Καὶ νῦν. Θεοτοκίον.

Ἐλέωσαι, καὶ ἐμοὶ τῶν ἐκ σπλάγχνων σου Δέσποινα, καὶ τήρει με ἀῤῥύπον, τὸν σὸν ἱκέτην καὶ ἄμεμπτον, ὅπως εἰσδεχόμενος, τὸν νοητὸν Μαργαρίτην ἁγιάζωμαι.

Ὠδὴ ε'. Ὁ τοῦ Φωτὸς ἀρχηγός.

Καθὼς προέφης Χριστὲ, γενέσθω δὴ τῷ εὐτελεῖ δούλῳ σου, καὶ ἐν ἐμοὶ μεῖνον ὡς ὑπέσχου· ἰδοὺ γὰρ τὸ Σῶμα, τρώγω σου τὸ θεῖον, καὶ πίνω τὸ Αἷμά σου. Δόξα.

Λόγε Θεοῦ καὶ Θεὲ, ὁ ἄνθραξ γένοιτο τοῦ σοῦ Σώματος εἰς φωτισμὸν, τῷ ἐσκοτισμένῳ ἐμοὶ, καὶ καθαρισμὸν, τῆς βεβηλωθείσης ψυχῆς μου τὸ Αἷμά σου.

Καὶ νῦν. Θεοτοκίον.

Μαρία Μήτηρ Θεοῦ, τῆς εὐωδίας τὸ σεπτὸν σκήνωμα, ταῖς σαῖς εὐχαῖς, σκεῦος ἐκλογῆς με ἀπέργασαι, ὅπως τῶν Ἁγιασμάτων μετέχω τοῦ Τόκου σου.

Ὠδὴ στ'. Ἐν ἀβύσσῳ πταισμάτων.

Ναὸν ψυχὴν καὶ καρδίαν ἁγίασον, Σῶτερ καὶ τὸ Σῶμά μου, καὶ καταξίωσον, ἀκατακρίτως Δέσποτα, τοῖς φρικτοῖς Μυστηρίοις προσέρχεσθαι. Δόξα.

Ξενωθείην παθῶν, καὶ τῆς χάριτος, σχοίην τε προσθήκην, ζωῆς τε ἀσφάλειαν, διὰ τῆς μεταλήψεως τῶν Ἁγίων Χριστὲ Μυστηρίων σου. Καὶ νῦν. Θεοτοκ.

Ὁ Θεοῦ Θεὸς Λόγος ὁ Ἅγιος, ὅλον με ἁγίασον, νῦν προσερχόμενον, τοῖς θείοις Μυστηρίοις σου, τῆς Ἁγίας Μητρός σου δεήσεσι.

Κοντάκιον.

Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Τὸν Ἄρτον Χριστὲ, λαβεῖν μὴ ὑπερίδῃς με, τὸ Σωμα τὸ σὸν, καὶ τοῦ θείου σου νῦν Αἵματος, τῶν ἀχράντων Δέσποτα, καὶ φρικτῶν Μυστηρίων σου, μετασχεῖν ὁ ἄθλιος, μὴ εἰς κρῖμά μοι γένοιτο· γένοιτο δέ μοι εἰς ζωὴν αἰώνιον, καὶ ἀθάνατον.

Ὠδὴ ζ'. Εἰκόνος Χρυσῆς.

Πηγὴ ἁγαθῶν, ἡ Μετάληψις Χριστὲ τῶν ἀθανάτων σου, νῦν Μυστηρίων γενηθήτω μοι, φῶς καὶ ζωὴ καὶ ἀπάθεια, καὶ πρὸς ἀρετῆς θειοτέρας, προκοπὴν καὶ ἐπίδοσιν, πρόξενος μόνε ἀγαθὲ, ὅπως δοξάζω σε. Δόξα.

Ῥυσθείην παθῶν, καὶ ἐχθρῶν καὶ ἀναγκῶν καὶ πάσης θλίψεως, τρόμῳ καὶ πόθῳ προσιὼν σοι νῦν, μετ' εὐλαβείας φιλάνθρωπε, σοῦ τοῖς ἀθανάτοις καὶ θείοις Μυστηρίοις, καὶ ψάλλειν σοι, Εὐλογητὸς

Ιερατικο Κεντρικη Βιβλιοθηκη Μακρου

τὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Σωτῆρα Χριστὸν, ἡ τεκοῦσα ὑπὲρ νοῦν Θεοχαρίτωτε. Ἐκδυσωπῶ σε νῦν ὁ δοῦλός σου, τὴν καθαρὰν ὁ ἀκάθαρτος· μέλλοντά με νῦν τοῖς ἀχράντοις, Μυστηρίοις προσέρχεσθαι, κάθαρον ὅλον μολυσμοῦ, σαρκὸς, καὶ πνεύματος.

Ὠδὴ ἡ. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Τῶν Οὐρανίων καὶ φρικτῶν, καὶ ἁγίων σου, νῦν Χριστὲ Μυστηρίων καὶ τοῦ θείου σου Δείπνου καὶ μυστικοῦ κοινωνὸν γενέσθαι κἀμὲ καταξίωσον, τὸν ἀπεγνωσμένον, ὁ Θεὸς ὁ Σωτήρ μου. Δόξα.

Ὑπὸ τὴν σὴν καταφυγὼν, εὐσπλαγχνίαν, ἀγαθὲ κράζω σοι φόβῳ. Ἐν ἐμοὶ μεῖνον Σῶτερ, κἀγὼ ὡς ἔφης ἐν σοί· ἰδοὺ γὰρ θαῤῥῶν τῷ ἐλέει σου, τρώγω σου τὸ Σῶμα, καὶ πίνω σου τὸ Αἷμα.

Καὶ νῦν.

Φρίττω δεχόμενος τὸ πῦρ, μὴ φλεχθῶ ὡσεὶ κηρὸς καὶ ὡσεὶ χόρτος· ὦ φρικτοῦ μυστηρίου! ὦ εὐσπλαγχνίας Θεοῦ! πῶς θείου Σώματος καὶ Αἵματος, ὁ πηλὸς μετέχω, καὶ ἀφθαρτοποιοῦμαι.

Ὠδὴ θ'. Ἀνάρχου Γεννήτορος.

Χριστός ἐστι γεύσασθε, καὶ ἴδετε ὁ Κύριος· δι' ἡμᾶς καθ' ἡμᾶς γὰρ πάλαι γενόμενος, ἄπαξ ἑαυτόν τε προσάξας, ὡς προσφορὰν, Πατρὶ τῷ ἰδίῳ, ἀεὶ σφαγιάζεται, ἁγιάζων τοὺς μετέχοντας.

Ψυχὴν σὺν τῷ σώματι, ἁγιασθείην Δέσποτα, φωτισθείην, σωθείην, γενοίμην οἶκός σου, τὴν τῶν Μυστηρίων μεθέξει τῶν ἱερῶν, ἐνοικόν σε ἔχων, σὺν Πατρὶ καὶ Πνεύματι, εὐεργέτα Πολυέλεε. Δόξα.

Ὡς πῦρ γενηθήτω μοι, καὶ ὡσεὶ φῶς τὸ Σῶμα σου, καὶ τὸ Αἷμα Σωτήρ μου τὸ τιμιώτατον· φλέγον ἁμαρτίας τὴν ὕλην, καὶ ἐμπιπρῶν παθῶν τὰς ἀκάνθας, καὶ ὅλον φωτίζον με, προσκυνεῖν σου τὴν Θεότητα.

Καὶ νῦν. Θεοτοκίον.

Θεὸς σεσωμάτωται, ἐκ τῶν ἁγνῶν αἱμάτων σου· ὅθεν πᾶσα ὑμνεῖ σε γενεὰ Δέσποινα. Νόων τε τὰ πλήθη δοξάζει, ὡς διά σοῦ σαφῶς κατιδόντα, τὸν πάντων Δεσπόζοντα, οὐσιωθέντα τὸ ἀνθρώπινον.

Καὶ εὐθὺς, Ἄξιόν ἐστιν ὡς ἀληθῶς. Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Τροπάριον τῆς ἡμέρας, εἰ ἐστιν ἑορτὴ τῶν Χριστοῦ Γεννῶν, ἢ Ἀλληλούϊα· εἰδ' οὔ ταῦτα.

Ἦχος πλ. β'.

Ἐλέησον ἡμᾶς Κύριε, ἐλέησον ἡμᾶς· πάσης γὰρ ἀπολογίας ἀπορροῦντες, ταύτην σοι τὴν ἱκεσίαν ὡς Δεσπότῃ οἱ ἁμαρτωλοὶ προσφέρομεν, ἐλέησον ἡμᾶς.

Δόξα.

Κύριε ἐλέησον ἡμᾶς· ἐπὶ σὲ γὰρ πεποίθαμεν· μὴ ὀργισθῇς ἀκό-

Δημόσια Κεντρική Βιβλιοθήκη

σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν· ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὐσπλαγχνος, καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεὸς ἡμῶν, καὶ ἡμεῖς λαός σου, πάντες ἔργα χειρῶν σου, καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα. Καὶ νῦν. Θεοτοκίον.

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε· ἐλπίζοντες εἰς σέ, μὴ ἀστοχήσωμεν· ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων. Σὺ γὰρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Τὸ, Κύριε ἐλέησον, μ'. Καὶ ἡ εὐχὴ τῶν ἀποδείπνων. Ἤγουν Ἄσπιλε, ἀμόλυντε, ἄφθορε, ἄχραντε. κτλ.

Τῇ ἐπαύριον δὲ, μετὰ τὴν τῶν Ὡρῶν συνήθη Ἀκολουθίαν, ὁ μεταλαβεῖν μέλλων, ποιεῖ στίχον, εἶτα Βασιλεῦ Οὐράνιε. Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Κύριε ἐλέησον, ιβ'. Δεῦτε προσκυνήσωμεν. γ'. Καὶ τοὺς παράντας Ψαλμούς.

ΨΑΛΜΟΣ, κβ'. 22.

Κύριος ποιμένει με, καὶ οὐδέν με ὑστερήσει, εἰς τόπον χλόης, ἐκεῖ με κατεσκήνωσεν.

Ἐπὶ ὕδατος ἀναπαύσεως ἐξέθρεψέ με, τὴν ψυχήν μου ἐπέστρεψεν.

Ὡδήγησέ με ἐπὶ τρίβους δικαιοσύνης, ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ.

Καὶ γὰρ ἐὰν πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου, οὐ φοβηθήσομαι κακὰ, ὅτι σὺ μετ' ἐμοῦ εἶ.

Ἡ ῥάβδος σου, καὶ ἡ βακτηρία σου, αὗταί με παρεκάλεσαν.

Ἡτοίμασας ἐνώπιόν μου τράπεζαν ἐξ ἐναντίας τῶν θλιβόντων με.

Ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου καὶ τὸ ποτήριόν σου μεθύσκον με ὡσεὶ κράτιστον.

Καὶ τὸ ἔλεός σου καταδιώξει με πάσας τὰς ἡμέρας τῆς ζωῆς μου.

Καὶ τὸ κατοικεῖν με ἐν οἴκῳ Κυρίου, εἰς μακρότητα ἡμερῶν.

ΨΑΛΜΟΣ, κγ'. 23.

Τοῦ Κυρίου ἡ γῆ, καὶ τὸ πλήρωμα αὐτῆς, ἡ Οἰκουμένη, καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ.

Αὐτὸς ἐπὶ θαλασσῶν ἐθεμελίωσεν αὐτὴν, καὶ ἐπὶ ποταμῶν ἡτοίμασεν αὐτήν.

Τίς ἀναβήσεται εἰς τὸ ὄρος Κυρίου, ἢ τίς στήσεται ἐν τόπῳ ἁγίῳ αὐτοῦ;

Ἀθῷος χερσὶ καὶ καθαρὸς τῇ καρδίᾳ, ὃς οὐκ ἔλαβεν ἐπὶ ματαίῳ τὴν ψυχὴν αὐτοῦ, καὶ οὐκ ὤμοσεν ἐπὶ δόλῳ τῷ πλησίον αὐτοῦ.

Οὗτος λήψεται εὐλογίαν παρὰ Θεοῦ Σωτῆρος αὐτοῦ.

Αὕτη ἡ γενεὰ ζητούντων τὸν Κύριον, ζητούντων τὸ πρόσωπον τοῦ Θεοῦ Ἰακώβ.

Ἄρατε πύλας οἱ Ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ Βασιλεὺς τῆς δόξης.

Τίς ἐστιν οὗτος ὁ Βασιλεὺς τῆς

τῆς δόξης ; Κύριος κραταιὸς καὶ δυνατός, Κύριος δυνατὸς ἐν πολέμῳ.

Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν καὶ ἐπάρθητε πυλαὶ αἰώνιοι, καὶ εἰσελεύσεται ὁ Βασιλεὺς τῆς δόξης.

Τίς ἐστιν οὗτος ὁ Βασιλεὺς τῆς δόξης; Κύριος τῶν δυνάμεων, αὐτός ἐστιν ὁ Βασιλεὺς τῆς δόξης.

ΨΑΛΜΟΣ, ριε'. 115.

Ἐπίστευσα, διὸ ἐλάλησα· ἐγὼ δὲ ἐταπεινώθην σφόδρα.

Ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκτάσει μου, Πᾶς ἄνθρωπος ψεύστης.

Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκέ μοι;

Ποτήριον σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι.

Τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω, ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν Ὁσίων αὐτοῦ.

Ὦ Κύριε, ἐγὼ δοῦλος σός, ἐγὼ δοῦλος σός, καὶ Υἱὸς τῆς παιδίσκης σου, διέρρηξας τοὺς δεσμούς μου.

Σοὶ θύσω θυσίαν αἰνέσεως, καὶ ἐν ὀνόματι Κυρίου ἐπικαλέσομαι.

Τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω, ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ.

Ἐν αὐλαῖς οἴκου Κυρίου, ἐν μέσῳ σου Ἱερουσαλήμ.

Δόξα καὶ νῦν. Ἀλληλούϊα, Μεταναίας γ'. καὶ τὰ παρόντα Τροπάρια.

Ἦχος πλ. δ'.

Τὰς ἀνομίας μου πάριδε Κύριε, ὁ ἐκ Παρθένου τεχθείς, καὶ τὴν καρδίαν μου καθάρισον, ναὸν αὐτὴν ποιῶν τοῦ ἀχράντου σου Σώματος καὶ Αἵματος· μὴ με ἐξουδενώσῃς ἀπὸ τοῦ σοῦ προσώπου, ὁ ἀμέτρητον ἔχων τὸ μέγα ἔλεος.

Δόξα.

Εἰς τὴν Μετάληψιν τῶν Ἁγιασμάτων σου πῶς ἀναιδεσθῶ ὁ ἀνάξιος ; ἐὰν γὰρ τολμήσω σοι προσελθεῖν σὺν τοῖς ἀξίοις, ὁ χιτὼν με ἐλέγχει, ὅτι οὐκ ἐστι τοῦ Δείπνου, καὶ κατάκρισιν προξενήσω τῇ πολυαμαρτήτῳ μου ψυχῇ· καθάρισον Κύριε τὸν ῥύπον τῆς ψυχῆς μου, καὶ σῶσόν με ὡς φιλάνθρωπος.

Καὶ νῦν Θεοτοκίον.

Πολλὰ τὰ πλήθη τῶν ἐμῶν Θεοτόκε πταισμάτων, πρὸς σὲ κατέφυγον ἀγνή, σωτηρίας δεόμενος. Ἐπίσκεψαι τὴν ἀσθενοῦσάν μου ψυχήν, καὶ πρέσβευε τῷ Υἱῷ σου, καὶ Θεῷ ἡμῶν, δοθῆναί μοι τὴν ἄφεσιν, ὧν ἔπραξα δεινῶν, μόνη εὐλογημένη.

Τῇ δὲ ἁγίᾳ καὶ μεγάλῃ Ε'. λέγε

Ὅτε οἱ ἔνδοξοι Μαθηταί, ἐν τῷ Νιπτῆρι τοῦ δείπνου ἐφωτίζοντο, τότε Ἰούδας ὁ δυσσεβής, φιλαργυρίαν νοσήσας ἐσκοτίζετο· καὶ ἀνόμοις κριταῖς, σὲ τὸν δίκαιον Κριτὴν παραδίδωσι. Βλέπε χρημάτων ἐραστά, τὸν διὰ ταῦτα ἀγχόνῃ χρησάμενον. Φεῦγε ἀκο-

Δημόσιο Κεντρικό Β

.ρεστον ψυχὴν τὴν διδασκάλῳ τοιαῦτα τολμήσασαν· ὁ περὶ πάντας ἀγαθὸς, Κύριε δόξα σοι.

Εἶτα τό, Κύριε ἐλέησον, μ'. Μετανοίας ὅτας βούλει, καὶ εὐθὺς τοὺς παρόντας στίχους.

Μέλλων φαγεῖν, ἄνθρωπε, Σῶμα Δεσπότου.

Φόβῳ πρόσελθε, μὴ φλεγῇς, πῦρ τυγχάνει.

Θεῖον δὲ πίνων, Αἷμα πρὸς μετουσίαν.

Πρῶτον καταλλάγηθι τοῖς σὲ λυποῦσιν.

Ἔπειτα θαῤῥῶν μυστικὴν βρῶσιν φάγε.

Ἕτεροι στίχοι

Πρὸ τοῦ μετασχεῖν τῆς φρικώδους θυσίας.

Τοῦ ζωοποιοῦ Σώματος τοῦ Δεσπότου.

Τῷ δε πρόσευξαι τῷ τρόπῳ μετὰ τρόμου.

ΕΥΧΗ

Τοῦ Μεγάλου Βασιλείου.

Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἡ πηγὴ τῆς ζωῆς καὶ τῆς ἀθανασίας, ὁ πάσης ὁρατῆς καὶ ἀοράτου Κτίσεως Δημιουργὸς, ὁ τοῦ ἀνάρχου Πατρὸς συναΐδιος Υἱὸς, καὶ συνάναρχος. Ὁ δι' ὑπερβολὴν ἀγαθότητος, ἐπ' ἐσχάτων τῶν ἡμερῶν σάρκα φορέσας, καὶ σταυρωθεὶς, καὶ τυθεὶς ὑπὲρ τῶν ἀχαρίστων καὶ ἀγνωμόνων ἡμῶν, καὶ τῷ οἰκείῳ σου Αἵματι ἀναπλάσας τὴν φθαρεῖσαν ὑπὸ τῆς ἁμαρτίας φύσιν ἡμῶν. Αὐτὸς ἀθάνατε Βασιλεῦ, πρόσδεξαι καμοῦ τοῦ ἁμαρτωλοῦ τὴν μετάνοιαν, καὶ κλῖνον τοῦ οὖς σου ἐμοί, καὶ εἰσάκουσον τῶν ῥημάτων μου. Ἥμαρτον γὰρ, Κύριε, ἥμαρτον εἰς τὸν Οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ οὐκ εἰμὶ ἄξιος ἀτενίσαι εἰς τὸ ὕψος τῆς δόξης σου· παρώργισα γάρ σου τὴν ἀγαθότητα, τὰς σὰς ἐντολὰς παραβὰς, καὶ μὴ ὑπακούσας τοῖς σοῖς προστάγμασιν. Ἀλλὰ σὺ, Κύριε, ἀνεξίκακος ὢν, μακρόθυμός τε, καὶ πολυέλεος, οὐ παρέδωκάς με συναπολέσθαι ταῖς ἀνομίαις μου, τὴν ἐμὴν πάντως ἀναμένων ἐπιστροφήν. Σὺ γὰρ εἶπας φιλάνθρωπε διὰ τοῦ Προφήτου σου, ὅτι οὐ θελήσει θέλω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν. Οὐ γὰρ βούλει, Δέσποτα, τὸ πλάσμα τῶν σῶν ἀπολέσθαι χειρῶν, οὐδὲ εὐδοκεῖς ἐπ' ἀπωλείᾳ ἀνθρώπων, ἀλλὰ θέλεις πάντας σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. Διὸ κἀγὼ, εἰ καὶ ἀνάξιός εἰμι τοῦ Οὐρανοῦ καὶ τῆς γῆς, καὶ αὐτῆς τῆς προσκαίρου ζωῆς, ὅλον ἐμαυτὸν ὑποτάξας τῇ ἁμαρτίᾳ, καὶ ταῖς ἡδοναῖς δουλώσας, καὶ τὴν σὴν ἀχρειώσας Εἰκόνα, ἀλλὰ ποίημα καὶ πλάσμα σὸν γεγονὼς, οὐκ ἀπογινώσκω τὴν ἐμαυτοῦ σωτηρίαν ὁ ἄθλιος· τῇ δὲ σῇ ἀμετρήτῳ εὐσπλαγχνίᾳ θαῤῥήσας, προσέρχομαι. Δέξαι οὖν κἀμὲ, φιλάνθρωπε Χριστὲ, ὡς τὴν Πόρνην, ὡς τὸν Λῃστὴν, ὡς τὸν Τελώνην, καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ ὡς τὸν Ἄσωτον· καὶ ἄρον μου τὸ βάρος φορτίον τῶν ἁμαρτιῶν ὁ τὴν μαρτίαν αἴρων τοῦ Κόσμου, καὶ τὰς ἀσθενείας τῶν ἀνθρώπων ἰώμενος· ὁ τοὺς κοπιῶντας καὶ πεφορτισμένους πρὸς σεαυτὸν καλῶν, καὶ ἀναπαύων· ὁ μὴ ἐλθὼν καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν· καὶ καθάρισόν με ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος· δίδαξόν με ἐπιτελεῖν ἁγιωσύνην ἐν φόβῳ σου, ἵνα ἐν καθαρῷ τῷ μαρτυρίῳ τῆς συνειδήσεώς μου, τῶν ἁγιασμάτων σου τὴν μερίδα ὑποδεχόμενος, ἑνωθῶ τῷ Ἁγίῳ Σώματί σου καὶ Αἵματι, καὶ ἕξω σε ἐν ἐμοὶ κατοικοῦντα, καὶ μένοντα σὺν τῷ Πατρὶ, καὶ τῷ Ἁγίῳ σου Πνεύματι. Ναί, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός μου, καὶ μὴ εἰς κρῖμά μοι γένοιτο ἡ Μετάληψις τῶν ἀχράντων καὶ ζωοποιῶν Μυστηρίων σου, μηδὲ ἀσθενὴς γενοίμην ψυχῇ τε καὶ σώματι, ἐκ τοῦ ἀναξίως αὐτῶν μεταλαμβάνειν. Ἀλλὰ δός μοι, μέχρι τελευταίας μου ἀναπνοῆς, ἀκατακρίτως ὑποδέχεσθαι τὴν μερίδα τῶν Ἁγιασμάτων σου, εἰς Πνεύματος Ἁγίου κοινωνίαν, εἰς ἐφόδιον ζωῆς αἰωνίου, καὶ εἰς εὐπρόσδεκτον ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ Βήματός σου, ὅπως ἂν κἀγὼ σὺν πᾶσι τοῖς ἐκλεκτοῖς σου μέτοχος γένωμαι τῶν ἀκηράτων σου ἀγαθῶν, ὧν ἡτοίμασας τοῖς ἀγαπῶσί σε, Κύριε· ἐν οἷς δεδοξασμένος ὑπάρχεις εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΕΥΧΗ ΕΤΕΡΑ.

Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου.

Κύριε ὁ Θεός μου, οἶδα ὅτι οὐκ εἰμὶ ἄξιος, οὐδὲ ἱκανὸς, ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς τοῦ οἴκου τῆς ψυχῆς· διότι ὅλη ἔρημος καὶ καταπεσοῦσα ἐστί, καὶ οὐκ ἔχεις παρ' ἐμοὶ τόπον ἄξιον τοῦ κλῖναι τὴν κεφαλήν. Ἀλλ' ὡς ἐξ ὕψους δι' ἡμᾶς ἐταπείνωσας σεαυτὸν, συμμετρίασον καὶ νῦν τῇ ταπεινώσει μου. Καὶ ὡς κατεδέξω ἐν σπηλαίῳ καὶ φάτνῃ ἀλόγων ἀνακλιθῆναι, οὕτω κατάδεξαι καὶ ἐν τῇ φάτνῃ τῆς ἀλόγου μου ψυχῆς, καὶ ἐν τῷ ἐσπιλωμένῳ μου σώματι εἰσελθεῖν. Καὶ ὡς οὐκ ἀπηξίωσας εἰσελθεῖν, καὶ συνδειπνῆσαι ἁμαρτωλοῖς ἐν τῇ οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ, οὕτω κατάδεξαι εἰσελθεῖν καὶ εἰς τὸν οἶκον τῆς ταπεινῆς μου ψυχῆς, τοῦ λεπροῦ καὶ ἁμαρτωλοῦ· καὶ ὡς οὐκ ἀπώσω τὴν ὁμοίαν μοι Πόρνην καὶ ἁμαρτωλὸν προσερχομένην καὶ ἁπτομένην σου, οὕτω σπλαγχνίσθητι καὶ ἐπ' ἐμοὶ τῷ ἁμαρτωλῷ προσερχομένῳ, καὶ ἁπτομένῳ σου, καὶ ὡς οὐκ ἐβδελύξω τὸ ῥυπαρὸν ἐκείνης στόμα καὶ ἐναγὲς καταφιλοῦν σε, μηδὲ ἐμοῦ βδελύξῃ τὸ ῥυπαρώτερον ἐκείνης στόμα καὶ ἐναγέστερον, μηδὲ τὰ ἔρμυσα καὶ ἀκάθαρτά μου χείλη καὶ βέβηλα, καὶ τὴν ἀκαθαρτοτέραν μου γλῶσσαν. Ἀλλὰ γενέσθω μοι ὁ ναὸς τοῦ

παναγίου σου Σώματος, καὶ τοῦ τιμίου σου Αἵματος, εἰς ἁγιασμὸν, καὶ φωτισμὸν, καὶ ῥῶσιν τῆς ταπεινῆς μου ψυχῆς καὶ τοῦ σώματος· εἰς κουφισμὸν τοῦ βάρους τῶν πολλῶν μου πλημμελημάτων εἰς φυλακτήριον πάσης διαβολικῆς ἐνεργείας· εἰς ἀποτροπὴν καὶ ἐμπόδιον τῆς φαύλης μου καὶ πονηρᾶς συνηθείας· εἰς ἀπονέκρωσιν τῶν παθῶν· εἰς περιποίησιν τῶν ἐντολῶν σου· εἰς προσθήκην τῆς θείας σου χάριτος, καὶ τῆς σῆς Βασιλείας οἰκείωσιν. Οὐ γὰρ ὡς καταφρονῶν προσέρχομαί σοι, Χριστὲ ὁ Θεὸς, ἀλλ' ὡς θαῤῥῶν τῇ ἀφάτῳ σου ἀγαθότητι· καὶ ἵνα μὴ, ἐπιπολὺ ἀφιστάμενος τῆς κοινωνίας σου, θηριάλωτος ὑπὸ τοῦ νοητοῦ λύκου γένωμαι. Διὸ δέομαί σου, ὡς μόνος ὢν Ἅγιος, Δέσποτα, ἁγίασόν μου τὴν ψυχὴν καὶ τὸ σῶμα, τὸν νοῦν καὶ τὴν καρδίαν, τοὺς νεφροὺς καὶ τὰ σπλάγχνα, καὶ ὅλον με ἀνακαίνισον, καὶ ῥίζωσον τὸν φόβον σου ἐν τοῖς μέλεσί μου, καὶ τὸν ἁγιασμόν σου ἀνεξάλειπτον ἀπ' ἐμοῦ ποίησον. Καὶ γενοῦ μοι βοηθὸς καὶ ἀντιλήπτωρ, κυβερνῶν ἐν εἰρήνῃ τὴν ζωήν μου, καταξιῶν με καὶ τῆς ἐκ δεξιῶν σου παραστάσεως μετὰ τῶν Ἁγίων σου. Εὐχαῖς καὶ πρεσβείαις τῆς παναχράντου σου Μητρὸς, τῶν ἀύλων σου Λειτουργῶν, καὶ ἀχράντων Δυνάμεων, καὶ πάντων τῶν Ἁγίων, τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων. Ἀμήν.

ΕΥΧΗ ΕΤΕΡΑ.

Συμεὼν τοῦ μεταφραστοῦ.

Ὁ μόνος καθαρὸς καὶ ἀκήρατος Κύριος, ὁ διὰ οἶκτον φιλανθρωπίας ἀνεκδιήγητον τὸ ἡμέτερον ὅλον προσλαβόμενος φύραμα, ἐκ τῶν ἁγνῶν καὶ παρθενικῶν αἱμάτων τῆς ὑπερφυῶς κυησάσης σε Πνεύματος θείου ἐπελεύσει, καὶ εὐδοκίᾳ Πατρὸς ἀϊδίου Χριστὲ Ἰησοῦ, σοφία Θεοῦ, καὶ εἰρήνη, καὶ δύναμις· ὁ τῷ προσλήμματί σου τὰ ζωοποιὰ καὶ Σωτήρια Πάθη καταδεξάμενος, τὸν Σταυρὸν, τοὺς ἥλους, τὴν λόγχην, τὸν θάνατον, νέκρωσόν μου τὰ ψυχοφθόρα πάθη τοῦ σώματος. Ὁ τῇ ταφῇ σου τὰ τοῦ Ἅδου σκυλεύσας βασίλεια, θάψον μου διὰ τῶν ἀγαθῶν λογισμῶν τὰ πονηρὰ διαβουλίαι καὶ τὰ τῆς πονηρίας πνεύματα διασκέδασον. Ὁ τῇ τριημέρῳ σου καὶ ζωηφόρῳ Ἀναστάσει τὸν πεπτωκότα Προπάτορα ἀναστήσας, ἀνάστησόν με τῇ ἁμαρτίᾳ κατολισθήσαντα, τρόπους μοι μετανοίας ὑποτιθέμενος. Ὁ τῇ ἐνδόξῳ σου Ἀναλήψει τῆς σαρκὸς θεώσας τὸ προσλημμα, καὶ τοῦτο τῇ δεξιᾷ καθέδρᾳ τιμήσας τοῦ Πατρός, ἀξίωσόν με διὰ τῆς τῶν ἁγίων σου Μυστηρίων μεταλήψεως, τῆς δεξιᾶς μερίδος τῶν σωζομένων τυχεῖν. Ὁ τῇ ἐπιδημίᾳ τοῦ Παρακλήτου Πνεύματος, σκεύη τίμια τοὺς ἱεροὺς σου Μαθητὰς ἐργασάμενος, δοχεῖον κἀμὲ τῆς αὐτοῦ ἀνάδειξον ἐπελεύσεως· Ὁ μέλλων πάλιν ἔρ-

ἔρχεσθαι κρῖναι τὴν Οἰκουμένην ἐν δικαιοσύνῃ, εὐδόκησον κἀμὲ προϋπαντῆσαί σοι ἐν νεφέλαις τῷ ποιητῇ καὶ Πλάστῃ μου, σὺν πᾶσι τοῖς Ἁγίοις σου. Ἵνα ἀτελευτήτως δοξολογῶ, καὶ ἀνυμνῶ σε σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ Παναγίῳ καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΥΧΗ

Ἰωάννου τοῦ Δαμασκηνοῦ.

Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ, ὁ Θεὸς ἡμῶν, ὁ μόνος ἐχωνέξουσίαν ἀνθρώποις ἀφιέναι ἁμαρτίας, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, πάριδέ μου πάντα τὰ ἐν γνώσει καὶ ἀγνοίᾳ πταίσματα, καὶ ἀξίωσόν με ἀκατακρίτως μεταλαβεῖν τῶν θείων, καὶ ἐνδόξων, καὶ ἀχράντων, καὶ ζωοποιῶν σου Μυστηρίων, μὴ εἰς κόλασιν, μὴ εἰς προσθήκην ἁμαρτιῶν, ἀλλ' εἰς καθαρισμὸν, καὶ ἁγιασμὸν, καὶ ἀρραβῶνα τῆς μελλούσης ζωῆς καὶ Βασιλείας· εἰς τεῖχος καὶ βοήθειαν, καὶ ἀνατροπὴν τῶν ἐναντίων, καὶ εἰς ἐξάλειψιν τῶν πολλῶν μου πλημμελημάτων. Σὺ γὰρ εἶ Θεὸς ἐλέους καὶ οἰκτιρμῶν, καὶ φιλανθρωπίας, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ Πατρὶ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΥΧΗ

Συμεὼν τοῦ Νέου Θεολόγου.

Ἀπὸ ῥυπαρῶν χειλέων, ἀπὸ βδελυρᾶς καρδίας. Ἀπὸ ἀκαθάρτου γλώττης, ἐκ ψυχῆς ῥερυπωμένης, Δέξαι δέησιν, Χριστέ μου, καὶ μὴ παρωσάμενός μου, Μὴ τοὺς λόγους, μὴ τοὺς τρόπους, μηδὲ τὴν ἀναισχυντίαν. Δός μοι παῤῥησίᾳ, λέγειν, ἀβεβούλευμαι, Χριστέ μου. Μᾶλλον δὲ καὶ δίδαξόν με, τί με δεῖ ποιεῖν καὶ λέγειν. Ἥμαρτον ὑπὲρ τὴν πόρνην, ἡ μαθοῦσα ποῦ κατάγεις, Μύρον, ἐξωνησαμένη, ἦλθε τολμηρῶς ἀλεῖψαι, Σοῦ τοὺς πόδας τοῦ Χριστοῦ μου, τοῦ Δεσπότου καὶ Θεοῦ μου. Ὡς ἐκείνην οὐκ ἀπώσω, προσελθοῦσαν ἐκ καρδίας. Μηδ' ἐμὲ βδελύξῃ, Λόγε, σοὺς δὲ πάρασχέ μοι πόδας. Καὶ κρατῆσαι καὶ φιλῆσαι, καὶ τῷ ῥείθρῳ τῶν δακρύων, Ὡς πολυτιμήτῳ μύρῳ τούτους τολμηρῶς ἀλεῖψαι. Πλυνόν με τοῖς δάκρυσί μου, κάθαρον αὐτοῖς με. Λόγε. Ἄφες καὶ τὰ πταίσματά μου, καὶ συγγνώμην πάρασχε μοι, Οἶδας τῶν κακῶν τὸ πλῆθος, οἶδας καὶ τὰ τραύματά μου. Καὶ τοὺς μώλωπας ὁρᾷς μου· ἀλλὰ καὶ τὴν πίστιν οἶδας, Καὶ τὴν προθυμίαν βλέπεις, καὶ τοὺς στεναγμοὺς ἀκούεις· Οὐ λανθάνει σε, Θεέ μου, Ποιητά μου, Λυτρωτά μου, Οὐδὲ σταλαγμὸς δακρύων, οὐδὲ σταλαγμοῦ τι μέρος. Τὸ μὲν ἀκατέργαστόν μου ἔγνωσαν οἱ ὀφθαλμοί σου, Ἐπὶ τὸ βιβλίον σου

σου, καὶ τὰ μηπω πεπραγμένα, Γεγραμμένα σοι τυγχάνει, Ἰδε τὴν ταπείνωσίν μου, Ἴδε μου τὸν κόπον, ὅσος· καὶ τὰς ἁμαρτίας πάσας. Ἄφες μοι, Θεέ τῶν ὅλων· ἵνα καθαρᾷ καρδίᾳ, Περιτρόμῳ διανοίᾳ, καὶ ψυχῇ συντετριμμένῃ, τῶν ἀχράντων σου μετάσχω καὶ πανάγνων Μυστηρίων· Οἷς θεοῦται, καὶ ζωοῦται πᾶς ὁ τρώγων σε καὶ πίνων, Ἐξ εἰλικρινοῦς καρδίας. Σὺ γὰρ εἶπας, Δέσποτά μου, Πᾶς ὁ τρώγων μου τὴν Σάρκα, πίνων δέ μου καὶ τὸ Αἷμα, Ἐν ἐμοὶ μὲν οὗτος μένει, ἐν αὐτῷ δ' ἐγὼ τυγχάνω. Ἀληθὴς ὁ λόγος πάντως τοῦ Δεσπότου καὶ Θεοῦ μου· Τῶν γὰρ θείων ὁ μετέχων, καὶ θεοποιῶν Χαρίτων, Οὐ μὲν οὖν, οὐκ ἔστι μόνος, ἀλλὰ μετὰ σοῦ Χριστέ μου, Τοῦ φωτὸς τοῦ Τρισηλίου, τοῦ φωτίζοντος τὸν κόσμον. Ἵνα γοῦν μὴ μόνος μένω, δίχα σοῦ τοῦ Ζωοδότου. Τῆς πνοῆς μου τῆς ζωῆς μου, τοῦ ἀγαλλιάματός μου, Τῆς τοῦ Κόσμου σωτηρίας, διὰ τοῦτό σοι προσῆλθον. Ὡς ὁρᾷς μετὰ δακρύων, καὶ ψυχῆς συντετριμμένης, Αὔτρον τῶν ἐμῶν πταισμάτων ἱκετεύων τοῦ λαβεῖν με· Καὶ τῶν σῶν ζωοπαρόχων, καὶ ἀμέμπτων Μυστηρίων. Μετασχεῖν ἀκατακρίτως, ἵνα μένῃς, καθὼς εἶπας, Μετ' ἐμοῦ τοῦ τρισαθλίου· ἵνα μὴ χώρις εὑρών με, Τῆς σῆς χάριτος ὁ πλάνος, ἁφαρπάσῃ με δολίως. Καὶ πλανήσας ἀπαγάγῃ τῶν θεοποιῶν σοῦ λόγων, Διὰ τοῦτό σοι προσπίπτω, καὶ θερμῶς ἀναβοῶ σοι, Ὡς τὸν Ἄσωτον ἐδέξω, καὶ τὴν Πόρνην προσελθοῦσαν, Οὕτω δέξαι με τὸν πόρνον, καὶ τὸν ἄσωτον· Οἰκτίρμων, Ἐν ψυχῇ συντετριμμένῃ, νῦν γὰρ προσερχόμενός σοι, Οἶδα, Σῶτερ, ὅτι ἄλλος, ὡς ἐγὼ οὐκ ἔπταισέ σοι, Οὐδὲ ἔπραξε τὰς πράξεις, ἃς ἐγὼ κατειργασάμην. Ἀλλὰ τοῦτο πάλιν οἶδα, ὡς οὐ μέγεθος πταισμάτων, Οὐχ ἁμαρτημάτων πλῆθος ὑπερβαίνει τοῦ Θεοῦ μου. Τὴν πολλὴν μακροθυμίαν, καὶ φιλανθρωπίαν ἄκραν. Ἀλλ' ἐλαίῳ συμπαθείας, τοὺς θερμῶς μετανοοῦντας, Καὶ καθαίρεις καὶ λαμπρύνεις, καὶ φωτὸς ποιεῖς μετόχους, Κοινωνοὺς Θεότητός σου ἐργαζόμενος ἀφθόνως. Καὶ τὸ ξένον καὶ Ἀγγέλοις, καὶ ἀνθρώπων διανοίας, Ὁμιλεῖς αὐτοῖς πολλάκις, ὥπερ φίλοις σου γνησίοις· Ταῦτα τολμηρὸν ποιεῖ με, ταῦτά με πτεροῖ, Χριστέ μου, Καὶ θαῤῥῶν ταῖς σαῖς πλουσίαις, πρὸς ἡμᾶς εὐεργεσίαις, Χαίρων τε καὶ τρέμων ἅμα, τοῦ πυρὸς μεταλαμβάνω. Χόρτος ὢν καὶ ξένον θαῦμα, δροσιζόμενος ἀπαύστως Ὥσπερ οὖν ἡ βάτος πάλαι, ἡ ἀφλέκτως καιομένη. Τοίνυν εὐχαρίστῳ γνώμῃ, εὐχαρίστῳ δὲ καρδίᾳ, Εὐχαρίστοις μέλεσί μου, τῆς ψυχῆς καὶ τῆς σαρκός μου, Προσκυνῶ καὶ μεγαλύνω, καὶ δοξάζω σε, Θεέ μου. Ὡς εὐλογημένον ὄντα νῦν τε, καὶ εἰς τοὺς αἰῶνας.

Ἐκφ.

ΕΥΧΗ

Τοῦ Μεγάλου Βασιλείου.

Οἶδα Κύριε, ὅτι ἀναξίως μεταλαμβάνω τοῦ ἀχράντου σου Σώματος, καὶ τοῦ τιμίου σου Αἵματος, καὶ ἔνοχός εἰμι, καὶ κρῖμα ἐμαυτῷ ἐσθίω καὶ πίνω, μὴ διακρίνων τὸ Σῶμα καὶ Αἷμα σοῦ τοῦ Χριστοῦ καὶ Θεοῦ μου. Ἀλλὰ τοῖς οἰκτιρμοῖς σου θαῤῥῶν, προσέρχομαί σοι τῷ εἰπόντι, Ὁ τρώγων μου τὴν Σάρκα, καὶ πίνων μου τὸ Αἷμα, ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ. Σπλαγχνίσθητι οὖν, Κύριε, καὶ μὴ παραδειγματίσῃς με τὸν ἁμαρτωλόν, ἀλλὰ ποίησον μετ' ἐμοῦ κατὰ τὸ ἔλεός σου· καὶ γενέσθω μοι τὰ ἅγια ταῦτα εἰς ἴασιν καὶ κάθαρσιν, καὶ φωτισμόν, καὶ φυλακτήριον, καὶ σωτηρίαν, καὶ ἁγιασμὸν ψυχῆς καὶ σώματος· εἰς ἀποτροπὴν πάσης φαντασίας καὶ πονηρᾶς πράξεως, καὶ ἐνεργείας Διαβολικῆς, κατὰ διάνοιαν τῆς ἐν τοῖς μέλεσί μου ἐνεργουμένης, εἰς παῤῥησίαν καὶ ἀγάπην τὴν πρὸς σέ· εἰς διόρθωσιν βίου καὶ ἀσφάλειαν· εἰς αὔξησιν ἀρετῆς καὶ τελειότητος· εἰς πλήρωσιν ἐντολῶν· εἰς Πνεύματος ἁγίου κοινωνίαν· εἰς ἐφόδιον ζωῆς αἰωνίου, καὶ εἰς ἀπολογίαν εὐπρόσδεκτον τὴν ἐπὶ τοῦ φοβεροῦ βήματός σου· μὴ εἰς κρίμα, ἢ εἰς κατάκριμα.

ΕΥΧΗ

Ἰωάννου τοῦ Χρυσοστόμου.

Ὁ Θεός, ἄνες, ἄφες συγχώρησόν μοι τὰ πλημμελήματά μου, ὅσα σοι ἥμαρτον, εἴτε ἐν λόγῳ, εἴτε ἐν ἔργῳ, εἴτε κατὰ διάνοιαν ἐκουσίως, ἢ ἀκουσίως, ἐν γνώσει, ἢ ἐν ἀγνοίᾳ, πάντα μοι συγχώρησον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος. Καὶ τῇ πρεσβείᾳ τῆς παναχράντου σου Μητρός, τῶν νοερῶν σου λειτουργῶν καὶ ἁγίων Δυνάμεων, καὶ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων, ἀκατακρίτως εὐδόκησον δέξασθαί με τὸ ἅγιον καὶ ἄχραντόν σου Σῶμα, καὶ τὸ τίμιον Αἷμα, εἰς ἴασιν ψυχῆς τε καὶ σώματος καὶ εἰς ἐξάλειψιν τῶν πονηρῶν μου λογισμῶν. Ὅτι σοῦ ἐστιν ἡ Βασιλεία, καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΥΧΗ ΕΤΕΡΑ

Τοῦ αὐτοῦ.

Οὐκ εἰμὶ ἱκανὸς, Δέσποτα Κύριε, ἵνα εἰσέλθῃς ὑπὸ τὴν στέγην τῆς ψυχῆς μου· ἀλλ' ἐπειδὴ βούλει σὺ, ὡς φιλάνθρωπος, οἰκεῖν ἐμοὶ, θαῤῥῶν προσέρχομαι. Κελεύεις, ἀναπετάσω τὰς πύλας, ἃς σὺ μόνος ἐδημιούργησας, καὶ εἰσέρχῃ μετὰ φιλανθρωπίας ὡς πέφυκας, εἰσέρχῃ καὶ φωτίζεις τὸν ἐσκοτισμένον μου λογισμὸν πιστεύω ὡς τοῦτο ποιήσεις. Οὐ γὰρ Πόρνην προσελθοῦσάν σοι μετὰ δακρύων ἀπέφυγες, οὐδὲ Τελώνην ἀπεβάλου μετανοήσαντα, οὐδὲ Λῃστὴν ἐπιγνόντα τὴν Βασιλείαν σου·

ἀπεδίωξας, οὐδὲ Διώκτην μετανοήσαντα κατέλιπες· ὃ ἦν, ἀλλὰ τοὺς ὑπὸ τῆς μετανοίας σοι προσαχθέντας ἅπαντας ἐν τῷ χορῷ τῶν σῶν φίλων κατέταξας, ὁ μόνος ὑπάρχων εὐλογημένος, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας. Ἀμήν.

ΕΥΧΗ ΕΤΕΡΑ

Τοῦ αὐτοῦ.

Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός μου, ἄνες, ἄφες, ἱλάσθητι, καὶ συγχώρησόν μοι τῷ ἁμαρτωλῷ, καὶ ἀχρείῳ, καὶ ἐναξίῳ δούλῳ σου τὰ πταίσματα, καὶ πλημμελήματα, καὶ παραπτώματά μου, ὅσα σοι ἐκ νεοτητός μου, μέχρι τῆς παρούσης ἡμέρας καὶ ὥρας ἥμαρτον, εἴτε ἐν γνώσει καὶ ἀγνοίᾳ, εἴτε ἐν λόγοις, ἢ ἔργοις, ἢ ἐνθυμήμασιν, ἢ διανοήμασι, καὶ ἐπιτηδεύμασι, καὶ πάσαις μου ταῖς αἰσθήσεσι. Καὶ τῇ πρεσβείᾳ τῆς ἀσπόρως κυησάσης σε παναχράντου, καὶ Ἀειπαρθένου Μαρίας τῆς Μητρός σου, τῆς μόνης ἀκαταισχύντου ἐλπίδος, καὶ προστασίας καὶ σωτηρίας μου, καταξίωσόν με ἀκατακρίτως μεταλαβεῖν τῶν ἀχράντων, καὶ ἀθανάτων, καὶ ζωοποιῶν, καὶ φρικτῶν Μυστηρίωνσου, εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον, εἰς ἁγιασμὸν, καὶ φωτισμὸν, καὶ ῥώμην, καὶ ἴασιν, καὶ ὑγείαν ψυχῆς τε καὶ σώματος, καὶ εἰς ἐξάλειψιν καὶ παντελῆ ἀφανισμὸν τῶν πονηρῶν μου λογισμῶν καὶ ἐνθυμήσεων, καὶ προλήψεων, καὶ νυκτερινῶν φαντασιῶν, τῶν σκοτεινῶν καὶ πονηρῶν πνευμάτων· Ὅτι σοῦ ἐστιν ἡ Βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ τιμὴ, καὶ ἡ προσκύνησις, σὺν τῷ Πατρὶ, καὶ τῷ ἁγίῳ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· Ἀμήν.

Ὅταν ὑπάγῃ ὁ ἱερεὺς ἢ ὁ ἱεροδιάκονος νὰ μεταλάβῃ λέγει τὴν εὐχὴν ταύτην,

Πρὸ τῶν θυρῶν τοῦ ναοῦ σου· (ὅρα εἰς τὴν Λειτουργίαν τοῦ Χρυσοστόμου φύλ. 119.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΟΝ ΔΑΒΙΔ
ΟΥ
ΑΙ ΒΑΣΙΛΕΩΣ.

Βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ Κυρίου, καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ. Διαῤῥήξωμεν τοὺς δεσμοὺς αὐτῶν, καὶ ἀποῤῥίψωμεν ἀφ' ἡμῶν τὸν ζυγὸν αὐτῶν. Ὁ κατοικῶν ἐν οὐρανοῖς, ἐκγελάσεται αὐτούς, καὶ ὁ Κύριος ἐκμυκτηριεῖ αὐτούς. Τότε λαλήσει πρὸς αὐτοὺς ἐν ὀργῇ αὐτοῦ, καὶ ἐν τῷ θυμῷ αὐτοῦ ταράξει αὐτούς. Ἐγὼ δὲ κατεστάθην Βασιλεὺς ὑπ' αὐτοῦ, ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ, διαγγέλλων τὸ πρόσταγμα Κυρίου. Κύριος εἶπε πρός με, Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε. Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου, τὰ πέρατα τῆς γῆς. Ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ, ὡς σκεύη κεραμέως συντρίψεις αὐτούς. Καὶ νῦν Βασιλεῖς σύνετε· παιδεύθητε πάντες οἱ κρίνοντες τὴν γῆν. Δουλεύσατε τῷ Κυρίῳ ἐν φόβῳ, καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ. Δράξασθε παιδείας, μήποτε ὀργισθῇ Κύριος, καὶ ἀπολεῖσθε ἐξ ὁδοῦ δικαίας· ὅταν ἐκκαυθῇ ἐν τάχει

χει ὁ θυμὸς αὐτοῦ, μακάριοι πάντες οἱ πεποιθότες ἐπ' αὐτῷ.

ΨΑΛΜΟΣ 3. Τοῦ Δαβίδ.

Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με; πολλοὶ ἐπανίστανται ἐπ' ἐμέ· πολλοὶ λέγουσι τῇ ψυχῇ μου οὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ Θεῷ αὐτοῦ. Σὺ δέ, Κύριε, ἀντιλήπτωρ μου εἶ, δόξα μου καὶ ὑψῶν τὴν κεφαλήν μου. Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, καὶ ἐπήκουσέ μου ἐξ ὄρους ἁγίου αὐτοῦ. Ἐγὼ δὲ ἐκοιμήθην, καὶ ὕπνωσα· ἐξηγέρθην, ὅτι Κύριος ριος ἀντιλήψεταί μου. Οὐ φοβηθήσομαι ἀπὸ μυριάδων λαοῦ, τῶν κύκλῳ συνεπιτιθεμένων μοι. Ἀνάστα Κύριε, σῶσόν με ὁ Θεός μου. Ὅτι σὺ ἐπάταξας πάντας τοὺς ἐχθραίνοντάς μοι ματαίως. Ὀδόντας ἁμαρτωλῶν συνέτριψας· τοῦ Κυρίου ἡ σωτηρία καὶ ἐπὶ τὸν λαόν σου ἡ εὐλογία σου.

Δόξα καὶ νῦν. Ἀλληλούϊα.

ΨΑΛΜΟΣ 4. Τοῦ Δαβίδ.

Ἐν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσάς μου ὁ Θεὸς τῆς δικαιοσύνης μου· ἐν θλίψει ἐπλάτυνάς με. Οἰκτείρησόν με, καὶ εἰσάκουσον τῆς προσευχῆς μου. Υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι; ἵνα τί ἀγαπᾶτε ματαιότητα, καὶ ζητεῖτε ψεῦδος; Καὶ γνῶτε ὅτι ἐθαυμάστωσε Κύριος τὸν Ὅσιον αὐτοῦ. Κύριος εἰσακούσεταί μου ἐν τῷ κεκραγέναι με πρὸς αὐτόν. Ὀργίζεσθε καὶ μὴ ἁμαρτάνετε· ἃ λέγετε ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγετε. Θύσατε θυσίαν δικαιοσύνης, καὶ ἐλπίσατε ἐπὶ Κύριον. Πολλοὶ λέγουσι, Τίς δείξει ἡμῖν τὰ ἀγαθά; Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου Κύριε. Ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν μου. Ἀπὸ καρποῦ σίτου, οἴνου καὶ ἐλαίου, αὐτῶν ἐπληθύνθησαν. Ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι, καὶ ὑπνώσω. Ὅτι σὺ Κύριε κατὰ μόνας ἐπ' ἐλπίδι κατῴκισάς με.

ΨΑΛΜΟΣ 5. Τοῦ Δαβίδ.

Τὰ ῥήματά μου ἐνώτισαι Κύριε, σύνες τῆς κραυγῆς μου. Πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου, ὁ βασιλεύς μου, καὶ ὁ Θεός μου. Ὅτι πρὸς σὲ προσεύξομαι Κύριε. Τὸ πρωὶ εἰσακούσῃ τῆς φωνῆς μου. Τὸ πρωὶ παραστήσομαί σοι, καὶ ἐπόψει με. Ὅτι οὐχὶ Θεὸς θέλων ἀνομίαν σὺ εἶ. Οὐ παροικήσει σοι πονηρευόμενος, οὐδὲ διαμενοῦσι παράνομοι κατέναντι τῶν ὀφθαλμῶν σου. Ἐμίσησας πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν· ἀπολεῖς πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος. Ἄνδρα αἱμάτων, καὶ δόλιον βδελύσσεται Κύριος. Ἐγὼ δὲ ἐν τῷ πλήθει τοῦ ἐλέους σου, εἰσελεύσομαι εἰς τὸν οἶκόν σου, προσκυνήσω πρὸς ναὸν ἅγιόν σου ἐν φόβῳ σου. Κύριε ὁδήγησόν με ἐν τῇ δικαιοσύνῃ σου, ἕνεκα τῶν ἐχθρῶν μου κατεύθυνον ἐνώπιόν σου τὴν ὁδόν μου. Ὅτι οὐκ ἔστιν ἐν τῷ στόματι αὐτῶν ἀλήθεια,

ἡ

ἡ καρδία αὐτῶν ματαία. Τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν· ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν· κρῖνον αὐτοὺς ὁ Θεός. Ἀποπεσάτωσαν ἀπὸ τῶν διαβουλίων αὐτῶν· κατὰ τὸ πλῆθος τῶν ἀσεβειῶν αὐτῶν, ἔξωσον αὐτούς, ὅτι παρεπίκρανάν σε Κύριε. Καὶ εὐφρανθείησαν πάντες οἱ ἐλπίζοντες ἐπὶ σέ, εἰς αἰῶνα ἀγαλλιάσονται, καὶ κατασκηνώσεις ἐν αὐτοῖς· καὶ καυχήσονται ἐν σοὶ οἱ ἀγαπῶντες τὸ ὄνομά σου. Ὅτι σὺ εὐλογήσεις δίκαιον, Κύριε· ὡς ὅπλῳ εὐδοκίας ἐστεφάνωσας ἡμᾶς.

ΨΑΛΜΟΣ 6. Τοῦ Δαβίδ.

Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με· Ἐλέησόν με Κύριε, ὅτι ἀσθενής εἰμι· ἴασαί με Κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου· καὶ ἡ ψυχή μου ἐταράχθη σφόδρα· καὶ σὺ Κύριε ἕως πότε; Ἐπίστρεψον Κύριε, ῥῦσαι τὴν ψυχήν μου. Σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου. Ὅτι οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου· ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι; Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου, λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω· Ἐταράχθη ἀπὸ θυμοῦ ὁ ὀφθαλμός μου, ἐπαλαιώθην ἐν πᾶσι τοῖς ἐχθροῖς μου. Ἀπόστητε ἀπ' ἐμοῦ πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, ὅτι εἰσήκουσε Κύριος τῆς φωνῆς τοῦ κλαυθμοῦ μου. Ἤκουσε Κύριος τῆς δεήσεώς μου, Κύριος τὴν προσευχήν μου προσεδέξατο. Αἰσχυνθείησαν, καὶ ταραχθείησαν πάντες οἱ ἐχθροί μου, ἀποστραφείησαν, καὶ καταισχυνθείησαν σφόδρα διὰ τάχους.

Δόξα καὶ νῦν. Ἀλληλούϊα.

ΨΑΛΜΟΣ 7. Τοῦ Δαβίδ.

Κύριε ὁ Θεός μου, ἐπὶ σοὶ ἤλπισα· σῶσόν με ἐκ πάντων τῶν διωκόντων με, καὶ ῥῦσαί με. Μήποτε ἁρπάσῃ ὡς λέων τὴν ψυχήν μου, μὴ ὄντος λυτρουμένου, μηδὲ σῴζοντος. Κύριε ὁ Θεός μου, εἰ ἐποίησα τοῦτο· εἰ ἔστιν ἀδικία ἐν χερσί μου. Εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακά, ἀποπέσοιμι ἄρα ἀπὸ τῶν ἐχθρῶν μου κενός. Καταδιώξαι ἄρα ὁ ἐχθρὸς τὴν ψυχήν μου, καὶ καταλάβοι, καὶ καταπατήσαι εἰς γῆν τὴν ζωήν μου, καὶ τὴν δόξαν μου εἰς χοῦν κατασκηνώσαι. Ἀνάστηθι, Κύριε, ἐν ὀργῇ σου, ὑψώθητι ἐν τοῖς πέρασι τῶν ἐχθρῶν μου· ἐξεγέρθητι, Κύριε ὁ Θεός μου, ἐν προστάγματι, ᾧ ἐνετείλω, καὶ συναγωγὴ λαῶν κυκλώσει σε. Καὶ ὑπὲρ ταύτης εἰς ὕψος ἐπίστρεψον, Κύριε, κατὰ τὴν δικαιοσύνην μου, καὶ κατὰ τὴν ἀκακίαν μου ἐπ' ἐμοί. Συντελεσθήτω δὴ πονηρία ἁμαρτωλῶν, καὶ κατεύθυνεῖς δίκαιον, ἐτάζων καρδίας καὶ νεφροὺς ὁ Θεὸς δικαίως. Ἡ βοήθειά μου παρὰ τοῦ Θεοῦ, τοῦ σώζοντος τοὺς εὐθεῖς τῇ καρδίᾳ. Ὁ Θεὸς κριτὴς, δίκαιος, καὶ ἰσχυ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σχυρὸς, καὶ μακρόθυμος, καὶ μὴ ὀργὴν ἐπάγων καθ' ἑκάστην ἡμέραν. Ἐὰν μὴ ἐπιστραφῆτε, τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει, τὸ τόξον αὐτοῦ ἐνέτεινε, καὶ ἡτοίμασε σκεύη θανάτου· τὰ βέλη αὐτοῦ τοῖς καιομένοις ἐξειργάσατο. Ἰδοὺ ὠδίνησεν ἀδικίαν. Λάκκον ὤρυξε καὶ ἀνέσκαψεν αὐτὸν, καὶ ἐμπεσεῖται εἰς βάθρον, ὃν εἰργάσατο. Ἐπιστρέψει ὁ πόνος αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ, καὶ ἐπὶ κορυφὴν αὐτοῦ ἡ ἀδικία αὐτοῦ καταβήσεται. Ἐξομολογήσομαι τῷ Κυρίῳ κατὰ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ψαλῶ τῷ ὀνόματι Κυρίου τοῦ ὑψίστου.

ΨΑΛΜΟΣ 8. Τοῦ Δαβίδ.

Κύριε ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ. Ὅτι ἐπήρθη ἡ μεγαλοπρέπειά σου ὑπεράνω τῶν οὐρανῶν. Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον, ἕνεκα τῶν ἐχθρῶν σου, τοῦ καταλῦσαι ἐχθρὸν καὶ ἐκδικητήν. Ὅτι ὄψομαι τοὺς οὐρανούς, ἔργα τῶν δακτύλων σου, Σελήνην καὶ ἀστέρας, ἃ σὺ ἐθεμελίωσας! Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ, ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν; Ἠλάττωσας αὐτὸν βραχύτι παρ' Ἀγγέλους· δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτὸν, καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου. Πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ, πρόβατα καὶ βόας ἁπάσας, ἔτι δὲ καὶ τὰ κτήνη τοῦ πεδίου. Τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ τοὺς ἰχθύας τῆς θαλάσσης, τὰ διαπορευόμενα τρίβους θαλασσῶν. Κύριε ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ.

Δόξα καὶ νῦν. Ἀλληλούϊα.

ΚΑΘΙΣΜΑ Β'.

ΨΑΛΜΟΣ 9. Τοῦ Δαβίδ.

Ἐξομολογήσομαί σοι Κύριε ἐν ὅλῃ καρδίᾳ μου, διηγήσομαι πάντα τὰ θαυμάσιά σου. Εὐφρανθήσομαι, καὶ ἀγαλλιάσομαι ἐν σοὶ, ψαλῶ τῷ ὀνόματί σου, Ὕψιστε. Ἐν τῷ ἀποστραφῆναι τὸν ἐχθρόν μου εἰς τὰ ὀπίσω, ἀσθενήσουσι καὶ ἀπολοῦνται ἀπὸ προσώπου σου. Ὅτι ἐποίησας τὴν κρίσιν μου, καὶ τὴν δίκην μου, ἐκάθισας ἐπὶ θρόνου ὁ κρίνων δικαιοσύνην. Ἐπετίμησας ἔθνεσι, καὶ ἀπώλετο ὁ ἀσεβὴς· τὸ ὄνομα αὐτοῦ ἐξάλειψας εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Τοῦ ἐχθροῦ ἐξέλιπον αἱ ῥομφαῖαι εἰς τέλος, καὶ πόλεις καθεῖλες. Ἀπώλετο τὸ μνημόσυνον αὐτοῦ μετ' ἤχου, καὶ ὁ Κύριος εἰς τὸν αἰῶνα μένει. Ἡτοίμασας ἐν κρίσει τὸν θρόνον αὐτοῦ, καὶ αὐτὸς κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, κρινεῖ λαοὺς ἐν εὐθύτητι· καὶ ἐγένετο Κύριος καταφυγὴ τῷ πένητι, βοηθὸς ἐν εὐκαιρίαις, ἐν θλίψεσι. Καὶ ἐλπισάτωσαν ἐπὶ σοὶ οἱ γινώσκοντες τὸ ὄνομά σου,

ὅτι

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

ὅτι οὐκ ἐγκατέλιπες τοὺς ἐκζητοῦντάς σε Κύριε. Ψάλατε τῷ Κυρίῳ τῷ κατοικοῦντι ἐν Σιών, ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἐπιτηδεύματα αὐτοῦ. Ὅτι ὁ ἐκζητῶν τὰ αἵματα αὐτῶν ἐμνήσθη, οὐκ ἐπελάθετο τῆς κραυγῆς τῶν πενήτων. Ἐλέησόν με Κύριε, ἴδε τὴν ταπείνωσίν μου ἐκ τῶν ἐχθρῶν μου. Ὁ ὑψῶν με ἐκ τῶν πυλῶν τοῦ θανάτου· ὅπως ἂν ἐξαγγείλω πάσας τὰς αἰνέσεις σου, ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιών. Ἀγαλλιασόμεθα ἐπὶ τῷ Σωτηρίῳ σου. Ἐνεπάγησαν ἔθνη ἐν διαφθορᾷ, ᾗ ἐποίησαν. Ἐν παγίδι ταύτῃ, ᾗ ἔκρυψαν, συνελήφθη ὁ πούς αὐτῶν. Γινώσκεται Κύριος κρίματα ποιῶν· ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ συνελήφθη ὁ ἁμαρτωλός. Ἀποστραφήτωσαν οἱ ἁμαρτωλοὶ εἰς τὸν ᾅδην πάντα τὰ ἔθνη τὰ ἐπιλανθανόμενα τοῦ Θεοῦ. Ὅτι οὐκ εἰς τέλος ἐπιλησθήσεται ὁ πτωχός, ἡ ὑπομονὴ τῶν πενήτων οὐκ ἀπολεῖται εἰς τέλος. Ἀνάστηθι Κύριε, μὴ κραταιούσθω ἄνθρωπος, κριθήτωσαν ἔθνη ἐνώπιόν σου. Κατάστησον Κύριε νομοθέτην ἐπ' αὐτούς, γνώτωσαν ἔθνη, ὅτι ἄνθρωποί εἰσιν. Ἱνα τί, Κύριε, ἀφέστηκας μακρόθεν, ὑπερορᾷς ἐν εὐκαιρίαις ἐν θλίψεσιν; Ἐν τῷ ὑπερηφανεύεσθαι τὸν ἀσεβῆ, ἐμπυρίζεται ὁ πτωχός. Συλλαμβάνονται ἐν διαβουλίοις, οἷς διαλογίζονται. Ὅτι ἐπαινεῖται ὁ ἁμαρτωλὸς ἐν ταῖς ἐπιθυμίαις τῆς ψυχῆς αὐτοῦ, καὶ ὁ ἀδικῶν ἐνευλογεῖται. Παρώξυνε τὸν Κύριον ὁ ἁμαρτωλός, κατὰ τὸ πλῆθος τῆς ὀργῆς αὐτοῦ οὐκ ἐκζητήσει. Οὐκ ἔστιν ὁ Θεὸς ἐνώπιον αὐτοῦ, βεβηλοῦνται αἱ ὁδοὶ αὐτοῦ, ἐν παντὶ καιρῷ. Ἀνταναιρεῖται τὰ κρίματά σου ἀπὸ προσώπου αὐτοῦ, πάντων τῶν ἐχθρῶν αὐτοῦ, κατακυριεύσει. Εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ, Οὐ μὴ σαλευθῶ ἀπὸ γενεᾶς εἰς γενεάν, ἄνευ κακοῦ. Οὗ ἀρᾶς τὸ στόμα αὐτοῦ γέμει, καὶ πικρίας, καὶ δόλου, ὑπὸ τὴν γλῶσσαν αὐτοῦ κόπος καὶ πόνος. Ἐγκάθηται ἐν ἐνέδρᾳ μετὰ πλουσίων, ἐν ἀποκρύφοις τοῦ ἀποκτεῖναι ἀθῶον. Οἱ ὀφθαλμοί αὐτοῦ εἰς τὸν πένητα ἀποβλέπουσιν. Ἐνεδρεύει ἐν ἀποκρύφῳ ὡς λέων ἐν τῇ μάνδρᾳ αὐτοῦ. Ἐνεδρεύει τοῦ ἁρπάσαι πτωχόν, ἁρπάσαι πτωχὸν ἐν τῷ ἑλκύσαι αὐτόν. Ἐν τῇ παγίδι αὐτοῦ ταπεινώσει αὐτόν, κύψει καὶ πεσεῖται ἐν τῷ αὐτὸν κατακυριεῦσαι τῶν πενήτων. Εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ, Ἐπιλέλησται ὁ Θεός. Ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ, τοῦ μὴ βλέπειν εἰς τέλος. Ἀνάστηθι, Κύριε, ὁ Θεός μου, ὑψωθήτω ἡ χείρ σου, μὴ ἐπιλάθῃ τῶν πενήτων σου εἰς τέλος. Ἕνεκεν τίνος παρώργισεν ὁ ἀσεβὴς τὸν Θεόν; εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἐκζητήσει. Βλέπεις, ὅτι σὺ πόνον καὶ θυμὸν κατανοεῖς, τοῦ παραδοῦναι αὐτὸν εἰς χεῖράς σου. Σοὶ ἐγκαταλέλειπται ὁ πτωχός, ὀρφανῷ σὺ ἦσθα βοηθός. Σύντριψον τὸν βραχίονα τοῦ ἁμαρτωλοῦ καὶ πονηροῦ.

προσ-

Ζητηθήσεται ἡ ἁμαρτία αὐτοῦ καὶ οὐ μὴ εὑρεθῇ. Κύριος Βασιλεὺς εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, ἀπολεῖσθε ἔθνη ἐκ τῆς γῆς αὐτοῦ. Τὴν ἐπιθυμίαν τῶν πενήτων εἰσήκουσας Κύριε, τῇ ἑτοιμασίᾳ τῆς καρδίας αὐτῶν προσέσχε τὸ οὖς σου. Κρῖναι ὀρφανῷ καὶ ταπεινῷ, ἵνα μὴ προσθῇ ἔτι τοῦ μεγαλαυχεῖν ἄνθρωπος ἐπὶ τῆς γῆς.

ΨΑΛΜΟΣ 10. Τοῦ Δαβίδ.

Ἐπὶ τῷ Κυρίῳ πέποιθα, πῶς ἐρεῖτε τῇ ψυχῇ μου, μεταναξεύου ἐπὶ τὸ ὄρη ὡς στρουθίον; Ὅτι ἰδοὺ οἱ ἁμαρτωλοὶ ἐνέτειναν τόξον· Ἡτοίμασαν βέλη εἰς φαρέτραν, τοῦ κατατοξεῦσαι ἐν σκοτομήνῃ τοὺς εὐθεῖς τῇ καρδίᾳ. Ὅτι ἃ σὺ κατηρτίσω, αὐτοὶ καθεῖλον. Ὁ δὲ δίκαιος τί ἐποίησε; Κύριος ἐν ναῷ ἁγίῳ αὐτοῦ. Κύριος, ἐν οὐρανῷ ὁ Θρόνος αὐτοῦ. Οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν πένητα ἐπιβλέπουσι, τὰ βλέφαρα αὐτοῦ ἐξετάζει τοὺς υἱοὺς τῶν ἀνθρώπων. Κύριος ἐξετάζει τὸν δίκαιον καὶ τὸν ἀσεβῆ· ὁ δὲ ἀγαπῶν τὴν ἀδικίαν, μισεῖ τὴν ἑαυτοῦ ψυχήν. Ἐπιβρέξει ἐπὶ ἁμαρτωλοὺς παγίδας, πῦρ, καὶ θεῖον, καὶ πνεῦμα καταιγίδος ἡ μερὶς τοῦ ποτηρίου αὐτῶν. Ὅτι δίκαιος Κύριος, καὶ δικαιοσύνας ἠγάπησεν, εὐθύτητας εἶδε τὸ πρόσωπον αὐτοῦ.

Δόξα καὶ νῦν. Ἀλληλούϊα.

ΨΑΛΜΟΣ 11. Τοῦ Δαβίδ.

Σῶσόν με Κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος, ὅτι ὠλιγώθησαν αἱ ἀλήθειαι ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων. Μάταια ἐλάλησεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ, χείλη δόλια ἐν καρδίᾳ, καὶ ἐν καρδίᾳ ἐλάλησε κακά. Ἐξολοθρεύσαι Κύριος πάντα τὰ χείλη τὰ δόλια, γλῶσσαν μεγαλορρήμονα. Τοὺς εἰπόντας, Τὴν γλῶσσαν ἡμῶν μεγαλυνοῦμεν, τὰ χείλη ἡμῶν παρ' ἡμῖν ἐστι· τίς ἡμῶν Κύριός ἐστι; Ἕνεκεν τῆς ταλαιπωρίας τῶν πτωχῶν, καὶ τοῦ στεναγμοῦ τῶν πενήτων, νῦν ἀναστήσομαι, λέγει Κύριος. Θήσομαι ἐν σωτηρίῳ, παρρησιάσομαι ἐν αὐτῷ. Τὰ λόγια Κυρίου, λόγια ἁγνά· ἀργύριον πεπυρωμένον, δοκίμιον τῇ γῇ, κεκαθαρισμένον ἑπταπλασίως. Σὺ, Κύριε, φυλάξαις, ἡμᾶς καὶ διατηρήσαις ἡμᾶς ἀπὸ τῆς γενεᾶς ταύτης, καὶ εἰς τὸν αἰῶνα. Κύκλῳ οἱ ἀσεβεῖς περιπατοῦσι, κατὰ τὸ ὕψος σου ἐπολυώρησας τοὺς υἱοὺς τῶν ἀνθρώπων.

ΨΑΛΜΟΣ 12. Τοῦ Δαβίδ.

Ἕως πότε Κύριε ἐπιλήσῃ μου εἰς τέλος; ἕως πότε ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ; Ἕως τίνος θήσομαι βουλὰς ἐν ψυχῇ μου, ὀδύνας ἐν καρδίᾳ μου ἡμέρας, καὶ νυκτός; Ἕως πότε ὑψωθήσεται ὁ ἐχθρός μου ἐπ' ἐμέ; ἐπίβλεψον, εἰσάκουσόν μου Κύριε ὁ Θεός μου. Φώτισον τοὺς ὀφθαλμούς μου, μήποτε ὑπνώσω

εἰς

εἰς θάνατον· μήποτε εἴπῃ ὁ ἐχθρός μου, ἴσχυσα πρὸς αὐτόν. Οἱ θλίβοντές με ἀγαλλιάσονται, ἐὰν σαλευθῶ, ἐγὼ δὲ ἐπὶ τῷ ἐλέει σου ἤλπισα. Ἀγαλλιάσεται ἡ καρδία μου ἐπὶ τῷ σωτηρίῳ σου. Ἄσω τῷ Κυρίῳ, τῷ εὐεργετήσαντί με, καὶ ψαλῶ τῷ ὀνόματι Κυρίου τοῦ Ὑψίστου.

ΨΑΛΜΟΣ 13. Τοῦ Δαβίδ.

Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ, Οὐκ ἔστι Θεός. Διεφθάρησαν, καὶ ἐβδελύχθησαν ἐν ἐπιτηδεύμασιν, οὐκ ἔστι ποιῶν χρηστότητα· οὐκ ἔστιν ἕως ἑνός. Κύριος ἐκ τοῦ Οὐρανοῦ διέκυψεν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων, τοῦ ἰδεῖν εἰ ἔστι συνιῶν, ἢ ἐκζητῶν τὸν Θεόν. Πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν, οὐκ ἔστι ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός. Οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, οἱ ἐσθίοντες τὸν λαόν μου ἐν βρώσει ἄρτου; Τὸν Κύριον οὐκ ἐπεκαλέσαντο· ἐκεῖ ἐδειλίασαν φόβον, οὗ οὐκ ἦν φόβος. Ὅτι Κύριος ἐν γενεᾷ δικαίων· βουλὴν πτωχοῦ κατῃσχύνατε, ὁ δὲ Κύριος ἐλπὶς αὐτοῦ ἐστι. Τίς δώσει ἐκ Σιὼν τὸ Σωτήριον τοῦ Ἰσραήλ; ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ, ἀγαλλιάσεται Ἰακώβ, καὶ εὐφρανθήσεται Ἰσραήλ.

Δόξα καὶ νῦν. Ἀλληλούϊα.

ΨΑΛΜΟΣ 14. Τοῦ Δαβίδ.

Κύριε τίς παροικήσει ἐν τῷ σκηνώματί σου; ἢ τίς κατασκηνώσει ἐν ὄρει ἁγίῳ σου; Πορευόμενος ἄμωμος, καὶ ἐργαζόμενος δικαιοσύνην. Λαλῶν ἀλήθειαν ἐν καρδίᾳ αὐτοῦ, ὃς οὐκ ἐδόλωσεν ἐν γλώσσῃ αὐτοῦ. Καὶ οὐκ ἐποίησε τῷ πλησίον αὐτοῦ κακόν, καὶ ὀνειδισμὸν οὐκ ἔλαβεν ἐπὶ τοῖς ἐγγίστα αὐτοῦ. Ἐξουδένωται ἐνώπιον αὐτοῦ πονηρευόμενος, τοὺς δὲ φοβουμένους τὸν Κύριον δοξάζει. Ὁ ὀμνύων τῷ πλησίον αὐτοῦ, καὶ οὐκ ἀθετῶν, τὸ ἀργύριον αὐτοῦ οὐκ ἔδωκεν ἐπὶ τόκῳ, καὶ δῶρα ἐπ' ἀθῴοις οὐκ ἔλαβεν. Ὁ ποιῶν ταῦτα, οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα.

ΨΑΛΜΟΣ 15. Τοῦ Δαβίδ.

Φύλαξόν με Κύριε, ὅτι ἐπί σοί ἤλπισα. Εἶπα τῷ Κυρίῳ, Κύριός μου εἶ σύ, ὅτι τῶν ἀγαθῶν μου οὐ χρείαν ἔχεις. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος, πάντα τὰ θελήματα αὐτοῦ ἐν αὐτοῖς. Ἐπληθύνθησαν αἱ ἀσθένειαι αὐτῶν, μετὰ ταῦτα ἐτάχυναν. Οὐ μὴ συναγάγω τὰς συναγωγὰς αὐτῶν ἐξ αἱμάτων, οὐδ' οὐ μὴ μνησθῶ τῶν ὀνομάτων αὐτῶν διὰ χειλέων μου. Κύριος μερὶς τῆς κληρονομίας μου, καὶ τοῦ ποτηρίου μου· σὺ εἶ ὁ ἀποκαθιστῶν τὴν κληρονομίαν μου ἐμοί. Σχοινία ἔπεσέ μοι ἐν τοῖς κρατίστοις μου· καὶ γὰρ ἡ κληρονομία μου κρατίστη μοί ἐστιν

Εὐλο-

Δημόσιο Κεντρική Βιβλιοθήκη Πάτρας

Εὐλογήσω τὸν Κύριον τὸν συνετίσαντά με. ἔτι δὲ καὶ ἕως νυκτὸς ἐπαίδευσάν με οἱ νεφροί μου. Προωρώμην τὸν Κύριον ἐνώπιόν μου διαπαντός, ὅτι ἐκ δεξιῶν μού ἐστιν, ἵνα μὴ σαλευθῶ. Διὰ τοῦτο εὐφράνθη ἡ καρδία μου, καὶ ἠγαλλιάσατο ἡ γλῶσσά μου, ἔτι δὲ καὶ ἡ σάρξ μου κατασκηνώσει ἐπ' ἐλπίδι. Ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς Ἅδην, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν. Ἐγνώρισάς μοι ὁδοὺς ζωῆς, πληρώσεις με εὐφροσύνης μετὰ τοῦ προσώπου σου, τερπνότης ἐν τῇ δεξιᾷ σου εἰς τέλος.

ΨΑΛΜΟΣ 16. Τοῦ Δαβίδ.

Εἰσάκουσον, Κύριε, δικαιοσύνης μου, πρόσχες τῇ δεήσει μου, ἐνώτισαι τὴν προσευχήν μου, οὐκ ἐν χείλεσι δολίοις. Ἐκ προσώπου σου τὸ κρίμα μου ἐξέλθοι, οἱ ὀφθαλμοί μου ἰδέτωσαν εὐθύτητας. Ἐδοκίμασας τὴν καρδίαν μου, ἐπεσκέψω νυκτός· ἐπείρασάς με, καὶ οὐχ εὑρέθη ἐν ἐμοὶ ἀδικία. Ὅπως ἂν μὴ λαλήσῃ τὸ στόμα μου τὰ ἔργα τῶν ἀνθρώπων, διὰ τοὺς λόγους τῶν χειλέων σου ἐγὼ ἐφύλαξα ὁδοὺς σκληράς. Κατάρτισαι τὰ διαβήματά μου ἐν ταῖς τρίβοις σου, ἵνα μὴ σαλευθῶσι τὰ διαβήματά μου. Ἐγὼ ἐκέκραξα, ὅτι ἐπήκουσάς μου ὁ Θεός, κλῖνον τὸ οὖς σου ἐμοί, καὶ εἰσάκουσον τῶν ῥημάτων μου. Θαυμάστωσον τὰ ἐλέη σου, ὁ σώζων τοὺς ἐλπίζοντας ἐπὶ σὲ, ἐκ τῶν ἀνθεστη
φύλαξόν με,
φθαλμοῦ.
γων σου σκε
σώπου ἀσεβ
σάντων με.
ψυχήν μου
αὐτῶν συνέκ
τῶν ἐλαύνησε
λόντες με νυ
τοὺς ὀφθαλ
ἐκκλῖναι ἐν
ώσει λέων ἕ
ώσει σκύμνο
Ἀνάστηθι
τοὺς, καὶ
ῥῦσαι τὴν ψ
βοὺς, ῥομφ
τῆς χειρός
γων ἀπὸ
τους ἐν τῇ
κεκρυμμένω
στηρ αὐτῶν.
καὶ ἀφῆκαν
νηπίοις αὐτῶ
σούνῃ ὀφθή
σου, χορτασ
ναί μοι τὴν

Δόξα, κ

ΚΑ

ΨΑΛΜΟ

Ἀγαπήσω
Κύριος στε
ῥυγή μ
Θεός μου
πιῶ ἐπ' α

μου, καὶ κέρας σωτηρίας μου, καὶ ἀντιλήπτωρ μου. Αἰνῶν ἐπικαλέσομαι τὸν Κύριον, καὶ ἐκ τῶν ἐχθρῶν μου σωθήσομαι. Περιέσχον με ὠδῖνες θανάτου, καὶ χείμαρροι ἀνομίας ἐξετάραξάν με. Ὠδῖνες ᾅδου περιεκύκλωσάν με, προέφθασάν με παγίδες θανάτου. Καὶ ἐν τῷ θλίβεσθαί με ἐπεκαλεσάμην τὸν Κύριον, καὶ πρὸς τὸν Θεόν μου ἐκέκραξα. Ἤκουσεν ἐκ ναοῦ Ἁγίου αὐτοῦ φωνῆς μου, καὶ ἡ κραυγή μου ἐνώπιον αὐτοῦ εἰσελεύσεται εἰς τὰ ὦτα αὐτοῦ. Καὶ ἐσαλεύθη, καὶ ἐτρόμος ἐγεννήθη ἡ γῆ, καὶ τὰ θεμέλια τῶν ὀρέων ἐταράχθησαν, καὶ ἐσαλεύθησαν, ὅτι ὠργίσθη αὐτοῖς ὁ Θεός. Ἀνέβη καπνὸς ἐν ὀργῇ αὐτοῦ, καὶ πῦρ ἀπὸ προσώπου αὐτοῦ καταφλεγήσεται, ἄνθρακες ἀνήφθησαν ἀπ' αὐτοῦ. Καὶ ἔκλινεν Οὐρανούς, καὶ κατέβη, καὶ γνόφος ὑπὸ τοὺς πόδας αὐτοῦ. Καὶ ἐπέβη ἐπὶ Χερουβὶμ, καὶ ἐπετάσθη, ἐπετάσθη ἐπὶ πτερύγων ἀνέμων. Καὶ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ, κύκλῳ αὐτοῦ ἡ σκηνὴ αὐτοῦ, σκοτεινὸν ὕδωρ ἐν νεφέλαις ἀέρων. Ἀπὸ τῆς τηλαυγήσεως ἐνώπιον αὐτοῦ αἱ νεφέλαι διῆλθον· χάλαζα, καὶ ἄνθρακες πυρός. Καὶ ἐβρόντησεν ἐξ Οὐρανοῦ ὁ Κύριος, καὶ ὁ Ὕψιστος ἔδωκε φωνὴν αὐτοῦ. Ἐξαπέστειλε βέλη, καὶ ἐσκόρπισεν αὐτούς, καὶ ἀστραπὰς ἐπλήθυνε, καὶ συνετάραξεν αὐτούς. Καὶ ὤφθησαν αἱ πηγαὶ τῶν ὑδάτων, καὶ ἀνεκαλύφθη τὰ θεμέλια τῆς οἰκουμένης. Ἀπὸ ἐπιτιμήσεώς σου Κύριε, ἀπὸ ἐμπνεύσεως πνεύματος ὀργῆς σου. Ἐξαπέστειλεν ἐξ ὕψους, καὶ ἔλαβέ με· προσελάβετό με ἐξ ὑδάτων πολλῶν. Ῥύσεταί με ἐξ ἐχθρῶν μου δυνατῶν, καὶ ἐκ τῶν μισούντων με, ὅτι ἐστερεώθησαν ὑπὲρ ἐμέ. Προέφθασάν με ἐν ἡμέρᾳ κακώσεώς μου, καὶ ἐγένετο Κύριος ἀντιστήριγμά μου. Καὶ ἐξήγαγέ με εἰς πλατυσμόν· ῥύσεταί με, ὅτι ἠθέλησέ με. Κ[illegible] ἀνταποδώσει μοι Κύριος κατὰ τὴν δικαιοσύνην μου, καὶ κατὰ τὴν καθαριότητα τῶν χειρῶν μου ἀνταποδώσει μοι. Ὅτι ἐφύλαξα τὰς ὁδοὺς Κυρίου, καὶ οὐκ ἠσέβησα ἀπὸ τοῦ Θεοῦ μου. Ὅτι πάντα τὰ κρίματα αὐτοῦ ἐνώπιόν μου, καὶ τὰ δικαιώματα αὐτοῦ οὐκ ἀπέστησαν ἀπ' ἐμοῦ. Καὶ ἔσομαι ἄμωμος μετ' αὐτοῦ, καὶ φυλάξομαι ἀπὸ τῆς ἀνομίας μου. Καὶ ἀνταποδώσει μοι Κύριος κατὰ τὴν δικαιοσύνην μου, καὶ κατὰ τὴν καθαριότητα τῶν χειρῶν μου, ἐνώπιον τῶν ὀφθαλμῶν αὐτοῦ. Μετὰ ὁσίου ὅσιος ἔσῃ, καὶ μετὰ ἀνδρὸς ἀθῴου ἀθῶος ἔσῃ, καὶ μετὰ ἐκλεκτοῦ ἐκλεκτὸς ἔσῃ, καὶ μετὰ στρεβλοῦ διαστρέψεις. Ὅτι σὺ λαὸν ταπεινὸν σώσεις, καὶ ὀφθαλμοὺς ὑπερηφάνων ταπεινώσεις. Ὅτι σὺ φωτιεῖς λύχνον μου, Κύριε ὁ Θεός μου, φωτιεῖ τὸ σκότος μου. Ὅτι ἐν σοὶ ῥυσθήσομαι ἀπὸ πειρατηρίου, καὶ ἐν τῷ Θεῷ μου ὑπερβήσομαι τεῖχος. Ὁ Θεός μου, ἄμωμος ἡ ὁδὸς αὐτοῦ, τὰ λόγια Κυρίου πεπυρωμένα.

Δημόσια Κεντρική Βιβλιοθήκη

να, ὑπερασπιστής ἐστι πάντων τῶν ἐλπιζόντων ἐπ' αὐτόν. Ὅτι τίς Θεὸς πάρεξ τοῦ Κυρίου; ἢ τίς Θεὸς πλὴν τοῦ Θεοῦ ἡμῶν; Ὁ Θεὸς ὁ περιζωννύων με δυνάμιν, καὶ ἔθετο ἄμωμον τὴν ὁδόν μου. Καταρτιζόμενος τοὺς πόδας μου ὡσεὶ ἐλάφου, καὶ ἐπὶ τὰ ὑψηλὰ ἱστῶν με. Διδάσκων χεῖράς μου εἰς πόλεμον, καὶ ἔθου τόξον χαλκοῦν τοὺς βραχίονας μου. Καὶ ἔδωκάς μοι ὑπερασπισμὸν σωτηρίας· καὶ ἡ δεξιά μου ἀντελάβετό μου. Καὶ ἡ παιδεία σου ἀνώρθωσέ με εἰς τέλος, καὶ ἡ παιδεία σου αὐτή με διδάξει. Ἐπλάτυνας τὰ διαβήματά μου ὑποκάτω μου, καὶ οὐκ ἠσθένησε τὰ ἴχνη μου. Καταδιώξω τοὺς ἐχθρούς μου, καὶ καταλήψομαι αὐτούς, καὶ οὐκ ἀποστραφήσομαι, ἕως ἂν ἐκλίπωσιν. Ἐκθλίψω αὐτούς, καὶ οὐ μὴ δύνωνται στῆναι· πεσοῦνται ὑπὸ τοὺς πόδας μου. Καὶ περιέζωσάς με δύναμιν εἰς πόλεμον, συνεπόδισας πάντας τοὺς ἐπανισταμένους ἐπ' ἐμὲ ὑποκάτω μου. Καὶ τοὺς ἐχθρούς μου ἔδωκάς μοι νῶτον, καὶ τοὺς μισοῦντάς με ἐξωλόθρευσας. Ἐκέκραξαν, καὶ οὐκ ἦν ὁ σώζων, πρὸς Κύριον, καὶ οὐκ εἰσήκουσεν αὐτῶν. Καὶ λεπτυνῶ αὐτοὺς ὡσεὶ χοῦν κατὰ πρόσωπον ἀνέμου, ὡς πηλὸν πλατειῶν λεανῶ αὐτούς. Ῥύσαί με ἐξ ἀντιλογίας λαοῦ, καταστήσεις με εἰς κεφαλὴν ἐθνῶν. Λαὸς ὃν οὐκ ἔγνων, ἐδούλευσέ μοι, εἰς ἀκοὴν ὠτίου ὑπήκουσέ μου. Υἱοὶ ἀλλότριοι ἐψευ-

Κυρίου ἄμωμος, ἐπιστρέφων ψυχάς· ἡ μαρτυρία Κυρίου πιστή, σοφίζουσα νήπια. Τὰ δικαιώματα Κυρίου εὐθέα, εὐφραίνοντα καρδίαν. ἡ ἐντολὴ Κυρίου τηλαυγής, φωτίζουσα ὀφθαλμούς. Ὁ φόβος Κυρίου ἁγνός, διαμένων εἰς αἰῶνα αἰῶνος· τὰ κρίματα Κυρίου ἀληθινά, δεδικαιωμένα ἐπὶ τὸ αὐτό. Ἐπιθυμητὰ ὑπὲρ χρυσίον, καὶ λίθον τίμιον πολύν, καὶ γλυκύτερα ὑπὲρ μέλι, καὶ κηρίον. Καὶ γὰρ ὁ δοῦλός σου φυλάσσει αὐτά, ἐν τῷ φυλάσσειν αὐτὰ ἀνταπόδοσις πολλή. Παραπτώματα τίς συνήσει; ἐκ τῶν κρυφίων μου καθάρισόν με, καὶ ἀπὸ ἀλλοτρίων φεῖσαι τοῦ δούλου σου. Ἐὰν μή μου κατακυριεύσωσι, τότε ἄμωμος ἔσομαι, καὶ καθαρισθήσομαι ἀπὸ ἁμαρτίας μεγάλης. Καὶ ἔσονται εἰς εὐδοκίαν τὰ λόγια τοῦ στόματός μου, καὶ ἡ μελέτη τῆς καρδίας μου ἐνώπιόν σου διαπαντός. Κύριε βοηθέ μου, καὶ λυτρωτά μου.

ΨΑΛΜΟΣ 19. τοῦ Δαβίδ.

Ἐπακούσαι σου Κύριος ἐν ἡμέρᾳ θλίψεως, ὑπερασπίσαι σου τὸ ὄνομα τοῦ Θεοῦ Ἰακώβ. Ἐξαποστείλαι σοι βοήθειαν ἐξ ἁγίου, καὶ ἐκ Σιὼν ἀντιλάβοιτό σου. Μνησθείη πάσης θυσίας σου, καὶ τὸ ὁλοκαύτωμά σου πιανάτω. Δώῃ σοι Κύριος κατὰ τὴν καρδίαν σου, καὶ πᾶσαν τὴν βουλήν σου πληρώσαι. Ἀγαλλιασόμεθα ἐπὶ τῷ Σωτηρίῳ σου, καὶ ἐν ὀνόματι Κυρίου Θεοῦ ἡμῶν μεγαλυνθησόμεθα. Πληρώσαι Κύριος πάντα τὰ αἰτήματά σου· νῦν ἔγνων, ὅτι ἔσωσε Κύριος τὸν χριστὸν αὐτοῦ. Ἐπακούσεται αὐτοῦ ἐξ οὐρανοῦ ἁγίου αὐτοῦ· ἐν δυναστείαις ἡ σωτηρία τῆς δεξιᾶς αὐτοῦ. Οὗτοι ἐν ἅρμασι, καὶ οὗτοι ἐν ἵπποις, ἡμεῖς δὲ ἐν ὀνόματι Κυρίου Θεοῦ ἡμῶν ἐπικαλεσόμεθα. Αὐτοὶ συνεποδίσθησαν, καὶ ἔπεσον· ἡμεῖς δὲ ἀνέστημεν, καὶ ἀνορθώθημεν. Κύριε σῶσον τὸν Βασιλέα, καὶ ἐπάκουσον ἡμῶν, ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλεσώμεθά σε.

ΨΑΛΜΟΣ 20 Τοῦ Δαβίδ.

Κύριε ἐν τῇ δυνάμει σου εὐφρανθήσεται ὁ βασιλεύς, καὶ ἐπὶ τῷ σωτηρίῳ σου ἀγαλλιάσεται σφόδρα. Τὴν ἐπιθυμίαν τῆς καρδίας αὐτοῦ ἔδωκας αὐτῷ, καὶ τὴν θέλησιν τῶν χειλέων αὐτοῦ οὐκ ἐστέρησας αὐτόν. Ὅτι προέφθασας αὐτὸν ἐν εὐλογίαις χρηστότητος, ἔθηκας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον ἐκ λίθου τιμίου. Ζωὴν ἠτήσατό σε, καὶ ἔδωκας αὐτῷ μακροτητα ἡμερῶν εἰς αἰῶνα αἰῶνος. Μεγάλη ἡ δόξα αὐτοῦ ἐν τῷ σωτηρίῳ σου, δόξαν καὶ μεγαλοπρέπειαν ἐπιθήσεις ἐπ' αὐτόν. Ὅτι δώῃς αὐτῷ εὐλογίαν εἰς αἰῶνα αἰῶνος· εὐφρανεῖς αὐτὸν ἐν χαρᾷ μετὰ τοῦ προσώπου σου· Ὅτι ὁ βασιλεὺς ἐλπίζει ἐπὶ Κύριον, καὶ ἐν τῷ ἐλέει τοῦ Ὑψίστου οὐ μὴ σαλευθῇ. Εὑρεθείη ἡ χειρ σου πᾶσι τοῖς ἐχθροῖς σου,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἡ δεξιά σου εὕροι πάντας τοὺς μισοῦντάς σε. Ὅτι θήσεις αὐτοὺς ὡς κλίβανον πυρὸς εἰς καιρὸν τοῦ προσώπου σου. Κύριος ἐν ὀργῇ αὐτοῦ συνταράξει αὐτοὺς, καὶ καταφάγεται αὐτοὺς πῦρ. Τὸν καρπὸν αὐτῶν ἀπὸ τῆς γῆς ἀπολεῖς, καὶ τὸ σπέρμα αὐτῶν ἀπὸ υἱῶν ἀνθρώπων. Ὅτι ἔκλιναν εἰς σε κακὰ, διελογίσαντο βουλὰς, αἷς οὐ μὴ δύνωνται στῆναι. Ὅτι θήσεις αὐτοὺς νῶτον, ἐν τοῖς περιλοίποις σου ἑτοιμάσεις τὸ πρόσωπον αὐτῶν. Ὑψώθητι Κύριε ἐν τῇ δυνάμει σου· ᾄσωμεν καὶ ψαλοῦμεν τὰς δυναστείας σου.

Δόξα, καὶ νῦν. Ἀλληλούϊα.

ΨΑΛΜΟΣ 21. Τοῦ Δαβίδ.

Ὁ Θεὸς, ὁ Θεός μου πρόσχες μοι, ἵνα τί ἐγκατέλιπές με; μακρὰν ἀπὸ τῆς σωτηρίας μου οἱ λόγοι τῶν παραπτωμάτων μου. Ὁ Θεός μου κεκράξομαι ἡμέρας, καὶ οὐκ εἰσακούσῃ, καὶ νυκτὸς, καὶ οὐκ εἰς ἄνοιαν ἐμοί. Σὺ δὲ ἐν ἁγίῳ κατοικεῖς, ὁ ἔπαινος τοῦ Ἰσραήλ· ἐπὶ σοὶ ἤλπισαν οἱ πατέρες ἡμῶν, ἤλπισαν, καὶ ἐρρύσω αὐτούς. Πρὸς σὲ ἐκέκραξαν, καὶ ἐσώθησαν· ἐπὶ σοὶ ἤλπισαν, καὶ οὐ κατῃσχύνθησαν. Ἐγὼ δέ εἰμι σκώληξ, καὶ οὐκ ἄνθρωπος, ὄνειδος ἀνθρώπων, καὶ ἐξουθένημα λαοῦ. Πάντες οἱ θεωροῦντές με ἐξεμυκτήρησάν με, ἐλάλησαν ἐν χείλεσιν, ἐκίνησαν κεφαλήν. Ἤλπισεν ἐπὶ Κύριον, ῥυσάσθω αὐτόν· σωσάτω αὐτόν, ὅτι θέλει αὐτόν. Ὅτι σὺ εἶ ὁ ἐκσπάσας με ἐκ γαστρὸς, ἡ ἐλπίς μου ἀπὸ μαστῶν τῆς μητρός μου. Ἐπὶ σὲ ἐπερρίφθην ἐκ μήτρας, ἀπὸ γαστρὸς μητρός μου· Θεός μου εἶ σὺ, μὴ ἀποστῇς ἀπ' ἐμοῦ. Ὅτι θλῖψις ἐγγύς, ὅτι οὐκ ἔστιν ὁ βοηθῶν μοι. Περιεκύκλωσάν με μόσχοι πολλοὶ, ταῦροι πίονες περιέσχον με. Ἤνοιξαν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν ὡς λέων ἁρπάζων, καὶ ὠρυόμενος. Ὡσεὶ ὕδωρ ἐξεχύθην, καὶ διεσκορπίσθη πάντα τὰ ὀστᾶ μου· ἐγενήθη ἡ καρδία μου ὡσεὶ κηρὸς τηκόμενος ἐν μέσῳ τῆς κοιλίας μου. Ἐξηράνθη ὡς ὄστρακον ἡ ἰσχύς μου, καὶ ἡ γλῶσσά μου κεκόλληται τῷ λάρυγγί μου, καὶ εἰς χοῦν θανάτου κατήγαγές με. Ὅτι ἐκύκλωσάν με κύνες πολλοὶ, συναγωγὴ πονηρευομένων περιέσχον με. Ὤρυξαν χεῖράς μου καὶ πόδας μου, ἐξηριθμήσαν πάντα τὰ ὀστᾶ μου. Αὐτοὶ δὲ κατενόησαν, καὶ ἐπεῖδόν με. Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον. Σὺ δὲ Κύριε μὴ μακρύνῃς τὴν βοήθειάν σου ἀπ' ἐμοῦ, εἰς τὴν ἀντίληψίν μου πρόσχες. Ῥῦσαι ἀπὸ ῥομφαίας τὴν ψυχήν μου, καὶ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μου. Σῶσόν με ἐκ στόματος λέοντος, καὶ ἀπὸ κεράτων μονοκερώτων τὴν ταπείνωσίν μου. Διηγήσομαι τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε. Οἱ φοβούμενοι τὸν Κύριον αἰνέσατε αὐτόν, ἅπαν τὸ σπέρμα Ἰακὼβ δοξάσατε αὐτόν· Φοβηθήτω ὃ ἀπ'

φθαλμῶν μου ἐστί, καὶ εὑηρέστησα ἐν τῇ ἀληθείᾳ σου. Οὐκ ἐκάθησα μετὰ συνεδρίου ματαιότητος, καὶ μετὰ παρανομούντων οὐ μὴ εἰσέλθω. Ἐμίσησα Ἐκκλησίαν πονηρευομένων, καὶ μετὰ ἀσεβῶν οὐ μὴ καθίσω. Νίψομαι ἐν ἀθώοις τὰς χεῖράς μου, καὶ κυκλώσω τὸ θυσιαστήριόν σου, Κύριε. Τοῦ ἀκοῦσαί με φωνῆς αἰνέσεώς σου, καὶ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου. Κύριε, ἠγάπησα εὐπρέπειαν οἴκου σου, καὶ τόπον σκηνώματος δόξης σου. Μὴ συναπολέσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν μου, καὶ μετὰ ἀνδρῶν αἱμάτων τὴν ζωήν μου. Ὧν ἐν χερσὶν αἱ ἀνομίαι, ἡ δεξιὰ αὐτῶν ἐπλήσθη δώρων. Ἐγὼ δὲ ἐν ἀκακίᾳ μου ἐπορεύθην, λύτρωσαί με, Κύριε, καὶ ἐλέησόν με. Ὁ ποὺς μου ἔστη ἐν εὐθύτητι· ἐν Ἐκκλησίαις εὐλογήσω σε, Κύριε.

ΨΑΛΜΟΣ 26. τοῦ Δαβίδ.

Κύριος φωτισμός μου καὶ Σωτήρ μου, τίνα φοβηθήσομαι; Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου, ἀπὸ τίνος δειλιάσω; Ἐν τῷ ἐγγίζειν ἐπ' ἐμὲ κακοῦντας, τοῦ φαγεῖν τὰς σάρκας μου. Οἱ θλίβοντές με καὶ οἱ ἐχθροί μου αὐτοὶ ἠσθένησαν, καὶ ἔπεσον. Ἐὰν παρατάξηται ἐπ' ἐμὲ παρεμβολή, οὐ φοβηθήσεται ἡ καρδία μου. Ἐὰν ἐπαναστῇ ἐπ' ἐμὲ πόλεμος, ἐν ταύτῃ ἐγὼ ἐλπίζω. Μίαν ἠτησάμην παρὰ Κυρίου, ταύτην ζητήσω· τοῦ κατοικεῖν με ἐν οἴκῳ Κυρίου, πάσας τὰς ἡμέρας τῆς ζωῆς μου. Τοῦ θεωρεῖν με τὴν τερπνότητα Κυρίου, καὶ ἐπισκέπτεσθαι τὸν ναὸν τὸν ἅγιον αὐτοῦ. Ὅτι ἔκρυψέ με ἐν σκηνῇ αὐτοῦ ἐν ἡμέρᾳ κακῶν μου, ἐσκέπασέ με ἐν ἀποκρύφῳ τῆς σκηνῆς αὐτοῦ, ἐν πέτρᾳ ὕψωσέ με. Καὶ νῦν ἰδοὺ ὕψωσε κεφαλήν μου ἐπ' ἐχθροὺς μου. Ἐκύκλωσα, καὶ ἔθυσα ἐν τῇ σκηνῇ αὐτοῦ θυσίαν αἰνέσεως καὶ ἀλαλαγμοῦ. Ἆσω, καὶ ψαλῶ τῷ Κυρίῳ· εἰσάκουσον, Κύριε, τῆς φωνῆς μου, ἧς ἐκέκραξα· ἐλέησόν με, καὶ εἰσάκουσόν μου. Σοὶ εἶπεν ἡ καρδία μου, Κύριον ζητήσω, ἐξεζήτησέ σε τὸ πρόσωπόν μου, τὸ πρόσωπόν σου, Κύριε, ζητήσω. Μὴ ἀποστρέψῃς τὸ πρόσωπον σου ἀπ' ἐμοῦ, καὶ μὴ ἐκκλίνῃς ἐν ὀργῇ ἀπὸ τοῦ δούλου σου. Βοηθός μου γενοῦ, μὴ ἀποσκορακίσῃς με, καὶ μὴ ἐγκαταλίπῃς με, ὁ Θεὸς ὁ Σωτήρ μου. Ὅτι ὁ πατήρ μου, καὶ ἡ μήτηρ μου ἐγκατέλιπόν με, ὁ δὲ Κύριος προσελάβετό με. Νομοθέτησόν με, Κύριε ἐν τῇ ὁδῷ σου, καὶ ὁδήγησόν με ἐν τρίβῳ εὐθείᾳ, ἕνεκα τῶν ἐχθρῶν μου. Μὴ παραδῷς με εἰς ψυχὰς θλιβόντων με, ὅτι ἐπανέστησάν μοι μάρτυρες ἄδικοι, καὶ ἐψεύσατο ἡ ἀδικία ἑαυτῇ. Πιστεύω τοῦ ἰδεῖν τὰ ἀγαθὰ Κυρίου ἐν γῇ ζώντων. Ὑπόμεινον τὸν Κύριον. Ἀνδρίζου, καὶ κραταιούσθω ἡ καρδία σου, καὶ ὑπόμεινον τὸν Κύριον.

Δόξα καὶ νῦν. Ἀλληλούϊα.

ΨΑΛΜΟΣ 27. Τοῦ Δαβίδ.

Πρός σέ, Κύριε, κεκράξομαι ὁ Θεός μου, μὴ παρασιωπήσῃς ἀπ' ἐμοῦ· μή ποτε παρασιωπήσῃς ἀπ' ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Ἐσάκουσον, Κύριε, τῆς φωνῆς τῆς δεήσεώς μου, ἐν τῷ δέεσθαί με πρός σέ, ἐν τῷ αἴρειν με χεῖράς μου πρός ναόν τόν ἅγιόν σου. Μὴ συνελκύσῃς με μετά ἁμαρτωλῶν, καὶ μετά ἐργαζομένων ἀδικίαν μὴ συναπολέσῃς με. Τῶν λαλούντων εἰρήνην μετά τῶν πλησίον αὐτῶν, κακά δὲ ἐν ταῖς καρδίαις αὐτῶν. Δὸς αὐτοῖς, Κύριε, κατά τά ἔργα αὐτῶν, καὶ κατά τήν πονηρίαν τῶν ἐπιτηδευμάτων αὐτῶν. Κατά τά ἔργα τῶν χειρῶν αὐτῶν δὸς αὐτοῖς· ἀπόδος τό ἀνταπόδομα αὐτῶν αὐτοῖς. Ὅτι οὐ συνῆκαν εἰς τά ἔργα Κυρίου, καὶ εἰς τά ἔργα τῶν χειρῶν αὐτοῦ· καθελεῖς αὐτούς, καὶ οὐ μὴ οἰκοδομήσῃς αὐτούς. Εὐλογητός Κύριος, ὅτι εἰσήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου. Κύριος βοηθός μου καὶ ὑπερασπιστής μου, ἐπ' αὐτῷ ἤλπισεν ἡ καρδία μου, καὶ ἐβοηθήθην. Καὶ ἀνέθαλεν ἡ σάρξ μου, καὶ ἐκ θελήματός μου ἐξομολογήσομαι αὐτῷ. Κύριος κραταίωμα τοῦ λαοῦ αὐτοῦ, καὶ ὑπερασπιστής τῶν σωτηρίων τοῦ χριστοῦ αὐτοῦ ἐστι. Σῶσον τόν λαόν σου καὶ εὐλόγησον τήν κληρονομίαν σου, καὶ ποίμανον αὐτούς, καὶ ἔπαρον αὐτούς ἕως τοῦ αἰῶνος.

ΨΑΛΜΟΣ 28. Τοῦ Δαβίδ.

Ἐνέγκατε τῷ Κυρίῳ υἱοί Θεοῦ· ἐνέγκατε τῷ Κυρίῳ υἱούς κριῶν. Ἐνέγκατε τῷ Κυρίῳ δόξαν καὶ τιμήν· ἐνέγκατε τῷ Κυρίῳ δόξαν ὀνόματι αὐτοῦ· προσκυνήσατε τῷ Κυρίῳ ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ. Φωνή Κυρίου ἐπί τῶν ὑδάτων· ὁ Θεός τῆς δόξης ἐβρόντησε, Κύριος ἐπί ὑδάτων πολλῶν. Φωνή Κυρίου ἐν ἰσχύι, φωνή Κυρίου ἐν μεγαλοπρεπείᾳ. Φωνή Κυρίου συντρίβοντος κέδρους, καὶ συντρίψει Κύριος τάς κέδρους τοῦ Λιβάνου. Καὶ λεπτυνεῖ αὐτάς ὡς τόν μόσχον τόν Λίβανον, καὶ ὁ ἠγαπημένος ὡς υἱός μονοκερώτων. Φωνή Κυρίου διακόπτοντος φλόγα πυρός· φωνή Κυρίου συσσείοντος ἔρημον, καὶ συσσείσει Κύριος τήν ἔρημον Καδής. Φωνή Κυρίου καταρτιζομένη ἐλάφους, καὶ ἀποκαλύψει δρυμούς, καὶ ἐν τῷ ναῷ αὐτοῦ πᾶς τις λέγει δόξαν. Κύριος τόν κατακλυσμόν κατοικιεῖ, καὶ καθιεῖται Κύριος Βασιλεύς εἰς τόν αἰῶνα. Κύριος ἰσχύν τῷ λαῷ αὐτοῦ δώσει. Κύριος εὐλογήσει τόν λαόν αὐτοῦ ἐν εἰρήνῃ.

ΨΑΛΜΟΣ 29. Τοῦ Δαβίδ.

Ὑψώσω σε, Κύριε, ὅτι ὑπέλαβές με, καὶ οὐκ εὐφρανας τούς ἐχθρούς μου ἐπ' ἐμέ. Κύριε ὁ Θεός μου, ἐκέκραξα πρός σέ, καὶ ἰάσω με. Κύριε ἀνήγαγες ἐξ Ἅδου τήν ψυχήν μου, ἔσωσάς με ἀπό τῶν καταβαινόντων εἰς λάκκον. Ψάλατε τῷ Κυρίῳ οἱ ὅσιοι αὐτοῦ,

καὶ

καὶ ἐξομολογεῖσθε τῇ μνήμῃ τῆς ἁγιωσύνης αὐτοῦ. Ὅτι ὀργὴ ἐν τῷ θυμῷ αὐτοῦ, καὶ ζωὴ ἐν τῷ θελήματι αὐτοῦ. Τὸ ἑσπέρας αὐλισθήσεται κλαυθμὸς, καὶ εἰς τὸ πρωΐ ἀγαλλίασις. Ἐγὼ δὲ εἶπα ἐν τῇ εὐθηνίᾳ μου, Οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα. Κύριε, ἐν τῷ θελήματί σου παρέσχου τῷ κάλλει μου δύναμιν. Ἀπέστρεψας δὲ τὸ πρόσωπόν σου, καὶ ἐγενήθην τεταραγμένος. Πρός σε, Κύριε, κεκράξομαι, καὶ πρὸς τὸν Θεόν μου δεηθήσομαι. Τίς ὠφέλεια ἐν τῷ αἵματί μου, ἐν τῷ καταβαίνειν με εἰς διαφθοράν; Μὴ ἐξομολογήσεταί σοι χοῦς, ἢ ἀναγγελεῖ τὴν ἀλήθειάν σου; Ἤκουσε Κύριος, καὶ ἠλέησέ με· Κύριος ἐγενήθη βοηθός μου. Ἔστρεψας τὸν κοπετόν μου εἰς χαρὰν ἐμοί· διέρρηξας τὸν σάκκον μου, καὶ περιέζωσάς με εὐφροσύνην. Ὅπως ἂν ψάλῃ σοι ἡ δόξα μου, καὶ οὐ μὴ κατανυγῶ. Κύριε ὁ Θεός μου, εἰς τὸν αἰῶνα ἐξομολογήσομαί σοι.

Δόξα καὶ νῦν Ἀλληλουϊα.

ΨΑΛΜΟΣ 30. Τοῦ Δαβίδ

Ἐπὶ σοὶ, Κύριε, ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα· ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με, καὶ ἐξελοῦ με. Κλῖνον πρός με τὸ οὖς σου, τάχυνον τοῦ ἐξελέσθαι με. Γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστὴν, καὶ εἰς οἶκον καταφυγῆς τοῦ σῶσαί με. Ὅτι κραταίωμά μου, καὶ καταφυγή μου εἶ σὺ, καὶ ἕνεκεν τοῦ ὀνόματός σου ὁδηγήσεις με, καὶ διαθρέψεις με. Ἐξάξεις με ἐκ παγίδος ταύτης, ἧς ἔκρυψάν μοι, ὅτι σὺ εἶ ὁ ὑπερασπιστής μου, Κύριε. Εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου· ἐλυτρώσω με, Κύριε ὁ Θεὸς τῆς ἀληθείας. Ἐμίσησας τοὺς διαφυλάσσοντας ματαιότητας διακενῆς. Ἐγὼ δὲ ἐπὶ τῷ Κυρίῳ ἤλπισα, ἀγαλλιάσομαι, καὶ εὐφρανθήσομαι ἐπὶ τῷ ἐλέει σου. Ὅτι ἐπεῖδες ἐπὶ τὴν ταπείνωσίν μου, ἔσωσας ἐκ τῶν ἀναγκῶν τὴν ψυχήν μου· καὶ οὐ συνέκλεισάς με εἰς χεῖρας ἐχθρῶν· ἔστησας ἐν εὐρυχώρῳ τοὺς πόδας μου. Ἐλέησόν με, Κύριε, ὅτι θλίβομαι· ἐταράχθη ἐν θυμῷ ὁ ὀφθαλμός μου, ἡ ψυχή μου καὶ ἡ γαστήρ μου. Ὅτι ἐξέλιπεν ἐν ὀδύνῃ ἡ ζωή μου, καὶ τὰ ἔτη μου ἐν στεναγμοῖς, Ἠσθένησεν ἐν πτωχείᾳ ἡ ἰσχύς μου. καὶ τὰ ὀστᾶ μου ἐταράχθησαν. Παρὰ πάντας τοὺς ἐχθρούς μου ἐγενήθην ὄνειδος, καὶ τοῖς γείτοσί μου σφόδρα, καὶ φόβος τοῖς γνωστοῖς μου. Οἱ θεωροῦντές με ἔξω ἔφυγον ἀπ' ἐμοῦ· ἐπελήσθην ὡσεὶ νεκρὸς ἀπὸ καρδίας. Ἐγενήθην ὡσεὶ σκεῦος ἀπολωλός· ὅτι ἤκουσα ψόγον πολλῶν παροικούντων κυκλόθεν. Ἐν τῷ ἐπισυναχθῆναι αὐτοὺς ἅμα ἐπ' ἐμέ, τοῦ λαβεῖν τὴν ψυχήν μου ἐβουλεύσαντο. Ἐγὼ δὲ ἐπὶ σοὶ, Κύριε, ἤλπισα· εἶπα, σὺ εἶ ὁ Θεός μου, ἐν ταῖς χερσί σου οἱ κλῆροί μου. Ῥῦσαί με ἐκ χειρὸς ἐχθρῶν μου, καὶ ἐκ τῶν καταδιωκόντων

κόντων με. Ἐπίφανον τὸ πρόσωπόν σου ἐπὶ τὸν δοῦλόν σου, σῶσόν με ἐν τῷ ἐλέει σου. Κύριε, μὴ καταισχυνθείην, ὅτι ἐπεκαλεσάμην σε. Αἰσχυνθείησαν ἀσεβεῖς, καὶ καταχθείησαν εἰς Ἅδου. Ἀλαλα γενηθήτω τὰ χείλη τὰ δόλια, τὰ λαλοῦντα κατὰ τοῦ δικαίου ἀνομίαν, ἐν ὑπερηφανίᾳ καὶ ἐξουδενώσει. Ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου, Κύριε, ἣν ἔκρυψας τοῖς φοβουμένοις σε. Ἐξειργάσω τοῖς ἐλπίζουσιν ἐπὶ σὲ, ἐναντίον τῶν υἱῶν τῶν ἀνθρώπων. Κατακρύψεις αὐτοὺς ἐν ἀποκρύφῳ τοῦ προσώπου σου, ἀπὸ ταραχῆς ἀνθρώπων. Σκεπάσεις αὐτοὺς ἐν σκηνῇ, ἀπὸ ἀντιλογίας γλωσσῶν. Εὐλογητὸς Κύριος, ὅτι ἐθαυμάστωσε τὸ ἔλεος αὐτοῦ ἐν πόλει περιοχῆς. Ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου. Ἀπερρίμμαι ἀπὸ προσώπου τῶν ὀφθαλμῶν σου Διὰ τοῦτο εἰσήκουσας τῆς φωνῆς τῆς δεήσεώς μου, ἐν τῷ κεκραγέναι με πρός σέ. Ἀγαπήσατε τὸν Κύριον πάντες οἱ ὅσιοι αὐτοῦ, ὅτι ἀλήθειας ἐκζητεῖ Κύριος, καὶ ἀνταποδίδωσι τοῖς περισσῶς ποιοῦσιν ὑπερηφανίαν, Ἀνδρίζεσθε, καὶ κραταιούσθω ἡ καρδία ὑμῶν, πάντες οἱ ἐλπίζοντες ἐπὶ Κύριον.

ΨΑΛΜΟΣ 31. Τοῦ Δαβίδ.

Μακάριοι, ὧν ἀφέθησαν αἱ ἀνομίαι, καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι. Μακάριος ἀνὴρ, ᾧ οὐ μὴ λογίσηται Κύριος ἁμαρτίαν, οὐδέ ἐστιν ἐν τῷ στόματι αὐτοῦ δόλος. Ὅτι ἐσίγησα, ἐπαλαιώθη τὰ ὀστᾶ μου, ἀπὸ τοῦ κράζειν με ὅλην τὴν ἡμέραν. Ὅτι ἡμέρας καὶ νυκτὸς ἐβαρύνθη ἐπ' ἐμὲ ἡ χείρ σου, ἐστράφην εἰς ταλαιταλαιπωρίαν ἐν τῷ ἐμπαγῆναί μοι ἄκανθαν. Τὴν ἀνομίαν μου ἐγνώρισα, καὶ τὴν ἁμαρτίαν μου οὐκ ἐκάλυψα. Εἶπα, ἐξογορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου. Ὑπὲρ τούτης προσεύξεται πρὸς σὲ πᾶς ὅσιος, ἐν καιρῷ εὐθέτῳ. Πλὴν ἐν κατακλυσμῷ ὑδάτων πολλῶν, πρὸς αὐτὸν οὐκ ἐγγιοῦσι. Σύ μου εἶ καταφυγὴ ἀπὸ θλίψεως τῆς περιεχούσης με. Τὸ ἀγαλλίσμά μου λύτρωσαί με ἀπὸ τῶν κυκλωσάντων με. Συνετιῶ σε καὶ συμβιβῶ σε ἐν ὁδῷ ταύτῃ, ᾗ πορεύσῃ· ἐπιστηριῶ ἐπὶ σὲ τοὺς ὀφθαλμούς μου. Μὴ γίνεσθε ὡς ἵππος καὶ ἡμίονος, οἷς οὐκ ἔστι σύνεσις. Ἐν κημῷ καὶ χαλινῷ τὰς σιαγόνας αὐτῶν ἄγξαις, τῶν μὴ ἐγγιζόντων πρός σε. Πολλαὶ αἱ μάστιγες τοῦ ἁμαρτωλοῦ, τὸν δὲ ἐλπίζοντα ἐπὶ Κύριον, ἔλεος κυκλώσει. Εὐφράνθητε ἐπὶ Κύριον, καὶ ἀγαλλιᾶσθε δίκαιοι, καὶ καυχᾶσθε πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ.

Δόξα, καὶ νῦν Ἀλληλούϊα.

ΚΑΘΙΣΜΑ Ε'.

ΨΑΛΜΟΣ 32. Τοῦ Δαβίδ.

Ἀγαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ, τοῖς εὐθέσι πρέπει αἴνεσις. Ἐξομολο-

θει δυνάμεως αὐτοῦ οὐ σωθήσεται. Ἰδού, οἱ ὀφθαλμοὶ Κυρίου ἐπὶ τοὺς φοβουμένους αὐτόν, τοὺς ἐλπίζοντας ἐπὶ τὸ ἔλεος αὐτοῦ. Ῥύσασθαι ἐκ θανάτου τὰς ψυχὰς αὐτῶν, καὶ διαθρέψαι αὐτοὺς ἐν λιμῷ. Ἡ δὲ ψυχὴ ἡμῶν ὑπομενεῖ τῷ Κυρίῳ, ὅτι βοηθὸς καὶ ὑπερασπιστὴς ἡμῶν ἐστιν. Ὅτι ἐν αὐτῷ εὐφρανθήσεται ἡ καρδία ἡμῶν, καὶ ἐν τῷ ὀνόματι τῷ ἁγίῳ αὐτοῦ ἠλπίσαμεν. Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

ΨΑΛΜΟΣ 33. τοῦ Δαβίδ.

Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ, διαπαντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου. Ἐν τῷ Κυρίῳ ἐπαινεθήσεται ἡ ψυχή μου· ἀκουσάτωσαν πραεῖς, καὶ εὐφρανθήτωσαν. Μεγαλύνατε τὸν Κύριον σὺν ἐμοί, καὶ ὑψώσωμεν τὸ ὄνομα αὐτοῦ ἐπὶ τὸ αὐτό. Ἐξεζήτησα τὸν Κύριον, καὶ ἐπήκουσέ μου, καὶ ἐκ πασῶν τῶν θλίψεών μου ἐρρύσατό με. Προσέλθετε πρὸς αὐτόν, καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ. Οὗτος ὁ πτωχὸς ἐκέκραξε, καὶ ὁ Κύριος εἰσήκουσεν αὐτοῦ, καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ ἔσωσεν αὐτόν. Παρεμβαλεῖ Ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτόν, καὶ ῥύσεται αὐτούς. Γεύσασθε καὶ ἴδετε, ὅτι χρηστὸς ὁ Κύριος· μακάριος ἀνήρ, ὃς ἐλπίζει ἐπ' αὐτόν. Φοβηθῆτε τὸν Κύριον πάντες οἱ ἅγιοι αὐτοῦ, ὅτι οὐκ ἔστιν

ὑστέ-

ὑστέρημα τοῖς φοβουμένοις αὐτόν. Πλούσιοι ἐπτώχευσαν καὶ ἐπείνασαν, οἱ δὲ ἐκζητοῦντες τὸν Κύριον, οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ. Δεῦτε τέκνα, ἀκούσατέ μου, φόβον Κυρίου διδάξω ὑμᾶς. Τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωὴν, ἀγαπῶν ἡμέρας ἰδεῖν ἀγαθάς; Παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ, καὶ χείλη σου τοῦ μὴ λαλῆσαι δόλον. Ἐκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν· ζήτησον εἰρήνην, καὶ δίωξον αὐτήν. Ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν. Πρόσωπον δὲ Κυρίου ἐπὶ ποιοῦντας κακὰ, τοῦ ἐξολοθρεῦσαι ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν. Ἐκέκραξαν οἱ δίκαιοι, καὶ ὁ Κύριος εἰσήκουσεν αὐτῶν, καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτῶν ἐρρύσατο αὐτούς. Ἐγγὺς Κύριος τοῖς συντετριμμένοις τὴν καρδίαν, καὶ τοὺς ταπεινοὺς τῷ πνεύματι σώσει. Πολλαὶ αἱ θλίψεις τῶν δικαίων, καὶ ἐκ πασῶν αὐτῶν ῥύσεται αὐτοὺς ὁ Κύριος. Φυλάσσει Κύριος πάντα τὰ ὀστᾶ αὐτῶν, ἓν ἐξ αὐτῶν οὐ συντριβήσεται. Θάνατος ἁμαρτωλῶν πονηρός, καὶ οἱ μισοῦντες τὸν δίκαιον πλημμελήσουσι. Λυτρώσεται Κύριος ψυχὰς δούλων αὐτοῦ, καὶ οὐ μὴ πλημμελήσουσι πάντες οἱ ἐλπίζοντες ἐπ' αὐτόν.

Δόξα καὶ νῦν. Ἀλληλούϊα.

ΨΑΛΜΟΣ, 34. τοῦ Δαβίδ.

Δίκασον, Κύριε, τοὺς ἀδικοῦντάς με, πολέμησον τοὺς πολεμοῦντάς με. Ἐπιλαβοῦ ὅπλου καὶ θυρεοῦ, καὶ ἀνάστηθι εἰς τὴν βοήθειάν μου. Ἔκχεον ῥομφαίαν, καὶ σύγκλεισον ἐξεναντίας τῶν καταδιωκόντων με· εἶπον τῇ ψυχῇ μου, σωτηρία σου εἰμὶ ἐγώ. Αἰσχυνθήτωσαν, καὶ ἐντραπήτωσαν οἱ ζητοῦντες τὴν ψυχήν μου. Ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω, καὶ καταισχυνθήτωσαν οἱ λογιζόμενοί μοι κακά. Γενηθήτωσαν ὡσεὶ γνοῦς κατὰ πρόσωπον ἀνέμου, καὶ Ἄγγελος Κυρίου ἐκθλίβων αὐτούς. Γενηθήτω ἡ ὁδὸς αὐτῶν σκότος καὶ ὀλίσθημα, καὶ Ἄγγελος Κυρίου καταδιώκων αὐτούς. Ὅτι δωρεὰν ἔκρυψάν μοι διαφθοράν παγίδος αὐτῶν, μάτην ὠνείδισαν τὴν ψυχήν μου. Ἐλθέτω αὐτῷ παγὶς, ἣν οὐ γινώσκει, καὶ ἡ θήρα, ἣν ἔκρυψε, συλλαβέτω αὐτόν, καὶ ἐν τῇ παγίδι πεσεῖται ἐν αὐτῇ. Ἡ δὲ ψυχή μου ἀγαλλιάσεται ἐπὶ τῷ Κυρίῳ, τερφθήσεται ἐπὶ τῷ Σωτηρίῳ αὐτοῦ. Πάντα τὰ ὀστᾶ μου ἐροῦσι, Κύριε, Κύριε τίς ὅμοιός σοι; Ῥυόμενος πτωχὸν ἐκ χειρὸς στερεωτέρων αὐτοῦ, καὶ πτωχὸν καὶ πένητα ἀπὸ τῶν διαρπαζόντων αὐτόν. Ἀναστάντες μοι μάρτυρες ἄδικοι, ἃ οὐκ ἐγίνωσκον ἠρώτων με. Ἀνταπεδίδοσάν μοι πονηρὰ ἀντὶ ἀγαθῶν, καὶ ἀτεκνίαν τῇ ψυχῇ μου. Ἐγὼ δὲ, ἐν τῷ αὐτοὺς παρενοχλεῖν μοι, ἐνεδυόμην σάκκον. Καὶ ἐταπείνουν ἐν νηστείᾳ τὴν ψυχήν μου, καὶ ἡ προσευχή μου εἰς

κόλ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κόλπον μου ἀποστραφήσεται. Ὡς πλησίον, ὡς ἀδελφῷ ἡμετέρῳ, οὕτως εὐηρέσκουν· ὡς πενθῶν καὶ σκυθρωπάζων, οὕτως ἐταπεινούμην. Καὶ κατ' ἐμοῦ εὐφράνθησαν, καὶ συνήχθησαν, συνήχθησαν ἐπ' ἐμὲ μάστιγες, καὶ οὐκ ἔγνων. Διεσχίσθησαν, καὶ οὐ κατενύγησαν· ἐπείρασάν με, ἐξεμυκτήρισάν με μυκτηρισμῷ, ἔβρυξαν ἐπ' ἐμὲ τοὺς ὀδόντας αὐτῶν. Κύριε, πότε ἐπόψῃ; ἀποκατάστησον τὴν ψυχήν μου ἀπὸ τῆς κακουργίας αὐτῶν, ἀπὸ λεόντων τὴν μονογενῆ μου. Ἐξομολογήσομαί σοι ἐν Ἐκκλησίᾳ πολλῇ, ἐν λαῷ βαρεῖ αἰνέσω σε. Μὴ ἐπιχαρείησάν μοι οἱ ἐχθραίνοντές μοι ἀδίκως, οἱ μισοῦντές με δωρεάν, καὶ διανεύοντες ὀφθαλμοῖς. Ὅτι ἐμοὶ μὲν εἰρηνικὰ ἐλάλουν, καὶ ἐπ' ὀργὴν δόλους διελογίζοντο. Ἐπλάτυναν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν· εἶπον· εὖγε, εὖγε, εἶδον οἱ ὀφθαλμοὶ ἡμῶν. Εἶδες, Κύριε, μὴ παρασιωπήσῃς Κύριε, μὴ ἀποστῇς ἀπ' ἐμοῦ. Ἔξεγέρθητι, Κύριε, καὶ πρόσχες τῇ κρίσει μου, ὁ Θεός μου, καὶ ὁ Κύριός μου εἰς τὴν δίκην μου Κρῖνόν με, Κύριε, κατὰ τὴν δικαιοσύνην σου. Κύριε, ὁ Θεός μου, καὶ μὴ ἐπιχαρείησάν μοι. Μὴ εἴποισαν ἐν καρδίαις αὐτῶν, εὖγε, εὖγε, τῇ ψυχῇ ἡμῶν· μηδὲ εἴποιεν, κατεπίομεν αὐτόν. Αἰσχυνθείησαν καὶ ἐντραπείησαν ἅμα οἱ ἐπιχαίροντες τοῖς κακοῖς μου. Ἐνδυσάσθωσαν αἰσχύνην καὶ ἐντροπὴν οἱ μεγαλορρήμονοῦντες ἐπ' ἐμέ. Ἀγαλλιάσθωσαν, καὶ εὐφρανθήτωσαν οἱ θέλοντες τὴν δικαιοσύνην μου, καὶ εἰπάτωσαν διαπαντός, Μεγαλυνθήτω ὁ Κύριος, οἱ θέλοντες τὴν εἰρήνην τοῦ δούλου αὐτοῦ. Καὶ ἡ γλῶσσά μου μελετήσει τὴν δικαιοσύνην σου, ὅλην τὴν ἡμέραν τὸν ἔπαινόν σου.

ΨΑΛΜΟΣ, 35. τοῦ Δαβίδ.

Εἶπεν ὁ παράνομος τοῦ ἁμαρτάνειν ἐν ἑαυτῷ, οὐκ ἔστι φόβος Θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτοῦ. Ὅτι ἐδόλωσεν ἐνώπιον αὐτοῦ, τοῦ εὑρεῖν τὴν ἀνομίαν αὐτοῦ καὶ μισῆσαι. Τὰ ῥήματα τοῦ στόματος αὐτοῦ ἀνομία καὶ δόλος· οὐκ ἠβουλήθη συνιέναι τοῦ ἀγαθύνασθαι. Ἀνομίαν διελογίσατο ἐπὶ τῆς κοίτης αὐτοῦ, παρέστη πάσῃ ὁδῷ οὐκ ἀγαθῇ· κακίᾳ δὲ οὐ προσώχθισε. Κύριε, ἐν τῷ Οὐρανῷ τὸ ἔλεός σου, καὶ ἡ ἀλήθειά σου ἕως τῶν νεφελῶν. Ἡ δικαιοσύνη σου ὡς ὄρη Θεοῦ, τὰ κρίματά σου ἄβυσσος πολλή. Ἀνθρώπους καὶ κτήνη σώσεις, Κύριε, ὡς ἐπλήθυνας τὸ ἔλεός σου ὁ Θεός. Οἱ δὲ υἱοὶ τῶν ἀνθρώπων ἐν σκέπῃ τῶν πτερύγων σου ἐλπιοῦσι. Μεθυσθήσονται ἀπὸ πιότητος οἴκου σου, καὶ τὸν χειμάῤῥουν τῆς τρυφῆς σου ποτιεῖς αὐτούς. Ὅτι παρά σοί πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς. Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε, καὶ τὴν δικαιοσύνην σου τοῖς εὐθέσι τῇ καρδίᾳ. Μὴ ἐλθέτω μοι πούς ὑπερηφανίας, καὶ χεὶρ ἁμαρτωλῶν μὴ σαλεύσαι με. Ἐκεῖ ἔπεσον πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

μίαν, ἐξώσθησαν, καὶ οὐ μὴ δύνωνται στῆναι.

Δόξα, καὶ νῦν Ἀλληλούϊα.

ΨΑΛΜΟΣ 36. Τοῦ Δαβίδ.

Μὴ παραζήλου ἐν πονηρευομένοις, μηδὲ ζήλου τοὺς ποιοῦντας τὴν ἀνομίαν. Ὅτι ὡσεὶ χόρτος ταχὺ ἀποξηρανθήσονται, καὶ ὡσεὶ λάχανα χλόης ταχὺ ἀποπεσοῦνται. Ἔλπισον ἐπὶ Κύριον, καὶ ποίει χρηστότητα, καὶ κατασκήνου τὴν γῆν, καὶ ποιμανθήσῃ ἐπὶ τῷ πλούτῳ αὐτῆς. Κατατρύφησον τοῦ Κυρίου, καὶ δώσει σοι τὰ αἰτήματα τῆς καρδίας σου. Ἀποκάλυψον πρὸς Κύριον τὴν ὁδόν σου, καὶ ἔλπισον ἐπ' αὐτόν, καὶ αὐτὸς ποιήσει. Καὶ ἐξοίσει ὡς φῶς τὴν δικαιοσύνην σου, καὶ τὸ κρίμα σου ὡς μεσημβρίαν. Ὑποτάγηθι τῷ Κυρίῳ, καὶ ἱκέτευσον αὐτόν· Μὴ παραζήλου, ἐν τῷ κατευοδουμένῳ ἐν τῇ ὁδῷ αὐτοῦ, ἐν ἀνθρώπῳ ποιοῦντι παρανομίαν. Παῦσαι ἀπὸ ὀργῆς, καὶ ἐγκατάλιπε θυμόν, μὴ παραζήλου ὥστε πονηρεύεσθαι. Ὅτι οἱ πονηρευόμενοι ἐξολοθρευθήσονται, οἱ δὲ ὑπομένοντες τὸν Κύριον, αὐτοὶ κληρονομήσουσι γῆν. Καὶ ἔτι ὀλίγον, καὶ οὐ μὴ ὑπάρξῃ ὁ ἁμαρτωλός, καὶ ζητήσεις τὸν τόπον αὐτοῦ, καὶ οὐ μὴ εὕρῃς. Οἱ δὲ πραεῖς κληρονομήσουσι γῆν, καὶ κατατρυφήσουσιν ἐπὶ πλήθει εἰρήνης. Παρατηρήσεται ὁ ἁμαρτωλὸς τὸν δίκαιον, καὶ βρύξει ἐπ' αὐτὸν τοὺς ὀδόντας αὐτοῦ. Ὁ δὲ Κύριος ἐκγελάσεται αὐτόν, ὅτι προβλέπει, ὅτι ἥξει ἡ ἡμέρα αὐτοῦ. Ῥομφαίαν ἐσπάσαντο οἱ ἁμαρτωλοί, ἐνέτειναν τόξον αὐτῶν. Τοῦ καταβαλεῖν πτωχὸν καὶ πένητα, τοῦ σφάξαι τοὺς εὐθεῖς τῇ καρδίᾳ. Ἡ ῥομφαία αὐτῶν εἰσέλθοι εἰς τὰς καρδίας αὐτῶν, καὶ τὰ τόξα αὐτῶν συντριβείη. Κρεῖσσον ὀλίγον τῷ δικαίῳ, ὑπὲρ πλοῦτον ἁμαρτωλῶν πολύν. Ὅτι βραχίονες ἁμαρτωλῶν συντριβήσονται, ὑποστηρίζει δὲ τοὺς δικαίους ὁ Κύριος. Γινώσκει Κύριος τὰς ὁδοὺς τῶν ἀμώμων, καὶ ἡ κληρονομία αὐτῶν εἰς αἰῶνα ἔσται. Οὐ καταισχυνθήσονται ἐν καιρῷ πονηρῷ, καὶ ἐν ἡμέραις λιμοῦ χορτασθήσονται. Ὅτι οἱ ἁμαρτωλοὶ ἀπολοῦνται, οἱ δὲ ἐχθροὶ τοῦ Κυρίου, ἅμα τῷ δοξασθῆναι αὐτοὺς καὶ ὑψωθῆναι, ἐκλείποντες ὡσεὶ καπνὸς ἐξέλιπον. Δανείζεται ὁ ἁμαρτωλός, καὶ οὐκ ἀποτίσει· ὁ δὲ δίκαιος οἰκτείρει καὶ δίδωσιν. Ὅτι οἱ εὐλογοῦντες αὐτὸν κληρονομήσουσι γῆν, οἱ δὲ καταρώμενοι αὐτὸν, ἐξολοθρευθήσονται. Παρὰ Κυρίου τὰ διαστήματα ἀνθρώπου κατευθύνεται, καὶ τὴν ὁδὸν αὐτοῦ θελήσει σφόδρα. Ὅταν πέσῃ, οὐ καταῤῥαχθήσεται, ὅτι Κύριος ἀντιστηρίζει χεῖρα αὐτοῦ. Νεώτερος ἐγενόμην, καὶ γὰρ ἐγήρασα, καὶ οὐκ εἶδον δίκαιον ἐγκαταλελειμμένον, οὐδὲ τὸ σπέρμα αὐτοῦ ζητοῦν ἄρτους. Ὅλην τὴν ἡμέραν ἐλεεῖ καὶ δανείζει ὁ δίκαιος, καὶ τὸ σπέρμα αὐτοῦ εἰς εὐλογίαν ἔσται. Ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποι-

ποίησον ἀγαθόν, καὶ κατασκήνου εἰς αἰῶνα αἰῶνος. Ὅτι Κύριος ἀγαπᾷ κρίσιν, καὶ οὐκ ἐγκαταλείψει τοὺς ὁσίους αὐτοῦ, εἰς τὸν αἰῶνα φυλαχθήσονται. Ἄνομοι δὲ ἐκδιωχθήσονται, καὶ σπέρμα ἀσεβῶν ἐξολοθρευθήσεται. Δίκαιοι δὲ κληρονομήσουσι γῆν καὶ κατασκηνώσουσιν εἰς αἰῶνα αἰῶνος ἐπ' αὐτῆς. Στόμα δικαίου μελετήσει σοφίαν, καὶ ἡ γλῶσσα αὐτοῦ λαλήσει κρίσιν. Ὁ νόμος τοῦ Θεοῦ αὐτοῦ ἐν καρδίᾳ αὐτοῦ, καὶ οὐχ ὑποσκελισθήσεται τὰ διαβήματα αὐτοῦ. Κατανοεῖ ὁ ἁμαρτωλὸς τὸν δίκαιον, καὶ ζητεῖ τοῦ θανατῶσαι αὐτόν. Ὁ δὲ Κύριος οὐ μὴ ἐγκαταλίπῃ αὐτὸν εἰς τὰς χεῖρας αὐτοῦ, οὐδ' οὐ μὴ κατα-δικάσηται αὐτὸν, ὅταν κρίνηται αὐτῷ. Ὑπόμεινον τὸν Κύριον, καὶ φύλαξον τὴν ὁδὸν αὐτοῦ, καὶ ὑψώσει σε τοῦ κατακληρονομῆσαι γῆν· ἐν τῷ ἐξολοθρεύεσθαι ἁμαρτωλοὺς, ὄψει. Εἶδον τὸν ἀσεβῆ ὑπερυψούμενον, καὶ ἐπαιρόμενον, ὡς τὰς κέδρους τοῦ Λιβάνου. Καὶ παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν, καὶ ἐζήτησα αὐτὸν, καὶ οὐχ εὑρέθη ὁ τόπος αὐτοῦ. Φύλασσε ἀκακίαν, καὶ ἴδε εὐθύτητα, ὅτι ἐστὶν ἐγκατάλειμμα ἀνθρώπῳ εἰρηνικῷ. Οἱ δὲ παράνομοι ἐξολοθρευθήσονται ἐπὶ τὸ αὐτὸ, τὰ ἐγκαταλείμματα τῶν ἀσεβῶν ἐξολοθρευθήσονται. Σωτηρία δὲ τῶν δικαίων παρὰ Κυρίου, καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν ἐν καιρῷ θλίψεως. Καὶ βοηθήσει αὐτοῖς Κύριος, καὶ ῥύσεται αὐτοὺς, καὶ ἐξελεῖται αὐτοὺς ἐξ ἁμαρτωλῶν, καὶ σώσει αὐτοὺς, ὅτι ἤλπισαν ἐπ' αὐτόν.

Δόξα, καὶ νῦν. Ἀλληλούϊα.

ΚΑΘΙΣΜΑ ΣΤ'.

ΨΑΛΜΟΣ 37. Τοῦ Δαβίδ.

Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με. Ὅτι τὰ βέλη σου ἐνεπάγησάν μοι, καὶ ἐπεςήριξας ἐπ' ἐμὲ τὴν χεῖρά σου. Οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου ἀπὸ προσώπου τῆς ὀργῆς σου· οὐκ ἔστιν εἰρήνη ἐν τοῖς ὀστέοις μου ἀπὸ προσώπου τῶν ἁμαρτιῶν μου. Ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου, ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ. Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου, ἀπὸ προσώπου τῆς ἀφροσύνης μου. Ἐταλαιπώρησα, καὶ κατεκάμφθην ἕως τέλους, ὅλην τὴν ἡμέραν σκυθρωπάζων ἐπορευόμην. Ὅτι αἱ ψόαι μου ἐπλήσθησαν ἐμπαιγμάτων, καὶ οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου. Ἐκακώθην καὶ ἐταπεινώθην ἕως σφόδρα, ὠρυόμην ἀπὸ στεναγμοῦ τῆς καρδίας μου. Κύριε, ἐναντίον σου πᾶσα ἡ ἐπιθυμία μου, καὶ ὁ στεναγμός μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβη. Ἡ καρδία μου ἐταράχθη, ἐγκατέλιπέ με ἡ ἰσχύς μου, καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου, καὶ αὐτὸ οὐκ ἔστι μετ' ἐμοῦ. Οἱ φίλοι μου καὶ οἱ πλησίον μου ἐξ ἐναντίας μου ἤγγισαν, καὶ ἔστησαν, καὶ οἱ ἐγγιστά μου ἀπὸ μακρόθεν ἔστησαν.

καὶ

καὶ ἐξεβιάζοντο οἱ ζητοῦντες τὴν ψυχήν μου· καὶ οἱ ζητοῦντες τὰ κακά μοι ἐλάλησαν ματαιότητας, καὶ δολιότητας ὅλην τὴν ἡμέραν ἐμελέτησαν. Ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον, καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ. Καὶ ἐγενόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων, καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς. Ὅτι ἐπὶ σοί, Κύριε, ἤλπισα, σὺ εἰσακούσῃ, Κύριε, ὁ Θεός μου. Ὅτι εἶπον, μήποτε ἐπιχαρῶσί μοι οἱ ἐχθροί μου, καὶ ἐν τῷ σαλευθῆναι πόδας μου, ἐπ' ἐμὲ ἐμεγαλορρήμονησαν. Ὅτι ἐγὼ εἰς μάστιγας ἕτοιμος, καὶ ἡ ἀλγηδών μου ἐνώπιόν μου ἐστὶ διὰ παντός· ὅτι τὴν ἀνομίαν μου ἐγὼ ἀναγγελῶ, καὶ μεριμνήσω ὑπὲρ τῆς ἁμαρτίας μου. Οἱ δὲ ἐχθροί μου ζῶσι, καὶ κεκραταίωνται ὑπὲρ ἐμέ, καὶ ἐπληθύνθησαν οἱ μισοῦντές με ἀδίκως. Οἱ ἀνταποδιδόντες μοι κακὰ ἀντὶ ἀγαθῶν ἐνδιεβάλλόν με, ἐπεὶ κατεδίωκον ἀγαθωσύνην. Μὴ ἐγκαταλίπῃς με, Κύριε ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ' ἐμοῦ. Πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε τῆς σωτηρίας μου.

ΨΑΛΜΟΣ 38. Τοῦ Δαβίδ.

Εἶπα, φυλάξω τὰς ὁδούς μου, τοῦ μὴ ἁμαρτάνειν με ἐν γλώσσῃ μου. Ἔθέμην τῷ στόματί μου φυλακήν, ἐν τῷ συστῆναι τὸν ἁμαρτωλὸν ἐναντίον μου. Ἐκωφώθην καὶ ἐταπεινώθην, καὶ ἐσίγησα ἐξ ἀγαθῶν, καὶ τὸ ἄλγημά μου ἀνεκαινίσθη. Ἐθερμάνθη ἡ καρδία μου ἐντός μου, καὶ ἐν τῇ μελέτῃ μου ἐκκαυθήσεται πῦρ. Ἐλάλησα ἐν γλώσσῃ μου, γνώρισόν μοι, Κύριε, τὸ πέρας μου, καὶ τὸν ἀριθμὸν τῶν ἡμερῶν μου, τίς ἐστιν; ἵνα γνῶ τί ὑστερῶ ἐγώ. Ἰδοὺ παλαιστὰς ἔθου τὰς ἡμέρας μου, καὶ ἡ ὑπόστασίς μου ὡσεὶ οὐδὲν ἐνώπιόν σου. Πλὴν τὰ σύμπαντα ματαιότης, πᾶς ἄνθρωπος ζῶν. Μέντοιγε ἐν εἰκόνι διαπορεύσεται ἄνθρωπος, πλὴν μάτην ταράσσεται. Θησαυρίζει, καὶ οὐ γινώσκει τίνι συνάξει αὐτά. Καὶ νῦν τίς ἡ ὑπομονή μου; οὐχὶ Κύριος; καὶ ἡ ὑπόστασίς μου παρὰ σοῦ ἐστιν. Ἀπὸ πασῶν τῶν ἀνομιῶν μου ῥῦσαί με, ὀνειδος ἄφρονι ἔδωκάς με. Ἐκωφώθην, καὶ οὐκ ἤνοιξα τὸ στόμα μου, ὅτι σὺ ἐποίησας. Ἀπόστησον ἀπ' ἐμοῦ τὰς μάστιγάς σου. Ἀπὸ γὰρ τῆς ἰσχύος τῆς χειρός σου ἐγὼ ἐξέλιπον· ἐν ἐλεγμοῖς ὑπὲρ ἀνομίας ἐπαίδευσας ἄνθρωπον. Καὶ ἐξέτηξας ὡς ἀράχνην τὴν ψυχὴν αὐτοῦ, πλὴν μάτην ταράσσεται πᾶς ἄνθρωπος. Εἰσάκουσον τῆς προσευχῆς μου, Κύριε, καὶ τῆς δεήσεώς μου, ἐνώτισαι τῶν δακρύων μου. Μὴ παρασιωπήσῃς, ὅτι πάροικος ἐγώ εἰμι παρὰ σοί, καὶ παρεπίδημος, καθὼς πάντες οἱ πατέρες μου. Ἄνες μοι, ἵνα ἀναψύξω, πρὸ τοῦ με ἀπελθεῖν, καὶ οὐκ ἔτι οὐ μὴ ὑπάρξω.

ΨΑΛΜΟΣ, 39. τοῦ Δαβίδ.

Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ

καὶ προσέσχε μοι, καὶ εἰσήκουσε τῆς δεήσεώς μου. Καὶ ἀνήγαγέ με ἐκ λάκκου ταλαιπωρίας, καὶ ἀπὸ πηλοῦ ἰλύος. Καὶ κατεύθυνε τὰ διαβήματά μου. Καὶ ἐνέβαλεν εἰς τὸ στόμα μου ᾆσμα καινόν, ὕμνον τῷ Θεῷ ἡμῶν. Ὄψονται πολλοί, καὶ φοβηθήσονται, καὶ ἐλπιοῦσιν ἐπὶ Κύριον. Μακάριος ἀνὴρ, οὗ ἐστι τὸ ὄνομα Κυρίου ἐλπὶς αὐτοῦ, καὶ οὐκ ἐπέβλεψεν εἰς ματαιότητας, καὶ μανίας ψευδεῖς. Πολλὰ ἐποίησας σὺ, Κύριε ὁ Θεός μου, τὰ θαυμάσιά σου, καὶ τοῖς διαλογισμοῖς σου οὐκ ἔστι τίς ὁμοιωθήσεταί σοι. Ἀπήγγειλα, καὶ ἐλάλησα, ἐπληθύνθησαν ὑπὲρ ἀριθμόν. Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοι. Ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ἐζήτησας· τότε εἶπον, Ἰδοὺ ἥκω. Ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ, τοῦ ποιῆσαι τὸ θέλημά σου, ὁ Θεός μου, ἠβουλήθην, καὶ τὸν νόμον σου ἐν μέσῳ τῆς κοιλίας μου. Εὐηγγελισάμην δικαιοσύνην ἐν Ἐκκλησίᾳ μεγάλῃ, ἰδοὺ τὰ χείλη μου οὐ μὴ κωλύσω, Κύριε σὺ ἔγνως. Τὴν δικαιοσύνην σου οὐκ ἔκρυψα ἐν τῇ καρδίᾳ μου, τὴν ἀλήθειάν σου καὶ τὸ σωτήριόν σου εἶπα. Οὐκ ἔκρυψα τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου ἀπὸ συναγωγῆς πολλῆς. Σὺ δὲ Κύριε μὴ μακρύνῃς τοὺς οἰκτιρμούς σου ἀπ' ἐμοῦ· τὸ ἔλεός σου, καὶ ἡ ἀλήθειά σου διαπαντὸς ἀντιλάβοιτό μου. Ὅτι περιέσχον με κακὰ, ὧν οὐκ ἔστιν ἀριθμός· κατέλαβόν με αἱ ἀνομίαι μου, καὶ οὐκ ἠδυνήθην τοῦ βλέπειν. Ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου, καὶ ἡ καρδία μου ἐγκατέλιπέ με. Εὐδόκησον Κύριε τοῦ ῥύσασθαί με. Κύριε εἰς τὸ βοηθῆσαί μοι πρόσχες. Καταισχυνθείησαν καὶ ἐντραπείησαν ἅμα οἱ ζητοῦντες τὴν ψυχήν μου, τοῦ ἐξᾶραι αὐτήν. Ἀποστραφείησαν εἰς τὰ ὀπίσω, καὶ καταισχυνθείησαν οἱ θέλοντές μοι κακά. Κομισάσθωσαν παραχρῆμα αἰσχύνην αὐτῶν οἱ λέγοντές μοι, Εὖγε, εὖγε. Ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν ἐπὶ σοὶ πάντες οἱ ζητοῦντές σε Κύριε, καὶ εἰπάτωσαν διαπαντὸς, Μεγαλυνθήτω ὁ Κύριος, οἱ ἀγαπῶντες τὸ σωτήριόν σου. Ἐγὼ δὲ πτωχὸς εἰμι καὶ πένης, Κύριος φροντιεῖ μου. Βοηθός μου καὶ ὑπερασπιστής μου εἶ σὺ, ὁ Θεός μου, μὴ χρονίσῃς.

Δόξα, καὶ νῦν Ἀλληλούϊα

ΨΑΛΜΟΣ 40. Τοῦ Δαβίδ.

Μακάριος ὁ συνιὼν ἐπὶ πτωχὸν καὶ πένητα, ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ Κύριος. Κύριος διαφυλάξαι αὐτὸν, καὶ ζήσαι αὐτὸν, καὶ μακαρίσαι αὐτὸν ἐν τῇ γῇ, καὶ μὴ παραδῷ αὐτὸν εἰς χεῖρας ἐχθρῶν αὐτοῦ. Κύριος βοηθήσαι αὐτῷ ἐπὶ κλίνης ὀδύνης αὐτοῦ· ὅλην τὴν κοίτην αὐτοῦ ἔστρεψας ἐν τῇ ἀῤῥωστίᾳ αὐτοῦ. Ἐγὼ εἶπα, Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρ-

Δημόσιο Κεντρική Βιβλιοθήκη

τόν σοι. Οἱ ἐχθροί μου εἶπον κακά μοι, Πότε ἀποθανεῖται καὶ ἀπολεῖται τὸ ὄνομα αὐτοῦ; Καὶ εἰσεπορεύετο τοῦ ἰδεῖν, μάτην ἐλάλει ἡ καρδία αὐτοῦ, συνήγαγεν ἀνομίαν ἑαυτῷ. Ἐξεπορεύετο ἔξω, καὶ ἐλάλει ἐπὶ τὸ αὐτό. Κατ' ἐμοῦ ἐψιθύριζον πάντες οἱ ἐχθροί μου, κατ' ἐμοῦ ἐλογίζοντο κακά μοι. Λόγον παράνομον κατέθεντο κατ' ἐμοῦ· μὴ ὁ κοιμώμενος οὐχὶ προσθήσει τοῦ ἀναστῆναι; Καὶ γὰρ ὁ ἄνθρωπος τῆς εἰρήνης μου, ἐφ' ὃν ἤλπισα, ὁ ἐσθίων ἄρτους μου, ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν. Σὺ δὲ Κύριε ἐλέησόν με, καὶ ἀνάστησόν με, καὶ ἀνταποδώσω αὐτοῖς. Ἐν τούτῳ ἔγνων, ὅτι τεθέληκάς με, ὅτι οὐ μὴ ἐπιχαρῇ ὁ ἐχθρός μου ἐπ' ἐμέ. Ἐμοῦ δὲ διὰ τὴν ἀκακίαν ἀντελάβου, καὶ ἐβεβαίωσάς με ἐνώπιόν σου εἰς τὸν αἰῶνα. Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραὴλ, ἀπὸ τοῦ αἰῶνος καὶ εἰς τὸν αἰῶνα. Γένοιτο, γένοιτο.

ΨΑΛΜΟΣ 41. Τοῦ Δαβίδ.

Ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρός σέ ὁ Θεός. Ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν τὸν ἰσχυρόν, τὸν ζῶντα. Πότε ἥξω, καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ; Ἐγενήθη τα δάκρυά μου ἐμοὶ ἄρτος ἡμέρας καὶ νυκτός. Ἐν τῷ λέγεσθαί μοι καθ' ἑκάστην ἡμέραν, Ποῦ ἐστιν ὁ Θεός σου; Ταῦτα ἐμνήσθην, καὶ ἐξέχεα ἐπ' ἐμὲ τὴν ψυχήν μου· ὅτι διελεύσομαι ἐν τόπῳ σκηνῆς θαυμαστῆς, ἕως τοῦ οἴκου τοῦ Θεοῦ. Ἐν φωνῇ ἀγαλλιάσεως, καὶ ἐξομολογήσεως ἦχος ἑορτάζοντος. Ἵνα τί περίλυπος εἶ ἡ ψυχή μου; καὶ ἵνα τι συνταράσσεις με; Ἔλπισον ἐπὶ τὸν Θεόν, ὅτι ἐξομολογήσομαι αὐτῷ, σωτήριον τοῦ προσώπου μου, καὶ ὁ Θεός μου. Πρὸς ἐμαυτὸν ἡ ψυχή μου ἐταράχθη, διὰ τοῦτο μνησθήσομαί σου ἐκ γῆς Ἰορδάνου, καὶ Ἑρμωνιείμ, ἀπὸ ὄρους μικροῦ. Ἄβυσσος ἄβυσσον ἐπικαλεῖται, εἰς φωνὴν τῶν καταρράκτων σου. Πάντες οἱ μετεωρισμοί σου, καὶ τὰ κύματά σου ἐπ' ἐμὲ διῆλθον. Ἡμέρας ἐντελεῖται Κύριος τὸ ἔλεος αὐτοῦ, καὶ νυκτὸς ᾠδὴ αὐτῷ παρ' ἐμοί. Προσευχὴ τῷ Θεῷ τῆς ζωῆς μου· ἐρῶ τῷ Θεῷ, Ἀντιλήπτωρ μου εἶ. Διατί μου ἐπελάθου; καὶ ἵνα τί σκυθρωπάζων, πορεύομαι ἐν τῷ ἐκθλίβειν τὸν ἐχθρόν μου; Ἐν τῷ καταθλᾶσθαι τὰ ὀστᾶ μου, ὠνείδιζόν με οἱ ἐχθροί μου. Ἐν τῷ λέγειν αὐτούς μοι καθ' ἑκάστην ἡμέραν, Ποῦ ἐστιν ὁ Θεός σου. Ἵνα τί περίλυπος εἶ ἡ ψυχή μου; καὶ ἵνα τί συνταράσσεις με; Ἔλπισον ἐπὶ τὸν Θεόν, ὅτι ἐξομολογήσομαι αὐτῷ, σωτήριον τοῦ προσώπου μου, καὶ ὁ Θεός μου

ΨΑΛΜΟΣ 42. Τοῦ Δαβίδ

Κρῖνόν μοι ὁ Θεός, καὶ δίκασον τὴν δίκην μου, ἐξ ἔθνους οὐχ ὁσίου

ὁσίου. Ἀπὸ ἀνθρώπου ἀδίκου καὶ δολίου ῥῦσαί με. Ὅτι σὺ εἶ ὁ Θεός, κραταίωμά μου, ἵνα τί ἀπώσω με; καὶ ἵνα τί σκυθρωπάζων πορεύομαι, ἐν τῷ ἐκθλίβειν τὸν ἐχθρόν μου; Ἐξαπόστειλον τὸ φῶς σου, καὶ τὴν ἀλήθειαν σου, αὐτά με ὡδήγησαν, καὶ ἤγαγόν με εἰς ὄρος ἅγιόν σου, καὶ εἰς τὰ σκηνώματά σου. Καὶ εἰσελεύσομαι πρὸς τὸ θυσιαστήριον τοῦ Θεοῦ, πρὸς τὸν Θεόν, τὸν εὐφραίνοντα τὴν νεότητά μου. Ἐξομολογήσομαί σοι ἐν κιθάρᾳ ὁ Θεός, ὁ Θεός μου. ἵνα τί περίλυπος εἶ ἡ ψυχή μου, καὶ Ἵνα τί συνταράσσεις με; Ἔλπισον ἐπὶ τὸν Θεόν, ὅτι ἐξομολογήσομαι αὐτῷ, σωτήριον τοῦ προσώπου μου, καὶ ὁ Θεός μου.

Δόξα, καὶ νῦν. Ἀλληλούϊα.

ΨΑΛΜΟΣ 43. Τοῦ Δαβίδ.

Ὁ Θεὸς ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν, καὶ οἱ πατέρες ἡμῶν ἀνήγγειλαν ἡμῖν. Ἔργον, ὃ εἰργάσω ἐν ταῖς ἡμέραις αὐτῶν, ἐν ἡμέραις ἀρχαίαις. Ἡ χείρ σου ἔθνη ἐξωλόθρευσε, καὶ κατεφύτευσας αὐτούς, ἐκάκωσας λαούς, καὶ ἐξέβαλες αὐτούς. Οὐ γὰρ ἐν τῇ ῥομφαίᾳ αὐτῶν ἐκληρονόμησαν γῆν, καὶ ὁ βραχίων αὐτῶν οὐκ ἔσωσεν αὐτούς. Ἀλλ' ἡ δεξιά σου, καὶ ὁ βραχίων σου, καὶ ὁ φωτισμὸς τοῦ προσώπου σου, ὅτι εὐδόκησας ἐν αὐτοῖς. Σὺ εἶ αὐτὸς ὁ Βασιλεύς μου, καὶ ὁ Θεός μου, ὁ ἐντελλόμενος τὰς σωτηρίας Ἰακώβ. Ἐν σοὶ τοὺς ἐχθροὺς ἡμῶν κερατιοῦμεν, καὶ ἐν τῷ ὀνόματί σου ἐξουδενώσομεν τοὺς ἐπανισταμένους ἡμῖν. Οὐ γὰρ ἐπὶ τῷ τόξῳ μου ἐλπιῶ, καὶ ἡ ῥομφαία μου οὐ σώσει με. Ἔσωσας γὰρ ἡμᾶς ἐκ τῶν θλιβόντων ἡμᾶς, καὶ τοὺς μισοῦντας ἡμᾶς κατῃσχυνας. Ἐν τῷ Θεῷ ἐπαινεθησόμεθα ὅλην τὴν ἡμέραν, καὶ ἐν τῷ ὀνόματί σου ἐξομολογησόμεθα εἰς τὸν αἰῶνα. Νυνὶ δὲ ἀπώσω καὶ κατῃσχυνας ἡμᾶς, καὶ οὐκ ἐξελεύσῃ ὁ Θεὸς ἐν ταῖς δυνάμεσιν ἡμῶν. Ἀπέστρεψας ἡμᾶς εἰς τὰ ὀπίσω παρὰ τοὺς ἐχθροὺς ἡμῶν, καὶ οἱ μισοῦντες ἡμᾶς διήρπαζον ἑαυτοῖς. Ἔδωκας ἡμᾶς ὡς πρόβατα βρώσεως, καὶ ἐν τοῖς ἔθνεσι διέσπειρας ἡμᾶς. Ἀπέδου τὸν λαόν σου ἄνευ τιμῆς, καὶ οὐκ ἦν πλῆθος ἐν τοῖς ἀλαλάγμασιν ἡμῶν. Ἔθου ἡμᾶς ὀνειδος τοῖς γείτοσιν ἡμῶν, μυκτηρισμὸν καὶ χλευασμὸν τοῖς κύκλῳ ἡμῶν. Ἔθου ἡμᾶς εἰς παραβολὴν ἐν τοῖς Ἔθνεσι, κίνησιν κεφαλῆς ἐν τοῖς λαοῖς. Ὅλην τὴν ἡμέραν ἡ ἐντροπή μου κατεναντίον μου ἐστί, καὶ ἡ αἰσχύνη τοῦ προσώπου μου ἐκάλυψέ με. Ἀπὸ φωνῆς ὀνειδίζοντος, καὶ καταλαλοῦντος, ἀπὸ προσώπου ἐχθροῦ καὶ ἐκδιώκοντος. Ταῦτα πάντα ἦλθεν ἐφ' ἡμᾶς, καὶ οὐκ ἐπελαθόμεθά σου, καὶ οὐκ ἠδικήσαμεν ἐν τῇ διαθήκῃ σου. Καὶ οὐκ ἀπέστη εἰς τὰ ὀπίσω ἡ καρδία ἡμῶν, καὶ ἐξέκλινας τὰς τρίβους ἡμῶν ἀπὸ τῆς ὁδοῦ σου. Ὅτι ἐταπείνωσας ἡμᾶς ἐν τόπῳ κα-

κακώσεως, καὶ ἐπεκάλυψεν ἡμᾶς σκιὰ θανάτου. Εἰ ἐπελαθόμεθα τοῦ ὀνόματος τοῦ Θεοῦ ἡμῶν, καὶ εἰ διεπετάσαμεν χεῖρας ἡμῶν πρὸς Θεὸν ἀλλότριον. Οὐχὶ ὁ Θεὸς ἐκζητήσει ταῦτα; αὐτὸς γὰρ γινώσκει τὰ κρύφια τῆς καρδίας. Ὅτι ἕνεκά σου θανατούμεθα ὅλην τὴν ἡμέραν, ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς. Ἐξεγέρθητι, ἵνα τί ὑπνοῖς Κύριε; ἀνάστηθι, καὶ μὴ ἀπώσῃ εἰς τέλος. Ἵνα τί τὸ πρόσωπόν σου ἀποστρέφεις; ἐπιλανθάνῃ τῆς πτωχείας ἡμῶν, καὶ τῆς θλίψεως ἡμῶν; Ὅτι ἐταπεινώθη εἰς χοῦν ἡ ψυχὴ ἡμῶν, ἐκολλήθη εἰς γῆν ἡ γαστὴρ ἡμῶν. Ἀνάστα, Κύριε, βοήθησον ἡμῖν, καὶ λύτρωσαι ἡμᾶς ἕνεκεν τοῦ ὀνόματός σου.

ΨΑΛΜΟΣ 44. Τοῦ Δαβίδ.

Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν, λέγω ἐγὼ τὰ ἔργα μου τῷ Βασιλεῖ. Ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου. Ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων, ἐξεχύθη χάρις ἐν χείλεσί σου· διὰ τοῦτο εὐλόγησέ σε ὁ Θεὸς εἰς τὸν αἰῶνα. Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου, δυνατέ. Τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου, καὶ ἔντεινε, καὶ κατευοδοῦ, καὶ βασίλευε. Ἕνεκεν ἀληθείας, καὶ πραότητος, καὶ δικαιοσύνης, καὶ ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου. Τὰ βέλη σου ἡκονημένα, δυνατέ, λαοὶ ὑποκάτω σου πεσοῦνται, ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ Βασιλέως. Ὁ θρόνος σου, ὁ Θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, ῥάβδος εὐθύτητος, ἡ ῥάβδος τῆς Βασιλείας σου. Ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν· διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς ὁ Θεός σου, ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. Σμύρνα καὶ σταχτὴ, καὶ κασσία ἀπὸ τῶν ἱματίων σου, ἀπὸ θαρέων ἐλεφαντίνων, ἐξ ὧν εὔφρανάν σε θυγατέρες Βασιλέων ἐν τῇ τιμῇ σου. Παρέστη ἡ Βασίλισσα ἐκ δεξιῶν σου, ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη. Ἄκουσον θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου. Καὶ ἐπιθυμήσει ὁ Βασιλεὺς τοῦ κάλλους σου, ὅτι αὐτός ἐστι Κύριός σου, καὶ προσκυνήσεις αὐτῷ. Καὶ θυγάτηρ Τύρου ἐν δώροις· τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ. Πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ Βασιλέως ἔσωθεν, ἐν κροσσωτοῖς χρυσοῖς περιβεβλημένη, πεποικιλμένη. Ἀπενεχθήσονται τῷ Βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς, αἱ πλησίον αὐτῆς ἀπενεχθήσονταί σοι. Ἀπενεχθήσονται ἐν εὐφροσύνῃ καὶ ἀγαλλιάσει, ἀχθήσονται εἰς ναὸν Βασιλέως. Ἀντὶ τῶν Πατέρων σου ἐγενήθησαν οἱ υἱοί σου, καταστήσεις αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν. Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ. Διὰ τοῦτο λαοὶ ἐξομολογήσονταί σοι,

σοι εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

ΨΑΛΜΟΣ 45. Τοῦ Δαβίδ.

Ὁ Θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις, βοηθὸς ἐν θλίψεσι ταῖς εὑρούσαις ἡμᾶς σφόδρα. Διὰ τοῦτο οὐ φοβηθησόμεθα ἐν τῷ ταράσσεσθαι τὴν γῆν, καὶ μετατίθεσθαι ὄρη ἐν καρδίαις θαλασσῶν. Ἤχησαν καὶ ἐταράχθησαν τὰ ὕδατα αὐτῶν, ἐταράχθησαν τὰ ὄρη ἐν τῇ κραταιότητι αὐτοῦ. Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ, ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος. Ὁ Θεὸς ἐν μέσῳ αὐτῆς, καὶ οὐ σαλευθήσεται· βοηθήσει αὐτῇ ὁ Θεὸς τὸ πρωΐ. Ἐταράχθησαν ἔθνη, ἔκλιναν Βασιλεῖαι, ἔδωκε φωνὴν αὐτοῦ ὁ Ὕψιος, ἐσαλεύθη ἡ γῆ. Κύριος τῶν Δυνάμεων μεθ' ἡμῶν, ἀντιλήπτωρ ἡμῶν ὁ Θεὸς Ἰακώβ. Δεῦτε καὶ ἴδετε τὰ ἔργα τοῦ Θεοῦ, ἃ ἔθετο τέρατα ἐπὶ τῆς γῆς. Ἀνταναιρῶν πολέμους μέχρι τῶν περάτων τῆς γῆς. Τόξον συντρίψει καὶ συνθλάσει ὅπλον, καὶ θυρεοὺς κατακαύσει ἐν πυρί. Σχολάσατε, καὶ γνῶτε ὅτι ἐγώ εἰμι ὁ Θεός· ὑψωθήσομαι ἐν τοῖς ἔθνεσιν, ὑψωθήσομαι ἐν τῇ γῇ. Κύριος τῶν Δυνάμεων μεθ' ἡμῶν, ἀντιλήπτωρ ἡμῶν ὁ Θεὸς Ἰακώβ.

Δόξα καὶ νῦν. Ἀλληλούϊα.

ΚΑΘΙΣΜΑ Ζ'.

ΨΑΛΜΟΣ 46. Τοῦ Δαβίδ.

Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας, ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως. Ὅτι Κύριος ὕψιστος, φοβερός, Βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν. Ὑπέταξε λαοὺς ἡμῖν, καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν. Ἐξελέξατο ἡμῖν τὴν κληρονομίαν ἑαυτῷ, τὴν καλλονὴν Ἰακὼβ, ἣν ἠγάπησεν. Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος. Ψάλατε τῷ Θεῷ ἡμῶν, ψάλατε· ψάλατε τῷ Βασιλεῖ ἡμῶν, ψάλατε. Ὅτι βασιλεὺς πάσης τῆς γῆς ὁ Θεὸς, ψάλατε συνετῶς. Ἐβασίλευσεν ὁ Θεὸς ἐπὶ τὰ ἔθνη· ὁ Θεὸς κάθηται ἐπὶ θρόνου ἁγίου αὐτοῦ. Ἄρχοντες λαῶν συνήχθησαν μετὰ τοῦ Θεοῦ Ἀβραάμ, ὅτι τοῦ Θεοῦ οἱ κραταιοὶ τῆς γῆς σφόδρα ἐπήρθησαν.

ΨΑΛΜΟΣ 47. Τοῦ Δαβίδ.

Μέγας Κύριος, καὶ αἰνετὸς σφόδρα ἐν πόλει τοῦ Θεοῦ ἡμῶν, ἐν ὄρει ἁγίῳ αὐτοῦ· εὐρίζῳ ἀγαλλιάματι πάσῃ τῇ γῇ, ὄρη Σιὼν, τὰ πλευρὰ τοῦ Βορρᾶ, ἡ πόλις τοῦ βασιλέως τοῦ μεγάλου. Ὁ Θεὸς ἐν ταῖς βάρεσιν αὐτῆς γινώσκεται, ὅταν ἀντιλαμβάνηται αὐτῆς. Ὅτι ἰδοὺ οἱ βασιλεῖς τῆς γῆς συνήχθησαν, διήλθοσαν ἐπὶ τὸ αὐτό. Αὐτοὶ ἰδόντες, οὕτως ἐθαύμασαν, ἐταράχθησαν, ἐσαλεύθησαν, τρόμος ἐπελάβετο αὐτῶν. Ἐκεῖ ὠδῖνες ὡς τικτούσης· ἐν πνεύματι βιαίῳ

 συν-

συντρίψεις πλοῖα Θαρσεΐς. Καθάπερ ἠκούσαμεν, οὕτω καὶ εἴδομεν ἐν πόλει Κυρίου τῶν δυνάμεων, ἐν πόλει τοῦ Θεοῦ ἡμῶν. Ὁ Θεὸς ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα· ὑπελάβομεν, ὁ Θεός, τὸ ἔλεός σου, ἐν μέσῳ τοῦ λαοῦ σου. Κατὰ τὸ ὄνομά σου, ὁ Θεός, οὕτω καὶ ἡ αἴνεσίς σου ἐπὶ τὰ πέρατα τῆς γῆς· δικαιοσύνης πλήρης ἡ δεξιά σου. Εὐφρανθήτω ὄρος Σιών, καὶ ἀγαλλιάσθωσαν αἱ θυγατέρες τῆς Ἰουδαίας, ἕνεκεν τῶν κριμάτων σου, Κύριε. Κυκλώσατε Σιών, καὶ περιλάβετε αὐτὴν, διηγήσασθε ἐν τοῖς πύργοις αὐτῆς. Θέσθε τὰς καρδίας ὑμῶν εἰς τὴν δύναμιν αὐτῆς, καὶ καταδιέλεσθε τὰς βάρεις αὐτῆς, ὅπως ἂν διηγήσησθε εἰς γενεὰν ἑτέραν. Ὅτι οὗτός ἐστιν ὁ Θεὸς ἡμῶν εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· αὐτὸς ποιμανεῖ ἡμᾶς εἰς τοὺς αἰῶνας.

ΨΑΛΜΟΣ 48. Τοῦ Δαβίδ.

Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη, ἐνωτίσασθε πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην. Οἵτε γηγενεῖς, καὶ οἱ υἱοὶ τῶν ἀνθρώπων, ἐπὶ τὸ αὐτὸ πλούσιος καὶ πένης. Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν. Κλινῶ εἰς παραβολὴν τὸ οὖς μου, ἀνοίξω ἐν ψαλτηρίῳ τὸ πρόβλημά μου. Ἵνα τί φοβοῦμαι ἐν ἡμέρᾳ πονηρᾷ; Ἡ ἀνομία τῆς πτέρνης μου κυκλώσει με. Οἱ πεποιθότες ἐπὶ τῇ δυνάμει αὐτῶν, καὶ ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτῶν καυχώμενοι. Ἀδελφὸς οὐ λυτροῦται, λυτρώσεται ἄνθρωπος· οὐ δώσει τῷ Θεῷ ἐξίλασμα ἑαυτοῦ. Καὶ τὴν τιμὴν τῆς λυτρώσεως τῆς ψυχῆς αὐτοῦ· καὶ ἐκοπίασεν εἰς τὸν αἰῶνα, καὶ ζήσεται εἰς τέλος. Οὐκ ὄψεται καταφθοράν, ὅταν ἴδῃ σοφοὺς ἀποθνῃσκοντας· ἐπὶ τὸ αὐτὸ ἄφρων καὶ ἄνους ἀπολοῦνται. Καὶ καταλείψουσιν ἀλλοτρίοις τὸν πλοῦτον αὐτῶν, καὶ οἱ τάφοι αὐτῶν οἰκίαι αὐτῶν εἰς τὸν αἰῶνα. Σκηνώματα αὐτῶν εἰς γενεὰν καὶ γενεάν· ἐπεκαλέσαντο τὰ ὀνόματα αὐτῶν ἐπὶ τῶν γαιῶν αὐτῶν. Καὶ ἄνθρωπος ἐν τιμῇ ὤν, οὐ συνῆκε· παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς. Αὕτη ἡ ὁδὸς αὐτῶν σκάνδαλον αὐτοῖς, καὶ μετὰ ταῦτα ἐν τῷ στόματι αὐτῶν εὐδοκήσουσιν. Ὡς πρόβατα ἐν Ἅδῃ ἐτέθη, θάνατος ποιμανεῖ αὐτούς. Καὶ κατακυριεύσουσιν αὐτῶν οἱ εὐθεῖς τὸ πρωΐ, καὶ ἡ βοήθεια αὐτῶν παλαιωθήσεται ἐν τῷ ᾅδῃ· ἐκ τῆς δόξης αὐτῶν ἐξώσθησαν. Πλὴν ὁ Θεὸς λυτρώσεται τὴν ψυχήν μου ἐκ χειρὸς ᾅδου, ὅταν λαμβάνῃ με. Μὴ φοβοῦ ὅταν πλουτήσῃ ἄνθρωπος, ἢ ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ. Ὅτι οὐκ ἐν τῷ ἀποθνήσκειν αὐτὸν λήψεται τὰ πάντα, οὐδὲ συγκαταβήσεται αὐτῷ ἡ δόξα αὐτοῦ. Ὅτι ἡ ψυχὴ αὐτοῦ ἐν τῇ ζωῇ αὐτοῦ εὐλογηθήσεται, ἐξομολογήσεταί σοι ὅταν ἀγαθύνῃς αὐτῷ. Εἰσελεύσεται ἕως γενεᾶς πατέρων αὐτοῦ, ἕως αἰῶνος οὐκ ὄψεται φῶς. Καὶ

Ψηφιακή Κεντρική Βιβλιοθήκη Θεσσαλίας

ἄνθρωπος ἐν τιμῇ ὢν, οὐ συνῆκε, παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς.

Δόξα καὶ νῦν. Ἀλληλούϊα.

ΨΑΛΜΟΣ 49. Τοῦ Ἀσάφ.

Θεὸς Θεῶν Κύριος ἐλάλησε, καὶ ἐκάλεσε τὴν γῆν. Ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν, ἐκ Σιὼν ἡ εὐπρέπεια τῆς ὡραιότητος αὐτοῦ. Ὁ Θεὸς ἐμφανῶς ἥξει, ὁ Θεὸς ἡμῶν, καὶ οὐ παρασιωπήσεται. Πῦρ ἐνώπιον αὐτοῦ καυθήσεται, καὶ κύκλῳ αὐτοῦ καταιγὶς σφόδρα. Προσκαλέσεται τὸν Οὐρανὸν ἄνω, καὶ τὴν γῆν, τοῦ διακρῖναι τὸν λαὸν αὐτοῦ. Συναγάγετε αὐτῷ τοὺς ὁσίους αὐτοῦ, τοὺς διατιθεμένους τὴν διαθήκην αὐτοῦ ἐπὶ θυσίαις. Καὶ ἀναγγελοῦσιν οἱ Οὐρανοὶ τὴν δικαιοσύνην αὐτοῦ, ὅτι ὁ Θεὸς κριτής ἐστιν. Ἄκουσον, λαός μου, καὶ λαλήσω σοι, Ἰσραὴλ, καὶ διαμαρτύρομαί σοι, ὁ Θεὸς ὁ Θεός σού εἰμι ἐγώ. Οὐκ ἐπὶ ταῖς θυσίαις σου ἐλέγξω σε, τὰ δὲ ὁλοκαυτώματά σου ἐνώπιόν μού ἐστι διὰ παντός. Οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους, οὐδὲ ἐκ τῶν ποιμνίων σου χιμάρρους. Ὅτι ἐμά ἐστι πάντα τὰ θηρία τοῦ ἀγροῦ, κτήνη ἐν τοῖς ὄρεσι καὶ βόες. Ἔγνωκα πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ ὡραιότης ἀγροῦ μετ' ἐμοῦ ἐστιν. Ἐὰν πεινάσω, οὐ μή σοι εἴπω· ἐμὴ γάρ ἐστιν ἡ οἰκουμένη καὶ τὸ πλήρωμα αὐτῆς. Μὴ φάγωμαι κρέας ταύρων, ἢ αἷμα τράγων πίωμαι; Θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως, καὶ ἀπόδος τῷ Ὑψίστῳ τὰς εὐχάς σου. Καὶ ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεώς σου, καὶ ἐξελοῦμαί σε, καὶ δοξάσεις με. Τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ Θεός, ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου, καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου; Σὺ δὲ ἐμίσησας παιδείαν, καὶ ἐξέβαλες τοὺς λόγους μου εἰς τὰ ὀπίσω. Εἰ ἐθεώρεις κλέπτην, συνέτρεχες αὐτῷ, καὶ μετὰ μοιχοῦ τὴν μερίδα σου ἐτίθεις. Τὸ στόμα σου ἐπλεόνασε κακίαν, καὶ ἡ γλῶσσά σου περιέπλεκε δολιότητας. Καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις, καὶ κατὰ τοῦ υἱοῦ τῆς μητρός σου ἐτίθεις σκάνδαλον· ταῦτα ἐποίησας καὶ ἐσίγησα. Ὑπέλαβες ἀνομίαν, ὅτι ἔσομαί σοι ὅμοιος· ἐλέγξω σε, καὶ παραστήσω κατὰ πρόσωπόν σου τὰς ἁμαρτίας σου. Σύνετε δὴ ταῦτα οἱ ἐπιλανθανόμενοι τοῦ Θεοῦ, μήποτε ἁρπάσῃ, καὶ οὐ μὴ ᾖ ὁ ῥυόμενος. Θυσία αἰνέσεως δοξάσει με, καὶ ἐκεῖ ὁδός, ᾗ δείξω αὐτῷ τὸ σωτήριόν μου.

ΨΑΛΜΟΣ, 50. τοῦ Δαβίδ.

Ἐλέησόν με Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου. Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός. Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ

πονηρὸν ἐνώπιόν σου ἐποίησα· ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς, καὶ Πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλλῃς ἀπ' ἐμοῦ. Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι. Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεὸς, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου. Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκαν ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἰερουσαλήμ. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης ἀναφορὰν καὶ ὁλοκαυτώματα· τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Δόξα καὶ νῦν. Ἀλληλούϊα.

ΨΑΛΜΟΣ 51. Τοῦ Δαβίδ.

Τί ἐγκαυχᾷ ἐν κακίᾳ ὁ δυνατός; ἀνομίαν ὅλην τὴν ἡμέραν. Ἀδικίαν ἐλογίσατο ἡ γλῶσσά σου, ὡσεὶ ξυρὸν ἠκονημένον ἐποίησας δόλον. Ἠγάπησας κακίαν ὑπὲρ ἀγαθωσύνην, ἀδικίαν, ὑπὲρ τοῦ λαλῆσαι δικαιοσύνην. Ἠγάπησας πάντα τὰ ῥήματα καταποντισμοῦ, γλῶσσαν δολίαν. Διὰ τοῦτο ὁ Θεὸς καθέλοι σε εἰς τέλος, ἐκτίλαι σε, καὶ μεταναστεύσαι σε ἀπὸ σκηνώματός σου, καὶ τὸ ῥίζωμά σου ἐκ γῆς ζώντων. Ὄψονται δίκαιοι καὶ φοβηθήσονται, καὶ ἐπ' αὐτὸν γελάσονται καὶ ἐροῦσιν, Ἰδοὺ ἄνθρωπος, ὃς οὐκ ἔθετο τὸν Θεὸν βοηθὸν αὐτοῦ, ἀλλ' ἐπήλπισεν ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτοῦ, καὶ ἐνεδυναμώθη ἐπὶ τῇ ματαιότητι αὐτοῦ. Ἐγὼ δὲ ὡσεὶ ελαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ, ἤλπισα ἐπὶ τὸ ἔλεος τοῦ Θεοῦ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ἐξομολογήσομαί σοι εἰς τὸν αἰῶνα, ὅτι ἐποίησας, καὶ ὑπομενῶ τὸ ὄνομά σου, ὅτι χρηστὸν ἐναντίον τῶν ὁσίων σου

ΨΑΛΜΟΣ 52. Τοῦ Δαβίδ.

Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ, Οὐκ ἔστι Θεός. Διεφθάρησαν, καὶ

θλίψεως ἐρρύσω με, καὶ ἐν τοῖς ἐχθροῖς μου ἐπεῖδεν ὁ ὀφθαλμός μου.

ΨΑΛΜΟΣ 54. Τοῦ Δαβίδ.

Ἐνώτισαι, ὁ Θεός, τὴν προσευχήν μου, καὶ μὴ ὑπερίδῃς τὴν δέησίν μου, πρόσχες μοι, καὶ εἰσάκουσόν μου. Ἐλυπήθην ἐν τῇ ἀδολεσχίᾳ μου, καὶ ἐταράχθην ἀπὸ φωνῆς ἐχθροῦ, καὶ ἀπὸ θλίψεως ἁμαρτωλοῦ. Ὅτι ἐξέκλιναν ἐπ' ἐμὲ ἀνομίαν, καὶ ἐν ὀργῇ ἐνεκότουν μοι. Ἡ καρδία μου ἐταράχθη ἐν ἐμοὶ, καὶ δειλία θανάτου ἐπέπεσεν ἐπ' ἐμέ. Φόβος καὶ τρόμος ἦλθεν ἐπ' ἐμὲ, καὶ ἐκάλυψέ με σκότος. Καὶ εἶπα, Τίς δώσει μοι πτέρυγας ὡσεὶ περιστερᾶς, καὶ πετασθήσομαι, καὶ καταπαύσω; Ἰδοὺ ἐμάκρυνα φυγαδεύων, καὶ ηὐλίσθην ἐν τῇ ἐρήμῳ. Προσεδεχόμην τὸν Θεὸν τὸν σώζοντά με ἀπὸ ὀλιγοψυχίας, καὶ ἀπὸ καταιγίδος. Καταπόντισον Κύριε, καὶ καταδίελε τὰς γλώσσας αὐτῶν, ὅτι εἶδον ἀνομίαν καὶ ἀντιλογίαν ἐν τῇ πόλει. Ἡμέρας καὶ νυκτὸς κυκλώσει αὐτὴν ἐπὶ τὰ τείχη αὐτῆς καὶ ἀνομία καὶ κόπος ἐν μέσῳ αὐτῆς, καὶ ἀδικία. Καὶ οὐκ ἐξέλιπεν ἐκ τῶν πλατειῶν αὐτῆς τόκος καὶ δόλος. Ὅτι εἰ ὁ ἐχθρὸς ὠνείδισέ με, ὑπήνεγκα ἄν. Καὶ εἰ ὁ μισῶν με ἐπ' ἐμὲ ἐμεγαλορρημόνησεν, ἐκρύβην ἂν ἀπ' αὐτοῦ. Σὺ δὲ ἄνθρωπε ἰσόψυχε, ἡγεμών μου καὶ γνωστέ

στέ μου. Ὡς ἐπὶ τὸ αὐτὸ ἐγλύκανάς μοι ἐδέσματα, ἐν τῷ οἴκῳ τοῦ Θεοῦ ἐπορεύθημεν ἐν ὁμονοίᾳ. Ἐλθέτω δὴ θάνατος ἐπ' αὐτοὺς, καὶ καταβήτωσαν εἰς Ἅδου ζῶντες. Ὅτι πονηρία ἐν ταῖς παροικίαις αὐτῶν, ἐν μέσῳ αὐτῶν. Ἐγὼ πρὸς τὸν Θεὸν ἐκέκραξα, καὶ ὁ Κύριος εἰσήκουσέ μου. Ἑσπέρας καὶ πρωΐ, καὶ μεσημβρίας διηγήσομαι, καὶ ἀπαγγελῶ, καὶ εἰσακούσεται τῆς φωνῆς μου. Λυτρώσεται ἐν εἰρήνῃ τὴν ψυχήν μου ἀπὸ τῶν ἐγγιζόντων μοι, ὅτι ἐν πολλοῖς ἦταν σὺν ἐμοί. Εἰσακούσεται ὁ Θεὸς, καὶ ταπεινώσει αὐτοὺς ὁ ὑπάρχων πρὸ τῶν αἰώνων. Οὐ γάρ ἐστιν αὐτοῖς ἀντάλλαγμα, ὅτι οὐκ ἐφοβήθησαν τὸν Θεόν· ἐξέτεινε τὴν χεῖρα αὐτοῦ ἐν τῷ ἀποδιδόναι. Ἐβεβήλωσαν τὴν διαθήκην αὐτοῦ, διεμερίσθησαν ἀπὸ ὀργῆς τοῦ προσώπου αὐτοῦ, καὶ ἤγγισαν αἱ καρδίαι αὐτῶν. Ἠπαλύνθυσαν οἱ λόγοι αὐτῶν ὑπὲρ ἔλαιον, καὶ αὐτοί εἰσι βολίδες. Ἐπίρριψον ἐπὶ Κύριον τὴν μέριμνάν σου, καὶ αὐτός σε διαθρέψει· οὐ δώσει εἰς τὸν αἰῶνα σάλον τῷ δικαίῳ. Σὺ δὲ, ὁ Θεός, κατάξεις αὐτοὺς εἰς φρέαρ διαφθορᾶς. Ἄνδρες αἱμάτων καὶ δολιότητος οὐ μὴ ἡμισεύσωσι τὰς ἡμέρας αὐτῶν· ἐγὼ δὲ, Κύριε, ἐλπιῶ ἐπὶ σέ.

Δόξα, καὶ νῦν. Ἀλληλούϊα.

ΨΑΛΜΟΣ 56. τοῦ Δαβίδ.

Ἐλέησόν με ὁ Θεός, ἐλέησόν με, ὅτι ἐπὶ σοὶ πέποιθεν ἡ ψυχή μου· καὶ ἐν τῇ σκιᾷ τῶν πτερύγων σου ἐλπιῶ, ἕως οὗ παρέλθῃ ἡ ἀνομία. Κεκράξομαι πρὸς τὸν Θεὸν τὸν Ὕψιστον, τὸν Θεὸν τὸν εὐεργετήσαντά με. Ἐξαπέστειλεν ἐξ οὐρανοῦ, καὶ ἔσωσέ με, ἔδωκεν εἰς ὀνειδος τοὺς καταπατοῦντάς με. Ἐξαπέστειλεν ὁ Θεὸς τὸ ἔλεος αὐτοῦ, καὶ τὴν ἀλήθειαν αὐτοῦ, καὶ ἐρύσατο τὴν ψυχήν μου ἐκ μέσου σκύμνων· ἐκοιμήθην τεταραγμένος. Υἱοὶ ἀνθρώπων, οἱ ὀδόντες αὐτῶν ὅπλα καὶ βέλη, καὶ ἡ γλῶσσα αὐτῶν μάχαιρα ὀξεῖα. Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ Θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου. Παγίδα ἡτοίμασαν τοῖς ποσί μου, καὶ κατέκαμψαν τὴν ψυχήν μου. Ὤρυξαν πρὸ προσώπου μου βόθρον, καὶ ἐνέπεσαν εἰς αὐτόν. Ἑτοίμη ἡ καρδία μου, ὁ Θεός. ἑτοίμη ἡ καρδία μου· ἄσομαι καὶ ψαλῶ ἐν τῇ δόξῃ μου. Ἐξεγέρθητι ἡ δόξα μου, ἐξεγέρθητι ψαλτήριον καὶ κιθάρα, ἐξεγερθήσομαι ὄρθρου. Ἐξομολογήσομαί σοι ἐν λαοῖς, Κύριε, ψαλῶ σοι ἐν ἔθνεσιν. Ὅτι ἐμεγαλύνθη ἕως τῶν οὐρανῶν τὸ ἔλεός σου, καὶ ἕως τῶν νεφελῶν ἡ ἀλήθειά σου. Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς ὁ Θεὸς, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.

ΨΑΛΜΟΣ 57. Τοῦ Δαβίδ.

Εἰ ἀληθῶς ἄρα δικαιοσύνην λαλεῖτε, εὐθείας κρίνατε υἱοὶ τῶν ἀνθρώπων. Καὶ γὰρ ἐν καρδίᾳ ἀνομίαν ἐργάζεσθε, ἐν τῇ γῇ ἀδικίαν αἱ χεῖρες ὑμῶν συμπλέκουσιν. Ἀπηλλοτριώθησαν οἱ ἁμαρτωλοὶ ἀπὸ μήτρας, ἐπλανήθησαν ἀπὸ γαστρὸς, ἐλάλησαν ψευδῆ. Θυμὸς αὐτοῖς κατὰ τὴν ὁμοίωσιν τοῦ ὄφεως, ὡσεὶ ἀσπίδος κωφῆς, καὶ βυούσης τὰ ὦτα αὐτῆς. Ἥτις οὐκ εἰσακούσεται φωνῆς ἐπᾳδόντων, φαρμακοῦται φαρμακευομένη παρὰ σοφοῦ. Ὁ Θεὸς συντρίψει τοὺς ὀδόντας αὐτῶν ἐν τῷ στόματι αὐτῶν, τὰς μύλας τῶν λεόντων συνέθλασεν ὁ Κύριος. Ἐξουδενωθήσονται ὡσεὶ ὕδωρ διαπορευόμενον, ἐντενεῖ τὸ τόξον αὐτοῦ ἕως οὗ ἀσθενήσουσι· ὡσεὶ κηρὸς τακεῖς ἀνταναιρεθήσονται· ἔπεσε πῦρ ἐπ' αὐτούς, καὶ οὐκ εἶδον τὸν ἥλιον. Πρὸ τοῦ συνιέναι τὰς ἀκάνθας αὐτῶν τὴν ῥάμνον, ὡσεὶ ζῶντας, ὡσεὶ ἐν ὀργῇ καταπίεται αὐτούς. Εὐφρανθήσεται δίκαιος, ὅταν ἴδῃ ἐκδίκησιν, τὰς χεῖρας αὐτοῦ νίψεται ἐν τῷ αἵματι τοῦ ἁμαρτωλοῦ. Καὶ ἐρεῖ ἄνθρωπος, εἰ ἄρα ἐστὶ καρπὸς τῷ δικαίῳ, ἄρα ἔστιν ὁ Θεὸς κρίνων αὐτοὺς ἐν τῇ γῇ.

Δόξα καὶ νῦν. Ἀλληλούϊα.

ΨΑΛΜΟΣ 58. Τοῦ Δαβίδ.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, ὁ Θεός, καὶ ἐκ τῶν ἐπανισταμένων ἐπ' ἐμὲ λύτρωσαί με. Ῥῦσαί με ἐκ τῶν ἐργαζομένων τὴν ἀνομίαν, καὶ ἐξ ἀνδρῶν αἱμάτων σῶσόν με. Ὅτι ἰδοὺ ἐθήρευσαν

τὴν

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

τὴν ψυχήν μου, ἐπέθεντο ἐπ' ἐμὲ κραταιοί. Οὔτε ἡ ἀνομία μου, οὔτε ἡ ἁμαρτία μου, Κύριε· ἄνευ ἀνομίας ἔδραμον, καὶ κατεύθυνα. Ἐξεγέρθητι εἰς συνάντησίν μου, καὶ ἴδε· καὶ σὺ Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ὁ Θεὸς τοῦ Ἰσραήλ. Πρόσχες τοῦ ἐπισκέψασθαι πάντα τὰ ἔθνη, μὴ οἰκτειρήσῃς πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν. Ἐπιστρέψουσιν εἰς ἑσπέραν, καὶ λιμώξουσιν ὡς κύων, καὶ κυκλώσουσι πόλιν. Ἰδοὺ αὐτοὶ ἀποφθέγξονται ἐν τῷ στόματι αὐτῶν, καὶ ῥομφαία ἐν τοῖς χείλεσιν αὐτῶν· ὅτι τίς ἤκουσε; Καὶ σύ, Κύριε ἐκγελάσεις αὐτούς, ἐξουδενώσεις πάντα τὰ ἔθνη. Τὸ κράτος μου πρός σὲ φυλάξω, ὅτι σὺ ὁ Θεὸς ἀντιλήπτωρ μου εἶ· ὁ Θεός μου, τὸ ἔλεός σου προφθάσει με. Ὁ Θεός μου δείξει μοι ἐν τοῖς ἐχθροῖς μου· μὴ ἀποκτείνῃς αὐτούς, μήποτε ἐπιλάθωνται τοῦ νόμου σου. Διασκόρπισον αὐτοὺς ἐν τῇ δυνάμει σου· καὶ κατάγαγε αὐτοὺς ὁ ὑπερασπιστής μου Κύριε. Ἁμαρτία στόματος αὐτῶν, λόγος χειλέων αὐτῶν, καὶ συλληφθήτωσαν ἐν τῇ ὑπερηφανείᾳ αὐτῶν. Καὶ ἐξ ἀρᾶς καὶ ψεύδους διαγγελήσονται ἐν συντελείᾳ, ἐν ὀργῇ συντελείας, καὶ οὐ μὴ ὑπάρξωσι. Καὶ γνώσονται, ὅτι ὁ Θεὸς δεσπόζει τοῦ Ἰακὼβ, καὶ τῶν περάτων τῆς γῆς. Ἐπιστρέψουσιν εἰς ἑσπέραν, καὶ λιμώξουσιν ὡς κύων, καὶ κυκλώσουσι πόλιν. Αὐτοὶ διασκορπισθήσονται τοῦ φαγεῖν· ἐὰν δὲ μὴ χορτασθῶσι, καὶ γογγύσουσιν. Ἐγὼ δὲ ᾄσομαι τῇ δυνάμει σου, καὶ ἀγαλλιάσομαι τὸ πρωὶ τὸ ἔλεός σου. Ὅτι ἐγενήθης ἀντιλήπτωρ μου, καὶ καταφυγή μου, ἐν ἡμέρᾳ θλίψεώς μου. Βοηθός μου εἶ· σοὶ ψαλῶ· ὅτι σὺ ὁ Θεὸς ἀντιλήπτωρ μου εἶ, ὁ Θεός μου, τὸ ἔλεός μου.

ΨΑΛΜΟΣ 59. Τοῦ Δαβίδ.

Ὁ Θεὸς ἀπώσω ἡμᾶς, καὶ καθεῖλες ἡμᾶς· ὠργίσθης, καὶ ὠκτείρησας ἡμᾶς. Συνέσεισας τὴν γῆν, καὶ συνετάραξας αὐτήν, ἴασαι τὰ συντρίμματα αὐτῆς, ὅτι ἐσαλεύθη. Ἔδειξας τῷ λαῷ σου σκληρὰ, ἐπότισας ἡμᾶς οἶνον κατανύξεως. Ἔδωκας τοῖς φοβουμένοις σε σημείωσιν, τοῦ φυγεῖν ἀπὸ προσώπου τόξου. Ὅπως ἂν ῥυσθῶσιν οἱ ἀγαπητοί σου, σῶσον τῇ δεξιᾷ σου, καὶ ἐπάκουσόν μου. Ὁ Θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ, ἀγαλλιάσομαι, καὶ διαμεριῶ Σίκιμα, καὶ τὴν κοιλάδα τῶν σκηνῶν διαμετρήσω. Ἐμός ἐστι Γαλαάδ, καὶ ἐμός ἐστι Μανασσῆς, καὶ Ἐφραὶμ κραταίωσις τῆς κεφαλῆς μου. Ἰούδας Βασιλεύς μου, Μωὰβ λέβης τῆς ἐλπίδος μου. Ἐπὶ τὴν Ἰδουμαίαν ἐκτενῶ τὸ ὑπόδημά μου, ἐμοὶ ἀλλόφυλοι ὑπετάγησαν. Τίς ἀπάξει με εἰς πόλιν περιοχῆς; ἢ τίς ὁδηγήσει με ἕως τῆς Ἰδουμαίας; Οὐχὶ σὺ ὁ Θεός, ὁ ἀπωσάμενος ἡμᾶς; καὶ οὐκ ἐξελεύσῃ ὁ Θεὸς ἐν ταῖς δυνάμεσιν ἡμῶν; Δὸς ἡμῖν βοή-

θειαν

μεῖς, ὡς τοίχῳ κεκλιμένῳ, καὶ φραγμῷ ὠσμένῳ. Πλὴν τὴν τιμήν μου ἐβουλεύσαντο ἀπώσασθαι, ἔθραμον ἐν διψῇ· τῷ στόματι αὐτῶν εὐλόγουν, καὶ τῇ καρδίᾳ αὐτῶν κατηρῶντο. Πλὴν τῷ Θεῷ ὑποτάγηθι ἡ ψυχή μου, ὅτι παρ' αὐτῷ ἡ ὑπομονή μου. Ὅτι αὐτὸς Θεός μου, καὶ Σωτήρ μου, ἀντιλήπτωρ μου, οὐ μὴ μεταναςεύσω. Ἐπὶ τῷ Θεῷ τὸ σωτήριόν μου, καὶ ἡ δόξα μου· ὁ Θεὸς τῆς βοηθείας μου, καὶ ἡ ἐλπίς μου ἐπὶ τῷ Θεῷ. Ἐλπίσατε ἐπ' αὐτὸν πᾶσα συναγωγὴ λαῶν, ἐκχέατε ἐνώπιον αὐτοῦ τὰς καρδίας ὑμῶν, ὅτι ὁ Θεὸς βοηθὸς ἡμῶν. Πλὴν μάταιοι οἱ υἱοὶ τῶν ἀνθρώπων, ψευδεῖς οἱ υἱοὶ τῶν ἀνθρώπων ἐν ζυγοῖς τοῦ ἀδικῆσαι, αὐτοὶ ἐκ ματαιότητος ἐπὶ τὸ αὐτό. Μὴ ἐλπίζετε ἐπ' ἀδικίαν, καὶ ἐπὶ ἅρπαγμα μὴ ἐπιποθεῖτε. Πλοῦτος ἐὰν ῥέῃ, μὴ προστίθεσθε καρδίαν. Ἅπαξ ἐλάλησεν ὁ Θεός· δύω ταῦτα ἤκουσα, ὅτι τὸ κράτος τοῦ Θεοῦ, καὶ σοῦ, Κύριε, τὸ ἔλεος· ὅτι σὺ ἀποδώσεις ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

ΨΑΛΜΟΣ 62. Τοῦ Δαβίδ.

Ο Θεός, ὁ Θεός μου πρὸς σὲ ὀρθρίζω. Ἐδίψησέ σε ἡ ψυχή μου ποσαπλῶς σοι ἡ σάρξ μου. Ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ, οὕτως ἐν τῷ ἁγίῳ ὤφθην σοι, τοῦ ἰδεῖν τὴν δύναμίν σου καὶ τὴν δόξαν σου. Ὅτι κρεῖσσον τὸ ἔλεός σου ὑπὲρ ζωὰς τὰ χείλη

μου

μου ἐπαινέσουσί σε. Οὕτως εὐλογήσω σε ἐν τῇ ζωῇ μου, καὶ ἐν τῷ ὀνόματί σου ἀρῶ τὰς χεῖράς μου. Ὡς ἐκ στέατος καὶ ποιότητος ἐμπλησθείη ἡ ψυχή μου, καὶ χείλη ἀγαλλιάσεως αἰνέσει τὸ στόμα μου. Εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ· ὅτι ἐγενήθης βοηθός μου, καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι. Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου. Αὐτοὶ δὲ εἰς μάτην ἐζήτησαν τὴν ψυχήν μου, εἰσελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς, παραδοθήσονται εἰς χεῖρας ῥομφαίας, μερίδες ἀλωπέκων ἔσονται. Ὁ δὲ Βασιλεὺς εὐφρανθήσεται ἐπὶ τῷ Θεῷ ἐπαινεθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ, ὅτι ἐνεφράγη στόμα λαλούντων ἄδικα.

ΨΑΛΜΟΣ 63. Τοῦ Δαβίδ.

Εἰσάκουσον ὁ Θεὸς τῆς φωνῆς μου, ἐν τῷ δέεσθαί με πρὸς σέ· ἀπὸ φόβου ἐχθροῦ ἐξελοῦ τὴν ψυχήν μου. Σκέπασόν με ἀπὸ συστροφῆς πονηρευομένων· ἀπὸ πλήθους ἐργαζομένων ἀδικίαν. Οἵτινες ἠκόνησαν ὡς ῥομφαίαν τὰς γλώσσας αὐτῶν, ἐνέτειναν τόξον αὐτῶν, πρᾶγμα πικρόν, τοῦ κατατοξεῦσαι ἐν ἀποκρύφοις ἄμωμον. Ἐξάπινα κατατοξεύσουσιν αὐτόν, καὶ οὐ φοβηθήσονται· ἐκραταίωσαν ἑαυτοῖς λόγον πονηρόν. Διηγήσαντο τοῦ κρύψαι παγίδας· εἶπον, Τίς ὄψεται αὐτούς;

νος ἐν δυναστείᾳ ὁ συνταράσσων τὸ κῦτος τῆς θαλάσσης· ἤχους κυμάτων αὐτῆς τίς ὑποστήσεται; Ταραχθήσονται τὰ ἔθνη, καὶ φοβηθήσονται οἱ κατοικοῦντες τὰ πέρατα ἀπὸ τῶν σημείων σου. Ἐξόδους πρωΐας καὶ ἑσπέρας τέρψεις. Ἐπεσκέψω τὴν γῆν, καὶ ἐμέθυσας αὐτήν, ἐπλήθυνας τοῦ πλουτίσαι αὐτήν. Ὁ ποταμὸς τοῦ Θεοῦ ἐπλήρώθη ὑδάτων· ἡτοίμασας τὴν τροφὴν αὐτῶν, ὅτι οὕτως ἡ ἑτοιμασία. Τὰς αὔλακας αὐτῆς μέθυσον, πλήθυνον τὰ γενήματα αὐτῆς· ἐν ταῖς σταγόσιν αὐτῆς εὐφρανθήσεται ἀνατέλλουσα. Εὐλογήσεις τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου, καὶ τὰ πεδία σου πλησθήσονται πιότητος. Πιανθήσονται τὰ ὡραῖα τῆς ἐρήμου, καὶ ἀγαλλίασιν οἱ βουνοὶ περιζώσονται. Ἐνεδύσαντο οἱ κριοὶ τῶν προβάτων, καὶ αἱ κοιλάδες πλήθυνοῦσι σῖτον· κεκράξονται· καὶ γὰρ ὑμνήσουσιν.

ΨΑΛΜΟΣ 65. Τοῦ Δαβίδ.

Ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ· ψάλατε δὴ τῷ ὀνόματι αὐτοῦ, δότε δόξαν ἐν αἰνέσει αὐτοῦ. Εἴπατε τῷ Θεῷ, Ὡς φοβερὰ τὰ ἔργα σου· ἐν τῷ πλήθει τῆς δυνάμεώς σου ψεύσονταί σε οἱ ἐχθροί σου. Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι, καὶ ψαλάτωσάν σοι· ψαλάτωσαν δὴ τῷ ὀνόματί σου Ὕψιστε. Δεῦτε καὶ ἴδετε τὰ ἔργα τοῦ Θεοῦ ὡς φοβερὸς ἐν βουλαῖς ὑπὲρ τοὺς υἱοὺς τῶν ἀνθρώπων. Ὁ μεταστρέφων τὴν θάλασσαν εἰς ξηράν, ἐν ποταμῷ διελεύσονται ποδί. Ἐκεῖ εὐφρανθησόμεθα ἐπ' αὐτῷ τῷ δεσποζοντι ἐν τῇ δυναστείᾳ αὐτοῦ τοῦ αἰῶνος· οἱ ὀφθαλμοί αὐτοῦ ἐπὶ τὰ ἔθνη ἐπιβλέπουσιν, οἱ παραπικραίνοντες μὴ ὑψούσθωσαν ἐν ἑαυτοῖς. Εὐλογεῖτε, ἔθνη, τὸν Θεὸν ἡμῶν, καὶ ἀκουτίσατε τὴν φωνὴν τῆς αἰνέσεως αὐτοῦ. Τοῦ θεμένου τὴν ψυχήν μου εἰς ζωὴν, καὶ μὴ δόντος εἰς σάλον τοὺς πόδας μου. Ὅτι ἐδοκίμασας ἡμᾶς, ὁ Θεὸς, ἐπύρωσας ἡμᾶς, ὡς πυροῦται τὸ ἀργύριον. Εἰσήγαγες ἡμᾶς εἰς τὴν παγίδα· ἔθου θλίψεις ἐπὶ τὸν νῶτον ἡμῶν· ἐπεβίβασας ἀνθρώπους ἐπὶ τὰς κεφαλὰς ἡμῶν. Διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν. Εἰσελεύσομαι εἰς τὸν οἶκόν σου ἐν ὁλοκαυτώμασιν· ἀποδώσω σοι τὰς εὐχάς μου, ἃς διέστειλε τὰ χείλη μου. Καὶ ἐλάλησε τὸ στόμα μου ἐν τῇ θλίψει μου. Ὁλοκαυτώματα μεμυελωμένα ἀνοίσω σοι μετὰ θυμιάματος καὶ κριῶν· εἰσακουσάτω μου Κύριος. Διὰ τοῦτο ἀκούσατε, καὶ διηγήσομαι ὑμῖν, πάντες οἱ φοβούμενοι τὸν Θεόν, ὅσα ἐποίησε τῇ ψυχῇ μου. Πρὸς αὐτὸν τῷ στόματί μου ἐκέκραξα, καὶ ὕψωσα ὑπὸ τὴν γλῶσσάν μου. Ἀδικίαν εἰ ἐθεώρουν ἐν καρδίᾳ μου, μὴ ἀνοίσω σοι βόας μετὰ χιμάρων. Διὰ τοῦτο εἰσήκουσέ μου ὁ Θεὸς, προσέσχε τῇ φωνῇ τῆς δεήσεώς μου. Εὐλογητὸς ὁ Θεὸς, ὃς οὐκ ἀπέστησε τὴν προσευχήν μου, καὶ τὸ ἔλεος αὐτοῦ ἀπ' ἐμοῦ.

Ψαλ-

ΨΑΛΜΟΣ 66. Τοῦ Δαβίδ.

Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς, καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐλεήσαι ἡμᾶς. Τοῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου, ἐν πᾶσιν ἔθνεσι τὸ σωτήριόν σου. Ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες. Εὐφρανθήτωσαν καὶ ἀγαλλιάσθωσαν ἔθνη, ὅτι κρινεῖς λαοὺς ἐν εὐθύτητι, καὶ ἔθνη ἐν τῇ γῇ ὁδηγήσεις. Ἐξομολογησάσθωσάν σοι λαοί, ὁ Θεός, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες. Γῆ ἔδωκε τὸν καρπὸν αὐτῆς. Εὐλογήσαι ἡμᾶς ὁ Θεός, ὁ Θεὸς ἡμῶν· εὐλογήσαι ἡμᾶς ὁ Θεός, καὶ φοβηθήτωσαν αὐτὸν πάντα τὰ πέρατα τῆς γῆς.

Δόξα καὶ νῦν. Ἀλληλούϊα.

ΨΑΛΜΟΣ 67. τοῦ Δαβίδ.

Ἀναστήτω ὁ Θεὸς καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν. Ὡς ἐκλείπει καπνὸς ἐκλειπέτωσαν· ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρὸς, οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ. Καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν, ἀγαλλιάσθωσαν ἐνώπιον τοῦ Θεοῦ, τερφθήτωσαν ἐν εὐφροσύνῃ. Ἄσατε τῷ Θεῷ, ψάλατε τῷ ὀνόματι αὐτοῦ, ὁδοποιήσατε τῷ ἐπιβεβηκότι ἐπὶ δυσμῶν. Κύριος ὄνομα αὐτῷ. Καὶ ἀγαλλιᾶσθε ἐνώπιον αὐτοῦ, ταραχθήτωσαν ἀπὸ προσώπου αὐτοῦ, τοῦ πατρὸς τῶν

ἀνθρώποις, καὶ γὰρ ἀπειθοῦντες, τοῦ κατασκηνῶσαι. Κύριος ὁ Θεὸς εὐλογητὸς, εὐλογητὸς Κύριος ἡμέραν καθ' ἡμέραν· κατευοδώσαι ἡμῖν ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν. Ὁ Θεὸς ἡμῶν, ὁ Θεὸς τοῦ σώζειν· καὶ τοῦ Κυρίου Κυρίου αἱ διέξοδοι τοῦ θανάτου. Πλὴν ὁ Θεὸς συνθλάσει κεφαλὰς ἐχθρῶν αὐτοῦ, κορυφὴν τριχὸς διαπορευομένων ἐν πλημμελείαις αὐτῶν. Εἶπε Κύριος, Ἐκ Βασὰν ἐπιστρέψω, ἐπιστρέψω ἐν βυθοῖς θαλάσσης. Ὅπως ἂν βαφῇ ὁ ποῦς σου ἐν αἵματι, ἡ γλῶσσα τῶν κυνῶν σου ἐξ ἐχθρῶν παρ' αὐτοῦ. Ἐθεωρήθησαν οἱ πορεῖαί σου, ὁ Θεὸς, αἱ πορεῖαι τοῦ Θεοῦ μου τοῦ Βασιλέως τοῦ ἐν τῷ ἁγίῳ. Προέφθασαν ἄρχοντες ἐχόμενοι ψαλλόντων, ἐν μέσῳ νεανίδων τυμπανιστριῶν. Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεὸν, Κύριον ἐκ πηγῶν Ἰσραήλ. Ἐκεῖ Βενιαμὶν νεώτερος ἐν ἐκστάσει, ἄρχοντες Ἰούδα ἡγεμόνες αὐτῶν, ἄρχοντες Ζαβουλὼν, ἄρχοντες Νεφθαλείμ. Ἐντεῖλαι ὁ Θεὸς τῇ δυνάμει σου· δυνάμωσον ὁ Θεὸς τοῦτο, ὃ κατειργάσω ἐν ἡμῖν. Ἀπὸ τοῦ ναοῦ σου ἐπὶ Ἱερουσαλὴμ, σοὶ οἴσουσι βασιλεῖς δῶρα. Ἐπιτίμησον τοῖς θηρίοις τοῦ καλάμου ἡ συναγωγὴ τῶν ταύρων ἐν ταῖς δαμάλεσι τῶν λαῶν, τοῦ ἐγκλεισθῆναι τοὺς δεδοκιμασμένους τῷ ἀργυρίῳ. Διασκόρπισον ἔθνη τὰ τοὺς πολέμους θέλοντα· ἥξουσι πρέσβεις ἐξ Αἰγύπτου, Αἰθιοπία προφθάσει χεῖρα αὐτῆς τῷ Θεῷ. Αἱ βασιλεῖαι τῆς γῆς ᾄσατε τῷ Θεῷ, ψάλατε τῷ Κυρίῳ τῷ ἐπιβεβηκότι ἐπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ κατὰ ἀνατολάς· ἰδοὺ δώσει τῇ φωνῇ αὐτοῦ φωνὴν δυνάμεως. Δότε δόξαν τῷ Θεῷ· ἐπὶ τὸν Ἰσραὴλ ἡ μεγαλοπρέπεια αὐτοῦ, καὶ ἡ δύναμις αὐτοῦ ἐν ταῖς νεφέλαις. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ· ὁ Θεὸς Ἰσραὴλ, αὐτὸς δώσει δύναμιν καὶ κραταίωσιν τῷ λαῷ αὐτοῦ· εὐλογητὸς ὁ Θεός.

Δόξα καὶ νῦν. Ἀλληλούϊα.

ΨΑΛΜΟΣ 68. Τοῦ Δαβίδ.

Σῶσόν με ὁ Θεὸς, ὅτι εἰσῆλθοσαν ὕδατα ἕως ψυχῆς μου. Ἐνεπάγην εἰς ἰλὺν βυθοῦ, καὶ οὐκ ἔστιν ὑπόστασις. Ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης, καὶ καταιγὶς κατεπόντισέ με. Ἐκοπίασα κράζων, ἐβραγχίασεν ὁ λάρυγξ μου, ἐξέλιπον οἱ ὀφθαλμοί μου ἀπὸ τοῦ ἐλπίζειν με ἐπὶ τὸν Θεόν μου. Ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου, οἱ μισοῦντές με δωρεάν. Ἐκραταιώθησαν οἱ ἐχθροί μου οἱ ἐκδιώκοντές με ἀδίκως, ἃ οὐχ ἥρπαζον, τότε ἀπετίννυον. Ὁ Θεός, σὺ ἔγνως τὴν ἀφροσύνην μου, καὶ αἱ πλημμέλειαί μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβησαν. Μὴ αἰσχυνθείησαν ἐπ' ἐμὲ οἱ ὑπομένοντές σε, Κύριε, Κύριε τῶν δυνάμεων. Μηδὲ ἐντραπείησαν ἐπ' ἐμὲ οἱ ζητοῦντές σε, ὁ Θεὸς τοῦ Ἰσραήλ. Ὅτι ἕνεκά σου ὑπήνεγκα ὀνειδισμόν, ἐκάλυψεν ἐντροπὴ τὸ πρόσωπόν μου.

μου. Ἀπηλλοτριωμένος ἐγενήθην τοῖς ἀδελφοῖς μου, καὶ ξένος τοῖς υἱοῖς τῆς μητρός μου. Ὅτι ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ με, καὶ οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπεσον ἐπ' ἐμέ. Καὶ συνεκάλυψα ἐν νηστείᾳ τὴν ψυχήν μου, καὶ ἐγενήθη εἰς ὀνειδισμούς ἐμοί. Καὶ ἐθέμην τὸ ἔνδυμά μου σάκκον, καὶ ἐγενόμην αὐτοῖς εἰς παραβολήν. Κατ' ἐμοῦ ἠδολέσχουν οἱ καθήμενοι ἐν πύλαις, καὶ εἰς ἐμὲ ἔψαλλον οἱ πίνοντες οἶνον. Ἐγὼ δὲ τῇ προσευχῇ μου πρός σέ Κύριε, καιρὸς εὐδοκίας. Ὁ Θεός, ἐν τῷ πλήθει τοῦ ἐλέους σου ἐπάκουσόν μου, ἐν ἀληθείᾳ τῆς σωτηρίας σου. Σῶσόν με ἀπὸ πηλοῦ, ἵνα μὴ ἐμπαγῶ· ῥυσθείην ἐκ τῶν μισούντων με, καὶ ἐκ τῶν βαθέων τῶν ὑδάτων. Μή με καταποντισάτω καταιγὶς ὕδατος, μηδὲ καταπιέτω με βυθός, μηδὲ συσχέτω ἐπ' ἐμὲ φρέαρ τὸ στόμα αὐτοῦ. Εἰσάκουσόν μου Κύριε, ὅτι χρηστὸν τὸ ἔλεός σου, κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐπίβλεψον ἐπ' ἐμέ. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ τοῦ παιδός σου, ὅτι θλίβομαι, ταχὺ ἐπάκουσόν μου. Πρόσχες τῇ ψυχῇ μου, καὶ λύτρωσαι αὐτήν, ἕνεκα τῶν ἐχθρῶν μου ῥῦσαί με. Σὺ γὰρ γινώσκεις τὸν ὀνειδισμόν μου, καὶ τὴν αἰσχύνην μου, καὶ τὴν ἐντροπήν μου. Ἐναντίον σου πάντες οἱ θλίβοντές με ὀνειδισμόν προσεδόκησεν ἡ ψυχή μου, καὶ ταλαιπωρίαν. Καὶ ὑπέμεινα συλ-

καὶ οἰκοδομηθήσονται αἱ πόλεις τῆς Ἰουδαίας. Καὶ κατοικήσουσιν ἐκεῖ, καὶ κληρονομήσουσιν αὐτήν. Καὶ τὸ σπέρμα τῶν δούλων σου καθέξουσιν αὐτήν, καὶ οἱ ἀγαπῶντες τὸ ὄνομά σου κατασκηνώσουσιν ἐν αὐτῇ.

ΨΑΛΜΟΣ 69. Τοῦ Δαβίδ.

Ὁ Θεὸς εἰς τὴν βοήθειάν μου πρόσχες, Κύριε, εἰς τὸ βοηθῆσαί μοι σπεῦσον. Αἰσχυνθήτωσαν καὶ ἐντραπήτωσαν οἱ ζητοῦντες τὴν ψυχήν μου. Ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω, καὶ καταισχυνθήτωσαν οἱ βουλόμενοί μοι κακά. Ἀποστραφήτωσαν παραυτίκα αἰσχυνόμενοι, οἱ λέγοντές μοι, εὖγε εὖγε. Ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν ἐπὶ σοὶ πάντες οἱ ζητοῦντές σε, ὁ Θεός, καὶ λεγέτωσαν διαπαντός, Μεγαλυνθήτω ὁ Κύριος, οἱ ἀγαπῶντες τὸ σωτήριόν σου. Ἐγὼ δὲ πτωχός εἰμι καὶ πένης, ὁ Θεός βοήθησόν μοι. Βοηθός μου καὶ ῥύστης μου εἶ σύ, Κύριε μὴ χρονίσῃς.

Δόξα, καὶ νῦν. Ἀλληλούϊα.

ΚΑΘΙΣΜΑ Ι'.

ΨΑΛΜΟΣ 70. Τοῦ Δαβίδ.

Ἐπὶ σοὶ Κύριε ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα· ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με, καὶ ἐξελοῦ με. Κλῖνον πρός με τὸ οὖς σου, καὶ σῶσόν με. Γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστήν, καὶ εἰς τόπον ὀχυρόν τοῦ σῶσαί με. Ὅτι στερέωμά μου καὶ καταφυγή μου εἶ σύ. Ὁ Θεός μου, ῥῦσαί με ἐκ χειρὸς ἁμαρτωλοῦ, ἐκ χειρὸς παρανομοῦντος καὶ ἀδικοῦντος. Ὅτι σὺ εἶ ἡ ὑπομονή μου Κύριε, Κύριε ἡ ἐλπίς μου ἐκ νεότητός μου. Ἐπὶ σὲ ἐπεστηρίχθην ἀπὸ γαστρός, ἐκ κοιλίας μητρός μου σὺ μου εἶ σκεπαστής. Ἐν σοὶ ἡ ὑμνησίς μου διαπαντός· ὡσεὶ τέρας ἐγενήθην τοῖς πολλοῖς, καὶ σὺ βοηθὸς μου κραταιός. Πληρωθήτω τὸ στόμα μου αἰνέσεως, ὅπως ὑμνήσω τὴν δόξαν σου, ὅλην τὴν ἡμέραν, τὴν μεγαλοπρέπειάν σου. Μὴ ἀποῤῥίψῃς με εἰς καιρὸν γήρως, ἐν τῷ ἐκλείπειν τὴν ἰσχύν μου, μὴ ἐγκαταλίπῃς με. Ὅτι εἶπον οἱ ἐχθροί μου ἐμοί, καὶ οἱ φυλάσσοντες τὴν ψυχήν μου ἐβουλεύσαντο ἐπὶ τὸ αὐτό, λέγοντες, Ὁ Θεὸς ἐγκατέλιπεν αὐτόν, καταδιώξατε καὶ καταλάβετε αὐτόν, ὅτι οὐκ ἔστιν ὁ ῥυόμενος. Ὁ Θεός μου, μὴ μακρύνῃς ἀπ' ἐμοῦ, ὁ Θεός μου, εἰς τὴν βοήθειάν μου πρόσχες. Αἰσχυνθήτωσαν, καὶ ἐκλειπέτωσαν οἱ ἐνδιαβάλλοντες τὴν ψυχήν μου· περιβαλλέσθωσαν αἰσχύνην καὶ ἐντροπὴν οἱ ζητοῦντες τὰ κακά μοι. Ἐγὼ δὲ διαπαντὸς ἐπὶ σὲ, καὶ προσθήσω ἐπὶ τὴν αἴνεσίν σου. Τὸ στόμα μου ἀναγγελεῖ τὴν δικαιοσύνην σου, ὅλην τὴν ἡμέραν τὴν σωτηρίαν σου. Ὅτι οὐκ ἔγνων γραμματείαν, εἰσελεύσομαι ἐν δυνασταίᾳ Κυρίου· Κύριε, μνησθήσομαι τῆς δικαιοσύνης σου μόνου. Ὁ Θεός μου,

Κτησάμενος καὶ ἐκτησάμην με.

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

μου, ἃ ἐδίδαξάς με ἐκ νεότητός μου, καὶ μέχρι τοῦ νῦν ἀπαγγελῶ τὰ θαυμάσιά σου, καὶ ἕως γήρως καὶ πρεσβείου, ὁ Θεός μου μὴ ἐγκαταλίπῃς με· ἕως ἂν ἀπαγγελῶ τὸν βραχίονά σου τῇ γενεᾷ πάσῃ τῇ ἐρχομένῃ. Τὴν δυναστείαν σου, καὶ τὴν δικαιοσύνην σου ὁ Θεὸς ἕως τῶν ὑψίστων, ἃ ἐποίησάς μοι μεγαλεῖα· ὁ Θεὸς τίς ὅμοιός σοι; Ὅσας ἔδειξάς μοι θλίψεις πολλὰς καὶ κακὰς, καὶ ἐπιστρέψας ἐζωοποίησάς με, καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς ἀνήγαγές με. Ἐπλεόνασας ἐπ' ἐμὲ τὴν μεγαλωσύνην σου, καὶ ἐπιστρέψας παρεκάλεσάς με, καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς πάλιν ἀνήγαγές με. Καὶ γὰρ ἐγὼ ἐξομολογήσομαί σοι ἐν λαοῖς Κύριε, ἐν σκεύεσι ψαλμοῦ τὴν ἀλήθειάν σου ὁ Θεός, ψαλῶ σοι ἐν κιθάρᾳ ὁ ἅγιος τοῦ Ἰσραήλ. Ἀγαλλιάσονται τὰ χείλη μου, ὅταν ψάλω σοι, καὶ ἡ ψυχή μου, ἣν ἐλυτρώσω. Ἔτι δὲ καὶ ἡ γλῶσσά μου ὅλην τὴν ἡμέραν μελετήσει τὴν δικαιοσύνην σου, ὅταν ἐπ' ἐμοὶ θῶσι, καὶ ἐντραπῶσιν οἱ ζητοῦντα κακά μοι.

ὅτι θλί
μου. ΨΑΛΜΟΣ 71. Τοῦ Δαβίδ.
λύτρωσι
θρῶν θεὸς τὸ κρίμα σου τῷ βασι-
νώσκ δός, καὶ τὴν δικαιοσύνην σου τὴν
υἱῷ τοῦ βασιλέως. Κρίνειν τὸν λαόν σου ἐν δικαιοσύνῃ καὶ οἱ τοὺς πτωχούς σου ἐν κρίσει. Ἀναλαβέτω τὰ ὄρη εἰρήνην τῷ λαῷ, καὶ οἱ βουνοὶ δικαιοσύνην. Κρινεῖ τοὺς πτωχοὺς τοῦ λαοῦ, καὶ σώσει τοὺς υἱοὺς τῶν πενήτων, καὶ ταπεινώσει συκοφάντην. Καὶ συμπαραμενεῖ τῷ Ἡλίῳ καὶ πρὸ τῆς Σελήνης γενεὰς γενεῶν. Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον, καὶ ὡσεὶ σταγὼν ἡ στάζουσα ἐπὶ τὴν γῆν. Ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη, καὶ πλῆθος εἰρήνης, ἕως οὗ ἀνταναιρεθῇ ἡ Σελήνη. Καὶ κατακυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ ποταμῶν ἕως περάτων τῆς οἰκουμένης. Ἐνώπιον αὐτοῦ προπεσοῦνται Αἰθίοπες, καὶ οἱ ἐχθροὶ αὐτοῦ χοῦν λείξουσι. Βασιλεῖς Θαρσεῖς καὶ νῆσοι δῶρα προσοίσουσι, βασιλεῖς Ἀράβων καὶ Σαβᾶ δῶρα προσάξουσι. Καὶ προσκυνήσουσιν αὐτῷ πάντες οἱ βασιλεῖς τῆς γῆς, πάντα τὰ ἔθνη δουλεύσουσιν αὐτῷ. Ὅτι ἐρρύσατο πτωχὸν ἐκ δυνάστου, καὶ πένητα, ᾧ οὐχ ὑπῆρχε βοηθός. Φείσεται πτωχοῦ καὶ πένητος, καὶ ψυχὰς πενήτων σώσει. Ἐκ τόκου, καὶ ἐξ ἀδικίας λυτρώσεται τὰς ψυχὰς αὐτῶν, καὶ ἔντιμον τὸ ὄνομα αὐτοῦ ἐνώπιον αὐτῶν. Καὶ ζήσεται, καὶ δοθήσεται αὐτῷ ἐκ τοῦ χρυσίου τῆς Ἀραβίας· καὶ προσεύξονται περὶ αὐτοῦ διαπαντὸς, ὅλην τὴν ἡμέραν εὐλογήσουσιν αὐτόν. Ἔσται στήριγμα ἐν τῇ γῇ ἐπ' ἄκρων τῶν ὀρέων· ὑπεραρθήσεται ὑπὲρ τὸν Λίβανον ὁ καρπὸς αὐτοῦ, καὶ ἐξανθήσουσιν ἐκ πόλεως ὡσεὶ χόρτος τῆς γῆς. Ἔσται τὸ ὄνομα αὐτοῦ εὐλογημένον εἰς τοὺς αἰῶνας, πρὸ τοῦ Ἡλίου διαμένει

τὸ

εὑρεθήσονται ἐν αὐτοῖς. Καὶ εἶπον, Πῶς ἔγνω ὁ Θεός; καὶ εἰ ἔστι γνῶσις ἐν τῷ Ὑψίστῳ. Ἰδοὺ οὗτοι οἱ ἁμαρτωλοὶ, καὶ εὐθηνοῦντες εἰς τὸν αἰῶνα, κατέσχον πλοῦτον. Καὶ εἶπα· Ἄρα ματαίως ἐδικαίωσα τὴν καρδίαν μου, καὶ ἐνιψάμην ἐν ἀθῴοις τὰς χεῖράς μου; Καὶ ἐγενόμην μεμαστιγωμένος ὅλην τὴν ἡμέραν, καὶ ὁ ἔλεγχός μου εἰς τὰς πρωΐας; Εἰ ἔλεγον· Διηγήσομαι οὕτως, ἰδοὺ τῇ γενεᾷ τῶν υἱῶν σου ἠσυνθέτηκα. Καὶ ὑπέλαβον τοῦ γνῶναι· τοῦτο κόπος ἐστὶν ἐνώπιόν μου. Ἕως οὗ εἰσέλθω εἰς τὸ ἁγιαστήριον τοῦ Θεοῦ, καὶ συνῶ εἰς τὰ ἔσχατα αὐτῶν. Πλὴν διὰ τὰς ὀλισθότητας αὐτῶν, ἔθου αὐτοῖς κακά· κατέβαλες αὐτοὺς ἐν τῷ ἐπαρθῆναι. Πῶς ἐγένοντο εἰς ἐρήμωσιν; ἐξάπινα ἐξέλιπον, ἀπώλοντο διὰ τὴν ἀνομίαν αὐτῶν. Ὡσεὶ ἐνύπνιον ἐξεγειρομένου, Κύριε, ἐν τῇ πόλει σου τὴν εἰκόνα αὐτῶν ἐξουδενώσεις. Ὅτι ἐξεκαύθη ἡ καρδία μου, καὶ οἱ νεφροί μου ἠλλοιώθησαν· κἀγὼ ἐξουδενωμένος, καὶ οὐκ ἔγνων. Κτηνώδης ἐγενήθην παρὰ σοί, κἀγὼ διαπαντὸς μετὰ σοῦ. Ἐκράτησας τῆς χειρὸς τῆς δεξιᾶς μου, καὶ ἐν τῇ βουλῇ σου ὡδήγησάς με, καὶ μετὰ δόξης προσελάβου με. Τί γάρ μοι ὑπάρχει ἐν τῷ οὐρανῷ; καὶ παρὰ σὲ τί ἠθέλησα ἐπὶ τῆς γῆς; Ἐξέλιπεν ἡ καρδία μου, καὶ ἡ σάρξ μου, ὁ Θεὸς τῆς καρδίας μου, καὶ ἡ μερίς μου, ὁ Θεὸς εἰς τὸν αἰῶνα. Ὅτι ἰδοὺ οἱ μα-

μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ ἀπολοῦνται· ἐξωλόθρευσας πάντα τὸν πορνεύοντα ἀπὸ σοῦ. Ἐμοὶ δὲ τὸ προσκολλᾶσθαι τῷ Θεῷ ἀγαθόν ἐστι, τίθεσθαι ἐν τῷ Κυρίῳ τὴν ἐλπίδα μου, τοῦ ἐξαγγεῖλαι μὲ πάσας τὰς αἰνέσεις σου, ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιών.

ΨΑΛΜΟΣ 73. Τοῦ Ἀσάφ.

Ἵνα τί ὁ Θεὸς ἀπώσω εἰς τέλος, ὠργίσθη ὁ θυμός σου ἐπὶ πρόβατα νομῆς σου; Μνήσθητι τῆς συναγωγῆς σου, ἧς ἐκτήσω ἀπ' ἀρχῆς. Ἐλυτρώσω ῥάβδον κληρονομίας σου, ὄρος Σιὼν τοῦτο, ὃ κατεσκήνωσας ἐν αὐτῷ. Ἔπαρον τὰς χεῖράς σου ἐπὶ τὰς ὑπερηφανίας αὐτῶν εἰς τέλος, ὅσα ἐπονηρεύσατο ὁ ἐχθρὸς ἐν τῷ ἁγίῳ σου. Καὶ ἐνεκαυχήσαντο οἱ μισοῦντές σε ἐν μέσῳ τῆς ἑορτῆς σου. Ἔθεντο τὰ σημεῖα αὐτῶν σημεῖα, καὶ οὐκ ἐγνωσαν, ὡς εἰς τὴν ἔξοδον ὑπεράνω. Ὡς ἐν δρυμῷ ξύλων, ἀξίναις ἐξέκοψαν τὰς θύρας αὐτῆς ἐπὶ τὸ αὐτό, ἐν πελέκει καὶ λαξευτηρίῳ κατέῤῥαξαν αὐτήν. Ἐνεπύρισαν ἐν πυρὶ τὸ ἁγιαστήριόν σου, εἰς τὴν γῆν ἐβεβήλωσαν τὸ σκήνωμα τοῦ ὀνόματός σου. Εἶπον ἐν τῇ καρδίᾳ αὐτῶν αἱ συγγένειαι αὐτῶν ἐπὶ τὸ αὐτό. Δεῦτε, καὶ καταπαύσωμεν πάσας τὰς ἑορτὰς τοῦ Θεοῦ ἀπὸ τῆς γῆς. Τὰ σημεῖα αὐτῶν οὐκ εἴδομεν, οὐκ ἔστιν ἔτι προφήτης, καὶ ἡμᾶς οὐ γνώσεται ἔτι. Ἕως πότε, ὁ Θεός, ὀνειδιεῖ ὁ ἐχθρός; παροξυνεῖ ὁ ὑπεναντίος τὸ ὄνομά σου εἰς τέλος; Ἵνα τί ἀποστρέφεις τὴν χεῖρά σου, καὶ τὴν δεξιάν σου ἐκ μέσου τοῦ κόλπου σου εἰς τέλος; Ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰώνων, εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς. Σὺ ἐκραταίωσας ἐν τῇ δυνάμει σου τὴν θάλασσαν, σὺ συνέτριψας τὰς κεφαλὰς τῶν δρακόντων ἐπὶ τοῦ ὕδατος. Σὺ συνέθλασας τὴν κεφαλὴν τοῦ δράκοντος, ἔδωκας αὐτὸν βρῶμα λαοῖς τοῖς Αἰθίοψι. Σὺ διέῤῥηξας πηγὰς καὶ χειμάῤῥους, σὺ ἐξήρανας ποταμοὺς Ἠθάμ. Σή ἐστιν ἡ ἡμέρα, καὶ σή ἐστιν ἡ νύξ· σὺ κατηρτίσω φαῦσιν καὶ Ἥλιον. Σὺ ἐποίησας πάντα τὰ ὅριά τῆς γῆς, θέρος καὶ ἔαρ σὺ ἔπλασας αὐτά. Μνήσθητι ταύτης· ἐχθρὸς ὠνείδισε τὸν Κύριον, καὶ λαὸς ἄφρων παρώξυνε τὸ ὄνομά σου. Μὴ παραδῷς τοῖς θηρίοις ψυχὴν ἐξομολογουμένην σοι, τῶν ψυχῶν τῶν πενήτων σου μὴ ἐπιλάθῃ εἰς τέλος. Ἐπίβλεψον εἰς τὴν διαθήκην σου, ὅτι ἐπληρώθησαν οἱ ἐσκοτισμένοι τῆς γῆς οἴκων ἀνομιῶν. Μὴ ἀποστραφήτω τεταπεινωμένος καὶ κατησχυμένος· πτωχὸς καὶ πένης αἰνέσουσι τὸ ὄνομά σου. Ἀνάστα, ὁ Θεός, δίκασον τὴν δίκην σου, μνήσθητι τοῦ ὀνειδισμοῦ σου τοῦ ὑπὸ ἄφρονος ὅλην τὴν ἡμέραν. Μὴ ἐπιλάθῃ τῆς φωνῆς τῶν οἰκετῶν σου. Ἡ ὑπερηφανία τῶν μισούντων σε ἀνέβη διαπαντός.

Δόξα, καὶ νῦν Ἀλληλούϊα.

ρέων αἰωνίων, ἐταράχθησαν πάντες οἱ ἀσύνετοι τῇ καρδίᾳ. Ἔκοιμήθησαν ὕπνον αὐτῶν, καὶ οὐχ εὗρον οὐδὲν πάντες οἱ ἄνδρες τοῦ πλούτου ταῖς χερσὶν αὐτῶν. Ἀπὸ ἐπιτιμήσεώς σου, ὁ Θεὸς Ἰακώβ, ἐνύσταξαν οἱ ἐπιβεβηκότες τοῖς ἵπποις. Σὺ φοβερὸς εἶ, καὶ τίς ἀντιστήσεταί σοι; ἀπὸ τότε ἡ ὀργή σου· ἐκ τοῦ οὐρανοῦ ἠκούτισας κρίσιν· γῆ ἐφοβήθη καὶ ἡσύχασεν. Ἐν τῷ ἀναστῆναι εἰς κρίσιν τὸν Θεόν, τοῦ σῶσαι πάντας τοὺς πραεῖς τῆς γῆς. Ὅτι ἐνθύμιον ἀνθρώπου ἐξομολογήσεταί σοι, καὶ ἐγκατάλειμμα ἐνθυμίου ἑορτάσει σοι. Εὔξασθε καὶ ἀπόδοτε Κυρίῳ τῷ Θεῷ ἡμῶν, πάντες οἱ κύκλῳ αὐτοῦ οἴσουσι δῶρα. Τῷ φοβερῷ καὶ ἀφαιρουμένῳ πνεύματα ἀρχόντων, φοβερῷ παρὰ τοῖς βασιλεῦσι τῆς γῆς.

ΨΑΛΜΟΣ 76. Τοῦ Ἀσάφ.

Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, φωνῇ μου πρὸς τὸν Θεόν, καὶ προσέσχε μοι. Ἐν ἡμέρᾳ θλίψεώς μου τὸν Θεὸν ἐξεζήτησα, ταῖς χερσί μου νυκτὸς ἐναντίον αὐτοῦ, καὶ οὐκ ἠπατήθην. Ἀπηνήνατο παρακληθῆναι ἡ ψυχή μου· ἐμνήσθην τοῦ Θεοῦ, καὶ εὐφράνθην· ἠδολέσχησα, καὶ ὀλιγοψύχησε τὸ πνεῦμά μου. Προκατελάβοντο φυλακὰς οἱ ὀφθαλμοί μου, ἐταράχθην καὶ οὐκ ἐλάλησα. Διελογισάμην ἡμέρας ἀρχαίας, καὶ ἔτη αἰώνια ἐμνήσθην. Καὶ ἐμελέτησα νυκτὸς μετὰ τῆς καρδίας μου,

ἠδολέσχουν, καὶ ἐσκαλλον τὸ πνεῦμά μου. Μὴ εἰς τοὺς αἰῶνας ἀπώσεται Κύριος, καὶ οὐ προσθήσει τοῦ εὐδοκῆσαι ἔτι; Ἢ εἰς τέλος τὸ ἔλεος αὐτοῦ ἀποκόψει; συνετέλεσε ῥῆμα ἀπὸ γενεᾶς εἰς γενεάν; Μὴ ἐπιλήσεται τοῦ οἰκτειρῆσαι ὁ Θεός; ἢ συνέξει ἐν τῇ ὀργῇ αὐτοῦ τοὺς οἰκτιρμοὺς αὐτοῦ; Καὶ εἶπα, Νῦν ἠρξάμην· αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ Ὑψίστου. Ἐμνήσθην τῶν ἔργων Κυρίου, ὅτι μνησθήσομαι ἀπὸ τῆς ἀρχῆς τῶν θαυμάτων σου. Καὶ μελετήσω ἐν πᾶσι τοῖς ἔργοις σου, καὶ ἐν τοῖς ἐπιτηδεύμασί σου ἀδολεσχήσω. Ὁ Θεός, ἐν τῷ ἁγίῳ ἡ ὁδός σου· τίς Θεὸς μέγας ὡς ὁ Θεὸς ἡμῶν; σὺ εἶ ὁ Θεὸς ὁ ποιῶν θαυμάσια. Ἐγνώρισας ἐν τοῖς λαοῖς τὴν δύναμίν σου, ἐλυτρώσω ἐν τῷ βραχίονί σου τὸν λαόν σου, τοὺς υἱοὺς Ἰακὼβ καὶ Ἰωσήφ. Εἶδόσάν σε ὕδατα, καὶ ἐφοβήθησαν, ἐταράχθησαν ἄβυσσοι. Πλῆθος ἠχοῦς ὑδάτων, φωνὴν ἔδωκαν αἱ νεφέλαι. Καὶ γὰρ τὰ βέλη σου διαπορεύονται· φωνὴ τῆς βροντῆς σου ἐν τῷ τροχῷ. Ἔφαναν αἱ ἀστραπαί σου τῇ οἰκουμένῃ, ἐσαλεύθη, καὶ ἔντρομος ἐγενήθη ἡ γῆ. Ἐν τῇ θαλάσσῃ αἱ ὁδοί σου, καὶ αἱ τρίβοι σου ἐν ὕδασι πολλοῖς, καὶ τὰ ἴχνη σου οὐ γνωσθήσονται. Ὡδήγησας ὡς πρόβατα τὸν λαόν σου, ἐν χειρὶ Μωϋσῆ καὶ Ἀαρών.

Δόξα, καὶ νῦν. Ἀλληλούϊα.

ΚΑΘΙΣΜΑ ΙΑ'.

ΨΑΛΜΟΣ 77. Τοῦ Δαβίδ.

Προσέχετε, λαός μου, τῷ νόμῳ μου, κλίνατε τὸ οὖς ὑμῶν εἰς τὰ ῥήματα τοῦ στόματός μου. Ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου, φθέγξομαι προβλήματα ἀπ' ἀρχῆς. Ὅσα ἠκούσαμεν, καὶ ἔγνωμεν αὐτά, καὶ οἱ πατέρες ἡμῶν διηγήσαντο ἡμῖν. Οὐκ ἐκρύβη ἀπὸ τῶν τέκνων αὐτῶν εἰς γενεὰν ἑτέραν. Ἀπαγγέλλοντες τὰς αἰνέσεις τοῦ Κυρίου, καὶ τὰς δυναστείας αὐτοῦ, καὶ τὰ θαυμάσια αὐτοῦ, ἃ ἐποίησε. Καὶ ἀνέστησε μαρτύριον ἐν Ἰακὼβ, καὶ νόμον ἔθετο ἐν Ἰσραήλ. Ὅσα ἐνετείλατο τοῖς πατράσιν ἡμῶν, τοῦ γνωρίσαι αὐτὰ τοῖς υἱοῖς αὐτῶν, ὅπως ἂν γνῷ γενεὰ ἑτέρα. Υἱοὶ οἱ τεχθησόμενοι, καὶ ἀναστήσονται, καὶ ἀπαγγελοῦσιν αὐτὰ τοῖς υἱοῖς αὐτῶν. Ἵνα θῶνται ἐπὶ τὸν Θεὸν τὴν ἐλπίδα αὐτῶν, καὶ μὴ ἐπιλάθωνται τῶν ἔργων τοῦ Θεοῦ, καὶ τὰς ἐντολὰς αὐτοῦ ἐκζητήσωσιν. Ἵνα μὴ γένωνται ὡς οἱ πατέρες αὐτῶν, γενεὰ σκολιὰ καὶ παραπικραίνουσα. Γενεά, ἥτις οὐ κατεύθυνε τὴν καρδίαν ἑαυτῆς, καὶ οὐκ ἐπιστώθη μετὰ τοῦ Θεοῦ τὸ πνεῦμα αὐτῆς. Υἱοὶ Ἐφραὶμ ἐντείνοντες, καὶ βάλλοντες τόξοις, ἐστράφησαν ἐν ἡμέρᾳ πολέμου. Οὐκ ἐφύλαξαν τὴν διαθήκην τοῦ Θεοῦ, καὶ ἐν τῷ νόμῳ αὐτοῦ οὐκ ἠβουλήθησαν πορεύεσθαι. Καὶ ἐπελάθοντο τῶν εὐεργεσιῶν αὐ-

ἐστρά-

τοῦ λίβα. Καὶ ἔβρεξεν ἐπ' αὐτοὺς, ὡσεὶ χοῦν σάρκας, καὶ ὡσεὶ ἄμμον θαλασσῶν πετεινὰ πτερωτά. Καὶ ἐπέπεσεν ἐν μέσῳ τῆς παρεμβολῆς αὐτῶν, κύκλῳ τῶν σκηνωμάτων αὐτῶν. Καὶ ἔφαγον, καὶ ἐνεπλήσθησαν σφόδρα, καὶ τὴν ἐπιθυμίαν αὐτῶν ἤνεγκεν αὐτοῖς· οὐκ ἐστερήθησαν ἀπὸ τῆς ἐπιθυμίας αὐτῶν. Ἔτι τῆς βρώσεως οὔσης ἐν τῷ στόματι αὐτῶν, καὶ ὀργὴ τοῦ Θεοῦ ἀνέβη ἐπ' αὐτούς. Καὶ ἀπέκτεινεν ἐν τοῖς πλείοσιν αὐτῶν, καὶ τοὺς ἐκλεκτοὺς τοῦ Ἰσραὴλ συνεπόδισεν. Ἐν πᾶσι τούτοις ἥμαρτον ἔτι, καὶ οὐκ ἐπίστευσαν ἐν τοῖς θαυμασίοις αὐτοῦ· καὶ ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι αὐτῶν, καὶ τὰ ἔτη αὐτῶν μετὰ σπουδῆς. Ὅταν ἀπέκτεινεν αὐτούς, τότε ἐξεζήτουν αὐτόν, καὶ ἐπέστρεφον, καὶ ὠρθριζον πρὸς τὸν Θεόν. Καὶ ἐμνήσθησαν, ὅτι ὁ Θεὸς βοηθὸς αὐτῶν ἐστι, καὶ ὁ Θεὸς ὁ Ὕψιστος λυτρωτὴς αὐτῶν ἐστι. Καὶ ἠγάπησαν αὐτὸν ἐν τῷ στόματι αὐτῶν, καὶ τῇ γλώσσῃ αὐτῶν ἐψεύσαντο αὐτῷ. Ἡ δὲ καρδία αὐτῶν οὐκ εὐθεῖα μετ' αὐτοῦ, οὐδὲ ἐπιστώθησαν ἐν τῇ διαθήκῃ αὐτοῦ. Αὐτὸς δέ ἐστιν οἰκτίρμων, καὶ ἱλάσκεται ταῖς ἁμαρτίαις αὐτῶν, καὶ οὐ διαφθερεῖ. Καὶ πληθυνεῖ τοῦ ἀποστρέψαι τὸν θυμὸν αὐτοῦ, καὶ οὐχὶ ἐκκαύσει πᾶσαν τὴν ὀργὴν αὐτοῦ. Καὶ ἐμνήσθη ὅτι σάρξ εἰσι, πνεῦμα πορευόμενον, καὶ οὐκ ἐπιστρέφον. Ποσάκις παρεπίκραναν αὐτὸν ἐν γῇ ἐ-

ρήμῳ

ρήμῳ, παρώργισαν αὐτὸν ἐν γῇ ἀνύδρῳ. Καὶ ἐπέστρεψαν, καὶ ἐπείρασαν τὸν Θεὸν, καὶ τὸν Ἅγιον τοῦ Ἰσραὴλ παρώξυναν. Καὶ οὐκ ἐμνήσθησαν τῆς χειρὸς αὐτοῦ ἡμέρας, ἧς ἐλυτρώσατο αὐτοὺς ἐκ χειρὸς θλίβοντος. Ὡς ἔθετο ἐν Αἰγύπτῳ τὰ σημεῖα αὐτοῦ, καὶ τὰ τέρατα αὐτοῦ ἐν πεδίῳ Τάνεως. Καὶ μετέστρεψεν εἰς αἷμα τοὺς ποταμοὺς αὐτῶν, καὶ τὰ ὀμβρήματα αὐτῶν, ὅπως μὴ πίωσιν. Ἐξαπέστειλεν εἰς αὐτοὺς κυνόμυιαν, καὶ κατέφαγεν αὐτούς· καὶ βάτραχον, καὶ διέφθειρεν αὐτούς. Καὶ ἔδωκε τῇ ἐρυσίβῃ τοὺς καρποὺς αὐτῶν, καὶ τοὺς πόνους αὐτῶν τῇ ἀκρίδι. Ἀπέκτεινεν ἐν χαλάζῃ τὴν ἄμπελον αὐτῶν, καὶ τὰς συκαμίνους αὐτῶν ἐν τῇ πάχνῃ. Καὶ παρέδωκεν εἰς χάλαζαν τὰ κτήνη αὐτῶν, καὶ τὴν ὕπαρξιν αὐτῶν τῷ πυρί. Ἐξαπέστειλεν εἰς αὐτοὺς ὀργὴν θυμοῦ αὐτοῦ, θυμὸν καὶ ὀργὴν καὶ θλῖψιν, ἀποστολὴν δι' ἀγγέλων πονηρῶν. Ὡδοποίησε τρίβον τῇ ὀργῇ αὐτοῦ, καὶ οὐκ ἐφείσατο ἀπὸ θανάτου τῶν ψυχῶν αὐτῶν, καὶ τὰ κτήνη αὐτῶν εἰς θάνατον συνέκλεισε. Καὶ ἐπάταξε πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτῳ, ἀπαρχὴν παντὸς πόνου αὐτῶν, ἐν τοῖς σκηνώμασι Χάμ. Καὶ ἀπῆρεν ὡς πρόβατα τὸν λαὸν αὐτοῦ, καὶ ἀνήγαγεν αὐτοὺς ὡσεὶ ποίμνιον ἐν ἐρήμῳ. Καὶ ὡδήγησεν αὐτοὺς ἐπ' ἐλπίδι, καὶ οὐκ ἐθεμελίασαν, καὶ τοὺς ἐχθροὺς αὐτῶν ἐκάλυψε θάλασσα. Καὶ εἰσήγαγεν αὐτοὺς εἰς ὄρος ἁγιάσματος αὐτοῦ, ὄρος τοῦτο, ὃ ἐκτήσατο ἡ δεξιὰ αὐτοῦ. Καὶ ἐξέβαλεν ἀπὸ προσώπου αὐτῶν ἔθνη, καὶ ἐκληροδότησεν αὐτοὺς ἐν σχοινίῳ κληροδοσίας. Καὶ κατεσκήνωσεν ἐν τοῖς σκηνώμασιν αὐτῶν τὰς φυλὰς τοῦ Ἰσραήλ. Καὶ ἐπείρασαν, καὶ παρεπίκραναν τὸν Θεὸν τὸν ὕψιστον, καὶ τὰ μαρτύρια αὐτοῦ οὐκ ἐφυλάξαντο. Καὶ ἀπέστρεψαν καὶ ἠθέτησαν, καθὼς καὶ οἱ πατέρες αὐτῶν, μετεστράφησαν εἰς τόξον στρεβλόν. Καὶ παρώργισαν αὐτὸν ἐν τοῖς βουνοῖς αὐτῶν, καὶ ἐν τοῖς γλυπτοῖς αὐτῶν παρεζήλωσαν αὐτόν. Ἤκουσεν ὁ Θεὸς, καὶ ὑπερεῖδε, καὶ ἐξουδένωσε σφόδρα τὸν Ἰσραήλ. Καὶ ἀπώσατο τὴν σκηνὴν Σιλὼμ, σκήνωμα, ὃ κατεσκήνωσεν ἐν ἀνθρώποις. Καὶ παρέδωκεν εἰς αἰχμαλωσίαν τὴν ἰσχὺν αὐτῶν, καὶ τὴν καλλονὴν αὐτῶν εἰς χεῖρας ἐχθρῶν. Καὶ συνέκλεισεν ἐν ῥομφαίᾳ τὸν λαὸν αὐτοῦ, καὶ τὴν κληρονομίαν αὐτοῦ ὑπερεῖδε. Τοὺς νεανίσκους αὐτῶν κατέφαγε πῦρ, καὶ αἱ παρθένοι αὐτῶν οὐκ ἐπενθήθησαν. Οἱ ἱερεῖς αὐτῶν ἐν ῥομφαίᾳ ἔπεσον, καὶ αἱ χῆραι αὐτῶν οὐ κλαυθήσονται. Καὶ ἐξηγέρθη ὡς ὁ ὑπνῶν Κύριος, ὡς δυνατὸς καὶ κεκραιπαληκὼς ἐξ οἴνου. Καὶ ἐπάταξε τοὺς ἐχθροὺς αὐτοῦ εἰς τὰ ὀπίσω, ὀνειδος αἰώνιον ἔδωκεν αὐτοῖς. Καὶ ἀπώσατο τὸ σκήνωμα Ἰωσὴφ, καὶ τὴν φυλὴν Ἐφραὶμ οὐκ ἐξελέξατο. Καὶ ἐξελέξατο τὴν φυλὴν Ἰούδα, τὸ

ὄρος

Μὴ μνησθῇς ἡμῶν ἀνομιῶν ἀρχαίων· ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου Κύριε, ὅτι ἐπτωχεύσαμεν σφόδρα. Βοηθησον ἡμῖν, ὁ Θεὸς ὁ σωτὴρ ἡμῶν, ἕνεκεν τῆς δόξης τοῦ ὀνόματός σου. Κύριε ῥῦσαι ἡμᾶς, καὶ ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου. Μήποτε εἴπωσι τὰ ἔθνη, Ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν; Καὶ γνωσθήτω ἐν τοῖς ἔθνεσιν ἐνώπιον τῶν ὀφθαλμῶν ἡμῶν, ἡ ἐκδίκησις τοῦ αἵματος τῶν δούλων σου τοῦ ἐκκεχυμένου· εἰσελθέτω ἐνώπιόν σου ὁ στεναγμὸς τῶν πεπεδημένων. Κατὰ τὴν μεγαλωσύνην τοῦ βραχίονός σου, περιποίησαι τοὺς υἱοὺς τῶν τεθανατωμένων. Ἀπόδος τοῖς γείτοσιν ἡμῶν ἑπταπλασίονα εἰς τὸν κόλπον αὐτῶν τὸν ὀνειδισμὸν αὐτῶν, ὃν ὠνείδισάν σε Κύριε. Ἡμεῖς δὲ λαός σου καὶ πρόβατα νομῆς σου· ἐξομολογησόμεθά σοι, ὁ Θεός, εἰς τὸν αἰῶνα, εἰς γενεὰν καὶ γενεὰν ἐξαγγελοῦμεν τὴν αἴνεσίν σου.

ΨΑΛΜΟΣ 79. Τοῦ Ἀσάφ.

Ὁ ποιμαίνων τὸν Ἰσραὴλ πρόσχες, ὁ ὁδηγῶν ὡσεὶ πρόβατον τὸν Ἰωσήφ. Ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ ἐμφάνηθι ἐναντίον Ἐφραὶμ, καὶ Βενιαμὶν, καὶ Μανασσῆ. Ἐξέγειρον τὴν δυναστείαν σου, καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς. Ὁ Θεὸς, ἐπίστρεψον ἡμᾶς, καὶ ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα. Κύριε ὁ Θεὸς τῶν

δυνάμεων, ἕως πότε ὀργίζῃ ἐπὶ τὴν προσευχὴν τῶν δούλων σου; Ψωμιεῖς ἡμᾶς ἄρτον δακρύων, καὶ ποτιεῖς ἡμᾶς ἐν δάκρυσιν, ἐν μέτρῳ; Ἔθου ἡμᾶς εἰς ἀντιλογίαν τοῖς γείτοσιν ἡμῶν, καὶ οἱ ἐχθροὶ ἡμῶν ἐμυκτήρισαν ἡμᾶς. Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ἐπίστρεψον ἡμᾶς, καὶ ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα. Ἄμπελον ἐξ Αἰγύπτου μετῆρας, ἐξέβαλες ἔθνη, καὶ κατεφύτευσας αὐτήν. Ὡδοποίησας ἔμπροσθεν αὐτῆς, καὶ κατεφύτευσας τὰς ῥίζας αὐτῆς, καὶ ἐπλήρωσε τὴν γῆν. Ἐκάλυψεν ὄρη ἡ σκιὰ αὐτῆς, καὶ αἱ ἀναδενδράδες αὐτῆς τὰς κέδρους τοῦ Θεοῦ. Ἐξέτεινε τὰ κλήματα αὐτῆς ἕως θαλάσσης, καὶ ἕως ποταμῶν τὰς παραφυάδας αὐτῆς. Ἵνα τί καθεῖλες τὸν φραγμὸν αὐτῆς, καὶ τρυγῶσιν αὐτὴν πάντες οἱ παραπορευόμενοι τὴν ὁδόν; Ἐλυμήνατο αὐτὴν ὗς ἐκ δρυμοῦ, καὶ μονιὸς ἄγριος κατενεμήσατο αὐτήν. Ὁ Θεός, τῶν δυνάμεων· ἐπίστρεψον δή, καὶ ἐπίβλεψον ἐξ οὐρανοῦ, καὶ ἴδε, καὶ ἐπίσκεψαι τὴν ἄμπελον ταύτην, καὶ κατάρτισαι αὐτήν, ἣν ἐφύτευσεν ἡ δεξιά σου, καὶ ἐπὶ υἱὸν ἀνθρώπου, ὃν ἐκραταίωσας σεαυτῷ. Ἐμπεπυρισμένη πυρὶ καὶ ἀνεσκαμμένη, ἀπὸ ἐπιτιμήσεως τοῦ προσώπου σου ἀπολοῦνται. Γενηθήτω ἡ χείρ σου ἐπ' ἄνδρα δεξιᾶς σου, ἐπὶ υἱὸν ἀνθρώπου, ὃν ἐκραταίωσας σεαυτῷ. Καὶ οὐ μὴ ἀποστῶμεν ἀπὸ σοῦ, ζωώσεις ἡμᾶς, καὶ τὸ ὄνομά σου ἐπικαλεσόμεθα. Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ἐπίστρεψον ἡμᾶς, καὶ ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα.

ΨΑΛΜΟΣ 80. τοῦ Ἀσάφ.

Ἀγαλλιᾶσθε τῷ Θεῷ τῷ βοηθῷ ἡμῶν, ἀλαλάξατε τῷ Θεῷ Ἰακώβ. Λάβετε ψαλμὸν, καὶ δότε τύμπανον, ψαλτήριον τερπνὸν μετὰ κιθάρας. Σαλπίσατε ἐν νεομηνίᾳ σάλπιγγι, ἐν εὐσήμῳ ἡμέρᾳ ἑορτῆς ἡμῶν. Ὅτι πρόσταγμα τῷ Ἰσραὴλ ἐστι, καὶ κρῖμα τῷ Θεῷ Ἰακώβ, μαρτύριον ἐν τῷ Ἰωσὴφ ἔθετο αὐτόν, ἐν τῷ ἐξελθεῖν αὐτὸν ἐκ γῆς Αἰγύπτου. γλῶσσαν ἣν οὐκ ἔγνω ἤκουσεν. Ἀπέστησεν ἀπὸ ἄρσεων τὸν νῶτον αὐτοῦ, αἱ χεῖρες αὐτοῦ ἐν τῷ κοφίνῳ ἐδούλευσαν. Ἐν θλίψει ἐπεκαλέσω με, καὶ ἐῤῥυσάμην σε· ἐπήκουσά σου ἐν ἀποκρύφῳ καταιγίδος· ἐδοκίμασά σε ἐπὶ ὕδατος ἀντιλογίας. Ἄκουσον, λαός μου, καὶ διαμαρτύρομαί σοι, Ἰσραὴλ, ἐὰν ἀκούσῃς μου, οὐκ ἔσται ἐν σοὶ Θεὸς πρόσφατος, οὐδὲ προσκυνήσεις Θεῷ ἀλλοτρίῳ. Ἐγὼ γάρ εἰμι Κύριος ὁ Θεός σου, ὁ ἀναγαγών σε ἐκ γῆς Αἰγύπτου. Πλάτυνον τὸ στόμα σου, καὶ πληρώσω αὐτό. Καὶ οὐκ ἤκουσεν ὁ λαός μου τῆς φωνῆς μου, καὶ Ἰσραὴλ οὐ προσέσχε μοι. Καὶ ἐξαπέστειλα αὐτοὺς κατὰ τὰ ἐπιτηδεύματα τῶν καρδιῶν αὐτῶν· πορεύσονται ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν. Εἰ ὁ λαός μου ἤκου-

σε

σέ μου, Ἰσραήλ, ταῖς ὁδοῖς μου εἰ ἐπορεύθη, ἐν τῷ μηδενὶ ἂν τοὺς ἐχθροὺς αὐτῶν ἐταπείνωσα, καὶ ἐπὶ τοὺς θλίβοντας αὐτοὺς ἐπέβαλον ἂν τὴν χεῖρά μου. Οἱ ἐχθροὶ Κυρίου ἐψεύσαντο αὐτῷ, καὶ ἔσται ὁ καιρὸς αὐτῶν εἰς τὸν αἰῶνα. Καὶ ἐψώμισεν αὐτοὺς ἐκ στέατος πυροῦ, καὶ ἐκ πέτρας μέλι ἐχόρτασεν αὐτούς.

Δόξα, καὶ νῦν. Ἀλληλούϊα.

ΨΑΛΜΟΣ 81. Τοῦ Ἀσάφ.

Ὁ Θεὸς ἔστη ἐν συναγωγῇ Θεῶν, ἐν μέσῳ δὲ θεοὺς διακρινεῖ. Ἕως πότε κρίνετε ἀδικίαν, καὶ πρόσωπα ἁμαρτωλῶν λαμβάνετε; Κρίνατε ὀρφανῷ καὶ πτωχῷ, ταπεινὸν καὶ πένητα δικαιώσατε. Ἐξέλεσθε πένητα καὶ πτωχόν, ἐκ χειρὸς ἁμαρτωλοῦ ῥύσασθε αὐτόν. Οὐκ ἔγνωσαν, οὐδὲ συνῆκαν, ἐν σκότει διαπορεύονται· σαλευθήτωσαν πάντα τὰ θεμέλια τῆς γῆς. Ἐγὼ εἶπα, Θεοί ἐστε, καὶ υἱοὶ Ὑψίστου πάντες. Ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε, καὶ ὡς εἷς τῶν ἀρχόντων πίπτετε. Ἀνάστα, ὁ Θεός, κρίνων τὴν γῆν, ὅτι σὺ κατακληρονομήσεις ἐν πᾶσι τοῖς ἔθνεσιν.

ΨΑΛΜΟΣ 82. Τοῦ Ἀσάφ.

Ὁ Θεός, τὶς ὁμοιωθήσεταί σοι; μὴ σιγήσῃς, μηδὲ καταπραύνῃς ὁ Θεός. Ὅτι ἰδοὺ οἱ ἐχθροί σου ἤχησαν, καὶ οἱ μισοῦντές σε ἦραν κεφαλήν. Ἐπὶ τὸν λαόν σου κατεπανουργεύσαντο γνώμην, καὶ ἐβουλεύσαντο κατὰ τῶν ἁγίων σου. Εἶπον· Δεῦτε καὶ ἐξολοθρεύσωμεν αὐτοὺς ἐξ ἔθνους, καὶ οὐ μὴ μνησθῇ τὸ ὄνομα Ἰσραὴλ ἔτι. Ὅτι ἐβουλεύσαντο ἐν ὁμονοίᾳ ἐπὶ τὸ αὐτό, κατὰ σοῦ διαθήκην διέθεντο· τὰ σκηνώματα τῶν Ἰδουμαίων, καὶ οἱ Ἰσμαηλῖται, Μωάβ, καὶ οἱ Ἀγαρηνοί, Γεβάλ, καὶ Ἀμμών, καὶ Ἀμαλήκ, ἀλλόφυλοι μετὰ τῶν κατοικούντων Τύρον. Καὶ γὰρ καὶ Ἀσσοὺρ συμπαρεγένετο μετ' αὐτῶν, ἐγενήθησαν εἰς ἀντίληψιν τοῖς υἱοῖς Λώτ. Ποίησον αὐτοῖς ὡς τῇ Μαδιάμ, καὶ τῷ Σισάρᾳ, ὡς τῷ Ἰαβεὶμ ἐν τῷ χειμάῤῥῳ Κισσών. Ἐξωλοθρεύθησαν ἐν Ἐνδώρ, ἐγενήθησαν ὡσεὶ κόπρος τῇ γῇ. Θοῦ τοὺς ἄρχοντας αὐτῶν ὡς τὸν Ὠρήβ, καὶ Ζήβ, καὶ Ζαβεέ, καὶ Σαλμανᾶν. Πάντας τοὺς ἄρχοντας αὐτῶν, οἵτινες εἶπον, Κληρονομήσωμεν ἑαυτοῖς τὸ ἁγιαστήριον τοῦ Θεοῦ. Ὁ Θεός μου, θοῦ αὐτοὺς ὡς τροχόν, ὡς καλάμην κατὰ πρόσωπον ἀνέμου. Ὡσεὶ πῦρ, ὃ διαφλέξει ὄρυμόν, ὡσεὶ φλὸξ, ἣ κατακαύσει ὄρη. Οὕτω καταδιώξεις αὐτοὺς ἐν τῇ καταιγίδι σου, καὶ ἐν τῇ ὀργῇ σου συνταράξεις αὐτούς. Πλήρωσον τὰ πρόσωπα αὐτῶν ἀτιμίας, καὶ ζητήσουσι τὸ ὄνομά σου, Κύριε. Αἰσχυνθήτωσαν καὶ ταραχθήτωσαν εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, καὶ ἐντραπήτωσαν καὶ ἀπωλέσθωσαν. Καὶ γνώτωσαν, ὅτι ὄνομά σοι

Κύ-

Κύριος, σὺ μόνος Ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν.

ΨΑΛΜΟΣ 83. τοῖς υἱοῖς Κορέ.

Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου, Κύριε τῶν δυνάμεων, ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ Κυρίου. Ἡ καρδία μου, καὶ ἡ σάρξ μου ἠγαλλιάσαντο ἐπὶ Θεὸν ζῶντα. Καὶ γὰρ στρουθίον εὗρεν ἑαυτῷ οἰκίαν, καὶ τρυγὼν νοσσιὰν ἑαυτῇ, οὗ θήσει τὰ νοσσία ἑαυτῆς. Τὰ θυσιαστήριά σου Κύριε τῶν δυνάμεων, ὁ Βασιλεύς μου καὶ ὁ Θεός μου. Μακάριοι οἱ κατοικοῦντες ἐν τῷ οἴκῳ σου, εἰς τοὺς αἰῶνας τῶν αἰώνων αἰνέσουσί σε. Μακάριος ἀνήρ, ὧ ἐστιν ἀντίληψις αὐτῷ παρὰ σοί, ἀναβάσεις ἐν τῇ καρδίᾳ αὐτοῦ διέθετο, εἰς τὴν κοιλάδα τοῦ κλαυθμῶνος, εἰς τὸν τόπον, ὃν ἔθετο. Καὶ γὰρ εὐλογίας δώσει ὁ νομοθετῶν· πορεύσονται ἐκ δυνάμεως εἰς δύναμιν, ὀφθήσεται ὁ Θεὸς τῶν Θεῶν ἐν Σιών. Κύριε, ὁ Θεὸς τῶν δυνάμεων, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι ὁ Θεὸς Ἰακώβ. Ὑπερασπιστὰ ἡμῶν ἴδε ὁ Θεός, καὶ ἐπίβλεψον εἰς τὸ πρόσωπον τοῦ χριστοῦ σου. Ὅτι κρεῖσσων ἡμέρα μία ἐν ταῖς αὐλαῖς σου ὑπὲρ χιλιάδας. Ἐξελεξάμην παραῤῥιπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ Θεοῦ μου μᾶλλον, ἢ οἰκεῖν με ἐν σκηνώμασιν ἁμαρτωλῶν. Ὅτι ἔλεος καὶ ἀλήθειαν ἀγαπᾷ Κύριος, ὁ Θεὸς χάριν καὶ δόξαν δώσει. Κύριος οὐ στερήσει τὰ ἀγαθὰ τοῖς πορευομένοις ἐν ἀκακίᾳ. Κύριε ὁ Θεὸς τῶν δυνάμεων μακάριος ἄνθρωπος ὁ ἐλπίζων ἐπὶ σέ.

ΨΑΛΜΟΣ 84. Τοῖς υἱοῖς Κορέ.

Εὐδόκησας, Κύριε, τὴν γῆν σου, ἀπέστρεψας τὴν αἰχμαλωσίαν Ἰακώβ. Ἄφῆκας τὰς ἀνομίας τῷ λαῷ σου, ἐκάλυψας πάσας τὰς ἁμαρτίας αὐτῶν. Κατέπαυσας πᾶσαν τὴν ὀργήν σου, ἀπέστρεψας ἀπὸ ὀργῆς θυμοῦ σου. Ἐπίστρεψον ἡμᾶς ὁ Θεός, τῶν σωτηρίων ἡμῶν, καὶ ἀπόστρεψον τὸν θυμόν σου ἀφ' ἡμῶν. Μὴ εἰς τοὺς αἰῶνας ὀργισθῇς ἡμῖν; ἢ διατενεῖς τὴν ὀργήν σου ἀπὸ γενεᾶς εἰς γενεάν; Ὁ Θεός, σὺ ἐπιστρέψας ζωώσεις ἡμᾶς, καὶ ὁ λαός σου εὐφρανθήσεται ἐπὶ σοί. Δεῖξον ἡμῖν, Κύριε, τὸ ἔλεός σου, καὶ τὸ σωτήριόν σου δῴης ἡμῖν. Ἀκούσομαι τί λαλήσει ἐν ἐμοὶ Κύριος ὁ Θεός, ὅτι λαλήσει εἰρήνην ἐπὶ τὸν λαὸν αὐτοῦ, καὶ ἐπὶ τοὺς ὁσίους αὐτοῦ, καὶ ἐπὶ τοὺς ἐπιστρέφοντας καρδίαν ἐπ' αὐτόν. Πλὴν ἐγγὺς τῶν φοβουμένων αὐτὸν τὸ σωτήριον αὐτοῦ, τοῦ κατασκηνῶσαι δόξαν ἐν τῇ γῇ ἡμῶν. Ἔλεος, καὶ ἀλήθεια συνήντησαν· δικαιοσύνη, καὶ εἰρήνη κατεφίλησαν. Ἀλήθεια ἐκ τῆς γῆς ἀνέτειλε, καὶ δικαιοσύνη ἐκ τοῦ οὐρανοῦ διέκυψε. Καὶ γὰρ ὁ Κύριος δώσει χρηστότητα, καὶ ἡ γῆ ἡμῶν δώσει τὸν καρπὸν αὐτῆς. Δικαιοσύνη ἐνώπιον αὐτοῦ προπορεύσεται, καὶ

θήσει

θήσει εἰς ὁδὸν τὰ διαβήματα αὐτοῦ.

Δόξα, καὶ νῦν. Ἀλληλούϊα

ΚΑΘΙΣΜΑ ΙΒ'.

ΨΑΛΜΟΣ 85. Τοῦ Δαβίδ.

Κλῖνον Κύριε τὸ οὖς σου, καὶ ἐπάκουσόν μου, ὅτι πτωχὸς καὶ πένης εἰμὶ ἐγώ. Φύλαξον τὴν ψυχήν μου ὅτι ὅσιός εἰμι· σῶσον τὸν δοῦλόν σου, ὁ Θεός μου, τὸν ἐλπίζοντα ἐπὶ σέ. Ἐλέησόν με, Κύριε, ὅτι πρός σὲ κεκράξομαι ὅλην τὴν ἡμέραν· εὔφρανον τὴν ψυχὴν τοῦ δούλου σου, ὅτι πρός σέ ἦρα τὴν ψυχήν μου. Ὅτι σὺ Κύριε χρηστός, καὶ ἐπιεικής, καὶ πολυέλεος πᾶσι τοῖς ἐπικαλουμένοις σε. Ἐνώτισαι Κύριε τὴν προσευχήν μου, καὶ πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου. Ἐν ἡμέρᾳ θλίψεώς μου ἐκέκραξα πρός σε, ὅτι ἐπήκουσάς μου. Οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς Κύριε, καὶ οὐκ ἔστι κατὰ τὰ ἔργα σου. Πάντα τὰ ἔθνη, ὅσα ἐποίησας, ἥξουσι, καὶ προσκυνήσουσιν ἐνώπιόν σου Κύριε, καὶ δοξάσουσι τὸ ὄνομά σου. Ὅτι μέγας εἶ σὺ, καὶ ποιῶν θαυμάσια, σὺ εἶ Θεὸς μόνος. Ὁδήγησόν με Κύριε ἐν τῇ ὁδῷ σου, καὶ πορεύσομαι ἐν τῇ ἀληθείᾳ σου εὐφρανθήτω ἡ καρδία μου, τοῦ φοβεῖσθαι τὸ ὄνομά σου. Ἐξομολογήσομαί σοι, Κύριε ὁ Θεός μου, ἐν ὅλῃ καρδίᾳ μου, καὶ δοξάσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα Ὅτι τὸ ἔλεος σου μέγα ἐπ' ἐμὲ, καὶ ἐρρύσω τὴν ψυχήν μου ἐξ Ἅδου κατωτάτου. Ὁ Θεός, παράνομοι ἐπανέστησαν ἐπ' ἐμὲ, καὶ συναγωγὴ κραταιῶν ἐζήτησαν τὴν ψυχήν μου, καὶ οὐ προέθεντό σε ἐνώπιον αὐτῶν. Καὶ σὺ, Κύριε ὁ Θεός μου, οἰκτίρμων καὶ ἐλεήμων, μακρόθυμος καὶ πολυέλεος καὶ ἀληθινός. Ἐπίβλεψον ἐπ' ἐμὲ, καὶ ἐλέησόν με· δὸς τὸ κράτος σου τῷ παιδί σου, καὶ σῶσον τὸν υἱὸν τῆς παιδίσκης σου. Ποίησον μετ' ἐμοῦ σημεῖον εἰς ἀγαθόν, καὶ ἰδέτωσαν οἱ μισοῦντές μς, καὶ αἰσχυνθήτωσαν. ὅτι σὺ Κύριε ἐβοήθησάς μοι, καὶ παρεκάλεσάς με.

ΨΑΛΜΟΣ 86. Τοῖς υἱοῖς Κορέ.

Οἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις. Ἀγαπᾷ Κύριος τὰς πύλας Σιὼν, ὑπὲρ πάντα τὰ σκηνώματα Ἰακωβ. Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις τοῦ Θεοῦ. Μνησθήσομαι Ῥαὰβ, καὶ Βαβυλῶνος τοῖς γινώσκουσί με. Καὶ ἰδοὺ ἀλλόφυλοι, καὶ Τύρος, καὶ λαὸς τῶν Αἰθιόπων· οὗτοι ἐγεννήθησαν ἐκεῖ· Μήτηρ Σιὼν, ἐρεῖ ἄνθρωπος, καὶ ἄνθρωπος ἐγεννήθη ἐν αὐτῇ καὶ αὐτὸς ἐθεμελίωσεν αὐτὴν ὁ Ὕψιστος. Κύριος διηγήσεται ἐν γραφῇ λαῶν, καὶ ἀρχόντων τούτων τῶν γεγενημένων ἐν αὐτῇ. Ὡς εὐφραινομένων πάντων ἡ κατοικία ἐν σοί.

ΨΑΛΜΟΣ 87. τοῖς υἱοῖς Κορέ.

Κύριε ὁ Θεὸς τῆς σωτηρίας

Ψαλ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

μου, ἡμέρας ἐκέκραξα, καὶ ἐν νυκτὶ ἐναντίον σου. Εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου· κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου. Ὅτι ἐπλήσθη κακῶν ἡ ψυχή μου, καὶ ἡ ζωή μου τῷ ᾅδῃ ἤγγισε. Προσελογίσθην μετὰ τῶν καταβαινόντων εἰς λάκκον· ἐγενήθην ὡσεὶ ἄνθρωπος ἀβοήθητος, ἐν νεκροῖς ἐλεύθερος. Ὡσεὶ τραυματίαι καθεύδοντες ἐν τάφῳ, ὧν οὐκ ἐμνήσθης ἔτι, καὶ αὐτοὶ ἐκ τῆς χειρός σου ἀπώσθησαν. Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ, ἐν σκοτεινοῖς, καὶ ἐν σκιᾷ θανάτου. Ἐπ' ἐμὲ ἐπεστηρίχθη ὁ θυμός σου, καὶ πάντας τοὺς μετεωρισμούς σου ἐπήγαγες ἐπ' ἐμέ. Ἐμάκρυνας τοὺς γνώστους μου ἀπ' ἐμοῦ· ἔθεντό με βδέλυγμα ἑαυτοῖς· παρεδόθην, καὶ οὐκ ἐξεπορευόμην. Οἱ ὀφθαλμοί μου ἠσθένησαν ἀπὸ πτωχείας· ἐκέκραξα πρός σε Κύριε ὅλην τὴν ἡμέραν, διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου. Μὴ τοῖς νεκροῖς ποιήσεις θαυμάσια; ἢ ἰατροὶ ἀναστήσουσι, καὶ ἐξομολογήσονταί σοι; Μὴ διηγήσεταί τις ἐν τῷ τάφῳ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου ἐν τῇ ἀπωλείᾳ; Μὴ γνωσθήσεται ἐν τῷ σκότει τὰ θαυμάσιά σου, καὶ ἡ δικαιοσύνη σου ἐν γῇ ἐπιλελησμένῃ; Κἀγὼ πρός σὲ Κύριε ἐκέκραξα, καὶ τὸ πρωὶ ἡ προσευχή μου προφθάσει σε. Ἵνα τί Κύριε ἀπωθῇ τὴν ψυχήν μου, ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ; Πτωχός εἰμι ἐγὼ, καὶ ἐν κόποις ἐκ νεό-

ἔλεός μου μετ' αὐτοῦ, καὶ ἐν τῷ ὀνόματί μου ὑψωθήσεται τὸ κέρας αὐτοῦ. Καὶ θήσομαι ἐν θαλάσσῃ χεῖρα αὐτοῦ, καὶ ἐν ποταμοῖς δεξιὰν αὐτοῦ. Αὐτὸς ἐπικαλέσεταί με, Πατήρ μου εἶ σὺ, Θεός μου, καὶ ἀντιλήπτωρ τῆς σωτηρίας μου. Κἀγὼ πρωτότοκον θήσομαι αὐτὸν, ὑψηλὸν παρὰ τοῖς βασιλεῦσι τῆς γῆς. Εἰς τὸν αἰῶνα φυλάξω αὐτῷ τὸ ἔλεός μου, καὶ ἡ διαθήκη μου πιστὴ αὐτῷ. Καὶ θήσομαι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος τὸ σπέρμα αὐτοῦ, καὶ τὸν θρόνον αὐτοῦ, ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ. Ἐὰν ἐγκαταλίπωσιν οἱ υἱοὶ αὐτοῦ τὸν νόμον μου, καὶ τοῖς κρίμασί μου μὴ πορευθῶσιν· ἐὰν τὰ δικαιώματά μου βεβηλώσωσι, καὶ τὰς ἐντολάς μου μὴ φυλάξωσιν· ἐπισκέψομαι ἐν ῥάβδῳ τὰς ἀνομίας αὐτῶν, καὶ ἐν μάστιξι τὰς ἀδικίας αὐτῶν. Τὸ δὲ ἔλεός μου οὐ μὴ διασκεδάσω ἀπ' αὐτῶν, οὐδ' οὐ μὴ ἀδικήσω ἐν τῇ ἀληθείᾳ μου. Οὐδ' οὐ μὴ βεβηλώσω τὴν διαθήκην μου, καὶ τὰ ἐκπορευόμενα διὰ τῶν χειλέων μου οὐ μὴ ἀθετήσω. Ἅπαξ ὤμοσα ἐν τῷ ἁγίῳ μου, εἰ τῷ Δαβὶδ ψεύσομαι· τὸ σπέρμα αὐτοῦ εἰς τὸν αἰῶνα μενεῖ. Καὶ ὁ θρόνος αὐτοῦ, ὡς ὁ Ἥλιος ἐναντίον μου, καὶ ὡς ἡ Σελήνη κατηρτισμένη εἰς τὸν αἰῶνα, καὶ ὁ μάρτυς ἐν οὐρανῷ πιστός. Σὺ δὲ ἀπώσω, καὶ ἐξουδένωσας, ἀνεβάλου τὸν χριστόν σου. Κατέστρεψας τὴν διαθήκην τοῦ δούλου σου, ἐβεβήλωσας εἰς

τὴν

τὴν γῆν τὸ ἁγίασμα αὐτοῦ. Καθεῖλες πάντας τοὺς φραγμοὺς αὐτοῦ, ἔθου τὰ ὀχυρώματα αὐτοῦ δειλίαν. Διήρπαζον αὐτὸν πάντες οἱ διοδεύοντες ὁδὸν, ἐγενήθη ὄνειδος τοῖς γείτοσιν αὐτοῦ. Ὕψωσας τὴν δεξιὰν τῶν θλιβόντων αὐτόν· εὔφρανας πάντας τοὺς ἐχθροὺς αὐτοῦ. Ἀπέστρεψας τὴν βοήθειαν τῆς ῥομφαίας αὐτοῦ, καὶ οὐκ ἀντελάβου αὐτοῦ ἐν τῷ πολέμῳ. Κατέλυσας ἀπὸ καθαρισμοῦ αὐτοῦ, τὸν θρόνον αὐτοῦ εἰς τὴν γῆν κατέῤῥαξας. Ἐσμίκρυνας τὰς ἡμέρας τοῦ χρόνου αὐτοῦ, κατέχεας αὐτοῦ αἰσχύνην. Ἕως πότε Κύριε ἀποστρέφῃ εἰς τέλος; ἐκκαυθήσεται ὡς πῦρ ἡ ὀργή σου; Μνήσθητι, τίς μου ἡ ὑπόστασις· μὴ γὰρ ματαίως ἔκτισας πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων; Τίς ἐστιν ἄνθρωπος, ὃς ζήσεται, καὶ οὐκ ὄψεται θάνατον; ῥύσεται τὴν ψυχὴν αὐτοῦ ἐκ χειρὸς Ἅδου. Ποῦ εἰσι τὰ ἐλέη σου τὰ ἀρχαῖα, Κύριε, ἃ ὤμοσας τῷ Δαβὶδ ἐν τῇ ἀληθείᾳ σου; Μνήσθητι Κύριε τοῦ ὀνειδισμοῦ τῶν δούλων σου, οὗ ὑπέσχον ἐν τῷ κόλπῳ μου πολλῶν ἐθνῶν. Οὗ ὠνείδισαν οἱ ἐχθροί σου, Κύριε, οὗ ὠνείδισαν τὸ ἀνταλλαγμα τοῦ χριστοῦ σου. Εὐλογητὸς Κύριος εἰς τὸν αἰῶνα. Γένοιτο! γένοιτο.

Δόξα καὶ νῦν Ἀλληλουΐα.

ΨΑΛΜΟΣ 89. Τοῦ Μωϋσῆ.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Πρὸ τοῦ ὄρη γενηθῆναι, καὶ πλασθῆναι τὴν γῆν, καὶ τὴν οἰκουμένην, καὶ ἀπὸ τοῦ αἰῶνος, καὶ ἕως τοῦ αἰῶνος σὺ εἶ. Μὴ ἀποστρέψῃς ἄνθρωπον εἰς ταπείνωσιν, καὶ εἶπας· Ἐπιστρέψατε υἱοὶ τῶν ἀνθρώπων. Ὅτι χίλια ἔτη ἐν ὀφθαλμοῖς σου, Κύριε, ὡς ἡμέρα ἡ ἐχθὲς, ἥτις διῆλθε, καὶ φυλακὴ ἐν νυκτί. Τὰ ἐξουδενώματα αὐτῶν ἔτι ἔσονται, τὸ πρωΐ ὡσεὶ χλόη παρέλθοι. Τὸ πρωΐ ἀνθήσαι, καὶ παρέλθοι, τὸ ἑσπέρας ἀποπέσοι, σκληρυνθείη καὶ ξηρανθείη. Ὅτι ἐξελίπομεν ἐν τῇ ὀργῇ σου, καὶ ἐν τῷ θυμῷ σου ἐταράχθημεν. Ἔθου τὰς ἀνομίας ἡμῶν ἐναντίον σου. Ὁ αἰὼν ἡμῶν εἰς φωτισμὸν τοῦ προσώπου σου. Ὅτι πᾶσαι αἱ ἡμέραι ἡμῶν ἐξέλιπον, καὶ ἐν τῇ ὀργῇ σου ἐξελίπομεν. Τὰ ἔτη ἡμῶν ὡσεὶ ἀράχνη ἐμελέτων· αἱ ἡμέραι τῶν ἐτῶν ἡμῶν ἐν αὐτοῖς ἑβδομήκοντα ἔτη. Ἐὰν δὲ ἐν δυναστείαις, ὀγδοήκοντα ἔτη, καὶ τὸ πλεῖον αὐτῶν κόπος καὶ πόνος. Ὅτι ἐπῆλθε πραότης ἐφ' ἡμᾶς, καὶ παιδευθησόμεθα. Τίς γινώσκει τὸ κράτος τῆς ὀργῆς σου, καὶ ἀπὸ τοῦ φόβου σου τὸν θυμόν σου ἐξαριθμήσασθαι; Τὴν δεξιάν σου οὕτω γνώρισόν μοι, καὶ τοὺς πεπαιδευμένους τῇ καρδίᾳ ἐν σοφίᾳ. Ἐπίστρεψον, Κύριε, ἕως πότε; καὶ παρακλήθητι ἐπὶ τοῖς δούλοις σου. Ἐνεπλήσθημεν τὸ πρωΐ τοῦ ἐλέους σου, Κύριε, καὶ ἠγαλλιασάμεθα, καὶ εὐφράνθημεν ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν. Εὐφράνθείημεν, ἀνθ' ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς, ἐτῶν

ἐτῶν ὧν εἰδομεν κακά. Καὶ ἴδε ἐπὶ τοὺς δούλους σου, καὶ ἐπὶ τὰ ἔργα σου, καὶ ὁδήγησον τοὺς υἱούς αὐτῶν. Καὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ' ἡμᾶς, καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ' ἡμᾶς, καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον.

ΨΑΛΜΟΣ 90. Τοῦ Δαβίδ.

Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ ὑψίστου, ἐν σκέπῃ τοῦ Θεοῦ τοῦ οὐρανοῦ αὐλισθήσεται. Ἐρεῖ τῷ Κυρίῳ, Ἀντιλήπτωρ μου εἶ, καὶ καταφυγή μου, ὁ Θεός μου, καὶ ἐλπιῶ ἐπ' αὐτόν. Ὅτι αὐτὸς ῥύσεταί σε ἐκ παγίδος θηρευτῶν, καὶ ἀπὸ λόγου ταραχώδους. Ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοι, καὶ ὑπὸ τὰς πτέρυγας αὐτοῦ ἐλπιεῖς. Ὅπλῳ κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ· οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ, ἀπὸ βέλους πετομένου ἡμέρας· ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου· ἀπὸ συμπτώματος, καὶ δαιμονίου μεσημβρινοῦ. Πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιάς, καὶ μυριὰς ἐκ δεξιῶν σου, πρὸς σὲ δὲ οὐκ ἐγγυεῖ. Πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοήσεις, καὶ ἀνταπόδοσιν ἁμαρτωλῶν ὄψει. Ὅτι σὺ Κύριε, ἡ ἐλπίς μου· τὸν ὕψιστον ἔθου καταφυγήν σου. Οὐ προσελεύσεται πρός σε κακά, καὶ μάστιξ οὐκ ἐγγιεῖ ἐν τῷ σκηνώματί σου. Ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου. Ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου. Ἐπ' ἀσπίδα, καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσεις λέοντα καὶ δράκοντα. Ὅτι ἐπ' ἐμὲ ἠλπισε, καὶ ῥύσομαι αὐτόν, σκεπάσω αὐτόν, ὅτι ἔγνω τὸ ὄνομά μου· κεκράξεται πρός με, καὶ ἐπακούσομαι αὐτοῦ· μετ' αὐτοῦ εἰμὶ ἐν θλίψει· ἐξελοῦμαι αὐτόν, καὶ δοξάσω αὐτόν. Μακρότητα ἡμερῶν ἐμπλήσω αὐτόν, καὶ δείξω αὐτῷ τὸ σωτήριόν μου.

Δόξα καὶ νῦν. Ἀλληλούϊα.

ΚΑΘΙΣΜΑ ΙΓ'.

ΨΑΛΜΟΣ 91. Τοῦ Δαβίδ.

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου ὕψιστε. Τοῦ ἀναγγέλλειν τὸ πρωὶ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα, ἐν δεκαχόρδῳ ψαλτηρίῳ μετ' ᾠδῆς ἐν κιθάρᾳ. Ὅτι εὔφρανάς με, Κύριε, ἐν τῷ ποιήματί σου, καὶ ἐν τοῖς ἔργοις τῶν χειρῶν σου ἀγαλλιάσομαι. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε, σφόδρα ἐβαθύνθησαν οἱ διαλογισμοί σου. Ἀνὴρ ἄφρων οὐ γνώσεται, καὶ ἀσύνετος οὐ συνήσει ταῦτα. Ἐν τῷ ἀνατεῖλαι ἁμαρτωλοὺς ὡσεὶ χόρτον, καὶ διέκυψαν πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν· ὅπως ἂν ἐξολοθρευθῶσιν εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Σὺ δὲ ὕψιστος εἰς τὸν αἰῶνα, Κύριε, ὅτι

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

Ὅτι ἰδοὺ οἱ ἐχθροί σου Κύριε, ὅτι ἰδοὺ οἱ ἐχθροί σου ἀπολοῦνται, καὶ διασκορπισθήσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. Καὶ ὑψωθήσεται ὡς μονοκέρωτος τὸ κέρας μου, καὶ τὸ γῆράς μου ἐν ἐλαίῳ πίονι. Καὶ ἐπεῖδεν ὁ ὀφθαλμός μου ἐν τοῖς ἐχθροῖς μου, καὶ ἐν τοῖς ἐπανισταμένοις ἐπ' ἐμὲ πονηρευομένοις, ἀκούσεται τὸ οὖς μου. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ λιβάνῳ πληθυνθήσεται,. Πεφυτευμένοι ἐν τῷ οἴκῳ Κυρίου ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσουσιν. Ἔτι πληθυνθήσονται ἐν γήρει πίονι, καὶ εὐπαθοῦντες ἔσονται τοῦ ἀναγγεῖλαι. Ὅτι εὐθὺς Κύριος ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ.

ΨΑΛΜΟΣ, 92. τοῦ Δαβίδ.

Ο Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο· ἐνεδύσατο Κύριος δύναμιν, καὶ περιεζώσατο· καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. Ἕτοιμος ὁ θρόνος σου ἀπὸ τότε, ἀπὸ τοῦ αἰῶνος σὺ εἶ. Ἐπῆραν οἱ ποταμοὶ Κύριε, ἐπῆραν οἱ ποταμοὶ φωνὰς αὐτῶν· ἀροῦσιν οἱ ποταμοὶ ἐπιτρίψεις αὐτῶν, ἀπὸ φωνῶν ὑδάτων πολλῶν, θαυμαστοὶ οἱ μετεωρισμοὶ τῆς θαλάσσης, θαυμαστὸς ἐν ὑψηλοῖς ὁ Κύριος. Τὰ μαρτύριά σου ἐπιστώθησαν σφόδρα, τῷ οἴκῳ σου πρέπει ἁγίασμα Κύριε εἰς μακρότητα ἡμερῶν.

ἤθησέ μοι, παραβραχὺ παρῴκησε φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν. Ὡς ἐν τῷ παραπικρασμῷ, κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ. Οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν, ἐδοκίμασάν με, καὶ εἶδον τὰ ἔργα μου. Τεσσαράκοντα ἔτη προσώχθισα τῇ γενεᾷ ἐκείνῃ, καὶ εἶπα, Ἀεὶ πλανῶνται τῇ καρδίᾳ. Αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου· ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου.

ΨΑΛΜΟΣ 95. Τοῦ Δαβίδ.

Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ᾄσατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ. Ἄσατε τῷ Κυρίῳ· εὐλογήσατε τὸ ὄνομα αὐτοῦ· εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον αὐτοῦ. Ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὴν δόξαν αὐτοῦ, ἐν πᾶσι τοῖς λαοῖς τὰ θαυμάσια αὐτοῦ. Ὅτι μέγας Κύριος, καὶ αἰνετὸς σφόδρα, φοβερός ἐστιν ὑπὲρ πάντας τοὺς θεούς. Ὅτι πάντες οἱ θεοὶ τῶν ἐθνῶν δαιμόνια· ὁ δὲ Κύριος τοὺς οὐρανοὺς ἐποίησεν. Ἐξομολόγησις καὶ ὡραιότης ἐνώπιον αὐτοῦ· ἁγιωσύνη, καὶ μεγαλοπρέπεια ἐν τῷ ἁγιάσματι αὐτοῦ. Ἐνέγκατε τῷ Κυρίῳ αἱ πατριαὶ τῶν ἐθνῶν, ἐνέγκατε τῷ Κυρίῳ δόξαν, καὶ τιμήν, ἐνέγκατε τῷ Κυρίῳ δόξαν ὀνόματι αὐτοῦ· ἄρατε θυσίας, καὶ εἰσπορεύεσθε εἰς τὰς αὐλὰς αὐτοῦ· Προσκυνήσατε τῷ Κυρίῳ ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ· σαλευθήτω ἀπὸ

Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, ἀλαλάξωμεν τῷ Θεῷ τῷ Σωτῆρι ἡμῶν. Προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει, καὶ ἐν ψαλμοῖς ἀλαλάξωμεν αὐτῷ. Ὅτι Θεὸς μέγας Κύριος, καὶ Βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν. Ὅτι ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς, καὶ τὰ ὕψη τῶν ὀρέων αὐτοῦ εἰσιν. Ὅτι αὐτοῦ ἐστιν ἡ θάλασσα, καὶ αὐτὸς ἐποίησεν αὐτήν, καὶ τὴν ξηρὰν αἱ χεῖρες αὐτοῦ ἔπλασαν. Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ, καὶ κλαύσωμεν ἐναντίον Κυρίου τοῦ ποιήσαντος ἡμᾶς. Ὅτι αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν, καὶ ἡμεῖς λαὸς νομῆς αὐτοῦ, καὶ πρόβατα χειρὸς αὐτοῦ. Σήμερον, ἐὰν τῆς

ΨΑΛΜΟΣ 94. Τοῦ Δαβίδ.

προσώπου αὐτοῦ πᾶσα ἡ γῆ. Εἴπατε ἐν τοῖς ἔθνεσιν, ὅτι Κύριος ἐβασίλευσε· καὶ γὰρ κατώρθωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται· κρινεῖ λαοὺς ἐν εὐθύτητι. Εὐφραινέσθωσαν οἱ οὐρανοί, καὶ ἀγαλλιάσθω ἡ γῆ, σαλευθήτω ἡ θάλασσα, καὶ τὸ πλήρωμα αὐτῆς. Χαρήσεται τὰ πεδία, καὶ πάντα τὰ ἐν αὐτοῖς· τότε ἀγαλλιάσονται πάντα τὰ ξύλα τοῦ δρυμοῦ. Ἀπὸ προσώπου Κυρίου, ὅτι ἔρχεται· ὅτι ἔρχεται κρῖναι τὴν γῆν· κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, καὶ λαοὺς ἐν τῇ ἀληθείᾳ αὐτοῦ·

ΨΑΛΜΟΣ 96. Τοῦ Δαβίδ.

Ο Κύριος ἐβασίλευσεν, ἀγαλλιάσθω ἡ γῆ, εὐφρανθήτωσαν νῆσοι πολλαί. Νεφέλη καὶ γνόφος κύκλῳ αὐτοῦ, δικαιοσύνη καὶ κρίμα κατόρθωσις τοῦ θρόνου αὐτοῦ. Πῦρ ἐνώπιον αὐτοῦ προπορεύσεται, καὶ φλογιεῖ κύκλῳ τοὺς ἐχθροὺς αὐτοῦ. Ἔφαναν αἱ ἀστραπαὶ αὐτοῦ τῇ οἰκουμένῃ, εἶδε καὶ ἐσαλεύθη ἡ γῆ. Τὰ ὄρη ὡσεὶ κηρὸς ἐτάκησαν ἀπὸ προσώπου Κυρίου, ἀπὸ προσώπου Κυρίου πάσης τῆς γῆς. Ἀνήγγειλαν οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ εἴδοσαν πάντες οἱ λαοὶ τὴν δόξαν αὐτοῦ. Αἰσχυνθήτωσαν πάντες οἱ προσκυνοῦντες τοῖς γλυπτοῖς, οἱ ἐγκαυχώμενοι ἐν τοῖς εἰδώλοις αὐτῶν. Προσκυνήσατε αὐτῷ πάντες οἱ Ἄγγελοι αὐτοῦ. Ἤκουσε καὶ εὐφράνθη ἡ Σιών, καὶ ἠγαλλιάσαντο αἱ θυγατέρες τῆς Ἰουδαίας, ἕνεκεν τῶν κριμάτων σου Κύριε. Ὅτι σὺ Κύριος ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν, σφόδρα ὑπερυψώθης ὑπὲρ πάντας τοὺς θεούς. Οἱ ἀγαπῶντες τὸν Κύριον, μισεῖται πονηρά· φυλάσσει Κύριος τὰς ψυχὰς τῶν ὁσίων αὐτοῦ, ἐκ χειρὸς ἁμαρτωλοῦ ῥύσεται αὐτούς. Φῶς ἀνέτειλε τῷ δικαίῳ, καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ εὐφροσύνη. Εὐφράνθητε δίκαιοι ἐν τῷ Κυρίῳ, καὶ ἐξομολογεῖσθε τῇ μνήμῃ τῆς ἁγιωσύνης αὐτοῦ.

Δόξα καὶ νῦν. Ἀλληλούϊα.

ΨΑΛΜΟΣ 97. Τοῦ Δαβίδ.

Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ὅτι θαυμαστὰ ἐποίησεν ὁ Κύριος. Ἔσωσεν αὐτὸν ἡ δεξιὰ αὐτοῦ, καὶ ὁ βραχίων ὁ ἅγιος αὐτοῦ. Ἐγνώρισε Κύριος τὸ σωτήριον αὐτοῦ, ἐναντίον τῶν ἐθνῶν ἀπεκάλυψε τὴν δικαιοσύνην αὐτοῦ. Ἐμνήσθη τοῦ ἐλέους αὐτοῦ τῷ Ἰακὼβ, καὶ τῆς ἀληθείας αὐτοῦ τῷ οἴκῳ Ἰσραήλ. Εἶδοσαν πάντα τὰ πέρατα τῆς γῆς τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν. Ἀλαλάξατε τῷ Θεῷ πᾶσα ἡ γῆ, ᾄσατε καὶ ἀγαλλιᾶσθε καὶ ψάλατε. Ψάλατε τῷ Κυρίῳ ἐν κιθάρᾳ, ἐν κιθάρᾳ καὶ φωνῇ ψαλμοῦ, ἐν σάλπιγξιν ἐλαταῖς, καὶ φωνῇ σάλπιγγος κερατίνης. Ἀλαλάξατε ἐνώπιον τοῦ Βασιλέως Κυρίου· σαλευθήτω ἡ θάλασσα, καὶ τὸ πλήρωμα αὐτῆς, ἡ οἰκουμένη, καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ. Ποταμοὶ κροτήσουσι χειρὶ ἐπὶ τὸ αὐτὸ τὰ ὄρη ἀγαλλιάσονται ἀπὸ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γῆ. Δουλεύσατε τῷ Κυρίῳ ἐν εὐφροσύνῃ. Εἰσέλθετε ἐνώπιον αὐτοῦ ἐν ἀγαλλιάσει. Γνῶτε ὅτι Κύριος αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν, αὐτὸς ἐποίησεν ἡμᾶς, καὶ οὐχ ἡμεῖς. Ἡμεῖς δὲ λαὸς αὐτοῦ, καὶ πρόβατα νομῆς αὐτοῦ. Εἰσέλθετε εἰς τας πύλας αὐτοῦ ἐν ἐξομολογήσει, εἰς τὰς αὐλὰς αὐτοῦ ἐν ὕμνοις, ἐξομολογεῖσθε αὐτῷ. Αἰνεῖτε τὸ ὄνομα αὐτοῦ, ὅτι χρηστὸς Κύριος, εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ, καὶ ἕως γενεᾶς, καὶ γενεᾶς ἡ ἀλήθεια αὐτοῦ.

ΨΑΛΜΟΣ 100. Τοῦ Δαβίδ.

Ἔλεον, καὶ κρίσιν ᾄσομαί σοι Κύριε· ψαλῶ, καὶ συνήσω ἐν ὁδῷ ἀμώμῳ, πότε ἥξεις πρός με; διεπορευόμην ἐν ἀκακίᾳ καρδίας μου ἐν μέσῳ τοῦ οἴκου μου. Οὐ προεττιθέμην πρὸ ὀφθαλμῶν μου πρᾶγμα παράνομον, ποιοῦντας παραβάσεις ἐμίσησα. Οὐκ ἐκολλήθη μοι καρδία σκαμβή, ἐκκλίνοντος ἀπ' ἐμοῦ τοῦ πονηροῦ οὐκ ἐγίνωσκον. Τὸν καταλαλοῦντα λάθρα τῶν πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον. Ὑπερηφάνῳ ὀφθαλμῷ, καὶ ἀπλήστῳ καρδίᾳ, τούτῳ οὐ συνήσθιον. Οἱ ὀφθαλμοί μου ἐπὶ τοὺς πιστοὺς τῆς γῆς, τοῦ συγκαθῆσθαι αὐτοὺς μετ' ἐμοῦ, πορευόμενος ἐν ὁδῷ ἀμώμῳ, οὗτός μοι ἐλειτούργει. Οὐ κατῴκει ἐν μέσῳ τῆς οἰκίας μου ποιῶν ὑπερηφανίαν· λαλῶν ἄδικα οὐ κατεύθυνεν ἐνώπιον τῶν ὀφθαλμῶν μου. Εἰς τὰς πρωΐας ἀπέκτεινον πάν-

τας τοὺς ἁμαρτωλοὺς τῆς γῆς, τοῦ ἐξολοθρεῦσαι ἐκ πόλεως Κυρίου πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν.

Δόξα καὶ νῦν. Ἀλληλούϊα.

ΚΑΘΙΣΜΑ ΙΔ΄.

ΨΑΛΜΟΣ 101. τοῦ Δαβίδ.

Κύριε εἰσάκουσον τῆς προσευχῆς μου, καὶ ἡ κραυγή μου πρὸς σὲ ἐλθέτω. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, ἐν ᾗ ἂν ἡμέρᾳ θλίβωμαι, κλῖνον πρός με τὸ οὖς σου· ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε, ταχὺ ἐπάκουσόν μου. Ὅτι ἐξέλιπον ὡσεὶ καπνὸς αἱ ἡμέραι μου, καὶ τὰ ὀστᾶ μου ὡσεὶ φρύγιον συνεφρύγησαν. Ἐπλήγην ὡσεὶ χόρτος, καὶ ἐξηράνθη ἡ καρδία μου, ὅτι ἐπελαθόμην τοῦ φαγεῖν τὸν ἄρτον μου. Ἀπὸ φωνῆς τοῦ στεναγμοῦ μου ἐκολλήθη τὸ ὀστοῦν μου τῇ σαρκί μου. Ὡμοιώθην πελεκᾶνι ἐρημικῷ· ἐγενήθην ὡσεὶ νυκτικόραξ ἐν οἰκοπέδῳ. Ἠγρύπνησα, καὶ ἐγενόμην ὡς στρουθίον μονάζον ἐπὶ δώματος. Ὅλην τὴν ἡμέραν ὠνείδιζόν με οἱ ἐχθροί μου· καὶ οἱ ἐπαινοῦντές με κατ' ἐμοῦ ὤμνυον. Ὅτι σποδὸν ὡσεὶ ἄρτον ἔφαγον, καὶ τὸ πόμα μου μετὰ κλαυθμοῦ ἐκίρνων. Ἀπὸ προσώπου τῆς ὀργῆς σου, καὶ τοῦ θυμοῦ σου, ὅτι ἐπάρας κατέῤῥαξάς με. Αἱ ἡμέραι μου ὡσεὶ σκιὰ ἐκλίθησαν κἀγὼ ὡσεὶ χόρτος ἐξηράνθην. Σὺ δὲ, Κύριε, εἰς τὸν αἰῶνα μένεις, καὶ τὸ μνημόσυνόν σου εἰς γενεὰν καὶ γενεάν. Σὺ ἀναστὰς οἰκτειρήσεις τὴν Σιών, ὅτι καιρὸς τοῦ οἰκτειρῆσαι αὐτήν, ὅτι ἥκει καιρός. Ὅτι εὐδόκησαν οἱ δοῦλοί σου τοὺς λίθους αὐτῆς, καὶ τὸν χοῦν αὐτῆς οἰκτειρήσουσι. Καὶ φοβηθήσονται τὰ ἔθνη τὸ ὄνομά σου Κύριε, καὶ πάντες οἱ βασιλεῖς τῆς γῆς τὴν δόξαν σου. Ὅτι οἰκοδομήσει Κύριος τὴν Σιών, καὶ ὀφθήσεται ἐν τῇ δόξῃ αὐτοῦ. Ἐπέβλεψεν ἐπὶ τὴν προσευχὴν τῶν ταπεινῶν, καὶ οὐκ ἐξουδένωσε τὴν δέησιν αὐτῶν. Γραφήτω αὕτη εἰς γενεὰν ἑτέραν, καὶ λαὸς ὁ κτιζόμενος αἰνέσει τὸν Κύριον. Ὅτι ἐξέκυψεν ἐξ ὕψους ἁγίου αὐτοῦ· Κύριος ἐξ οὐρανοῦ ἐπὶ τὴν γῆν ἐπέβλεψε, τοῦ ἀκοῦσαι τοῦ στεναγμοῦ τῶν πεπεδημένων, τοῦ λῦσαι τοὺς υἱοὺς τῶν τεθανατωμένων. Τοῦ ἀναγγεῖλαι ἐν Σιὼν τὸ ὄνομα Κυρίου, καὶ τὴν αἴνεσιν αὐτοῦ ἐν Ἱερουσαλήμ. Ἐν τῷ, ἐπισυναχθῆναι λαοὺς ἐπὶ τὸ αὐτό, καὶ βασιλεῖς τοῦ δουλεύειν τῷ Κυρίῳ. Ἀπεκρίθη αὐτῷ ἐν ὁδῷ ἰσχύος αὐτοῦ· τὴν ὀλιγότητα τῶν ἡμερῶν μου ἀνάγγειλόν μοι. Μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν μου, ἐν γενεᾷ γενεῶν τὰ ἔτη σου. Κατ' ἀρχὰς σὺ Κύριε τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί. Αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις, καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πατὴρ υἱοὺς, ᾠκτείρησε Κύριος τοὺς φοβουμένους αὐτόν· ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν, ἐμνήσθη ὅτι χοῦς ἐσμεν. Ἄνθρωπος ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ, οὕτως ἐξανθήσει. Ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ, καὶ οὐχ ὑπάρξει, καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ. Τὸ δὲ ἔλεος τοῦ Κυρίου ἀπὸ τοῦ αἰῶνος, καὶ ἕως τοῦ αἰῶνος ἐπὶ τοὺς φοβουμένους αὐτόν. Καὶ ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ υἱοῖς υἱῶν, τοῖς φυλάσσουσι τὴν διαθήκην αὐτοῦ, καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ τοῦ ποιῆσαι αὐτάς. Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει. Εὐλογεῖτε τὸν Κύριον πάντες οἱ Ἄγγελοι αὐτοῦ, δυνατοὶ ἰσχύϊ ποιοῦντες τὸν λόγον αὐτοῦ, τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ. Εὐλογεῖτε τὸν Κύριον πᾶσαι αἱ δυνάμεις αὐτοῦ, λειτουργοὶ αὐτοῦ, οἱ ποιοῦντες τὸ θέλημα αὐτοῦ. Εὐλογεῖτε τὸν Κύριον πάντα τὰ ἔργα αὐτοῦ. Ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ, εὐλόγει ἡ ψυχή μου τὸν Κύριον.

ΨΑΛΜΟΣ 103. Τοῦ Δαβίδ.

Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον. Κύριε ὁ Θεός μου ἐμεγαλύνθης σφόδρα. Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω, ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον. Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέρριν· ὁ στεγάζων ἐν ὕδασι τὰ ὑ-

περῴα αὐτοῦ. Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων. Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα. Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν. Ἀναβαίνουσιν ὄρη, καὶ καταβαίνουσι πεδία εἰς τὸν τόπον, ὃν ἐθεμελίωσας αὐτά. Ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν. Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀναμέσον τῶν ὀρέων διελεύσονται ὕδατα. Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὀναγροι εἰς δίψαν αὐτῶν. Ἐπ' αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει, ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν. Ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων αὐτοῦ· ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ. Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων. Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς, καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου Τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει. Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου, ἃς ἐφύτευσας. Ἐκεῖ στρουθία ἐννοσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν· ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγωοῖς. Ἐποίησε Σελήνην εἰς καιρούς· ὁ Ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ. Ἔθου σκότος, καὶ ἐγένετο νύξ· ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ. Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπάσαι, καὶ ζητῆσαι παρὰ τοῦ Θεοῦ βρῶσιν αὐτοῖς. Ἀνέτειλεν ὁ Ἥλιος, καὶ συνήχθησαν, καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται. Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας· ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου. Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος· ἐκεῖ ἑρπετά, ὧν οὐκ ἔστιν ἀριθμὸς, ζῶα μικρὰ μετὰ μεγάλων. Ἐκεῖ πλοῖα διαπορεύονται, δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῇ. Πάντα πρός σε προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον. Δόντος σου αὐτοῖς, συλλέξουσιν· ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος· ἀποστρέψαντος δὲ σου τὸ πρόσωπον, ταραχθήσονται. Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν. Ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς. Ἤτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας· εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ. Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν, ὁ ἁπτόμενος τῶν ὀρέων, καὶ

καὶ καπνίζονται. Ἄσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ· Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς. Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον.

Δόξα καὶ νῦν. Ἀλληλουϊα.

ΨΑΛΜΟΣ 104. Τοῦ Δαβίδ.

Ἐξομολογεῖσθε τῷ Κυρίῳ, καὶ ἐπικαλεῖσθε τὸ ὄνομα αὐτοῦ· ἀπαγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἔργα αὐτοῦ. Ἄσατε αὐτῷ, καὶ ψάλατε αὐτῷ· διηγήσασθε πάντα τὰ θαυμάσια αὐτοῦ. Ἐπαινεῖσθε ἐν τῷ ὀνόματι τῷ Ἁγίῳ αὐτοῦ, εὐφρανθήτω καρδία ζητούντων τὸν Κύριον. Ζητήσατε τὸν Κύριον, καὶ κραταιώθητε, ζητήσατε τὸ πρόσωπον αὐτοῦ διαπαντός. Μνήσθητε τῶν θαυμασίων αὐτοῦ ὧν ἐποίησε· τὰ τέρατα αὐτοῦ, καὶ τὰ κρίματα τοῦ στόματος αὐτοῦ. Σπέρμα Ἀβραὰμ δοῦλοι αὐτοῦ, υἱοὶ Ἰακὼβ ἐκλεκτοὶ αὐτοῦ. Αὐτὸς Κύριος ὁ Θεὸς ἡμῶν· ἐν πάσῃ τῇ γῇ τὰ κρίματα αὐτοῦ. Ἐμνήσθη εἰς τὸν αἰῶνα διαθήκης αὐτοῦ, λόγου οὗ ἐνετείλατο εἰς χιλίας γενεάς· ὃν διέθετο τῷ Ἀβραάμ, καὶ τοῦ ὅρκου αὐτοῦ τῷ Ἰσαάκ. Καὶ ἔστησεν αὐτὸν τῷ Ἰακὼβ εἰς πρόσταγμα, καὶ τῷ Ἰσραὴλ εἰς διαθήκην αἰώνιον. Λέγων, Σοὶ δώσω τὴν γῆν Χαναὰν σχοίνισμα κληρονομίας ὑμῶν. Ἐν τῷ εἶναι αὐτοὺς ἀριθμῷ ὀλιγοστούς, καὶ παροίκους ἐν αὐτῇ. Καὶ διῆλθεν ἐξ ἔθνους εἰς ἔθνος, καὶ ἐκ βασιλείας εἰς λαὸν ἕτερον. Οὐκ ἀφῆκεν ἄνθρωπον ἀδικῆσαι αὐτούς, καὶ ἤλεγξεν ὑπὲρ αὐτῶν βασιλεῖς. Μὴ ἅπτεσθε τῶν χριστῶν μου, καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε. Καὶ ἐκάλεσε λιμὸν ἐπὶ τὴν γῆν, πᾶν στήριγμα ἄρτου συνέτριψεν. Ἀπέστειλεν ἔμπροσθεν αὐτῶν ἄνθρωπον, εἰς δοῦλον ἐπράθη Ἰωσήφ. Ἐταπείνωσαν ἐν πέδαις τοὺς πόδας αὐτοῦ, σίδηρον διῆλθεν ἡ ψυχὴ αὐτοῦ, μέχρι τοῦ ἐλθεῖν τὸν λόγον αὐτοῦ· τὸ λόγιον Κυρίου ἐπύρωσεν αὐτόν. Ἀπέστειλε βασιλεὺς, καὶ ἔλυσεν αὐτόν, ἄρχων λαοῦ, καὶ ἀφῆκεν αὐτόν. Κατέστησεν αὐτὸν Κύριον τοῦ οἴκου αὐτοῦ, καὶ ἄρχοντα πάσης τῆς κτίσεως αὐτοῦ. Τοῦ παιδεῦσαι τοὺς ἄρχοντας αὐτοῦ ὡς ἑαυτόν, καὶ τοὺς πρεσβυτέρους αὐτοῦ σοφίσαι. Καὶ εἰσῆλθεν Ἰσραὴλ εἰς Αἴγυπτον, καὶ Ἰακὼβ παρῴκησεν ἐν γῇ Χάμ. Καὶ ηὔξησε τὸν λαὸν αὐτοῦ σφόδρα, καὶ ἐκραταίωσεν αὐτὸν ὑπὲρ τοὺς ἐχθροὺς αὐτοῦ. Μετέστρεψε τὴν καρδίαν αὐτοῦ, τοῦ μισῆσαι τὸν λαὸν αὐτοῦ, τοῦ δολιοῦσθαι ἐν τοῖς δούλοις αὐτοῦ. Ἐξαπέστειλε Μωϋσῆν τὸν δοῦλον αὐτοῦ, Ἀαρὼν, ὃν ἐξελέξατο ἑαυτῷ. Ἔθετο ἐν αὐτοῖς τοὺς λόγους τῶν σημείων αὐτοῦ, καὶ τῶν τεράτων αὐτοῦ ἐν γῇ Χάμ. Ἐξαπέστειλε σκότος, καὶ ἐσκότασεν· ὅτι παρεπίκραναν τοὺς

ὑδα-

λόγους αὐτοῦ. Μετέστρεψε τὰ ὕδατα αὐτῶν εἰς αἷμα, καὶ ἀπέκτεινε τοὺς ἰχθύας αὐτῶν. Ἐξῆρψεν ἡ γῆ αὐτῶν βατράχους ἐν τοῖς ταμείοις τῶν βασιλέων αὐτῶν. Εἶπε, καὶ ἦλθε κυνόμυια, καὶ σκνῖπες ἐν πᾶσι τοῖς ὁρίοις αὐτῶν. Ἔθετο τὰς βροχὰς αὐτῶν χάλαζαν, πῦρ κατεφλέγον ἐν τῇ γῇ αὐτῶν. Καὶ ἐπάταξε τὰς ἀμπέλους αὐτῶν, καὶ τὰς συκᾶς αὐτῶν· καὶ συνέτριψε πᾶν ξύλον ὁρίου αὐτῶν. Εἶπε, καὶ ἦλθεν ἀκρὶς, καὶ βροῦχος, οὗ οὐκ ἦν ἀριθμός. Καὶ κατέφαγε πάντα χόρτον ἐν τῇ γῇ αὐτῶν, καὶ κατέφαγε πάντα τὸν καρπὸν τῆς γῆς αὐτῶν. Καὶ ἐπάταξε πᾶν πρωτότοκον ἐν τῇ γῇ αὐτῶν, ἀπαρχὴν παντὸς πόνου αὐτῶν. Καὶ ἐξήγαγεν αὐτοὺς ἐν ἀργυρίῳ, καὶ χρυσίῳ, καὶ οὐκ ἦν ἐν ταῖς φυλαῖς αὐτῶν ὁ ἀσθενῶν. Εὐφράνθη Αἴγυπτος ἐν τῇ ἐξόδῳ αὐτῶν, ὅτι ἐπέπεσεν ὁ φόβος αὐτῶν ἐπ' αὐτούς. Διεπέτασε νεφέλην εἰς σκέπην αὐτοῖς, καὶ πῦρ τοῦ φωτίσαι αὐτοῖς τὴν νύκτα. Ἤτησαν, καὶ ἦλθεν ὀρτυγομήτρα, καὶ ἄρτον οὐρανοῦ ἐνέπλησεν αὐτούς. Διέῤῥηξε πέτραν, καὶ ἐῤῥύησαν ὕδατα, ἐπορεύθησαν ἐν ἀνύδροις ποταμοί. Ὅτι ἐμνήσθη τοῦ λόγου τοῦ Ἁγίου αὐτοῦ, τοῦ πρὸς Ἀβραὰμ τὸν δοῦλον αὐτοῦ. Καὶ ἐξήγαγε τὸν λαὸν αὐτοῦ ἐν ἀγαλλιάσει, καὶ τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐν εὐφροσύνῃ. Καὶ ἔδωκεν αὐτοῖς χώρας ἐθνῶν, καὶ πόνους λαῶν κατεκληρονόμησαν. Ὅπως ἂν φυλάξωσι τὰ δικαιώματα αὐτοῦ, καὶ τὸν νόμον αὐτοῦ ἐκζητήσωσι.

Δόξα καὶ νῦν. Ἀλληλούϊα.

ΚΑΘΙΣΜΑ ΙΕ'.

ΨΑΛΜΟΣ 105. Τοῦ Δαβίδ.

Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι χρηστὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τίς λαλήσει τὰς δυναστείας τοῦ Κυρίου, ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ; Μακάριοι οἱ φυλάσσοντες κρίσιν, καὶ ποιοῦντες δικαιοσύνην ἐν παντὶ καιρῷ. Μνήσθητι ἡμῶν, Κύριε, ἐν τῇ εὐδοκίᾳ τοῦ λαοῦ σου, ἐπίσκεψαι ἡμᾶς ἐν τῷ σωτηρίῳ σου. Τοῦ ἰδεῖν ἐν τῇ χρηστότητι τῶν ἐκλεκτῶν σου, τοῦ εὐφρανθῆναι ἐν τῇ εὐφροσύνῃ τοῦ ἔθνους σου. Ἡμάρτομεν μετὰ τῶν πατέρων ἡμῶν, ἠνομήσαμεν, ἠδικήσαμεν. Οἱ πατέρες ἡμῶν ἐν Αἰγύπτῳ οὐ συνῆκαν τὰ θαυμάσιά σου, καὶ οὐκ ἐμνήσθησαν τοῦ πλήθους τοῦ ἐλέους σου. Καὶ παρεπίκραναν ἀναβαίνοντες ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ. Καὶ ἔσωσεν αὐτοὺς ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ, τοῦ γνωρίσαι τὴν δυναστείαν αὐτοῦ. Καὶ ἐπετίμησε τῇ Ἐρυθρᾷ θαλάσσῃ, καὶ ἐξηράνθη· καὶ ὡδήγησεν αὐτοὺς ἐν ἀβύσσῳ, ὡς ἐν ἐρήμῳ. Καὶ ἔσωσεν αὐτοὺς ἐκ χειρὸς μισοῦντος, καὶ ἐλυτρώσατο αὐτοὺς ἐκ χειρὸς ἐχθρῶν. Ἐκάλυψεν ὕδωρ τοὺς θλι-

θλίβοντας αὐτούς· εἷς ἐξ αὐτῶν οὐχ ὑπελείφθη. Καὶ ἐπίστευσαν τῷ λόγῳ αὐτοῦ, καὶ ἦσαν τὴν αἴνεσιν αὐτοῦ. Ἐτάχυναν, ἐπελάθοντο τῶν ἔργων αὐτοῦ, οὐχ ὑπέμειναν τὴν βουλὴν αὐτοῦ. Καὶ ἐπεθύμησαν ἐπιθυμίαν ἐν τῇ ἐρήμῳ, καὶ ἐπείρασαν τὸν Θεὸν ἐν ἀνύδρῳ. Καὶ ἔδωκεν αὐτοῖς τὸ αἴτημα αὐτῶν, ἐξαπέστειλε πλησμονὴν εἰς τὰς ψυχὰς αὐτῶν. Καὶ παρώργισαν τὸν Μωϋσῆν ἐν τῇ παρεμβολῇ, τὸν Ἀαρὼν τὸν ἅγιον Κυρίου. Ἠνοίχθη ἡ γῆ, καὶ κατέπιε Δαθάν, καὶ ἐκάλυψεν ἐπὶ τὴν συναγωγὴν Ἀβειρών. Καὶ ἐξεκαύθη πῦρ ἐν τῇ συναγωγῇ αὐτῶν, φλὸξ κατέφλεξεν ἁμαρτωλούς. Καὶ ἐποίησαν μόσχον ἐν Χωρήβ, καὶ προσεκύνησαν τῷ γλυπτῷ. Καὶ ἠλλάξαντο τὴν δόξαν αὐτοῦ, ἐν ὁμοιώματι μόσχου ἐσθίοντος χόρτον. Καὶ ἐπελάθοντο τοῦ Θεοῦ τοῦ σώζοντος αὐτούς, τοῦ ποιήσαντος μεγάλα ἐν Αἰγύπτῳ, θαυμάσια ἐν γῇ Χάμ, φοβερὰ ἐπὶ θαλάσσης Ἐρυθρᾶς. Καὶ εἶπε τοῦ ἐξολοθρεῦσαι αὐτούς, εἰμὴ Μωϋσῆς ὁ ἐκλεκτὸς αὐτοῦ ἔστη ἐν τῇ θραύσει ἐνώπιον αὐτοῦ. Τοῦ ἀποστρέψαι τὸν θυμὸν αὐτοῦ, τοῦ μὴ ἐξολοθρεῦσαι αὐτούς. Καὶ ἐξουδένωσαν γῆν ἐπιθυμητήν· οὐκ ἐπίστευσαν τῷ λόγῳ αὐτοῦ. Καὶ ἐγόγγυσαν ἐν τοῖς σκηνώμασιν αὐτῶν, οὐκ εἰσήκουσαν τῆς φωνῆς Κυρίου. Καὶ ἐπῆρε τὴν χεῖρα αὐτοῦ ἐπ' αὐτούς, τοῦ καταβαλεῖν αὐτοὺς ἐν τῇ ἐρήμῳ. Καὶ τοῦ καταβαλεῖν τὸ σπέρμα αὐτῶν ἐν τοῖς ἔθνεσι, καὶ διασκορπίσαι αὐτοὺς ἐν ταῖς χώραις. Καὶ ἐτελέσθησαν τῷ Βεελφεγώρ, καὶ ἔφαγον θυσίας νεκρῶν. Καὶ παρώξυναν αὐτὸν ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν, καὶ ἐπληθύνθη ἐν αὐτοῖς ἡ πτῶσις. Καὶ ἔστη Φινεὲς καὶ ἐξιλάσατο, καὶ ἐκόπασεν ἡ θραῦσις. Καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην, εἰς γενεὰν καὶ γενεὰν ἕως τοῦ αἰῶνος. Καὶ παρώργισαν αὐτὸν ἐπὶ ὕδατος ἀντιλογίας. Καὶ ἐκακώθη Μωϋσῆς δι' αὐτούς, ὅτι παρεπίκραναν τὸ πνεῦμα αὐτοῦ, καὶ διέστειλεν ἐν τοῖς χείλεσιν αὐτοῦ. Οὐκ ἐξολοθρεύσαν τὰ ἔθνη, ἃ εἶπε Κύριος αὐτοῖς. Καὶ ἐμίγησαν ἐν τοῖς ἔθνεσι, καὶ ἔμαθον τὰ ἔργα αὐτῶν, καὶ ἐδούλευσαν τοῖς γλυπτοῖς αὐτῶν, καὶ ἐγενήθη αὐτοῖς εἰς σκάνδαλον. Καὶ ἔθυσαν τοὺς υἱοὺς αὐτῶν, καὶ τὰς θυγατέρας αὐτῶν τοῖς δαιμονίοις. Καὶ ἐξέχεαν αἷμα ἀθῷον, αἷμα υἱῶν αὐτῶν καὶ θυγατέρων, ὧν ἔθυσαν τοῖς γλυπτοῖς Χαναάν. Καὶ ἐφονοκτονήθη ἡ γῆ ἐν τοῖς αἵμασι, καὶ ἐμιάνθη ἐν τοῖς ἔργοις αὐτῶν, καὶ ἐπόρνευσαν ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν. Καὶ ὠργίσθη θυμῷ Κύριος ἐπὶ τὸν λαὸν αὐτοῦ, καὶ ἐβδελύξατο τὴν κληρονομίαν αὐτοῦ. Καὶ παρέδωκεν αὐτοὺς εἰς χεῖρας ἐχθρῶν, καὶ ἐκυρίευσαν αὐτῶν οἱ μισοῦντες αὐτούς. Καὶ ἐθλίψαν αὐτοὺς οἱ ἐχθροὶ αὐτῶν, καὶ ἐταπεινώθησαν ὑπὸ τὰς χεῖρας αὐτῶν. Πλεονάκις ἐῤῥύσατο αὐτούς, αὐτοὶ δὲ παρεπίκραναν αὐτὸν ἐν

τῇ βουλῇ αὐτῶν, καὶ ἐταπεινώθησαν ἐν ταῖς ἀνομίαις αὐτῶν. Καὶ εἶδε Κύριος ἐν τῷ θλίβεσθαι αὐτοὺς, ἐν τῷ αὐτὸν εἰσακοῦσαι τῆς δεήσεως αὐτῶν. Καὶ ἐμνήσθη τῆς διαθήκης αὐτοῦ, καὶ μετεμελήθη κατὰ τὸ πλῆθος τοῦ ἐλέους αὐτοῦ. Καὶ ἔδωκεν αὐτοὺς εἰς οἰκτιρμοὺς, ἐναντίον πάντων τῶν αἰχμαλωτευσάντων αὐτούς. Σῶσον ἡμᾶς, Κύριε ὁ Θεὸς ἡμῶν, καὶ ἐπισυνάγαγε ἡμᾶς ἐκ τῶν ἐθνῶν. Τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου τῷ ἁγίῳ, τοῦ ἐγκαυχᾶσθαι ἐν τῇ αἰνέσει σου. Εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραὴλ, ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος. Καὶ ἐρεῖ πᾶς ὁ λαός: Γένοιτο, γένοιτο!

Δόξα καὶ νῦν. Ἀλληλούϊα.

ΨΑΛΜΟΣ 106. Ἀλληλούϊα.

Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι χρηστός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Εἰπάτωσαν οἱ λελυτρωμένοι ὑπὸ Κυρίου, οὓς ἐλυτρώσατο ἐκ χειρὸς ἐχθροῦ, καὶ ἐκ τῶν χωρῶν συνήγαγεν αὐτούς. Ἀπὸ ἀνατολῶν καὶ δυσμῶν καὶ βορρᾶ καὶ θαλάσσης ἐπλανήθησαν ἐν τῇ ἐρήμῳ, ἐν ἀνύδρῳ, ὁδὸν πόλεως κατοικητηρίου οὐχ εὗρον. Πεινῶντες καὶ διψῶντες, ἡ ψυχὴ αὐτῶν ἐν αὐτοῖς ἐξέλιπε. Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτοὺς, καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἐρρύσατο αὐτούς. Καὶ ὡδήγησεν αὐτοὺς εἰς ὁδὸν εὐθεῖαν, τοῦ πορευθῆναι εἰς πόλιν κατοικητηρίου. Ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτοῦ, καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων. Ὅτι ἐχόρτασε ψυχὴν κενὴν, καὶ ψυχὴν πεινῶσαν ἐνέπλησεν ἀγαθῶν. Καθημένους ἐν σκότει καὶ σκιᾷ θανάτου, πεπεδημένους ἐν πτωχείᾳ καὶ σιδήρῳ. Ὅτι παρεπίκραναν τὰ λόγια τοῦ Θεοῦ, καὶ τὴν βουλὴν τοῦ Ὑψίστου παρώξυναν. Καὶ ἐταπεινώθη ἐν κόποις ἡ καρδία αὐτῶν· ἠσθένησαν, καὶ οὐκ ἦν ὁ βοηθῶν. Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτοὺς, καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἔσωσεν αὐτούς. Καὶ ἐξήγαγεν αὐτοὺς ἐκ σκότους, καὶ σκιᾶς θανάτου, καὶ τοὺς δεσμοὺς αὐτῶν διέρρηξεν. Ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτοῦ, καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων. Ὅτι συνέτριψε πύλας χαλκᾶς, καὶ μοχλοὺς σιδηροῦς συνέθλασεν. Ἀντελάβετο αὐτῶν ἐξ ὁδοῦ ἀνομίας αὐτῶν· διὰ γὰρ τὰς ἀνομίας αὐτῶν ἐταπεινώθησαν. Πᾶν βρῶμα ἐβδελύξατο ἡ ψυχὴ αὐτῶν, καὶ ἤγγισαν ἕως τῶν πυλῶν τοῦ θανάτου. Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτοὺς, καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἔσωσεν αὐτούς. Ἀπέστειλε τὸν λόγον αὐτοῦ, καὶ ἰάσατο αὐτοὺς, καὶ ἐρρύσατο αὐτοὺς ἐκ τῶν διαφθορῶν αὐτῶν. Ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτοῦ, καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων. Καὶ θυσάτωσαν αὐτῷ θυσίαν αἰνέσεως, καὶ ἐξαγγειλάτωσαν τὰ ἔργα αὐτοῦ ἐν ἀγαλλιάσει.

λιάσει. Οἱ καταβαίνοντες εἰς θάλασσαν ἐν πλοίοις, ποιοῦντες ἐργασίαν ἐν ὕδασι πολλοῖς. Αὐτοὶ εἶδον τὰ ἔργα Κυρίου, καὶ τὰ θαυμάσια αὐτοῦ ἐν τῷ βυθῷ. Εἶπε, καὶ ἔστη πνεῦμα καταιγίδος, καὶ ὑψώθη τὰ κύματα αὐτῆς. Ἀναβαίνουσιν ἕως τῶν οὐρανῶν, καὶ καταβαίνουσιν ἕως τῶν ἀβύσσων, ἡ ψυχὴ αὐτῶν ἐν κακοῖς ἐτήκετο. Ἐταράχθησαν, ἐσαλεύθησαν ὡς ὁ μεθύων, καὶ πᾶσα ἡ σοφία αὐτῶν κατεπόθη. Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτοὺς, καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἐξήγαγεν αὐτούς. Καὶ ἐπέταξε τῇ καταιγίδι, καὶ ἔστη εἰς αὔραν, καὶ ἐσίγησαν τὰ κύματα αὐτῆς. Καὶ εὐφράνθησαν, ὅτι ἡσύχασαν, καὶ ὡδήγησεν αὐτοὺς ἐπὶ λιμένα θελήματος αὐτοῦ. Ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτοῦ, καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων. Ὑψωσάτωσαν αὐτὸν ἐν ἐκκλησίᾳ λαοῦ, καὶ ἐν καθέδρᾳ πρεσβυτέρων αἰνεσάτωσαν αὐτόν. Ἔθετο ποταμοὺς εἰς ἔρημον καὶ διεξόδους ὑδάτων εἰς δίψαν. Γῆν καρποφόρον εἰς ἅλμην, ἀπὸ κακίας τῶν κατοικούντων ἐν αὐτῇ. Ἔθετο ἔρημον εἰς λίμνας ὑδάτων, καὶ γῆν ἄνυδρον εἰς διεξόδους ὑδάτων. Καὶ κατῴκισεν ἐκεῖ πεινῶντας, καὶ συνεστήσαντο πόλεις κατοικεσίας. Καὶ ἔσπειραν ἀγροὺς, καὶ ἐφύτευσαν ἀμπελῶνας, καὶ ἐποίησαν καρπὸν γεννήματος. Καὶ εὐλόγησεν αὐτοὺς, καὶ ἐπληθύνθησαν σφόδρα, καὶ τὰ κτήνη αὐτῶν οὐκ ἐσμίκρυνε. Καὶ ὠλιγώθησαν, καὶ ἐκακώθησαν ἀπὸ θλίψεως κακῶν καὶ ὀδύνης. Ἐξεχύθη ἐξουδένωσις ἐπ' ἄρχοντας αὐτῶν, καὶ ἐπλάνησεν αὐτοὺς ἐν ἀβάτῳ, καὶ οὐχ ὁδῷ. Καὶ ἐβοήθησε πένητι ἐκ πτωχείας, καὶ ἔθετο ὡς πρόβατα πατριᾶς. Ὄψονται εὐθεῖς καὶ εὐφρανθήσονται, καὶ πᾶσα ἀνομία ἔμφραξει τὸ στόμα αὐτῆς. Τίς σοφὸς καὶ φυλάξει ταῦτα, καὶ συνήσει τὰ ἐλέη τοῦ Κυρίου;

Δόξα, καὶ νῦν. Ἀλληλούϊα.

ΨΑΛΜΟΣ 107. Τοῦ Δαβίδ.

Ἑτοίμη ἡ καρδία μου, ὁ Θεὸς, ἑτοίμη ἡ καρδία μου, ᾄσομαι καὶ ψαλῶ ἐν τῇ δόξῃ μου. Ἐξεγέρθητι ἡ δόξα μου, ἐξεγέρθητι ψαλτήριον καὶ κιθάρα, ἐξεγερθήσομαι ὄρθρου. Ἐξομολογήσομαί σοι ἐν λαοῖς, Κύριε, ψαλῶ σοι ἐν ἔθνεσιν. Ὅτι μέγα ἐπάνω τῶν οὐρανῶν τὸ ἔλεός σου, καὶ ἕως τῶν νεφελῶν ἡ ἀλήθειά σου. Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς ὁ Θεὸς, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου ὅπως ἂν ῥυσθῶσιν οἱ ἀγαπητοί σου. Σῶσον τῇ δεξιᾷ σου, καὶ ἐπάκουσόν μου. Ὁ Θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ, Ὑψωθήσομαι καὶ διαμεριῶ Σίκιμα, καὶ τὴν κοιλάδα τῶν σκηνῶν διαμετρήσω. Ἐμός ἐστι Γαλαάδ, καὶ ἐμός ἐστι Μανασσῆς, καὶ Ἐφραὶμ ἀντίληψις τῆς κεφαλῆς μου· Ἰούδας βασιλεύς μου, Μωὰβ λέβης τῆς ἐλπίδος μου. Ἐπὶ τὴν Ἰδουμαίαν ἐπι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

ἐπιβαλῶ τὸ ὑπόδημά μου· ἐμοὶ ἀλλόφυλοι ὑπετάγησαν. Τίς ἀπάξει με εἰς πόλιν περιοχῆς; ἢ τίς ὁδηγήσει με ἕως τῆς Ἰδουμαίας; Οὐχὶ σὺ ὁ Θεὸς ὁ ἀπωσάμενος ἡμᾶς, καὶ οὐκ ἐξελεύσῃ ὁ Θεὸς ἐν ταῖς δυνάμεσιν ἡμῶν; Δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως, καὶ ματαία σωτηρία ἀνθρώπου. Ἐν τῷ Θεῷ ποιήσωμεν δύναμιν, καὶ αὐτὸς ἐξουδενώσει τοὺς ἐχθροὺς ἡμῶν.

ΨΑΛΜΟΣ 108. Τοῦ Δαβίδ.

Ο Θεός, τὴν αἴνεσίν μου μὴ παρασιωπήσῃς, ὅτι στόμα ἁμαρτωλοῦ, καὶ στόμα δολίου ἐπ' ἐμὲ ἠνοίχθη. Ἐλάλησαν κατ' ἐμοῦ γλώσσῃ δολίᾳ, καὶ λόγοις μίσους ἐκύκλωσάν με, καὶ ἐπολέμησάν με δωρεάν. Ἀντὶ τοῦ ἀγαπᾶν με ἐνδιέβαλλόν με, ἐγὼ δὲ προσηυχόμην. Καὶ ἔθεντο κατ' ἐμοῦ κακὰ ἀντὶ ἀγαθῶν, καὶ μῖσος ἀντὶ ἀγαπήσεώς μου. Κατάστησον ἐπ' αὐτὸν ἁμαρτωλόν, καὶ διάβολος στήτω ἐκ δεξιῶν αὐτοῦ· Ἐν τῷ κρίνεσθαι αὐτὸν, ἐξέλθοι καταδεδικασμένος, καὶ ἡ προσευχὴ αὐτοῦ γενέσθω εἰς ἁμαρτίαν. Γενηθήτωσαν αἱ ἡμέραι αὐτοῦ ὀλίγαι, καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος. Γενηθήτωσαν οἱ υἱοὶ αὐτοῦ ὀρφανοὶ, καὶ ἡ γυνὴ αὐτοῦ χήρα. Σαλευόμενοι μεταναστήτωσαν οἱ υἱοὶ αὐτοῦ, καὶ ἐπαιτησάτωσαν, ἐκβληθήτωσαν ἐκ τῶν οἰκοπέδων αὐτῶν. Ἐξερευνησάτω δανειστὴς πάντα ὅσα ὑπάρχει αὐτῷ, καὶ διαρπασάτωσαν

ὄνειδος αὐτοῖς· εἴδοσάν με, ἐσάλευσαν κεφαλὰς αὐτῶν. Βοήθησόν μοι, Κύριε ὁ Θεός μου, καὶ σῶσόν με κατὰ τὸ ἔλεός σου. Καὶ γνώτωσαν ὅτι ἡ χείρ σου αὕτη, καὶ σὺ, Κύριε, ἐποίησας αὐτήν. Καταράσονται αὐτοὶ, καὶ σὺ εὐλογήσεις· οἱ ἐπανιστάμενοί μου αἰσχυνθήτωσαν, ὁ δὲ δοῦλός σου εὐφρανθήσεται. Ἐνδυσάσθωσαν οἱ ἐνδιαβάλλοντές με ἐντροπὴν, καὶ περιβαλέσθωσαν ὡς διπλοΐδα αἰσχύνην αὐτῶν. Ἐξομολογήσομαι τῷ Κυρίῳ σφόδρα ἐν τῷ στόματί μου, καὶ ἐν μέσῳ πολλῶν αἰνέσω αὐτόν. Ὅτι παρέστη ἐκ δεξιῶν πένητος, τοῦ σῶσαι ἐκ τῶν καταδιωκόντων τὴν ψυχήν μου.

Δόξα καὶ νῦν. Ἀλληλούϊα.

ΚΑΘΙΣΜΑ ΙΣΤ'.

ΨΑΛΜΟΣ. 109. Τοῦ Δαβίδ.

Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. Ῥάβδον δυνάμεως ἐξαποστελεῖ σοι Κύριος ἐκ Σιὼν καὶ κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου. Μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου, ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου. Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε. Ὤμοσε Κύριος, καὶ οὐ μεταμεληθήσεται· σὺ ἱερεὺς εἰς τὸν αἰῶνα, κατὰ τὴν τάξιν Μελχισεδέκ. Κύριος ἐκ δεξιῶν σου συνέθλασεν ἐν ἡμέρᾳ ὀργῆς αὐτοῦ βασιλεῖς. Κρινεῖ ἐν τοῖς ἔθνεσι, πληρώσει πτώματα, συνθλάσει κεφαλὰς ἐπὶ γῆς πολλῶν. Ἐκ χειμάρρου ἐν ὁδῷ πίεται· διὰ τοῦτο ὑψώσει κεφαλήν.

ΨΑΛΜΟΣ 110. Ἀλληλούϊα.

Ἐξομολογήσομαί σοι Κύριε ἐν ὅλῃ καρδίᾳ μου, ἐν βουλῇ εὐθέων καὶ συναγωγῇ. Μεγάλα τὰ ἔργα Κυρίου, ἐξεζητημένα εἰς παντα τα θελήματα αὐτοῦ. Ἐξομολόγησις καὶ μεγαλοπρέπεια τὸ ἔργον αὐτοῦ, καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Μνείαν ἐποιήσατο τῶν θαυμασίων αὐτοῦ· ἐλεήμων καὶ οἰκτίρμων ὁ Κύριος, τροφὴν ἔδωκε τοῖς φοβουμένοις αὐτόν. Μνησθήσεται εἰς τὸν αἰῶνα διαθήκης αὐτοῦ· ἰσχὺν ἔργων αὐτοῦ ἀνήγγειλε τῷ λαῷ αὐτοῦ. Τοῦ δοῦναι αὐτοῖς κληρονομίαν ἐθνῶν· ἔργα χειρῶν αὐτοῦ ἀλήθεια καὶ κρίσις. Πισταὶ πᾶσαι αἱ ἐντολαὶ αὐτοῦ, ἐστηριγμέναι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, πεποιημέναι ἐν ἀληθείᾳ καὶ εὐθύτητι. Λύτρωσιν ἀπέστειλε τῷ λαῷ αὐτοῦ, ἐνετείλατο εἰς τον αἰῶνα διαθήκην αὐτοῦ. Ἅγιον καὶ φοβερὸν τὸ ὄνομα αὐτοῦ· ἀρχὴ σοφίας φόβος Κυρίου. Σύνεσις δὲ ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐτήν· ἡ αἴνεσις αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

ΨΑΛΜΟΣ 111. Ἀλληλούϊα.

Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

τοῦ θελήσει σφόδρα. Δυνατὸν ἐν τῇ γῇ ἔσται τὸ σπέρμα αὐτοῦ, γενεὰ εὐθέων εὐλογηθήσεται. Δόξα καὶ πλοῦτος ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ἐξανέτειλεν ἐν σκότει φῶς τοῖς εὐθέσιν, ἐλεήμων καὶ οἰκτίρμων καὶ δίκαιος. Χρηστὸς ἀνὴρ ὁ οἰκτείρων καὶ κιχρῶν· οἰκονομήσει τοὺς λόγους αὐτοῦ ἐν κρίσει, ὅτι εἰς τὸν αἰῶνα οὐ σαλευθήσεται. Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος, ἀπὸ ἀκοῆς πονηρᾶς οὐ φοβηθήσεται. Ἑτοίμη ἡ καρδία αὐτοῦ ἐλπίζειν ἐπὶ Κύριον· ἐστήρικται ἡ καρδία αὐτοῦ, οὐ μὴ φοβηθῇ, ἕως οὗ ἐπίδῃ ἐπὶ τοὺς ἐχθροὺς αὐτοῦ. Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν, ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Τὸ κέρας αὐτοῦ ὑψωθήσεται ἐν δόξῃ. Ἁμαρτωλὸς ὄψεται, καὶ ὀργισθήσεται, τοὺς ὀδόντας αὐτοῦ βρύξει, καὶ τακήσεται· ἐπιθυμία ἁμαρτωλοῦ ἀπολεῖται.

Δόξα καὶ νῦν. Ἀλληλούϊα.

ΨΑΛΜΟΣ 112. Ἀλληλούϊα.

Αἰνεῖτε παῖδες Κύριον, αἰνεῖτε τὸ ὄνομα Κυρίου. Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν, καὶ ἕως τοῦ αἰῶνος. Ἀπὸ ἀνατολῶν Ἡλίου μέχρι δυσμῶν, αἰνετὸν τὸ ὄνομα Κυρίου. Ὑψηλὸς ἐπὶ πάντα τὰ ἔθνη ὁ Κύριος, ἐπὶ τοὺς οὐρανοὺς ἡ δόξα αὐτοῦ. Τίς ὡς Κύριος ὁ Θεὸς ἡμῶν; ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπει-

ται. Ὦτα ἔχουσι, καὶ οὐκ ἀκούσονται· ῥῖνας ἔχουσι, καὶ οὐκ ὀσφρανθήσονται. Χεῖρας ἔχουσι, καὶ οὐ ψηλαφήσουσι· πόδας ἔχουσι, καὶ οὐ περιπατήσουσιν· οὐ φωνήσουσιν ἐν τῷ λάρυγγι αὐτῶν. Ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτά, καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς. Οἶκος Ἰσραὴλ ἤλπισεν ἐπὶ Κύριον, βοηθὸς, καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν. Οἶκος Ἀαρὼν ἤλπισεν ἐπὶ Κύριον, βοηθὸς, καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν. Οἱ φοβούμενοι τὸν Κύριον ἤλπισαν ἐπὶ Κύριον, βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστι. Κύριος μνησθεὶς ἡμῶν, εὐλόγησεν ἡμᾶς, εὐλόγησε τὸν οἶκον Ἰσραὴλ, εὐλόγησε τὸν οἶκον Ἀαρών. Εὐλόγησε τοὺς φοβουμένους τὸν Κύριον, τοὺς μικροὺς μετὰ τῶν μεγάλων. Προσθείη Κύριος ἐφ' ὑμᾶς, ἐφ' ὑμᾶς, καὶ ἐπὶ τοὺς υἱούς ὑμῶν. Εὐλογημένοι ὑμεῖς τῷ Κυρίῳ, τῷ ποιήσαντι τὸν οὐρανὸν, καὶ τὴν γῆν. Ὁ οὐρανὸς τοῦ οὐρανοῦ τῷ Κυρίῳ, τὴν δὲ γῆν ἔδωκε τοῖς υἱοῖς τῶν ἀνθρώπων. Οὐχ οἱ νεκροὶ αἰνέσουσί σε, Κύριε, οὐδὲ πάντες οἱ καταβαίνοντες εἰς ᾅδου, ἀλλ' ἡμεῖς οἱ ζῶντες εὐλογήσομεν τὸν Κύριον, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

ΨΑΛΜΟΣ 114. Ἀλληλούϊα.

Ἠγάπησα, ὅτι εἰσακούσεται Κύριος τῆς φωνῆς τῆς δεήσεώς μου. Ὅτι ἔκλινε τὸ οὖς αὐτοῦ ἐμοί, καὶ ἐν ταῖς ἡμέραις μου ἐπικαλέσομαι. Περιέσχον με ὠδῖνες θανάτου, κίνδυνοι ᾅδου εὗρόσάν με· θλῖψιν καὶ ὀδύνην εὗρον, καὶ τὸ ὄνομα Κυρίου ἐπεκαλεσάμην· ὦ Κύριε ῥῦσαι τὴν ψυχήν μου. Ἐλεήμων ὁ Κύριος καὶ δίκαιος, καὶ ὁ Θεὸς ἡμῶν ἐλεεῖ. Φυλάσσων τὰ νήπια ὁ Κύριος, ἐταπεινώθην καὶ ἔσωσέ με. Ἐπίστρεψον ψυχή μου εἰς τὴν ἀνάπαυσίν σου, ὅτι Κύριος εὐηργέτησέ σε. Ὅτι ἐξείλετο τὴν ψυχήν μου ἐκ θανάτου, τοὺς ὀφθαλμούς μου ἀπὸ δακρύων, καὶ τοὺς πόδας μου ἀπὸ ὀλισθήματος. Εὐαρεστήσω ἐνώπιον Κυρίου ἐν χώρᾳ ζώντων.

Δόξα, καὶ νῦν. Ἀλληλούϊα.

ΨΑΛΜΟΣ 115. Ἀλληλούϊα.

Ἐπίστευσα διὸ ἐλάλησα, ἐγὼ δὲ ἐταπεινώθην σφόδρα. Ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου, Πᾶς ἄνθρωπος ψεύστης. Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκέ μοι; Ποτήριον σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι. Τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ. Ὦ Κύριε, ἐγὼ δοῦλος σός, ἐγὼ δοῦλος σὸς καὶ υἱὸς τῆς παιδίσκης σου, διέῤῥηξας τοὺς δεσμούς μου. Σοὶ θύσω θυσίαν αἰνέσεως, καὶ ἐν ὀνόματι Κυρίου ἐπικαλέσομαι. Τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ,

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

Ἐν αὐλαῖς οἴκου Κυρίου, ἐν μέσῳ σου Ἰερουσαλήμ.

ΨΑΛΜΟΣ 116. Ἀλληλούϊα.

Αἰνεῖτε τὸν Κύριον πάντα τὰ ἔθνη, ἐπαινέσατε αὐτὸν πάντες οἱ λαοί. Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἡ ἀλήθεια τοῦ Κυρίου μένει εἰς τὸν αἰῶνα.

ΨΑΛΜΟΣ 117. Ἀλληλούϊα

Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Εἰπάτω δὴ οἶκος Ἰσραὴλ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Εἰπάτω δὴ οἶκος Ἀαρών, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Εἰπάτωσαν δὴ πάντες οἱ φοβούμενοι τὸν Κύριον, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Ἐκ θλίψεως ἐπεκαλεσάμην τὸν Κύριον, καὶ ἐπήκουσέ μου εἰς πλατυσμόν. Κύριος ἐμοὶ βοηθός, καὶ οὐ φοβηθήσομαι, τί ποιήσει μοι ἄνθρωπος. Κύριος ἐμοὶ βοηθός, κἀγὼ ἐπόψομαι τοὺς ἐχθρούς μου. Ἀγαθὸν πεποιθέναι ἐπὶ Κύριον, ἢ πεποιθέναι ἐπ' ἄνθρωπον. Ἀγαθὸν ἐλπίζειν ἐπὶ Κύριον, ἢ ἐλπίζειν ἐπ' ἄρχουσι. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς. Κυκλώσαντες ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς. Ἐκύκλωσάν με ὡσεὶ μέλισσαι κηρίον, καὶ ἐξεκαύθησαν ὡς πῦρ ἐν ἀκάνθαις, καὶ τῷ ὀ-

Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Δόξα, καὶ νῦν. Ἀλληλούϊα.

ΚΑΘΙΣΜΑ ΙΖ'.

ΨΑΛΜΟΣ 118. Τοῦ Δαβίδ.

ΣΤΑΣΙΣ ΠΡΩΤΗ.

Μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ, οἱ πορευόμενοι ἐν νόμῳ Κυρίου. Μακάριοι οἱ ἐξερευνῶντες τὰ μαρτύρια αὐτοῦ, ἐν ὅλῃ καρδίᾳ ἐκζητήσουσιν αὐτόν. Οὐ γὰρ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν ἐν ταῖς ὁδοῖς αὐτοῦ ἐπορεύθησαν. Σὺ ἐνετείλω τὰς ἐντολάς σου, τοῦ φυλάξασθαι σφόδρα. Ὤφελον κατευθυνθείησαν αἱ ὁδοί μου τοῦ φυλάξασθαι τὰ δικαιώματά σου. Τότε οὐ μὴ αἰσχυνθῶ, ἐν τῷ μὲ ἐπιβλέπειν ἐπὶ πάσας τὰς ἐντολάς σου. Ἐξομολογήσομαί σοι ἐν εὐθύτητι καρδίας, ἐν τῷ μεμαθηκέναι με τὰ κρίματα τῆς δικαιοσύνης σου· τὰ δικαιώματά σου φυλάξω, μὴ με ἐγκαταλίπῃς ἕως σφόδρα· Ἐν τίνι κατορθώσει νεώτερος τὴν ὁδὸν αὐτοῦ; ἐν τῷ φυλάξασθαι τοὺς λόγους σου. Ἐν ὅλῃ καρδίᾳ μου ἐξεζήτησά σε, μὴ ἀπώσῃ με ἀπὸ τῶν ἐντολῶν σου. Ἐν τῇ καρδίᾳ μου ἔκρυψα τὰ λόγιά σου, ὅπως ἂν μὴ ἁμάρτω σοι. Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με τὰ δικαιώματά σου. Ἐν τοῖς χείλεσί μου ἐξήγγειλα πάντα τὰ κρίματα τοῦ στόματός σου. Ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐτέρφθην, ὡς ἐπὶ παντὶ πλούτῳ. Ἐν ταῖς ἐντολαῖς σου ἀδολεσχήσω, καὶ κατανοήσω τὰς ὁδούς σου. Ἐν τοῖς δικαιώμασί σου μελετήσω, οὐκ ἐπιλήσομαι τῶν λόγων σου. Ἀνταπόδος τῷ δούλῳ σου, ζῆσόν με, καὶ φυλάξω τοὺς λόγους σου. Ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου. Πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ, μὴ ἀποκρύψῃς ἀπ' ἐμοῦ τὰς ἐντολάς σου. Ἐπεπόθησεν ἡ ψυχή μου τοῦ ἐπιθυμῆσαι τὰ κρίματά σου ἐν παντὶ καιρῷ. Ἐπετίμησας ὑπερηφάνοις· ἐπικατάρατοι οἱ ἐκκλίνοντες ἀπὸ τῶν ἐντολῶν σου. Περίελε ἀπ' ἐμοῦ ὀνειδος, καὶ ἐξουδένωσιν, ὅτι τὰ μαρτύριά σου ἐξεζήτησα. Καὶ γὰρ ἐκάθησαν ἄρχοντες, καὶ κατ' ἐμοῦ κατελάλουν· ὁ δὲ δοῦλός σου ἠδολέσχει ἐν τοῖς δικαιώμασί σου. Καὶ γὰρ τὰ μαρτύριά σου μελέτη μου ἐστί, καὶ αἱ συμβουλίαι μου τὰ δικαιώματά σου. Ἐκολλήθη τῷ ἐδάφει ἡ ψυχή μου, ζῆσόν με κατὰ τὸν λόγον σου. Τὰς ὁδούς μου ἐξήγγειλα, καὶ ἐπήκουσάς μου, δίδαξόν με τὰ δικαιώματά σου. Ὁδὸν δικαιωμάτων σου συνέτισόν με, καὶ ἀδολεσχήσω ἐν τοῖς θαυμασίοις σου. Ἐνύσταξεν ἡ ψυχή μου ἀπὸ ἀκηδίας, βεβαίωσόν με ἐν τοῖς λόγοις σου. Ὁδὸν ἀδικίας ἀπόστησον ἀπ' ἐμοῦ, καὶ τῷ νόμῳ σου ἐλέησόν με. Ὁδὸν ἀληθείας ᾑρετισάμην, καὶ τὰ κρίματά σου οὐκ

ἐπελαθόμην. Ἐκολλήθην τοῖς μαρτυρίοις σου, Κύριε, μή με καταισχύνῃς. Ὁδὸν ἐντολῶν σου ἔδραμον, ὅταν ἐπλάτυνας τὴν καρδίαν μου. Νομοθέτησόν με, Κύριε, τὴν ὁδὸν τῶν δικαιωμάτων σου, καὶ ἐκζητήσω αὐτὴν διαπαντός. Συνέτισόν με, καὶ ἐξερευνήσω τὸν νόμον σου, καὶ φυλάξω αὐτὸν ἐν ὅλῃ καρδίᾳ μου. Ὁδήγησόν με ἐν τῇ τρίβῳ τῶν ἐντολῶν σου, ὅτι αὐτὴν ἠθέλησα. Κλῖνον τὴν καρδίαν μου εἰς τὰ μαρτύριά σου, καὶ μὴ εἰς πλεονεξίαν. Ἀπόστρεψον τοὺς ὀφθαλμούς μου τοῦ μὴ ἰδεῖν ματαιότητα· ἐν τῇ ὁδῷ σου ζῆσόν με. Στῆσον τῷ δούλῳ σου τὸ λόγιόν σου εἰς τὸν φόβον σου. Περίελε τὸν ὀνειδισμόν μου, ὃν ὑπώπτευσα, ὅτι τὰ κρίματά σου χρηστά. Ἰδοὺ ἐπεθύμησα τὰς ἐντολάς σου, ἐν τῇ δικαιοσύνῃ σου ζῆσόν με. Καὶ ἐλθοί ἐπ' ἐμὲ τὸ ἔλεός σου, Κύριε, τὸ σωτήριόν σου κατὰ τὸν λόγον σου. Καὶ ἀποκριθήσομαι τοῖς ὀνειδίζουσί μοι λόγον, ὅτι ἤλπισα ἐπὶ τοῖς λόγοις σου. Καὶ μὴ περιέλῃς ἐκ τοῦ στόματός μου λόγον ἀληθείας ἕως σφόδρα, ὅτι ἐπὶ τοῖς κρίμασί σου ἐπήλπισα. Καὶ φυλάξω τὸν νόμον σου διὰ παντός, εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Καὶ ἐπορευόμην ἐν πλατυσμῷ, ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα. Καὶ ἐλάλουν ἐν τοῖς μαρτυρίοις σου ἐναντίον βασιλέων, καὶ οὐκ ᾐσχυνόμην. Καὶ ἐμελέτων ἐν ταῖς ἐντολαῖς σου, ἃς ἠγάπησα σφόδρα. Καὶ ἦρα τὰς χεῖράς μου πρὸς τὰς ἐντολάς σου, ἃς ἠγάπησα, καὶ ἠδολέσχουν ἐν τοῖς δικαιώμασί σου. Μνήσθητι τῶν λόγων σου τῷ δούλῳ σου, ὧν ἐπήλπισάς με. Αὕτη με παρεκάλεσεν ἐν τῇ ταπεινώσει μου, ὅτι τὸ λόγιόν σου ἔζησέ με. Ὑπερήφανοι παρηνόμουν ἕως σφόδρα, ἀπὸ δὲ τοῦ νόμου σου οὐκ ἐξέκλινα· Ἐμνήσθην τῶν κριμάτων σου ἀπ' αἰῶνος Κύριε, καὶ παρεκλήθην. Ἀθυμία κατέσχε με ἀπὸ ἁμαρτωλῶν, τῶν ἐγκαταλιμπανόντων τὸν νόμον σου. Ψαλτὰ ἦσάν μοι τὰ δικαιώματα σου ἐν τόπῳ παροικίας μου. Ἐμνήσθην ἐν νυκτὶ τοῦ ὀνόματός σου Κύριε, καὶ ἐφύλαξα τὸν νόμον σου. Αὕτη ἐγενήθη μοι, ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα. Μερίς μου εἶ Κύριε, εἶπα τοῦ φυλάξασθαι τὸν νόμον σου. Ἐδεήθην τοῦ προσώπου σου ἐν ὅλῃ καρδίᾳ μου, ἐλέησόν με κατὰ τὸ λόγιόν σου. Διελογισάμην τὰς ὁδούς σου, καὶ ἐπέστρεψα τοὺς πόδας μου εἰς τὰ μαρτύριά σου. Ἡτοιμάσθην, καὶ οὐκ ἐταράχθην, τοῦ φυλάξασθαι τὰς ἐντολάς σου. Σχοινία ἁμαρτωλῶν περιεπλάκησάν μοι, καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην. Μεσονύκτιον ἐξηγειρόμην, τοῦ ἐξομολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου. Μέτοχος ἐγώ εἰμι πάντων τῶν φοβουμένων σε, καὶ τῶν φυλασσόντων τὰς ἐντολάς σου. Τοῦ ἐλέους σου Κύριε πλήρης ἡ γῆ, τὰ δικαιώματά σου δίδαξόν με. Χρηστότητα ἐποίη-

Κεντρική Βιβλιοθήκη Βέροιας

σας μετὰ τοῦ δούλου σου, Κύριε, κατὰ τὸν λόγον σου. Χρηστότητα καὶ παιδείαν, καὶ γνῶσιν δίδαξόν με, ὅτι ταῖς ἐντολαῖς σου ἐπίστευσα. Πρό τοῦ με ταπεινωθῆναι, ἐγὼ ἐπλημμέλησα, διὰ τοῦτο τὸ λόγιόν σου ἐφύλαξα. Χρηστὸς εἶ σὺ, Κύριε, καὶ ἐν τῇ χρηστότητί σου δίδαξόν με τὰ δικαιώματά σου. Ἐπληθύνθη ἐπ' ἐμὲ ἀδικία ὑπερηφάνων· ἐγὼ δὲ ἐν ὅλῃ καρδίᾳ μου ἐξερευνήσω τὰς ἐντολάς σου. Ἐτυρώθη ὡς γάλα ἡ καρδία αὐτῶν, ἐγὼ δὲ τὸν νόμον σου ἐμελέτησα. Ἀγαθόν μοι ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου. Ἀγαθός μοι ὁ νόμος τοῦ στόματός σου, ὑπὲρ χιλιάδας χρυσίου καὶ ἀργυρίου.

Δόξα, καὶ νῦν. Ἀλληλούϊα.

ΣΤΑΣΙΣ ΔΕΥΤΕΡΑ.

Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με· συνέτισόν με, καὶ μαθήσομαι τὰς ἐντολάς σου. Οἱ φοβούμενοί σε ὄψονταί με, καὶ εὐφρανθήσονται, ὅτι εἰς τοὺς λόγους σου ἐπήλπισα. Ἔγνων Κύριε, ὅτι δικαιοσύνη τὰ κρίματά σου, καὶ ἀληθείᾳ ἐταπείνωσάς με. Γενηθήτω δὴ τὸ ἔλεός σου τοῦ παρακαλέσαι με, κατὰ τὸ λόγιόν σου τῷ δούλῳ σου. Ἐλθέτωσάν μοι οἱ οἰκτιρμοί σου, καὶ ζήσομαι, ὅτι ὁ νόμος σου μελέτη μου ἐστίν. Αἰσχυνθήτωσαν ὑπερήφανοι, ὅτι ἀδίκως ἠνόμησαν εἰς ἐμέ, ἐγὼ δὲ ἀδολεσχήσω ἐν ταῖς ἐντολαῖς σου. Ἐπιστρεψάτωσάν με οἱ φοβούμενοί σε, καὶ οἱ γινώσκοντες τὰ μαρτύριά σου. Γενηθήτω ἡ καρδία μου ἄμωμος ἐν τοῖς δικαιώμασί σου, ὅπως ἂν μὴ αἰσχυνθῶ. Ἐκλείπει εἰς τὸ σωτήριόν σου ἡ ψυχή μου, εἰς τοὺς λόγους σου ἐπήλπισα. Ἐξέλιπον οἱ ὀφθαλμοί μου εἰς τὸ λόγιόν σου λέγοντες, Πότε παρακαλέσεις με; Ὅτι ἐγενήθην ὡς ἀσκὸς ἐν πάχνῃ, τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην. Πόσαι εἰσὶν αἱ ἡμέραι τοῦ δούλου σου; πότε ποιήσεις μοι ἐκ τῶν καταδιωκόντων με κρίσιν; Διηγήσαντό μοι παράνομοι ἀδολεσχίας, ἀλλ' οὐχ ὡς ὁ νόμος σου Κύριε. Πᾶσαι αἱ ἐντολαί σου ἀλήθεια. Ἀδίκως κατεδίωξάν με, βοήθησόν μοι. Παραβραχὺ συνετέλεσάν με ἐν τῇ γῇ, ἐγὼ δὲ οὐκ ἐγκατέλιπον τὰς ἐντολάς σου. Κατὰ τὸ ἔλεός σου ζῆσόν με, καὶ φυλάξω τὰ μαρτύρια τοῦ στόματός σου. Εἰς τὸν αἰῶνα, Κύριε, ὁ λόγος σου διαμένει ἐν τῷ οὐρανῷ. Εἰς γενεὰν καὶ γενεὰν ἡ ἀλήθειά σου. Ἐθεμελίωσας τὴν γῆν, καὶ διαμένει. Τῇ διατάξει σου διαμένει ἡμέρα, ὅτι τὰ σύμπαντα δοῦλα σά. Εἰμὴ ὅτι ὁ νόμος σου μελέτη μου ἐστί, τότε ἂν ἀπωλόμην ἐν τῇ ταπεινώσει μου. Εἰς τὸν αἰῶνα οὐ μὴ ἐπιλάθωμαι τῶν δικαιωμάτων σου, ὅτι ἐν αὐτοῖς ἔζησάς με.

ΜΕΣΗ

Σός εἰμι ἐγὼ, σῶσόν με, ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα. Ἐμὲ

ὑπέμειναν ἁμαρτωλοὶ τοῦ ἀπολέσαι με, τὰ μαρτύριά σου συνῆκα. Πάσης συντελείας εἶδον πέρας· πλατεία ἡ ἐντολή σου σφόδρα. Ὡς ἠγάπησα τὸν νόμον σου, Κύριε, ὅλην τὴν ἡμέραν μελέτη μού ἐστίν. Ὑπὲρ τοὺς ἐχθρούς μου ἐσόφισάς με τὴν ἐντολήν σου, ὅτι εἰς τὸν αἰῶνα ἐμή ἐστιν. Ὑπὲρ πάντας τοὺς διδάσκοντάς με συνῆκα, ὅτι τὰ μαρτύριά σου μελέτη μου ἐστίν. Ὑπὲρ πρεσβυτέρους συνῆκα, ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα. Ἐκ πάσης ὁδοῦ πονηρᾶς ἐκώλυσα τοὺς πόδας μου ὅπως ἂν φυλάξω τοὺς λόγους σου. Ἀπὸ τῶν κριμάτων σου οὐκ ἐξέκλινα, ὅτι σὺ ἐνομοθέτησάς με. Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου, ὑπὲρ μέλι τῷ στόματί μου. Ἀπὸ τῶν ἐντολῶν σου συνῆκα, διὰ τοῦτο ἐμίσησα πᾶσαν ὁδὸν ἀδικίας. Λύχνος τοῖς ποσί μου ὁ νόμος σου, καὶ φῶς ταῖς τρίβοις μου. Ὤμοσα καὶ ἔστησα τοῦ φυλάξασθαι τὰ κρίματα τῆς δικαιοσύνης σου. Ἐταπεινώθην ἕως σφόδρα Κύριε, ζῆσόν με κατὰ τὸν λόγον σου. Τὰ ἑκούσια τοῦ στόματός μου εὐδόκησον δή Κύριε, καὶ τὰ κρίματά σου δίδαξόν με. Ἡ ψυχή μου ἐν ταῖς χερσί σου διαπαντός, καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην. Ἔθεντο ἁμαρτωλοὶ παγίδα μοι, καὶ ἐκ τῶν ἐντολῶν σου οὐκ ἐπλανήθην. Ἐκληρονόμησα τὰ μαρτύρια σου εἰς τὸν αἰῶνα, ὅτι ἀγαλλίαμα τῆς καρδίας μου εἰσίν. Ἔκλινα τὴν καρδίαν μου τοῦ ποιῆσαι τὰ

ὁδὸν ἄδικον ἐμίσησα. Θαυμαστὰ τὰ μαρτύριά σου, διὰ τοῦτο ἐξηρεύνησεν αὐτὰ ἡ ψυχή μου. Ἡ δήλωσις τῶν λόγων σου φωτιεῖ, καὶ συνετιεῖ νηπίους· Τὸ στόμα μου ἤνοιξα, καὶ εἵλκυσα πνεῦμα, ὅτι τὰς ἐντολάς σου ἐπεπόθουν.

Δόξα καὶ νῦν. Ἀλληλούϊα.

ΣΤΑΣΙΣ ΤΡΙΤΗ.

Ἐπίβλεψον ἐπ' ἐμὲ, καὶ ἐλέησόν με, κατὰ τὸ κρίμα τῶν ἀγαπώντων τὸ ὄνομά σου. Τὰ διαβήματά μου κατεύθυνον κατὰ τὸ λόγιόν σου, καὶ μὴ κατακυριευσάτω μου πᾶσα ἀνομία. Λύτρωσαί με ἀπὸ συκοφαντίας ἀνθρώπων, καὶ φυλάξω τὰς ἐντολάς σου. Τὸ πρόσωπόν σου ἐπίφανον ἐπὶ τὸν δοῦλόν σου, καὶ δίδαξόν με τὰ δικαιώματά σου. Διεξόδους ὑδάτων κατέδυσαν οἱ ὀφθαλμοί μου, ἐπεὶ οὐκ ἐφύλαξα τὸν νόμον σου. Δίκαιος εἶ Κύριε, καὶ εὐθεῖς αἱ κρίσεις σου. Ἐνετείλω δικαιοσύνην τὰ μαρτύριά σου, καὶ ἀλήθειαν σφόδρα. Ἐξέτηξέ με ὁ ζῆλός σου, ὅτι ἐπελάθοντο τῶν λόγων σου οἱ ἐχθροί μου. Πεπυρωμένον τὸ λόγιόν σου σφόδρα, καὶ ὁ δοῦλός σου ἠγάπησεν αὐτό. Νεώτερος ἐγώ εἰμι, καὶ ἐξουδενωμένος, τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην. Ἡ δικαιοσύνη σου, δικαιοσύνη εἰς τὸν αἰῶνα, καὶ ὁ νόμος σου ἀλήθεια. Θλίψεις καὶ ἀνάγκαι εὗρόσάν με· αἱ ἐντολαί σου μελέτη μου. Δικαιοσύνη τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα· συνέτισόν με, καὶ ζήσομαι. Ἐκέκραξα ἐν ὅλῃ καρδίᾳ μου, ἐπάκουσόν μου Κύριε, τὰ δικαιώματά σου ἐκζητήσω. Ἐκέκραξά σοι, σῶσόν με, καὶ φυλάξω τὰ μαρτύριά σου. Προέφθασα ἐν ὠρίᾳ, καὶ ἐκέκραξα, εἰς τοὺς λόγους σου ἐπήλπισα. Προέφθασαν οἱ ὀφθαλμοί μου πρὸς ὄρθρον τοῦ μελετᾷν, τὰ λόγιά σου. Τῆς φωνῆς μου ἄκουσον, Κύριε, κατὰ τὸ ἔλεός σου, κατὰ τὸ κρῖμά σου ζῆσόν με. Προσήγγισαν οἱ καταδιώκοντές με ἀνομίᾳ, ἀπὸ δὲ τοῦ νόμου σου ἐμακρύνθησαν. Ἔγγυς εἶ σὺ Κύριε, καὶ πᾶσαι αἱ ὁδοί σου ἀλήθεια. Κατ' ἀρχὰς ἔγνων ἐκ τῶν μαρτυρίων σου, ὅτι εἰς τὸν αἰῶνα ἐθεμελίωσας αὐτά. Ἴδε τὴν ταπείνωσίν μου, καὶ ἐξελοῦ με, ὅτι τοῦ νόμου σου οὐκ ἐπελαθόμην. Κρῖνον τὴν κρίσιν μου καὶ λύτρωσαί με, διὰ τὸν λόγον σου ζῆσόν με. Μακρὰν ἀπὸ ἁμαρτωλῶν σωτηρία, ὅτι τὰ δικαιώματά σου οὐκ ἐξεζήτησαν. Οἱ οἰκτιρμοί σου πολλοί Κύριε, κατὰ τὸ κρῖμά σου ζῆσόν με. Πολλοὶ οἱ ἐκδιώκοντές με καὶ θλίβοντές με, ἐκ τῶν μαρτυρίων σου οὐκ ἐξέκλινα. Εἶδον ἀσυνετοῦντας, καὶ ἐξετηκόμην, ὅτι σὰ λόγιά σου οὐκ ἐφυλάξαντο· Ἴδε ὅτι τὰς ἐντολάς σου ἠγάπησα. Κύριε ἐν τῷ ἐλέει σου ζῆσόν με. Ἀρχὴ τῶν λόγων σου ἀλήθεια, καὶ εἰς τὸν αἰῶνα πάντα τὰ κρίματα τῆς δικαιοσύνης σου. Ἄρχοντες κατεδίωξάν με δωρεάν, καὶ ἀπὸ τῶν λόγων σου ἐδειλίασεν ἡ καρδία μου.

μου. Ἀγαλλιάσομαι ἐγὼ ἐπὶ τὰ λόγιά σου, ὡς ὁ εὑρίσκων σκῦλα πολλά. Ἀδικίαν ἐμίσησα καὶ ἐβδελωξάμην, τὸν δὲ νόμον σου ἠγάπησα. Ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σε, ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου. Εἰρήνη πολλὴ τοῖς ἀγαπῶσι τὸν νόμον σου, καὶ οὐκ ἔστιν αὐτοῖς σκάνδαλον. Προσεδόκων τὸ σωτήριόν σου Κύριε, καὶ τὰς ἐντολάς σου ἠγάπησα. Ἐφύλαξεν ἡ ψυχή μου τὰ μαρτύριά σου, καὶ ἠγάπησεν αὐτὰ σφόδρα. Ἐφύλαξα τὰς ἐντολάς σου καὶ τὰ μαρτύριά σου, ὅτι πᾶσαι αἱ ὁδοί μου ἐναντίον σου, Κύριε. Ἐγγισάτω ἡ δέησίς μου ἐνώπιόν σου Κύριε, κατὰ τὸ λόγιόν σου συνέτισόν με. Εἰσέλθοι τὸ ἀξίωμά μου ἐνώπιόν σου, Κύριε, κατὰ τὸ λόγιόν σου ῥῦσαί με. Ἐξερεύξονται τὰ χείλη μου ὕμνον, ὅταν διδάξῃς με τὰ δικαιώματά σου. Φθέγξεται ἡ γλῶσσά μου τὰ λόγιά σου, ὅτι πᾶσαι αἱ ἐντολαί σου δικαιοσύνη. Γενέσθω ἡ χείρ σου τοῦ σῶσαί με, ὅτι τὰς ἐντολάς σου ᾑρετισάμην. Ἐπεπόθησα τὸ σωτήριόν σου Κύριε, καὶ ὁ νόμος σου μελέτη μου ἐστί. Ζήσεται ἡ ψυχή μου, καὶ αἰνέσει σε, καὶ τὰ κρίματά σου βοηθήσει μοι. Ἐπλανήθην ὡς πρόβατον ἀπολωλός, ζήτησον τὸν δοῦλόν σου, ὅτι τὰς ἐντολάς σου οὐκ ἐπελαθόμην.

Δόξα καὶ νῦν. Ἀλληλούϊα

ΨΑΛΜΟΣ 121. Τῶν Ἀναβαθμῶν

Εὐφράνθην ἐπὶ τοῖς εἰρηκόσι μοι, Εἰς οἶκον Κυρίου πορευσόμεθα. Ἑστῶτες ἦσαν οἱ πόδες ἡμῶν ἐν ταῖς αὐλαῖς σου Ἱερουσαλήμ. Ἱερουσαλὴμ οἰκοδομουμένη ὡς πόλις, ἧς ἡ μετοχὴ αὐτῆς ἐπὶ τὸ αὐτό. Ἐκεῖ γὰρ ἀνέβησαν αἱ φυλαί, φυλαὶ Κυρίου, μαρτύριον τῷ Ἰσραὴλ, τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματι Κυρίου. Ὅτι ἐκεῖ ἐκάθισαν θρόνοι εἰς κρίσιν, θρόνοι ἐπὶ οἶκον Δαβίδ. Ἐρωτήσατε δὴ τὰ εἰς εἰρήνην τὴν Ἱερουσαλήμ, καὶ εὐθηνία τοῖς ἀγαπῶσί σε. Γενέσθω δὴ εἰρήνη ἐν τῇ δυνάμει σου, καὶ εὐθηνία ἐν ταῖς πυργοβάρεσί σου. Ἕνεκα τῶν ἀδελφῶν μου καὶ τῶν πλησίον μου, ἐλάλουν δὴ εἰρήνην περὶ σοῦ. Ἕνεκα τοῦ οἴκου Κυρίου τοῦ Θεοῦ ἡμῶν, ἐξεζήτησα ἀγαθά σοι.

ΨΑΛΜΟΣ 122. Τῶν Ἀναβαθμῶν

Πρός σε ἦρα τοὺς ὀφθαλμούς μου, τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ. Ἰδοὺ ὡς ὀφθαλμοὶ δούλων εἰς χεῖρας τῶν κυρίων αὐτῶν. Ὡς ὀφθαλμοὶ παιδίσκης εἰς χεῖρας τῆς κυρίας αὐτῆς, οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς Κύριον τὸν Θεὸν ἡμῶν, ἕως οὗ οἰκτειρήσαι ἡμᾶς. Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, ὅτι ἐπὶ πολὺ ἐπλήσθημεν ἐξουδενώσεως. Ἐπὶ πλεῖον ἐπλήσθη ἡ ψυχὴ ἡμῶν, τὸ ὄνειδος τοῖς εὐθυνοῦσι, καὶ ἡ ἐξουδένωσις τοῖς ὑπερηφάνοις.

ΨΑΛΜΟΣ 123. Τῶν Ἀναβαθμῶν

Εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν, εἰπάτω δὴ Ἰσραήλ, εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν. Ἐν τῷ ἐπαναστῆναι ἀνθρώπους ἐφ' ἡμᾶς, ἄρα ζῶντας ἂν κατέπιον ἡμᾶς. Ἐν τῷ ὀργισθῆναι τὸν θυμὸν αὐτοῦ ἐφ' ἡμᾶς, ἄρα τὸ ὕδωρ ἂν κατεπόντισεν ἡμᾶς. Χειμάρρουν διῆλθεν ἡ ψυχὴ ἡμῶν· ἄρα διῆλθεν ἡ ψυχὴ ἡμῶν τὸ ὕδωρ τὸ ἀνυπόστατον. Εὐλογητὸς Κύριος, ὃς οὐκ ἔδωκεν ἡμᾶς εἰς θήραν τοῖς ὀδοῦσιν αὐτῶν· Ἡ ψυχὴ ἡμῶν ὡς στρουθίον ἐρρύσθη ἐκ τῆς παγίδος τῶν θηρευόντων. Ἡ παγὶς συνετρίβη, καὶ ἡμεῖς ἐρρύσθημεν. Ἡ βοήθεια ἡμῶν ἐν ὀνόματι Κυρίου, τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν.

Δόξα, καὶ νῦν. Ἀλληλούϊα.

ΨΑΛΜΟΣ 124. Τῶν Ἀναβαθμῶν

Οἱ πεποιθότες ἐπὶ Κύριον, ὡς ὄρος Σιών, οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα ὁ κατοικῶν Ἱερουσαλήμ. Ὄρη κύκλῳ αὐτῆς, καὶ ὁ Κύριος κύκλῳ τοῦ λαοῦ αὐτοῦ, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. Ὅτι οὐκ ἀφήσει Κύριος τὴν ῥάβδον τῶν ἁμαρτωλῶν ἐπὶ τὸν κλῆρον τῶν δικαίων, ὅπως ἂν μὴ ἐκτείνωσιν οἱ δίκαιοι ἐν ἀνομίαις χεῖρας αὐτῶν. Ἀγάθυνον Κύριε τοῖς ἀγαθοῖς, καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ. Τοὺς δὲ ἐκκλίνοντας εἰς τὰς στραγγαλιὰς, ἀπάξει Κύριος μετὰ

τῶν

τῶν ἐργαζομένων τὴν ἀνομίαν. Εἰρήνη ἐπὶ τὸν Ἰσραήλ.

ΨΑΛΜΟΣ 125. Τῶν Ἀναβαθμῶν

Ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν Σιὼν, ἐγενήθημεν ὡσεὶ παρακεκλημένοι. Τότε ἐπλήσθη χαρᾶς τὸ στόμα ἡμῶν, καὶ ἡ γλῶσσα ἡμῶν ἀγαλλιάσεως. Τότε ἐροῦσιν ἐν τοῖς ἔθνεσιν, Ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι μετ' αὐτῶν. Ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι μεθ' ἡμῶν· ἐγενήθημεν εὐφραινόμενοι. Ἐπίστρεψον Κύριε τὴν αἰχμαλωσίαν ἡμῶν, ὡς χειράρμους ἐν τῷ νότῳ. Οἱ σπείροντες ἐν δάκρυσιν, ἐν ἀγαλλιάσει θεριοῦσι. Πορευόμενοι ἐπορεύοντο, καὶ ἔκλαιον, αἴροντες τὰ σπέρματα αὐτῶν. Ἐρχόμενοι δὲ, ἥξουσιν ἐν ἀγαλλιάσει, αἴροντες τὰ δράγματα αὐτῶν.

ΨΑΛΜΟΣ 126. Τῶν Ἀναβαθμῶν

Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες. Ἐὰν μὴ Κύριος φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων, εἰς μάτην ὑμῖν ἐστι τὸ ὀρθρίζειν. Ἐγείρεσθε μετὰ τὸ καθῆσθαι οἱ ἐσθίοντες ἄρτον ὀδύνης. Ὅταν δῷ τοῖς ἀγαπητοῖς αὐτοῦ ὕπνον. Ἰδοὺ ἡ κληρονομία Κυρίου υἱοί, ὁ μισθὸς τοῦ καρποῦ τῆς γαστρός. Ὡσεὶ βέλη ἐν χειρὶ δυνατοῦ, οὕτως οἱ υἱοὶ τῶν ἐκτετιναγμένων. Μακάριος

χεῖρα αὐτοῦ ὁ θερίζων, καὶ τὸν κόλπον αὐτοῦ ὁ τὰ δράγματα συλλέγων. Καὶ οὐκ εἶπον οἱ παράγοντες, Εὐλογία Κυρίου ἐφ' ὑμᾶς, εὐλογήκαμεν ὑμᾶς ἐν ὀνόματι Κυρίου.

Δόξα καὶ νῦν. Ἀλληλούϊα.

ΨΑΛΜΟΣ 129. Τῶν Ἀναβαθμῶν.

Ἐκ βαθέων ἐκέκραξά σοι Κύριε, Κύριε, εἰσάκουσον τῆς φωνῆς μου. Γενηθήτω τὰ ὦτά σου προσέχοντα εἰς τὴν φωνὴν τῆς δεήσεώς μου. Ἐὰν ἀνομίας παρατηρήσῃς Κύριε, Κύριε, τίς ὑποστήσεται; ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστιν. Ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε Κύριε, ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου, ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν Κύριον. Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτὸς, ἀπὸ φυλακῆς πρωΐας ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον. Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος, καὶ πολλὴ παρ' αὐτῷ λύτρωσις. Καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ.

ΨΑΛΜΟΣ 130. Τῶν Ἀναβαθμῶν.

Κύριε οὐχ ὑψώθη ἡ καρδία μου, οὐδὲ ἐμετεωρίσθησαν οἱ ὀφθαλμοί μου· οὐδὲ ἐπορεύθην ἐν μεγάλοις, οὐδὲ ἐν θαυμασίοις ὑπὲρ ἐμέ. Εἰ μὴ ἐταπεινοφρόνουν, ἀλλὰ ὕψωσα τὴν ψυχήν μου· ὡς τὸ ἀπογεγαλακτισμένον ἐπὶ τὴν μητέρα αὐτοῦ, ὡς ἀνταποδώσεις ἐπὶ τὴν ψυχήν μου. Ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον ἀπὸ τοῦ νῦν, καὶ ἕως τοῦ αἰῶνος.

ΨΑΛΜΟΣ 131. Τῶν Ἀναβαθμῶν.

Μνήσθητι Κύριε τοῦ Δαβὶδ, καὶ πάσης τῆς πραότητος αὐτοῦ. Ὡς ὤμοσε τῷ Κυρίῳ, ηὔξατο τῷ Θεῷ Ἰακώβ. Εἰ εἰσελεύσομαι εἰς σκήνωμα οἴκου μου, εἰ ἀναβήσομαι ἐπὶ κλίνης στρωμνῆς μου. Εἰ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου, καὶ τοῖς βλεφάροις μου νυσταγμὸν, καὶ ἀνάπαυσιν τοῖς κροτάφοις μου. Ἕως οὗ εὕρω τόπον τῷ Κυρίῳ, σκήνωμα τῷ Θεῷ Ἰακώβ. Ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν Εὐφραθᾷ, εὕρομεν αὐτὴν ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ. Εἰσελευσώμεθα εἰς τὰ σκηνώματα αὐτοῦ· προσκυνήσωμεν εἰς τὸν τόπον, οὗ ἔστησαν οἱ πόδες αὐτοῦ. Ἀνάστηθι Κύριε εἰς τὴν ἀνάπαυσίν σου, σὺ καὶ ἡ κιβωτὸς τοῦ ἁγιάσματός σου. Οἱ Ἱερεῖς σου ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται. Ἕνεκεν Δαβὶδ τοῦ δούλου σου, μὴ ἀποστρέψῃς τὸ πρόσωπον τοῦ Χριστοῦ σου. Ὤμοσε Κύριος τῷ Δαβὶδ ἀλήθειαν, καὶ οὐ μὴ ἀθετήσει αὐτὴν· ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τοῦ θρόνου σου. Ἐὰν φυλάξωνται οἱ υἱοί σου τὴν διαθήκην μου, καὶ τὰ μαρτύριά μου ταῦτα, ἃ διδάξω αὐτούς· καὶ οἱ υἱοὶ αὐτῶν ἕως τοῦ αἰῶνος καθιοῦνται ἐπὶ τοῦ

θρό-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θράνου σου. Ὅτι ἐξελέξατο Κύριος τὴν Σιών, ἠρετίσατο αὐτὴν εἰς κατοικίαν ἑαυτῷ. Αὕτη ἡ κατάπαυσίς μου εἰς αἰῶνα αἰῶνος· ὧδε κατοικήσω, ὅτι ἠρετισάμην αὐτήν· τὴν θύραν αὐτῆς εὐλογήσω, τοὺς πτωχοὺς αὐτῆς χορτάσω ἄρτων. Τοὺς Ἱερεῖς αὐτῆς ἐνδύσω σωτηρίαν, καὶ οἱ ὅσιοι αὐτῆς ἀγαλλιάσει ἀγαλλιάσονται. Ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαβίδ, ἡτοίμασα λύχνον τῷ χριστῷ μου. Τοὺς ἐχθροὺς αὐτοῦ ἐνδύσω αἰσχύνην, ἐπὶ δὲ αὐτὸν ἐξανθήσει τὸ ἁγίασμά μου.

ΨΑΛΜΟΣ 132. Τῶν Ἀναβαθμῶν.

Ἰδοὺ δὴ τί καλὸν, ἢ τί τερπνόν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό; Ὡς μῦρον ἐπὶ κεφαλῆς, τὸ καταβαῖνον ἐπὶ πώγωνα, τὸν πώγωνα τὸν Ἀαρὼν, τὸ καταβαῖνον ἐπὶ τὴν ὥαν τοῦ ἐνδύματος αὐτοῦ. Ὡς δρόσος Ἑρμὼν, ἡ καταβαίνουσα ἐπὶ τὰ ὄρη Σιών· ὅτι ἐκεῖ ἐνετείλατο Κύριος τὴν εὐλογίαν, ζωὴν ἕως τοῦ αἰῶνος.

ΨΑΛΜΟΣ 133. Τῶν Ἀναβαθμῶν.

Ἰδοὺ δὴ εὐλογεῖτε τὸν Κύριον πάντες οἱ δοῦλοι Κυρίου· οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν. Ἐν ταῖς νυξὶν ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ ἅγια, καὶ εὐλογεῖτε τὸν Κύριον. Εὐλογήσαι σε Κύριος

των, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τῷ ποιήσαντι φῶτα μεγάλα μόνῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τὸν ἥλιον εἰς ἐξουσίαν τῆς ἡμέρας, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τὴν σελήνην, καὶ τοὺς ἀστέρας εἰς ἐξουσίαν τῆς νυκτός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τῷ πατάξαντι Αἴγυπτον σὺν τοῖς πρωτοτόκοις αὐτῶν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Καὶ ἐξαγαγόντι τὸν Ἰσραὴλ ἐκ μέσου αὐτῶν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Ἐν χειρὶ κραταιᾷ, καὶ ἐν βραχίονι ὑψηλῷ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τῷ καταδιελόντι τὴν ἐρυθρὰν θάλασσαν εἰς διαιρέσεις, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Καὶ διαγαγόντι τὸν Ἰσραὴλ διὰ μέσου αὐτῆς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Καὶ ἐκτινάξαντι Φαραὼ, καὶ τὴν δύναμιν αὐτοῦ εἰς θάλασσαν ἐρυθράν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τῷ διαγαγόντι τὸν λαὸν αὐτοῦ ἐν τῇ ἐρήμῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τῷ πατάξαντι βασιλεῖς μεγάλους, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Καὶ ἀποκτείναντι βασιλεῖς κραταιούς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τὸν Σιὼν Βασιλέα τῶν Ἀμορραίων, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Καὶ τὸν Ὼγ βασιλέα τῆς Βασάν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Καὶ δόντι τὴν γῆν αὐτῶν κληρονομίαν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Κληρονομίαν Ἰσραὴλ δούλῳ αὐτοῦ, ὅτι εἰς τὸν αἰῶνα

τὸ

τὸ ἔλεος αὐτοῦ. Ὅτι ἐν τῇ ταπεινώσει ἡμῶν ἐμνήσθη ἡμῶν ὁ Κύριος, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Καὶ ἐλυτρώσατο ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Ὁ διδοὺς τροφὴν πάσῃ σαρκί, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Ἐξομολογεῖσθε τῷ Θεῷ τοῦ οὐρανοῦ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

ΨΑΛΜΟΣ 136. Τοῦ Δαβίδ.

Ἐπὶ τὸν ποταμὸν Βαβυλῶνος, ἐκεῖ ἐκαθίσαμεν, καὶ ἐκλαύσαμεν, ἐν τῷ μνησθῆναι ἡμᾶς τῆς Σιών. Ἐπὶ ταῖς ἰτέαις, ἐν μέσῳ αὐτῆς ἐκρεμάσαμεν τὰ ὄργανα ἡμῶν. Ὅτι ἐκεῖ ἐπηρώτησαν ἡμᾶς οἱ αἰχμαλωτεύσαντες ἡμᾶς, λόγους ᾠδῶν· καὶ οἱ ἀπαγαγόντες ἡμᾶς, ὕμνον· ᾄσατε ἡμῖν ἐκ τῶν ᾠδῶν Σιών. Πῶς ᾄσωμεν τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας; Ἐὰν ἐπιλάθωμαί σου Ἱερουσαλήμ, ἐπιλησθείη ἡ δεξιά μου· κολληθείη ἡ γλῶσσά μου τῷ λάρυγγί μου, ἐὰν μή σου μνησθῶ· ἐὰν μὴ προανατάξωμαι τὴν Ἱερουσαλήμ, ὡς ἐν ἀρχῇ τῆς εὐφροσύνης μου. Μνήσθητι, Κύριε, τῶν υἱῶν Ἐδώμ, τὴν ἡμέραν Ἱερουσαλήμ, τῶν λεγόντων, Ἐκκενοῦτε, ἐκκενοῦτε ἕως τῶν θεμελίων αὐτῆς. Θυγάτηρ Βαβυλῶνος ἡ ταλαίπωρος· μακάριος ὃς ἀνταποδώσει σοι τὸ ἀνταπόδομά σου, ὃ ἀνταπέδωκας ἡμῖν. Μακάριος, ὃς κρατήσει, καὶ

μου, καὶ τὴν ἔγερσίν μου. Σὺ συνῆκας τοὺς διαλογισμούς μου ἀπὸ μακρόθεν. Τὴν τρίβον μου, καὶ τὴν σχοῖνόν μου σὺ ἐξιχνίασας, καὶ πάσας τὰς ὁδούς μου προεῖδες, ὅτι οὐκ ἔστι δόλος ἐν γλώσσῃ μου. Ἰδοὺ, Κύριε, σὺ ἔγνως πάντα τὰ ἔσχατα καὶ τὰ ἀρχαῖα. Σὺ ἔπλασάς με, καὶ ἔθηκας ἐπ' ἐμὲ τὴν χεῖρά σου. Ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ· ἐκραταιώθη, οὐ μὴ δύνωμαι πρὸς αὐτήν. Ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου; καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω; Ἐὰν ἀναβῶ εἰς τὸν οὐρανὸν, σὺ ἐκεῖ εἶ· ἐὰν καταβῶ εἰς τὸν ᾅδην, πάρει. Ἐὰν ἀναλάβοιμι τὰς πτέρυγάς μου κατ' ὄρθρον, καὶ κατασκηνώσω εἰς τὰ ἔσχατα τῆς θαλάσσης. Καὶ γὰρ ἐκεῖ ἡ χείρ σου ὁδηγήσει με, καὶ καθέξει με ἡ δεξιά σου. Καὶ εἶπα, Ἆρα σκότος καταπατήσει με, καὶ νὺξ φωτισμὸς ἐν τῇ τρυφῇ μου; Ὅτι σκότος οὐ σκοτισθήσεταί ἀπὸ σοῦ, καὶ νὺξ ὡς ἡμέρα φωτισθήσεται· ὡς τὸ σκότος αὐτῆς, οὕτω καὶ τὸ φῶς αὐτῆς. Ὅτι σὺ ἐκτήσω τοὺς νεφρούς μου, ἀντελάβου μου ἐκ γαστρὸς μητρός μου. Ἐξομολογήσομαί σοι, ὅτι φοβερῶς ἐθαυμαστώθης, θαυμάσια τὰ ἔργα σου, καὶ ἡ ψυχή μου γινώσκει σφόδρα Οὐκ ἐκρύβη τὸ ὀστοῦν μου ἀπὸ σοῦ, ὃ ἐποίησας ἐν κρυφῇ, καὶ ἡ ὑπόστασίς μου ἐν τοῖς κατωτάτοις τῆς γῆς. Τὸ ἀκατέργαστόν μου εἶδον οἱ ὀφθαλμοί σου, καὶ ἐπὶ τὸ βιβλίον σου πάντες γραφήσονται· ἡμέρας πλασθήσονται, καὶ οὐδεὶς ἐν αὐτοῖς. Ἐμοὶ δὲ λίαν ἐτιμήθησαν οἱ φίλοι σου, ὁ Θεός, λίαν ἐκραταιώθησαν αἱ ἀρχαὶ αὐτῶν. Ἐξαριθμήσομαι αὐτοὺς, καὶ ὑπὲρ ἄμμον πληθυνθήσονται· ἐξηγέρθην, καὶ ἔτι εἰμὶ μετὰ σοῦ. Ἐὰν ἀποκτείνῃς ἁμαρτωλοὺς, ὁ Θεός, ἄνδρες αἱμάτων ἐκκλίνατε ἀπ' ἐμοῦ. Ὅτι ἐρεῖτε εἰς διαλογισμούς· λήψονται εἰς ματαιότητας τὰς πόλεις σου. Οὐχὶ τοὺς μισοῦντάς σε, Κύριε, ἐμίσησα, καὶ ἐπὶ τοὺς ἐχθρούς σου ἐξετηκόμην; Τέλειον μῖσος ἐμίσουν αὐτούς, εἰς ἐχθρούς ἐγένοντό μοι. Δοκίμασόν με, ὁ Θεός, καὶ γνῶθι τὴν καρδίαν μου· ἔτασόν με, καὶ γνῶθι τὰς τρίβους μου. Καὶ ἴδε, εἰ ὁδὸς ἀνομίας ἐν ἐμοί, καὶ ὁδήγησόν με ἐν ὁδῷ αἰωνίᾳ.

ΨΑΛΜΟΣ 139. Τοῦ Δαβίδ.

Ἐξελοῦ με Κύριε ἐξ ἀνθρώπου πονηροῦ, ἀπὸ ἀνδρὸς ἀδίκου ῥῦσαί με. Οἵτινες ἐλογίσαντο ἀδικίαν ἐν καρδίᾳ, ὅλην τὴν ἡμέραν παρετάσσοντο πολέμους. Ἠκόνησαν γλῶσσαν αὐτῶν ὡσεὶ ὄφεως· ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν. Φύλαξόν με Κύριε ἐκ χειρὸς ἁμαρτωλοῦ, ἀπὸ ἀνθρώπων ἀδίκων ἐξελοῦ με· οἵτινες διελογίσαντο τοῦ ὑποσκελίσαι τὰ διαβήματά μου. Ἔκρυψαν ὑπερήφανοι παγίδα μοι· καὶ σχοινίοις διέτειναν παγίδα τοῖς ποσί μου, ἐχόμενα τρίβους σκάνδαλα ἔθεντό μοι· Εἰ-

πα τῷ Κυρίῳ, Θεός μου εἶ σὺ, ἐνώτισαι Κύριε τὴν φωνὴν τῆς δεήσεώς μου. Κύριε, Κύριε, δύναμις τῆς σωτηρίας σου, ἐπεσκίασας ἐπὶ τὴν κεφαλήν μου ἐν ἡμέρᾳ πολέμου. Μὴ παραδῷς με Κύριε ἀπὸ τῆς ἐπιθυμίας μου ἁμαρτωλῷ· διελογίσαντο κατ' ἐμοῦ, μὴ ἐγκαταλίπῃς με, μή ποτε ὑψωθῶσιν. Ἡ κεφαλὴ τοῦ κυκλώματος αὐτῶν, κόπος τῶν χειλέων αὐτῶν καλύψει αὐτούς. Πεσοῦνται ἐπ' αὐτοὺς ἄνθρακες ἐν πυρί. καταβαλεῖς αὐτοὺς ἐν ταλαιπωρίαις, καὶ οὐ μὴ ὑποστῶσιν. Ἀνὴρ γλωσσώδης οὐ κατευθυνθήσεται ἐπὶ τῆς γῆς· ἄνδρα ἄδικον κακὰ θηρεύσει εἰς διαφθοράν. Ἔγνων, ὅτι ποιήσει Κύριος τὴν κρίσιν τῶν πτωχῶν, καὶ τὴν δίκην τῶν πενήτων. Πλὴν δίκαιοι ἐξομολογήσονται τῷ ὀνόματί σου, καὶ κατοικήσουσιν εὐθεῖς σὺν τῷ προσώπῳ σου.

Δόξα, καὶ νῦν. Ἀλληλούϊα.

ΨΑΛΜΟΣ 140. Τοῦ Δαβίδ.

Κύριε, ἐκέκραξα πρὸς σὲ, εἰσάκουσόν μου· εἰσάκουσόν μου Κύριε, Κύριε ἐκέκραξα πρὸς σὲ, εἰσάκουσόν μου· πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου, ἐν τῷ κεκραγέναι με πρὸς σὲ, εἰσάκουσόν μου, Κύριε. Κατευθυνθήτω ἡ προσευχή μου ὡς θυμίαμα ἐνώπιόν σου, ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή· εἰσάκουσόν μου Κύριε. Θοῦ, Κύριε, φυλακὴν τῷ στόματί μου καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου. Μὴ ἐκκλίνῃς τὴν καρδίαν μου εἰς λόγους πονηρίας, τοῦ προφασίζεσθαι προφάσεις ἐν ἁμαρτίαις. Σὺν ἀνθρώποις ἐργαζομένοις τὴν ἀνομίαν, καὶ οὐ μὴ συνδυάσω μετὰ τῶν ἐκλεκτῶν αὐτῶν. Παιδεύσει με δίκαιος ἐν ἐλέει, καὶ ἐλέγξει με, ἔλαιον δὲ ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν μου. Ὅτι ἔτι καὶ ἡ προσευχή μου ἐν ταῖς εὐδοκίαις αὐτῶν, κατεπόθησαν ἐχόμενα πέτρας οἱ κριταὶ αὐτῶν. Ἀκούσονται τὰ ῥήματά μου, ὅτι ἠδύνθησαν· ὡσεὶ πάχος γῆς ἐῤῥάγη ἐπὶ τῆς γῆς, διεσκορπίσθη τὰ ὀστᾶ αὐτῶν παρὰ τὸν Ἅδην. Ὅτι πρὸς σὲ Κύριε, Κύριε οἱ ὀφθαλμοί μου ἐπὶ σοὶ ἤλπισα, μὴ ἀντανέλῃς τὴν ψυχήν μου. Φύλαξόν με ἀπὸ παγίδος, ἧς συνεστήσαντό μοι, καὶ ἀπὸ σκανδάλων τῶν ἐργαζομένων τὴν ἀνομίαν. Πεσοῦνται ἐν ἀμφιβλήστρῳ αὐτῶν οἱ ἁμαρτωλοί, καταμόνας εἰμὶ ἐγὼ, ἕως ἂν παρέλθω.

ΨΑΛΜΟΣ 141. τοῦ Δαβίδ.

Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, φωνῇ μου πρὸς Κύριον ἐδεήθην. Ἐκχεῶ ἐνώπιον αὐτοῦ τὴν δέησίν μου, τὴν θλίψιν μου ἐνώπιον αὐτοῦ ἀπαγγελῶ. Ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὸ πνεῦμά μου, καὶ σὺ ἔγνως τὰς τρίβους μου. Ἐν ὁδῷ ταύτῃ, ᾗ ἐπορευόμην, ἔκρυψαν παγίδα μοι. Κατενόουν εἰς τὰ δεξιὰ, καὶ ἐπέβλεπον

Θεός τῶν θεῶν καὶ κύριος
τῶν κυρίων ..
ὁ τὸν μονὸν ποιῶν θαυμαστὰ

Ὁ ἅγιος Παῦλος Παϊζανίδης

ولد اوغلی پاول س پاز ضوضور
paul paizanidis

١٣٢٨ ج
مارت
19

1922 ايلول
Ιούνιος
19

9

Paizanidis.
Chiotore
Paul Sophie

Δημόσια Κεντρική Βιβλιοθήκη

Τεμαχίων.

352 352
40 50
---- ----
14080 17600

14432 17952
14432

= 3520

Τεμαχίων

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

gaivei 727 πήγαν
apporte un livre

54
25
67
146
47
191

48
48
96
99
195
10
10
12
227
50
777

Δημόσια Κεντρική Βιβλιοθήκη

Κοντός
Γιάννης Παπαστεργίου
Γενάρης 28 1888 Έτος

28
28
56

Τετρακόσια ογδόντα μία
χιλιάδες εξακόσιες ογδόντα
δύο δραχμές πενήντα λεπτά
Παιχαλίδη Παρασκευή εξήντα χρόνων
έφυγε χτες το μεσημέρι
από τη ζωή 20 Ιουλίου 1916. Μετά από πολλή
ώρα ταλαιπωρία και αφόρητους
πόνους στο στομάχι και στο συκώτι
έκλεισε τα μάτια για πάντα
στο σπίτι της στη γωνία Θεμιστοκλέους
και Ερμού το πρωί της 16ης Σεπτεμβρίου
Η τελετή έγινε απ'
τις 3 το μεσημέρι στο σπίτι

Αρχείο Κοινοτικής Βιβλιοθήκης Βερ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημοτική Κεντρική Βιβλιοθήκη Βέροιας